This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

**Usage guidelines**

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.

+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.

+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.

+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

**About Google Book Search**

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at `http://books.google.com/`

BIBLIOTHECA
SCRIPTORUM GRAECORUM
ET ROMANORUM
TEUBNERIANA

# POLYAENUS

## STRATEGEMATA

EDIDERUNT

E. WOELFFLIN — I. MELBER

LIPSIAE
IN AEDIBUS B. G. TEUBNERI.

STANFORD UNIVERSITY LIBRARY

LELAND STANFORD JUNIOR UNIVERSITY

**Vorträge und Aufsätze.** Von H. Usener. [VI u. 259 S.] gr. 8. 1907. geh. ℳ 5.—, in Leinwand geb. ℳ 6.—

[illegible]

**Grundriß der Geschichte der klassischen Philologie.** Von Prof. Dr. A. Gudeman. [VI u. 224 S.] gr. 8. 1907. geh. ℳ 4.80, in Leinwand geb. ℳ 5.80.

[illegible]

[illegible]

**Abriß der griechischen Metrik.** Von Prof. Dr. P. Masqueray. Ins Deutsche übersetzt von Dr. Br. Pressler. [XII u. 342 S.] 8. 1907. geh. ℳ 4.40, in Leinwand geb. ℳ 5.—

[illegible]

**Vergils epische Technik.** Von Rich. Heinze. [VIII u. 487 S.] gr. 8. 1903. geh. ℳ 12.—, in Halbfranz geb. ℳ 14.—

[illegible]

## Verlag von B. G. Teubner in Leipzig und Berl

**Die hellenische Kultur.** Dargestellt von Fritz Baumgarten, Fr[illegible] Poland, Richard Wagner. 2. Auflage. Mit 7 farbigen Taf[illegible] 2 Karten und gegen 400 Abbildungen im Text und auf 3 Dopp[illegible] tafeln. [X u. 491 S.] gr. 8. 1907. geh. ℳ 10.—, in Leinw[illegible] geb. ℳ 12.—

[illegible]

„Ein Buch, [illegible]" (Lehrproben und Lehrgäng[illegible])

**Charakterköpfe aus der antiken Literatur.** Von Prof. Dr. Ed. Schwa[illegible] Fünf Vorträge: 1. Hesiod und Pindar; 2. Thukydides und Euripid[illegible] 3. Sokrates und Plato; 4. Polybius und Posidonius; 5. Cicero. 2. A[illegible] [VI u. 156 S.] gr. 8. 1906. geh. ℳ 2.—, in Leinwand geb. ℳ 2.60.

„Die Vorträge [illegible] ..." (Jahresbericht über das höhere Schulwesen [illegible])

**Geschichte des hellenistischen Zeitalters.** Von Julius Kae[illegible] I. Band: Die Grundlegung des Hellenismus. [X u. 450 S.] gr. 8. 1[illegible] geh. ℳ 12.—, in Halbfranz geb. ℳ 14.—

„Kaerst [illegible]" ([illegible])

Polyaenus

# POLYAENI

## STRATEGEMATON LIBRI OCTO

EX RECENSIONE

EDVARDI WOELFFLIN.

---

ITERVM RECENSVIT, EXCERPTA POLYAENI
E CODICE TACTICORVM FLORENTINO ADDIDIT, LEONIS
IMPERATORIS STRATEGEMATA E RVD. SCHOELLII
APOGRAPHO SVBIVNXIT

**IOANNES MELBER.**

LIPSIAE
IN AEDIBVS B. G. TEVBNERI.
MDCCCLXXXVII.

P 65 sm

LIPSIAE: TYPIS B. G. TEVBNERI.

# SYLLOGO GRAECO PHILOLOGICO

## CONSTANTINOPOLITANO

## QVINQVE LVSTRA

STVDIIS HVMANITATIS

PER ORIENTEM PROMOVENDIS FELICITER IMPENSA

CONGRATVLANTES

D. D. D.

**E. WOELFFLIN ET I. MELBER.**

# PRAEFATIO.

Paucis annis postquam Woelfflini Strategematum Polyaeni prodierat editio Teubneriana, Valentinus Rose primus ostendit codicem Florentinum omnium qui exstant Polyaeni librorum manuscriptorum esse archetypum. Itaque cum abhinc quattuor annos bibliopola honestissimus Woelfflinum novam editionem parare iussisset, inprimis codex ille Florentinus Mediceus denuo conferendus fuit, sed in aliis tunc ipsum inceptis operibus occupatus Woelfflinus, praeceptor dilectissimus, qua est in discipulos humanitate et liberalitate, mihi non solum mandavit, ut Polyaeni strategemata iterum recensenda susciperem, sed etiam omnia tradidit, quae ipse ad alteram editionem iam collegerat. Quamobrem hoc loco viro clarissimo ut studiorum meorum fautori et adiutori gratias ago quam maximas.

Quo pietatis munere functus priusquam de codicibus et de mutata huius editionis ratione accuratius dicam, pauca praefari iuvat de ipso Polyaeno.

Fuit igitur Polyaenus natione Macedo, rhetor[1]) et causidicus vixitque Romae M. Antonino et L. Vero imperantibus. Quo tempore cum statim post imperii auspicia bellum Parthicum exardesceret, Polyaenus utpote aetate iam provectus non valuit quidem ipse militiae labores sustinere; ne vero rerum gerendarum plane expers esset,

1) *Πολύαινος Μακεδών, ῥήτωρ* Suidas. Reliqua ipsius Polyaeni auctoritate firmata vide in indice historico s. v. Polyaenus.

antequam Verus adversus Parthos proficisceretur, id est anno p. Chr. 162[2]), ad imperatores quasi subsidia rei militaris, *τῆς στρατηγικῆς ἐπιστήμης ἐφόδια*, haec strategemata ita scripsit, ut singulos libros haud ita magno temporis spatio interiecto emitteret, id quod ex prooemiis apparet. Nam ex primi libri praefatione intellegas bellum Parthicum tunc ipsum iam imminuisse, nondum tamen exarsisse; cum ex proximorum librorum prooemiis nil novi accipiamus, in quinti libri praefatione scriptum legimus *βασιλεῦσι γὰρ πόλεμον ἐκτάσσουσι*, in sexti *ἄγε δὴ κατὰ Περσῶν καὶ Παρθυαίων ἐξιόντες*, unde conicias omnibus rebus ad bellum necessariis comparatis. Verum iam profecturum fuisse in Asiam, cum Polyaenus librum sextum confecisset. Ex iis, quae ad ultimos libros praefatus est Polyaenus, non satis liquet, utrum Romani iam cum Parthis congressi fuerint necne; sed etsi illud probabilius mihi videtur, hoc certe constat Romanos tunc nondum neque de Armeniis neque de Parthis ipsis victoriam reportasse. Polyaenus igitur omnes libros intra paucos annos deinceps emisit. Quare nemo miretur strategemata, quae multo labore ex historicis collegerat[3]), Polyaenum in brevius contraxisse[4]), quippe qui minime esset otiosus, sed quantum temporis non causis agendis consumebatur, id solum strategematis colligendis impertiret.

Licueritne Polyaeno, quod quidem in votis fuerat[5]), historiam belli Parthici uberiore disputatione complecti quam qua usus est in strategematis conscribendis, nec aliunde notum nec Suidas prodidit haec ad eum referens:

---

2) Cf. Schiller, Geschichte der röm. Kaiserzeit, I, 2, p. 640, not. 2.

3) Cf. praef. libri II: *ἀφ' ὅσης ἱστορίας καὶ ὅσῳ πόνῳ τάδε συλλεξάμενος* etc.

4) Cf. praef. libri I: *σύντομον τὴν παρ' ἑκάστῳ μνήμην ποιούμενος*; praef. libri II: *ὠφέλειαν σύντομον ὑμῖν δίδωμι.*

5) Cf. praef. libri VI: *εὐχόμενος καὶ ὑμῶν νικώντων ἐν τοῖς πολέμοις πολλὰ καὶ καλὰ τῆς ὑμετέρας ἀρετῆς ἀναγράψαι στρατηγήματα — ἐγὼ δὲ καὶ ταῦτα . . . διὰ μακροτέρων συγγράψαι προθυμήσομαι.*

*περὶ Θηβῶν· τακτικὰ βιβλία γʹ* (*καὶ ἄλλα*).[6]) Quae vero apud Stobaeum florileg. 43, 53 et 55 ed Mein. proferuntur *ἐκ τῶν Πολυαίνου ὑπὲρ τοῦ κοινοῦ τῶν Μακεδόνων* haud immerito nostro Polyaeno vindicaveris, uni Macedoni ex multis cognominibus; neque minus Stobaeus 43, 41 Polyaenum laudans *ἐν τῷ ὑπὲρ τοῦ συνεδρίου* idem illud opus significare videtur.

De Polyaeni fide et auctoritate, quae tota pendet ex scriptoribus, quos ille in singulis operis sui partibus secutus est, cum varie iudicavissent viri docti[7]), Woelfflinus primus accuratius disseruit praef. p. VII sqq., nec minus de fontibus p. XI sqq., sed se artis praefationis finibus contineri ipse professus est. Qui post eum eandem rem aggressi sunt, Otto Knott[8]) et Adolfus Schirmer[9]) id neglexerunt, quod mihi quidem plurimum valere videtur ad fidem Polyaeni recte aestimandam, ut totum strategematum corpus pervestigarent; cum utriusque quaestio aut primi libri strategematis contineatur aut selecta capita recenseat. Quamobrem priusquam strategemata ipsa iterum ederem, denuo quaestionem institui de fontibus Polyaeni copiosiorem, quae prodiit in supplementis annalium philologicorum.[10])
Itaque hic satis habeo commentationem illam laudasse.

---

6) Haec duo vocabula adhaeserunt vulgo ex fine notae praecedentis, sed utique delenda sunt. Ceterum Koraïs *Τακτικὰ* strategemata nostra intellegi vult correcto ηʹ pro γʹ.

7) Mannert, Geschichte der Nachfolger Alexanders p. 377; Sainte Croix, Examen critique des historiens d'Alexandre, sec. edit. p. 127 sqq.; G. Schneider ad Xen. Hell. I, 6, 20 sq. p. 53 edit. sec.; Blume, observationes in Polyaenum p. 3 sqq.; Niebuhr, Kleine Schriften I, p. 454, Vorträge über alte Geschichte, vol. III, p. 8. 156; Droysen, Gesch. d. Hellenismus I[1], p. 685, Gesch. Alexanders[1] p. 385; Rehdantz, Iphicratis, Chabriae, Timothei vitae p. 9.

8) De fide et fontibus Polyaeni (Dissertationes Ienenses III, p. 51 sqq.), Lipsiae 1883.

9) Über die Quellen des Polyaen, Progr. d. Gymn. zu Eisenberg 1884.

10) Über die Quellen und den Wert der Strategemensammlung Polyaens. Ein Beitrag zur griech. Historiographie von

De dicendi genere, quo usus est Polyaenus, repetere iuvat, quae iam Woelfflinus p. XIV—XVIII praefatus erat. Magna hic quoque est controversia inter viros doctos. Nam ex quo Casaubonus Polyaenum 'elegantem' dixit, complures hanc ipsam elegantiam usque ad nostra tempora ei laudi tribuerunt: quas laudes Reiskius[11]) aspernatus addit, vites quoque potuisse spinas dare, si Antoninorum tempora talem ferre potuerint. Quo factum est, ut Reiskius Polyaenum sexcentis locis ad optimorum scriptorum exemplum iniuria corrigeret, id quod ex emendationibus eius infra laudandis satis apparebit. Erraverit igitur, si quis omnes coniecturas Reiskianas in textum receperit. Nam quae Reiskii et aliorum est sententia, nos Polyaeni libros habere contaminatos et excerptos, stare non potest, cum et argumentum ipsam requirat orationem pressam et adstrictam (quae apud Frontinum multo etiam est adstrictior), et multa strategemata tam accurate cum aliis scriptoribus consentiant, ut vix possint excerpta esse ex pleniore opere. Et Polyaenus ipse, dum historiam belli Parthici *διὰ μακροτέρων συγγράψαι* (277, 16) pollicetur, istam strategematum breviloquentiam et tenuitatem tuetur.

Sed pariter imminuenda est illa elegantiae laus. Immo longe recedit Polyaenus a copia et ubertate veterum et vel suae aetatis scriptorum. Mox eum deprehendas per asyndeta incedentem, mox participia mirum in modum cumulantem; circumscriptos verborum ambitus frustra quaeras. Nec sane exilis haec et abrupta oratio surgit, ubi quasi febri correpta, quae dudum elapsa sunt, praesentia fingit. Nulla varietas: oratio similis atque eadem

---

J. Melber. Iahnii annal. Suppl. XIV, p. 415—688 et seorsum expressa, Lipsiae 1885.

11) Ad Constantinum Porphyrogen. de caerimoniis p. 467 (vol. II, p. 523 edit. Bonnensis). Idem p. 406: 'Quem nos habemus Polyaenum ex eius commentariis cum insutis suis commentis nugax aliquis Graeculus consarcinavit.' Cf. Zeitschr. f. Altert.-Wiss. 1834, p. 975.

semper: eadem fere descriptio omnium capitum, ut primum duces, excercitus, loca pugnae memorentur et eventus strategematum artificiis rhetoricis, praesertim antithetis et lusibus verborum exornentur.

Nusquam omittendum est Polyaenum vocabulis propriis uti et lectores minime variatione delectantem nimium repetendo fere abuti: cf. 32, 6 sqq. *ἤγειρον, ἐγερεῖσθαι, ἐγείρωσι, ἐγείρωσι, ἐγέρθη*; 58, 6 sqq. *διαβαίνειν, διάβασιν, διαβαίνειν, διαβάντων, διέβησαν*. Ita, quae duces imperant, milites exsequuntur, saepissime invenies hoc modo expressa: *ἐσήμηνε ἀλαλάξαι. οἱ μὲν ἠλάλαξαν* 8, 20; *διαβαίνειν ἔταξεν. αἱ μὲν δὴ διέβαινον* 8, 4 sq.; *ἢν ἐπὶ Κωλιάδος πλεύσητε ... οἱ μὲν δὴ ἐπέπλεον* 21, 15 sq.

Nec tantum, quae eodem strategemate bis dicenda erant, iisdem verbis expressa sunt, sed Polyaenum quoque constantem sibi invenies, ubi similia strategemata in posterioribus libris recurrunt. Scilicet praesto sunt Polyaeno certae quaedam locutiones et formulae, paucae illae et artis finibus circumscriptae, quas totidem in usum vocat, ut critico in paucis aliis scriptoribus meliore iure ad constantem usum loquendi provocare liceat.

Ne vero exsanguis et languida esset oratio, vario modo efficere studuit Polyaenus. Saepe utitur praesenti historico, ut lectorem quasi in ipsum bellorum tumultum rapiat, adamat etiam praesens pro futuro cum post verba *ἐπαγγέλλεσθαι, ἀπειλεῖν*, tum in formula *ἔπεμψε ἀγγέλλοντας*. Item ubi nuntii afferuntur, mandata deferuntur, edicta proponuntur, epistolae recitantur, incredibile fere est, quantum se addixerit orationi rectae, ipsos nuntios, praecones loquentes faciens: quod Polyaeno adeo placuisse videtur, ut ubi apud Herodotum aliosque scriptores orationem obliquam invenisset, suo arbitrio alteram induceret. Id factum esse vides exempli gratia 18, 8. 11. 21, 15. 61, 8. 62, 16. 93, 20. 153, 19. 401, 20. 423, 3. Hac de causa iam Woelfflinus ex H recepit *φείδεσθε* 388, 16 et *ἐπιτρέπω* 238, 13, emendavit *ἕπεσθε* 81, 21; *ἐπίθεσθε* 399, 8, commendavit *κηρύξω* et *ὁπλίσασθε*, quae leguntur in H,

pro κηρύξῃ et ὁπλίσασθαι 17, 2; ἀθροίζεσθε ex sua coniectura 123, 15. Hinc etiam intellegitur Ἰωνίαν ἀπόστησον 25, 11 nihil esse nisi Herodoteum βουλόμενος σημῆναι ἀποστῆναι, minime vero ipsius Histiaei verba, ut quidam volunt; idemque error est Vossii, qui verba *Καῖσαρ Κικέρωνι θαρρεῖν· προσδέχου βοήθειαν* 381, 9 ex ipsa Caesaris epistola Graece scripta desumpta arbitrabatur. Praeterea ad nervos orationis faciunt defectus verbi εἶναι et asyndeta: utrumque Polyaeno usitatissimum. Itaque cum codice F delendum fuit ἦν 78, 7 et ἐστε 277, 6; falso editores addiderunt ἔσται 64, 20; ἦν 181, 3; εἴη 378, 1. Asyndetorum quoque permagna copia: asyndeta substantivorum 26, 15 sq.; 286, 5 sq.; 320, 14 sq.; in verbis finitis 392, 6; praesertim cf. imitationem illam dicti Caesariani '*veni, vidi, vici*'

ἐπείσθησαν, ἐπέβησαν, ἐναυμάχησαν, ἐνίκησαν,

homoeoteleuta simul et allitteratione ἐπ et ἐν bifariam coniuncta. Plena enuntiata ἀσυνδέτως leguntur 407, 22—408, 2. Miraberis fortasse non minus quaesitum esse et frequentatum a Polyaeno contrarium polysyndeti genus (καὶ quater repetitur 415, 10 sqq.; καὶ πάλιν quater 293, 8 sqq.; καὶ sexies 194, 12 sq.) et magis etiam ita utrumque in vicem succedere, ut tota capita ex meris polysyndetis et asyndetis constent: cf. Iphicratis illud strategema 128, 12 sqq., ubi deinceps sese excipiunt quattuor genetivi absoluti triplici καὶ iuncti, enuntiatum per parenthesin interiectum, octo participia ἀσύνδετα, quattuor verba finita ter repetita καὶ copulata. Alibi capitis alicuius enuntiata particula δὲ quinquies vel sexies deinceps posita inter se connectere solet: cf. 55, 7 sqq.; 130, 13 sqq.; 254, 1 sqq. Itaque qui in formis verborum Atticos plerumque sequitur, in eligendis multos aequalium fere aequat, in copulandis et comprehensione complectendis plane ineptus est et rusticus.

De ornatu orationis pauca adnotanda sunt. Ad fucum pertinent oxymora, qualia sunt 258, 7 ὡς εἶδον τὰς ναῦς ἀφανεῖς; lusus verborum veluti 424, 7 ἔπεσεν ἐμπεσούσης

κεραμίδος; 409, 24 sqq. προβαλομένη, συλλαβοῦσα, προσβαλοῦσα, λαβεῖν, ἀπολαβεῖν; vel 116, 8 μέλλειν, μέλλων, ἔμελλον, μέλλουσι; 322, 3 sqq. ἔταξε, ἔταξεν, τάξαι προσέταξε iisdem vocabulis repetitis paulum diversa significatione; denique ἀντίθετα illa, quibus finem strategematum exornare solet, exempli gratia 214, 10 αὐτίκα δὴ οἱ μὲν διώκοντες ἔφευγον, οἱ δὲ φεύγοντες ἐδίωκον; 258, 15 καὶ ἦν ἰδεῖν τοὺς μὲν νικήσαντας ἡττημένους, τοὺς δὲ ἡττημένους νικήσαντας; 259, 5 ὥστε ἦν τὸ χρῆμα παράλογον· οἱ γὰρ φεύγοντες ἐνίκησαν τοὺς διώκοντας (quibus similia restituenda sunt loco lacunoso 191, 23); alia id genus 12, 13 Κρεσφόντης Μεσήνην τέχνῃ λαβὼν τύχῃ λαβεῖν ἔδοξεν; 316, 18 ἀπολεμώτατοι γεγόνασιν Λυδοὶ πρόσθεν ὄντες πολεμικώτατοι; 52, 8 οἱ Λάκωνες ἄφνω προσπεσόντες ὡπλισμένοι γυμνοῖς, συντεταγμένοι ἀσυντάκτοις; 38, 8 Κλέων Ἀβυδηνοῖς Σηστὸν παρέδωκεν οὐ φανερᾷ μάχῃ, ἀλλ' ἀφανεῖ τέχνῃ. Quibus exemplis comparatis 385, 3 lacunam statuendam esse censui, de qua vide infra in adnotatione critica.

Haec ut redolent scholas rhetorum[12]), quorum e numero ipse fuit Polyaenus, ita longe abhorrent ab urbanitate et elegantia veterum.

Polyaeni strategematum libri ad Antoninum et Verum missi ab imperatoribus Romanis magno honore habiti et quasi hereditate per manus traditi, denique Roma Byzantium, in novam imperii sedem delati esse videntur; nam praeterquam quod ab anonymo quodam excerpta illa ex Polyaeni libris 57 capitibus conscripta erant, quae infra post strategemata integra sequuntur, exeunte saeculo nono p. Chr. Leo sextus, philosophus, Tacticorum auctor, ex his excerptis Polyaeni composuit παραινέσεις στρατηγικαὶ ἐκ πράξεων καὶ στρατηγημάτων παλαιῶν ἀνδρῶν Ῥωμαίων τε καὶ Ἑλλήνων καὶ λοιπῶν, quae et ipsae infra primum eduntur. Deinde saeculo decimo medio Constantinus Porphyrogenitus[13]) Polyaenum et Syrianum inter

12) Cf. Markland ad Maxim. Tyr. p. 674 b.
13) De caerimoniis vol. I, p. 467 edit. Bonnensis.

praecipuos et maxime necessarios bibliothecae regiae libros commemoravit. Usi quoque strategematis et reliquis Polyaeni libris Stobaeus, Suidas, alii. Byzantio deinde anno 1453 capto Michael Apostolius, ipse Byzantius, notissimus proverbiorum scriptor, cum Romam, deinde Cretam profugisset, ludimagistri officio describendisque codicibus Graecis victum quaeritans Polyaenum quoque exemplari strategematum Constantinopoli advecto usus sua manu descripsit, qui duo codices, et archetypus et apographum, per eum in Italiam delati sunt; apographum a Bessarione acquisitum postea bibliothecae Venetae S. Marci, archetypus nescio quo pacto Florentiam in bibliothecam Laurentianam illatus est. Ex codice illo Veneto denuo descripta Polyaeni strategemata per Mendozam, ut videtur, in bibliothecam Escorialensem medio sexto decimo saeculo invecta sunt.[14]) Apostolii filius Arsenius, Monembasiae episcopus († Venetiis 1535), una cum proverbiis iam a patre evulgatis vastam farraginem ab illo relictam edidit, *Ἰωνιὰν* inscriptam, apophthegmata pleraque ex multis scriptoribus corrasa, quorum duo ex Polyaeni Alexandro 4, 3, 2 et 25 petita sunt.[15]) Iamque in eo erat, ut Polyaenum typis vulgandum curaret, cum consilium morte praeventi ad irritum cecidit. Scribit enim in praefatione ad Manuelis Philae editionem (*στίχοι ἰαμβικοὶ περὶ τῆς τῶν ζῴων ἰδιότητος*) Venetiis anno 1533 emissam et Carolo quinto imperatori dedicatam:

*Οὕτω σε τανῦν ἑστιῶ τὴν κράτιστον*
*νηκτοῖς, πετεινοῖς, κτήνεσιν, ἑρπυστοῖς τε.*
*αὖθις δέ σοι τράπεζαν, εἰ δοίης, θήσω,*
*εἰς ἐκτύπωσιν πορισμὸν τὸν ἀρκοῦντα,*
*λαμπροῖς στρατηγήμασι τοῦ Πολυαίνου,*
*οἷς κεῖνος εἱστίασε τὼ βασιλῆε*
*πάλαι, τὸν Οὐῆρόν τε καὶ Ἀντωνῖνον.*

---

14) Valent. Rose, Anecdota Graeca et Graecolatina, Berolin. 1864, pp. 4. 8.
15) Cf. Arsenii Violetum, apophth. Alexandri 27. 28.

Omnes qui exstant Polyaeni codices ex illo Michaelis Apostolii exemplari, quod nunc in bibliotheca Laurentiana servatur, derivandos esse primus ostendit Valentinus Rose l. l.[16]); est

Cod. Florentinus (Laurentianus Mediceus) LVI, 1 bombycinus saeculo XIII inter paucos nitide ac diligenter conscriptus (saeculo XIV adscribitur in catalogo Bandiniano); constat, id quod Rosium fugerat, tribus partibus a diversis librariis scriptis et postea in unum volumen conglutinatis[17]), quarum priores duae in principio, tertia in fine mutilae sunt. Polyaeni strategemata in tertia parte (inde a fol. 165) servantur, sed cum magnam libri sexti lacunam librarius ipse in margine paginae purae notaverit his verbis *ἐντεῦθεν τὰ ἐφεξῆς οὐκ ἔχει· δηλονότι ἀπὸ τῶν Αἰτωλῶν μέχρι τοῦ Συλοσῶντος*, liber octavus in fine mutilus fol. 283^b^ explicit verbis *θυγατέρες τῶν* (8, 71) ita, ut quae desunt in proximo folio abscisso scripta fuisse appareat; at in ceteris libris manuscriptis aut in priore pagina folii aut etsi in altera, in media tamen leguntur illa verba, unde Rose suo iure conclusit e codice Florentino ceteros descriptos esse. Sed fugerunt virum doctum obiter scilicet codicem inspicientem nonnulli loci, e quibus codicum rationem etiam melius cognoscas; sunt hi:

1) p. 278, 12 *προ.νόντος* F (littera *γ* corrosa); solus Marcianus cl. VII, 9 *προγνόντος*; Marcianus 414 et qui ex eo descripti sunt Ravennas et Urbinas *προ . εντος* (lacuna in charta integra); *προσιόντος* vulg.

2) p. 280, 10 *χαρκι* . . . F (reliquis litteris a vermibus exesis ita tamen, ut videatur fuisse *εν* vel *αν*) — *πο . θα . να* (duobus litteris corrosis): librarii ceterorum codicum hoc loco in charta integra parvas lacunas reliquerunt, e. gr. Monacensis *χαρ* ... et *πορθανὰ*; Parisinus *χαρ* ... et *ποθ*

16) Idem primus detexisse sibi visus erat K. K. Mueller, *Sur les manuscrits de Polyen*, in *Melanges Graux* p. 723 sqq., sed postea animadvertit, Rosium de codicum ratione iam recte iudicasse (cf Mus. Rhen. 39, p. 467).

17) Cf. Rud. Schoell, Hermes III, p. 274.

να; Venetus χαρκι ... et πα ϑάονα; Vaticani χαρ ... et π ϑ να; Barberinus χάρκι .. et πα ϑάονα etc.

3) p. 355, 13 ταυ ετὸν F (leg. Ταΰγετον) littera γ a vermibus exesa, unde ταυτὸν Monacensis ex. gr., ταύτας vulg.

Multis locis secunda manus conspici potest, quae ut saepius prioris errores correxit, ita lectiones mutavit, quae omnino non erant mutandae (vide singula in adnotatione critica); quamobrem caveas, ne secundae manus emendationes temere in textum recipias. Primus contulisse videtur codicem Ioannes Pricaeus (John Price), cum anno 1652 in Italia versaretur, cuius manuscriptus servatur in bibliotheca Lugdunensi (cf. Maasvicium in praefatione et Catal. bibl. Lugd. Bat. p. 182; p. 402); post eum contulit Iacobus Gronovius, anno 1672 in Italiam profectus, cuius collatio Pancratio Maasvicio praesto erat ad editionem Polyaeni Lugd. Bat. 1690 emissam.[18]) Postquam Rose intellexit, quanti esset codex aestimandus, Rud. Schoell anno 1869 Florentiae versatus ex hoc codice varias lectiones accuratissime enotavit ipse tunc Polyaeni strategemata editurus; ego contuli Florentiae hieme anni 1882 et omnem discrepantiam scripturae in adnotatione critica diligenter attuli; si qua emiseram, Rud. Schoell ex sua collatione liberalissime mecum communicavit, quamobrem varias lectiones codicis archetypi accurate notatas esse confidas. Ceteri codices cum omnes magis minusve ex hoc pendeant, ubi discrepant, meras librariorum coniecturas praebent, quamobrem multas, quas Woelfflinus enotaverat, eorum lectiones ut supervacaneas omisi. Sufficiat codices melioris notae, qui proxime accedunt ad Florentinum, hic enumerare; sunt duo Romani:

1) cod. Urbinas graec. bombycinus, 107, saeculo XV ex Marciano 414 descriptus.

2) cod. Barberinus graec. num. ant. 472, nunc II, 84 sign. chartaceus, XV vel XVI saeculo scriptus.

---

18) Cf. V. Rose, l. l. p. 4.

duo Veneti

3) cod. Venetus graec. 414, in fol. saeculi XV membranaceus, habet subscriptionem: *Μιχαῆλος Ἀποστόλης Βυζάντιος μετὰ τὴν ἅλωσιν τῆς αὐτοῦ πατρίδος πενίᾳ συζῶν μισθῷ ἐν Κρήτῃ καὶ τόδε τὸ βιβλίον ἐξέγραψεν.*

4) cod. Venetus graec. cl. VII, cod. IX, in fol. membranaceus saec. XV scriptus, Antonio Marsilio dicatus.

duo codices Musei Britannici

5) 6) cod. Reg. 16 D. f. XVI, Harl. 5637 (cf. K. K. Mueller, Melanges Graux, p. 725).

tres Parisini

7) cod. Parisinus graec. 1688, chartaceus in folio.

8) cod. Parisinus graec. 1687, chartaceus, cuius haec est subscriptio: *ταύτην δὲ βιβλίον Οὐαλεριανὸς Φορολιβιεὺς ὁ Ἀλβίνου Ἐνετίῃσι ἐν τῷ τοῦ ἁγίου Ἀντωνίου μοναστηρίῳ ἔγραψε, ἔτει τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ͵αφμ* (1540) *ὀγδόῃ τοῦ μηνὸς Νοβεμβρίου ἱσταμένῃ.*

9) cod. Parisinus graec. 1686 chartaceus, saeculi XVI, cuius collationem Seebodei cura accepit Guil. Arminius Blume (in Polyaenum observationes criticae, 1824, p. 54) et a Blumio rursus Fridericus Haase (narratio de militarium scriptorum editione instituenda p. 12. 13).

praeterea

10) codex Monacensis graec. 401 chartaceus in fol. maximo saeculi XV, cui Woelfflinus maximam auctoritatem attribuerat.

11) cod. Cantabrigensis ex bibliotheca collegii Trinitatis, iam a Maasvicio studiose usurpatus.

12) codex Escurialensis graec. 129, chartaceus, saeculi XV (cf. E. Miller, Catal. des mss. Grecs de la bibl. de l'Escurial. Par. 1848, p. 109).

13) codex Vesontinus (cf. Omont, Catal. des mss. gr. de Besançon, Le Cabinet histor. N. S. I, 1882, p. 361).

14) codex Ravennas 138, 5 ex Marciano 414 descriptus.

15) codex Ambrosianus R 37; chartaceus, saec. XV.

Duo Polyaeni strategemata traduntur in antiquissimo

cod. Paris. graec. Suppl. 607 a Minoide Mina anno huius saeculi 43 ex oriente allatus, qui fol. 91ª: *ἐκ τῶν Πολυαίνου στρατηγημάτων· Ἀλεξάνδρου καὶ Πώρου, Ἀντιγόνου καὶ Μεγαρέων* continet Polyaen. 4, 3, 22 et 4, 6, 3. Ex hoc codice optimo partim saec. X conscripto edidit *Πολιορκητικὰ καὶ πολιορκίαι διαφόρων πόλεων* C. Wescher, Poliorcétique des Grecs, Paris 1867. Quem laudaverat Woelfflinus praef. p. XXVIII cod. Paris. gr. Suppl. 485, est apographum illius codicis a Minoide Mina ipso factum, e quo C. Mueller fragmenta Polybii, Dionysii Hal., Polyaeni, Dexippi, Eusebii emisit in appendice Flavii Iosephi a Guil. Dindorfio Parisiis a. 1847 editi.

Unum strategema, 6, 38, 10 suppeditavit

cod. Vindobonensis, continens strategemata navalia duodecim edita a Seyboldo in Polyaeni interpretatione germanica praef. vol. II, p. XIV—XXX.

Ceteri codices omnes mirum quantum inter se consentiunt et non tantum ex uno eodemque codice, verum etiam maximam partem ab uno eodemque librario descripti sunt. Scilicet Andreas Darmarius[19]), natione Graecus, cum patria profugus Venetias se contulisset describendisque codicibus graecis vitam sustentaret, omnem fere Germaniam aliasque terras peragravit, viris doctis libros suos offerens. Qui enotuerunt codices Darmarii sunt hi:

1) cod. Monac. graec. 187 (266),
2) cod. Escurial. *Ω*. IV, 21,
3) cod. Escurial. *T*. II, 20,
4) cod. Parisin. graec. 1774,
5) cod. Ottobon. bibl. Vatican. 364,
6) cod. Vatican. graec. 1400,
7) cod. Barberinus graec. num. ant. 521, nunc. I, 58 sign.,
8) cod. Neapolitanus III C. 22,
9) cod. Neapolitanus III C. 27,
10) cod. Oxoniensis (Bodleianus) 199.

19) Cf. V. Gardthausen, griech. Paläographie, p. 312 sq.

11) cod. Ambrosianus P 31,

12) cod. Casauboni, quem unde sibi comparaverit, diserte quidem non exposuit, emisse autem illum a Darmario facile intellegitur, cum et ubique conspiret cum codicibus supra memoratis, et Casaubonus ipse Darmarium sibi libros manu scriptos vendidisse compluribus locis testetur.[20])

Hi omnes Darmarii codices longissime a ceteris distant: deficiunt Darmarii libri p. 419, 18 in verbis *οὐκ ὀλίγους Αἰτωλῶν ἀπέκτειναν*; singula capita plerumque inscripta sunt *περὶ Διονύσου, περὶ Ἡρακλέους, περὶ Ἀθηναίων καὶ Πελοποννησίων πολέμου, περὶ Πιττακοῦ καὶ Φρύνοντος μονομαχούντων* aut titulis plane carent, cum in codicibus melioris notae scriptum sit *Διόνυσος, Ἡρακλῆς, Κόδρος, Πιττακός*; in Darmarianis hoc legitur in Polyaenum epigramma:

*Ἑλλαδικῶν χαρίτων τὸ*[21]) *κλέος ὤλεσεν αἰὼν*
*βαρβαρικῆς ἐφόδου συχνὰ ἐπερχομένης.*
*ἔμπης ἐν βιβλίοις κεῖται πάνθ' ὅσσα ἐρέξαν*
*Ῥωμαίων υἱεῖς καὶ Δαναοὶ μάκαρες.*
*πάντα δὲ ἐν ταύτῃ τῇ δέλτῳ ὄλβιε δήεις*
*ἔργματα Ῥωμαίων καὶ Δαναῶν καματούς.*

Porro conspiciuntur in illis septuaginta fere locis lacunae complurium plerumque vocabulorum, ortae ex vicinitate sive duorum verborum in eandem terminationem exeuntium sive unius eiusdemque bis positi, ita ut oculus librarii a priore omissis interiacentibus ad posterius aberraret, quas reliqui libri omnes explent; et praeter illas lacunas omnibus Darmarii codicibus communes ideoque ex libri illius, unde descripti sunt, misera condicione repetendas unusquisque fere Darmarii liber habet paucas quasdam lacunas peculiares ipsius socordia in describendo admissas. Accedit denique gravissimum. Scilicet Darmarius, graeci sermonis haud imperitus, pro parte virili correxit,

20) Cf. Casaubonus ad Suetonium Divo Iulio 31 et ad Aeneam Poliorcet. 20.

21) [*καλὸν*] vel tale quid addidit Casaubonus.

quae minus graeca, corrupta, lacera videbantur; saepius, praesertim libro primo, verba Polyaeni aut melius collocasse sibi visus est aut invitus transposuit, nominibus propriis hic illic articulum praefixit, verba composita pro simplicibus substituit, additis *καί*, *δέ*, *οὖν*, *γὰρ* similibusque vocabulis abruptam illam orationem, qua utitur Polyaenus, lenivit et ut mollius flueret effecit, vel hanc ob causam, quo magis codices suos empturis emendaret.[22]) Si qua occurrunt emendatius scripta, quae in ceteris codicibus leviter corrupta leguntur, ea omnia ad ipsum potius Darmarium quam ad auctoritatem libri ab eo descripti referenda videntur. Utrum autem Darmarius ipse Polyaenum recensuerit an codex ab eo descriptus iam talem passus sit recensionem, non liquet.

Haec habui, quae de libris manuscriptis integri Polyaeni operis monerem.

Quodsi in margine exteriore[23]) tempora singulorum strategematum notavi, nemo non mirabitur, qui meminerit, quantum valeat temporum series ad Polyaeni fontes indagandos. Nam quod Woelfflinus praef. p. XII primus statuerat, ubi complura exempla sese ita exciperent, ut continuam annorum seriem explerent, merito censeri posse id non Polyaeni cura factum esse, sed unum aliquem veterem historicum latere, cuius vestigia ille pressisset: id in commentatione mea supra laudata copiosiore disputatione probare studui. Praeterea me omnibus, qui Polyaeni strategemata saepius evolvent, viris doctis gratum fecisse spero, quod inter textum Polyaeni ipsum et adnotationem criticam non solum locos veterum scriptorum enotavi, qui eandem rem tradunt, sed etiam recentiores laudavi, qui de singulis Polyaeni strategematis copiosius disseruerunt;

---

22) Iuvat repetere, quae Muratori, Antiq. Ital. III, p. 927—28 de Darmario iudicavit: 'uno verbo: ita scelestus erat Andreas Darmarius Epirota, ut nihil illi credere debeamus, nec titulis eius.'

23) Qui in margine interiore leguntur numeri, ad singula excerptorum capita referendi sunt.

qua in re si hoc vel illud me fugerit, veniam rogaverim eorum, qui quam multae variaeque res Polyaeni opere contineantur, non ignorant.

---

Excerpta Polyaeni, e quibus iam Woelfflinus variam lectionem enotaverat, nunc primum integra post strategemata ipsa inprimenda curavi id potissimum agens, ut, quantopere Polyaeni libri ab excerptore immutati sint, ipse cognoscas. Quamobrem in margine interiore numeros librorum et capitum strategematum posui. Haec excerpta, quibus titulus est *Ὑποθέσεις τῶν ἐκ τῶν στρατηγικῶν πράξεων*, primus in lucem protraxit ut ad emendandum et supplendum Polyaenum utilissima Maiseroy, cours de tactique, II, p. 426 sq., post eum consuluerunt St. Croix, examen critique des historiens d'Alexandre, sec. edit. 1810, p. 127 not., deinde Frid. Haase, novissime Woelfflinus in editione Polyaeni, qui omnes adhibuerunt codicem Parisinum gr. 2522 ($H_P$). Ego hieme anni 1882 Florentiae descripsi e celeberrimo codice Tacticorum Florentino, Laur. Medic. LX, 4 ($H_F$).[24]) Est codex graec. membranaceus in folio saeculo X—XI pulcherrime scriptus, qui fol. $76^b$—$103^b$ Polyaeni excerpta continet.[25]) Qui diligentius hunc librum inspexerit, facile intelleget eandem rationem intercedere inter eum et alios excerptorum libros manuscriptos quam Florentino (F) cum ceteris strategematum integrorum codicibus. Verba ultima enim *ἐμβιβάσας καὶ κοσμήσας* (cap. 58, § 4), leguntur in fol. $103^b$ extrema pagina, nam unum folium, quod et finem excerptorum Polyaeni et initium sequentis tractatus servabat, hodie abscissum est. At in codice Parisino post illa verba aliquantum paginae purum relictum est, et quae deerant

---

24) Cf. Bandinii Epist. de celeberrimo cod. Tacticorum bibl. Laur. Flor. 1761 = Catal. codd. mss. graec. bibl. Laur. II, 218—238.

25) Codicem nuper descripsit K. K. Müller, Ein griech. Fragm. über Kriegswesen, p. 1 sqq.

ex integro Polyaeni libro supplevit eadem manus, a qua glossae marginales scriptae sunt.[26]) Qui praeterea innotuerunt codices non tanti momenti sunt ad excerpta edenda: quem quidem laudavit K. K. Mueller[27]) cod. Ambrosian. B. 119. Sup. membran. saec. XI, ex Laurentiano descriptus esse videtur ita, ut librarius quae ei videbantur omitteret (desunt duo capita extrema), alia consulto mutaret; non pluris faciendi sunt codices qui dicuntur *παρεκβολῶν*, velut Fermati codex Pseudoheronis *παρεκβολῶν ἐκ τῶν στρατηγικῶν παρατάξεων*, de quo cf. Sam. Mursinnae praef. ad Polyaeni editionem Berolini emissam a. 1756 et Fr. Haase narrat. de militar. script. graec. et lat. omnium edit. instit. Berol. 1847, p. 14. 15; cod. Palatinus graec. 393 Pseudoheronis *παρεκβολῶν* etc. (cf. Wilcken, Geschichte d. Heidelberger Büchersammlungen p. 289 sq.); cod. Basiliensis A. N. II, 14 Pseudoheronis *παρεκβολῶν* etc. Ut enim hoc Pseudoheronis opusculum ex illis excerptis Florentinis fluxit, ita tamen non accurate descriptae sunt hae *παρεκβολαὶ*, sed qui eas composuit, ubique consulto mutavit.

In universum sunt 354 strategemata, novo ordine disposita, alia ipsis Polyaeni verbis narrata, alia (eorumque maior pars) in angustum deducta et paululum immutata, ita ut eius testimonio non nisi omni cautionis genere adhibito uti liceat: magnopere scilicet cavendum, ne, quod epitomator ultro mutavit, in ipso Polyaeno reponamus. Sed praeterquam quod saepius ex his excerptis solis vera scriptura in integris Polyaeni strategematis restitui potest, nobis quindecim strategemata servavit, quae in Polyaeni codicibus perierunt: 5, 48. 6, 27, 1. 2. 36. 38, 1—9. 41, 1. 2; nam decimum sextum, quod p. 154 in nota dedi, ex Plut. Phocionis vita c. 23 adsutum esse recte statuit Woelfflinus.

---

26) Idem invenit K. K. Mueller, Melanges Graux, p. 729.
27) Eine griech. Schrift über Seekrieg, 1882, p. 22. 27.

Leonis imperatoris strategemata quod Polyaeni excerptis subiungere potui, debetur eximiae liberalitati Rud. Schoellii, qui mihi apographum codicis Florentini a. 1869 factum tradidit. Cod. Laurentian. LXXV, 6, (L), chartaceus, saec. XIV a diversis manibus scriptus continet Leonis opuscula fol. 72 sqq. ita, ut priorem partem (*συλλογὴ τακτικῶν Λέοντος δεσπότου Ῥωμαίων αὐτοκράτορος*) excipiat altera (*στρατηγικαὶ παραινέσεις ἐκ πράξεων καὶ στρατηγημάτων παλαιῶν ἀνδρῶν Ῥωμαίων τε καὶ Ἑλλήνων*) singulis capitibus continuis numeris indicatis. Ex hoc codice Laurentiano descripti sunt cod. Bernensis 97, chartaceus, saeculi XV vel XVI[28]) (cf. Arm. Koechly in progr. Turicensi 1854) et cod. Parisinus graec. 2446 (cf. Fr. Haase, narrat. p. 17).

Leonem imperatorem in strategematis conscribendis non ipsis Polyaeni libris usum esse sed opusculo illo, quod *ὑποθέσεις τῶν ἐκ τῶν στρατηγικῶν πράξεων* inscribitur, cum viri docti iam pridem intellexerunt[29]), tum ego certis argumentis probare posse mihi videor. Primum enim omnia quae Leo narravit strategemata paucis exceptis in excerptis ita occurrunt, ut iisdem capitibus eaedem narrationes contineantur ordine tantum a Leone paululum mutato: cf. Leonis capp. 4. 5. 9. 10. 11 cum excerptorum capp. 3. 4. 13. 8. 14; deinde quos errores epitomator Polyaeni commisit, Leo in opusculum suum immutatos transtulit: ex. gr. epitomator Polyaeni strat. 8, 34 Chilonidis Lacaenae cap. 52, 7 tam prave ac neglegenter narravit, ut Chilonidem traderet ab hostibus in vincula coniectum esse; cuius uxorem (sic), ut maritum liberaret, dolo hostes decepisse: eadem invenias apud Leonem cap. 20, 8, nisi quod pro *Χίλωνις* scripsit *Χίλων*. Polyaen. 8, 24, 3 legitur in exc. 53, 3 hoc additamento adiecto: *ἑστάναι καὶ θρηνεῖν δι' ὅλης ἡμέρας, ἐνίοτε δὲ καὶ γυναικῶν στολὴν ἐδίδου φορεῖν*; eadem

28) Ex hoc codice ultimum caput strategematum Leonis edidit C. Mueller, in Iahnii annal. suppl. IV, p. 557.

29) Cf. Woelfflin praef. p. XX.

habes apud Leonem cap. 25, 2: ἢ καὶ γυναικείας στολὰς αὐτοῖς περιβάλλων. In excerptorum cap. 44, 1 initio nescio quo pacto exciderunt verba ὅτι Ἰφικράτης, quae ego inserui; quid Leo? Cum ducis nomen ignoraret, de suo coniecit cap. 10, 2 fuisse ὁ τῶν Ἀθηναίων στρατηγὸς, Θεμιστοκλῆς οἶμαι (sic). Pluribus etiam locis epitomator Polyaeni nomina ducum consulto omiserat strategemata in angustum deducens, unde saepissime in excerptis haec formula occurrit: Ὅτι τις vel ἐάν τις vel ἡνίκα τις etc.; ne Leo quidem, quippe qui non ex integris Polyaeni libris hauriret, nomina potuit referre; itaque non cunctatus est alios fingere, ac duo quidem prae ceteris in deliciis habet, Μέροψ et Ὀνίας, quorum ille legitur cap. 20, 4; 20, 9; 20, 10; 24, 3, hic 13, 2; 21, 2; 24, 5; 26, 2. Quamobrem caveas, ne temere Leonis narrationibus confidas; quae enim ex. gr. cap. 1, 2 de Sulla tradidit, iam apud Aeneam Tact. 31, 10 sqq. sine nomine narrantur, item quae cap. 1, 5 de Harpago, apud eundem Aeneam 31, 4 sq. sine nomine leguntur. Pauca, quae in excerptis Polyaeni non inveniuntur Leonis strategemata, sunt haec: cap. 1 totum; 2, 1. 2; 19, 3; 20, 5; 20, 10; 24, 5. Utrum haec aliunde descripta ipse Polyaeni strategematis inseruerit, an una cum excerptis Polyaeni ex alio opusculo transtulerit, diiudicare nequeo, etsi illud probabilius mihi videtur.

---

Haec praefatus quas curas viri docti adhuc in Polyaenum contulerint, temporum ordine enumerabo.

Iusti Vulteii translatio latina prodiit Basiliae typis Ioannis Oporini anno 1549, quadraginta annis ante Casauboni editionem principem; sed etsi Vulteius codice usus est Darmarii libris longe praestante, non tamen diversus fuit ab iis, qui nobis praesto sunt. Itaque ubi Vulteii versio latina a cod. Florentini lectione discrepat, hoc ipsius Vulteii coniecturae vel emendationi tribuendum est.

Casauboni editio princeps emissa est Lugduni Batavorum 1589.

Pancratius Maasvicius Polyaeni strategemata edidit ibidem 1690.

Heringae observationum criticarum liber singularis, Leovardiae 1749, p. 120—130.

I. I. Reiskii observationes ad Polyaenum, conceptae bono cum deo d. 28. Nov. 1757 (bibl. univ. Hauniensis ms. n. 83), quas observationes Rud. Schoell Hauniae exscriptas mihi tradidit, ut in usum huius editionis converterem; sed eas tantum coniecturas Reiskii, quae certae et necessariae mihi videbantur, aut in textum recepi, aut in adnotatione critica laudavi: nam Polyaenum emendandi ratio Reiskiana hodie non iam probatur (cf. supra p. VIII).

Pierson ad Moerin, Lugd. Batav. 1759.

Koen ad Gregorium Corinthium, Lugd. Batav. 1766.

M. G. Fr. Kronbiegel, de dictionis Polyaeneae virtutibus et vitiis, Lips. 1770.

Seybold in adnotationibus ad versionem Polyaeni germanicam, Francof. ad Moen. 1793. 1794.

Adamantius Koraïs, qui editionem Parisinam anni 1809 (1810) *Παρέργων ἑλληνικῆς βιβλιοθήκης* vol. I curavit, sexcentos fere locos Polyaeni correxit, propemodum ducentos coniecturis temptavit, plures temere, sed multos quoque prospera fortuna, quippe quibus nunc accedat codicis F auctoritas. Huius libri censuram fecit

R. M. P. in 'Jenaische Litteraturzeitung' 1810. No. 185. 187. 188, quem Woelfflinus appellavit censorem Ienensem.

Guil. Arm. Blume, in Polyaenum observationes criticae, Sundiae 1824; inspiciendae quoque eiusdem adnotationes ad versionem germanicam Polyaeni, fasc. 1. 2. Stuttg. 1833 et 1837, quam ad finem perduxit

Carolus Fuchs, fasc. 3 et 4, Stuttg. 1855.

Theodorus Malina, de dictione Polyaenea. Berolini 1854.

Fr. Car. Hertlein, Beiträge zur Kritik des Polyaen. Wertheim a. M. 1854.

Ed. Woelfflin, in priore editione Teubneriana, Lips. 1860. Hanc editionem recensuerunt

Fr. Car. Hertlein in Iahnii annal. 1861, p. 243—259 et

C. Bu(rsian) in Litterar. Centralblatt 1861, p. 61 sq.

Fr. Car. Hertlein, Beiträge zur Kritik des Polyaen, Iahnii annal. 1867, p. 606—607.

Rud. Hercher, Hermes 9, p. 112 sq.

Quae praeterea singuli ad singula strategemata emendanda contulerunt, suis locis adnotabo. Ut enim cum Woelfflino Aug. Baumeister, C. Fr. Hermann, A. Patakis, H. Sauppe, F. G. Schneidewin, C. Sintenis, F. Car. Hertlein, C. Ludov. Roth emendationes vel coniecturas suas communicaverant, ita ego egregio auxilio usus sum Rud. Schoellii, professoris Monacensis, qui non contentus, quod apographum strategematum Leonis et Reiskii observationes mihi tradiderat, cum universam hanc editionem suo consilio adiuvit, tum improbum plagulas corrigendi laborem mecum partiri voluit. Itaque viro doctissimo et liberalissimo, de hac Polyaeni editione optime merito hoc loco gratias ago quam maximas.

Scribebam Monachii mense Octobri MDCCCLXXXVI.

**Dr. I. Melber.**

# INDEX NOTARVM.

S = cod. Paris. graec. Suppl. 607, continens Polyaen. 4, 3, 22 et 4, 6, 8.
H = ὑποθέσεις (excerpta Polyaeni), $H_F$ cod. ὑποθέσεων Florentinus; $H_P$ cod. ὑποθέσεων Parisinus.
F = cod. Florentinus (archetypus).
M = cod. Monacensis.
P = cod. Parisin. graec. 1686.
m, p = lectiones a manu secunda sive inter versum sive in margine codicum MP adscriptae.
$P_1$ = cod. Paris. graec. 1687.
$P_2$ = cod. Paris. graec. 1688.
C = cod. Cantabrigensis.
D = codices Darmariani.
L = cod. Laurentianus strategematum Leonis.
V = Iusti Vulteii versio latina.
vulg. = vulgata lectio ante Maasvicium.
Vind. = cod. Vindobonensis.
Cas. = Casaubonus.
Maasv. = Maasvicius.
R = Reiske.
K = Koraïs.
W = Woelfflinus.
J = Iahnii annal. suppl. XIV: Über die Quellen und den Wert der Strategemensammlung Polyaens. Ein Beitrag zur griech. Historiographie von J. Melber.
Uncis [ ] inclusa desunt in codicibus, ( ) inclusa exstant, sed delenda videntur.

## Addenda et corrigenda.

p. 22, in adnot. ad v. 8 leg. 5, 12, 1. 7, 45, 2 pro 192, 8; 278, 9.

p. 34 sub textu add.: Cap. 31. Cf. Ael. Arist. *ὑπ.· τ. τ.* p. 225; Panath. p. 228 et schol. ad hunc loc.; eandem rem quam Plut. apophth. reg. et imp. Aristid. 3 tradunt Suidas s. v. Aristid. et Schol. in Lucian. ed. Iac. IV, 235.

p. 184, adnot. ad v. 12 leg. *διαδίδωσι* F pro *διαδισωσι* F.

p. 303, 15 sic interpungendum: *ὅταν τὸ ἀνακλητικὸν, ἕξιτε.' ἄμφι δευτέραν φυλακὴν ἐσήμανε* etc.

p. 305 in adnot. 7 *νεῶν* [*ἔχων*] *θεασαμένοις φαντασίαν παρέσχεν ὡς ἀποπλέων, πρύμναν κρουσάμενος* proposuit J. A. Maehly, Iahnii annal. 1861, p. 259.

p. 314, 13 *τῆς* pro *της* corrig.

p. 491, 19 et 31 leg. *ἀμφιεσάμενος* et *ἀμφιεσαμένη* pro *ἀμφιασάμενος* et *ἀμφιασαμένη*.

# ΠΟΛΥΑΙΝΟΥ ΣΤΡΑΤΗΓΗΜΑΤΑ.

## Τάδε ἔνεστιν ἐν τῷ πρώτῳ τῶν

## Πολυαίνου στρατηγημάτων.


Διόνυσος . . . . . . . . γ
Πάν . . . . . . . . . . α
Ἡρακλῆς . . . . . . . . ε
Θησεὺς . . . . . . . . . α
Δημοφῶν . . . . . . . . α
Κρεσφόντης . . . . . . . α
Κύψελος . . . . . . . . α
Ἔλνης . . . . . . . . . α
Τήμενος . . . . . . . . α
Προκλῆς . . . . . . . . α
Ἀκούης . . . . . . . . . α
Θεσσαλὸς . . . . . . . . α
Μενέλαος . . . . . . . . α
Κλεομένης . . . . . . . α
Πολύδωρος . . . . . . . α
Λυκοῦργος . . . . . . . γ
Τυρταῖος . . . . . . . . α
Κόδρος . . . . . . . . . α
Μέλανθος. . . . . . . . α
Σόλων . . . . . . . . . β
Πεισίστρατος . . . . . . γ
Ἀριστογείτων . . . . . . α
Πολυκράτης . . . . . . . β
Ἱστιαῖος . . . . . . . . α
Πιττακὸς . . . . . . . . α
Βίας . . . . . . . . . . α
Γέλων . . . . . . . . . γ
Θήρων . . . . . . . . . β
Ἱέρων . . . . . . . . . β
Θεμιστοκλῆς . . . . . . . η
Ἀριστείδης . . . . . . . α
Λεωνίδας . . . . . . . . α
Λεωτυχίδης . . . . . . . α
Κίμων . . . . . . . . . β
Μυρωνίδης . . . . . . . β
Περικλῆς . . . . . . . . β
Κλέων . . . . . . . . . α
Βρασίδας . . . . . . . . ε
Νικίας . . . . . . . . . δ
Ἀλκιβιάδης . . . . . . . ϑ
Ἀρχίδαμος . . . . . . . ε
Γύλιππος . . . . . . . . β
Ἑρμοκράτης . . . . . . . β
Ἐτεόνικος. . . . . . . . α
Λύσανδρος . . . . . . . ε
Ἆγις . . . . . . . . . . α
Θράσυλλος . . . . . . . β
Κόνων . . . . . . . . . ε
Ξενοφῶν . . . . . . . . δ


---

Nomina Ἀκούης, Κλεομένης, Κόδρος om. F, Νικίας et Ἑρμοκράτης ab $F_1$ omissa add. $F_2$, Πολυκράτης, Πιττακός, Βίας, Θήρων, Ἱέρων in fine indicis leguntur ordine turbato, quem transpositionis notis adscriptis restituit m. rec. ‖ Post Κλέων F male inseruit Θεόδωρος α ‖ Λεωνίδης γ F ‖ Θρασύλαος $F_1$ ‖ Κώνων F ‖ Summam ρβʹ adponit F ex eis, quae $F_1$ in indice dederat computatam.

# ΠΟΛΥΑΙΝΟΥ ΣΤΡΑΤΗΓΙΚΑ.

## ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ.

*Τὴν μὲν κατὰ Περσῶν καὶ Παρθυαίων νίκην,* 1
*ἱερώτατοι βασιλεῖς Ἀντωνῖνε καὶ Οὐῆρε, παρὰ τῶν*
*θεῶν ἕξετε καὶ παρὰ τῆς ὑμετέρας ἀρετῆς καὶ παρὰ*
*τῆς Ῥωμαίων ἀνδρείας, μεθ' ὧν ἀεί, καὶ πάλαι καὶ*
*νῦν εἰώθατε νικᾶν τοὺς ὑπάρχοντας πολέμους καὶ*
*μάχας· ἐγὼ δὲ Μακεδὼν ἀνήρ, πάτριον ἔχων τὸ κρα-*
*τεῖν Περσῶν πολεμούντων δύνασθαι, οὐκ ἀσύμβολος*
*ὑμῖν ἐν τῷ παρόντι καιρῷ γενέσθαι βούλομαι. ἀλλ',* 2
*εἰ μὲν ἤκμαζέ μοι τὸ σῶμα καὶ στρατιώτης πρόθυμος*
*ἂν ἐγενόμην Μακεδονικῇ ῥώμῃ χρώμενος· ἐπεὶ δέ*
*μοι προήκουσαν τὴν ἡλικίαν ὁρᾶτε, οὐ μὴν οὐδὲ νῦν*
*ἀστράτευτος παντάπασιν ἀπολειφθήσομαι, ἀλλὰ τῆς*
*στρατηγικῆς ἐπιστήμης ἐφόδια ταυτὶ προσφέρω, ὅσα*
*τῶν πάλαι γέγονε στρατηγήματα, ὑμῖν τε αὐτοῖς πολ-*
*λὴν ἐμπειρίαν παλαιῶν ἔργων, τοῖς τε ὑπὸ ὑμῶν*

---

1 *Πολυαίνου στρατηγικά* F (Anon. de incred. 11, p. 323 Mythogr. Westerm. *φησὶ Πολύαινος ἐν τοῖς στρατηγικοῖς*); *Ὑποθέσεις τῶν ἐκ τῶν στρατηγικῶν πράξεων* (*Πολυαίνου* ante *στρατ.* inserit Hp rec. m. in marg.) H, *Π. στρατηγημάτων* vulg.; unus cod. Harl. 5637 Musei Britannici habet *στρατηγητικά*, unde W coniecit *στρατηγηματικά*; cf. Front. strat. praef. lib. I et IV ‖ 2 *βιβλίον πρῶτον* om. F ‖ 6 *ἀεὶ* F] *αἰεὶ* vulg. ‖ 11 *μου* M, quod probat W coll. 8, 6. 8, 8. 6, 1, 7.

πεμπομένοις πολεμάρχοις ἢ στρατηγοῖς ἢ μυριάρχοις ἢ χιλιάρχοις ἢ ἑξακοσιάρχοις ἢ ὅσαι ἄλλαι ὅπλων ἀρχαί, διδασκομένοις ἀρχαίων κατορθωμάτων ἀρετὰς
3 καὶ τέχνας. ἀνδρεία μὲν γάρ, ὅστις ἀλκῇ χρησάμενος πολεμίων μαχομένων ἐκράτησεν, εὐβουλία δέ, ἀμαχεὶ τέχνῃ καὶ δόλῳ περιγίγνεσθαι· ὡς ἔστι πρώτη δεινῶν στρατηγῶν σοφία κτᾶσθαι τὴν νίκην ἀκίνδυνον. ἄριστον δὲ καὶ τὸ ἐν αὐτῇ τῇ παρατάξει μηχανᾶσθαι, ὅπως ἂν ἡ γνώμη τὸ κρατεῖν ἐσπισπῷτο προλαβοῦσα
4 τὸ τέλος τῆς μάχης. δοκεῖ δ' ἔμοιγε ταῦτα συμβουλεύειν καὶ Ὅμηρος· ὅταν γὰρ πολλάκις ᾄδῃ

.... ἢ δόλῳ ἠὲ βίηφι,

ἄλλως οὐ παραγγέλλει ἢ τέχναις καὶ στρατηγήμασι χρήσασθαι κατὰ τῶν πολεμίων· εἰ δὲ μεῖον ἐν τούτοις ἔχοις, τηνικάδε τῇ βίᾳ τῶν σωμάτων ἀποκινδυνευτέον.

5 πρῶτος μὲν τοίνυν ἐν τοῖς Ἕλλησιν ἀπάτῃ καὶ δόλῳ χρήσασθαι λέγεται Σίσυφος ὁ Αἰόλου· μαρτυρεῖ καὶ Ὅμηρος·

ἔνθα δὲ Σίσυφος ἔσκεν, ὃ κέρδιστος γένετ' ἀνδρῶν.

6 δεύτερος δὲ τὸ ἀπατηλὸν ἐζήλωσεν Αὐτόλυκος ὁ Ἑρμοῦ κλέπτων· καὶ τοῦτο πάλιν αὖ μαρτυρεῖ Ὅμηρος·

Παρνησσόνδ' ἐλθόντα μετ' Αὐτόλυκόν τε καὶ υἷας,
μητρὸς ἑῆς πατέρ' ἐσθλόν, ὃς ἀνθρώπους ἐκέκαστο
κλεπτοσύνῃ θ' ὅρκῳ τε· θεὸς δέ οἱ αὐτὸς ἔδωκεν
Ἑρμείας....

---

2 ἄλλων F ‖ ὅπλων F ut lib. 5 praef.; ὁπλιτῶν vulg. ‖ 10 ἐμοίγε F; μοί γε vulg. ‖ 14 χρῆσθαι K ‖ 18 καὶ F] δὲ vulg.; δὲ καὶ R ‖ 19 ἐνθάδε F ‖ ὃς κέρδιστος F ‖ 20 ὁ om. F.

*ἐγὼ δὲ καὶ τὸν Πρωτέα τὸν μεταβαλλόμενον εἰς παντο-* 7
*δαπὰ ζῷα καὶ δένδρα ἡγοῦμαι ζῷα μὲν καὶ δένδρα
οὐκ ἄν ποτε γενέσθαι, τὰς μεταβολὰς δὲ αὐτοῦ τῶν
τεχνασμάτων ἐμυθοποίησεν Ὅμηρος ὡς δεινοῦ κρατεῖν
ἀπάτῃ ὧν ἂν βούλοιτο. τόν γε μὴν Ὀδυσσέα ἴσμεν* 8
*καὶ ἀλαζονευόμενον τῇ σοφίᾳ τοῦ δόλου·*

*εἴμ' Ὀδυσεὺς Λαερτιάδης, ὃς πᾶσι δόλοισιν
ἀνθρώποισι μέλω, καί μευ κλέος οὐρανὸν ἵκει.*

*οἱ δ' ἥρωες καὶ τὴν νίκην αὐτῷ ἀνῆψαν·*

*σῇ δ' ἥλω βουλῇ Πριάμου πόλις εὐρυάγυια.*

*καὶ ἀλλαχοῦ ἄλλοι πάλιν αὖ μαρτυροῦσιν ἁλῶναι τὸ Ἴλιον Ὀδυσσέως*

*βουλῇ καὶ μύθοισι καὶ ἠπεροπηΐδι τέχνῃ.*

*τά γε μὴν στρατηγήματα, οἷς κατὰ τῶν πολεμίων* 9
*ἐχρήσατο, πολλάκις ᾄδει Ὅμηρος·*

*αὐτόν μιν πληγῇσιν ἀεικελίῃσι δαμάσσας*

*αὐτομολῆσαι δὴ ὡς τοὺς πολεμίους ὑπεκρίνατο. καὶ τὸν ἵππον δὲ τὸν δουράτεον,*

*. . . τὸν Ἐπειὸς ἐποίησεν συν Ἀθήνῃ,*

*καὶ τοῦτο στρατήγημα Ὀδυσσέως ἦν. ὀρθῶς δ' ἄν τις* 10
*καλοῖ καὶ τὸν Οὖτιν καὶ τὸν οἶνον καὶ τὸν δαλὸν*

---

1 *τὸν* ante *Πρωτέα* F] om. vulg. ‖ 2 *ζῷα μὲν* F] *ζῷα μὲν πολλὰ* vulg. ‖ 4 *ὡς δεινὸν* F et W, qui confert 1, 45, 4. 5, 2, 11. 5, 44, 3. 7, 16; *ὡς δεινοῦ* K (cf. Hertlein, Iahnii annal. 1861, p. 250) ‖ 7 *Ὀδυσσεὺς* F ‖ 13 *μύθοις* F; *μύθοισι* Strabo 1, p. 17 et 13, p. 601, Stobaeus 54, 48; formula *βούλῃ καὶ μύθοισι* ap. Hom. Il. 4, 323. Locos Homeri a Polyaeno laudatos vide in indice s. v. Homerus ‖ 16 *δαμάσας* F ‖ 19 *ἐποίησεν* Hom. Od. 8, 493 et M; *ποίησεν* F.

*καὶ τὸν κριον στρατηγήματα κατὰ τοῦ Κύκλωπος. καὶ ὁ κηρὸς δὲ τοῖς ὠσὶ τῶν ἑταίρων ἐναλειφόμενος καὶ αὐτὸς ὀρθὸς ἐν ἱστοπέδῃ δεσμευόμενος καὶ ταῦτα*
11 *ἐκεῖνος ἐστρατήγει κατὰ τῆς ὀλεθρίου μουσικῆς. τί δ' ἂν φαίης τὴν πήραν τοῦ πτωχοῦ; καὶ ὅσα πρὸς Εὔμαιον ἢ πρὸς τὴν Πηνελόπην ἐπλάττετο;*

*ἴσκε ψεύδεα πολλὰ λέγων ἐτύμοισιν ὁμοῖα.*

*καὶ μέντοι καὶ Ἴρῳ παλαῖσαι καὶ ἐκ τοῦ καπνοῦ μεταθεῖναι τὰ ὅπλα τῶν μειρακίων μεθυόντων, ἀπό τε τῶν θυρῶν τὸ τόξον ἐντεῖναι, ἆρ' οὐχὶ πάντα ταῦτα*
12 *ἦν κατὰ πολεμίων στρατηγήματα; ἀλλὰ ταῦτα μὲν ἢ ὅσα τοιαῦτα διδάσκων Ὅμηρος ἀρκείτω.* οἷον *δὲ κἀκεῖνο στρατήγημα Ὀδυσσέως οἱ τραγῳδοὶ ᾄδουσι. Παλαμήδην ἐνίκησεν Ὀδυσσεὺς ἐν δικαστηρίῳ τῶν Ἀχαιῶν ὑποβαλὼν αὐτοῦ τῇ σκηνῇ βαρβαρικὸν χρυσίον, καὶ ὁ σοφώτατος τῶν Ἑλλήνων ἐκεῖνος ἥλω προ-*
13 *δοσίας δόλῳ καὶ στρατηγήματι. ἀλλὰ τὰ μὲν τῶν τραγῳδῶν ἱκανὴ διδάσκειν ἡ σκηνή· ὅσα δὲ τὰ ἀπὸ τῆς ἱστορίας ἔργα στρατηγίας ἔχοντα κατὰ πολεμίων ἢ κατὰ ἐχθρῶν συνεξελεξάμην, καὶ δὴ τούτων μεμνήσομαι σύντομον τὴν παρ' ἑκάστῳ μνήμην ποιούμενος. (ἔστι δὲ ἡ πᾶσα σύνταξις βιβλία ὀκτώ, στρατηγημάτων ἐνvακοσίων, ἔχοντα τὴν ἀρχὴν ἀπὸ Διονύσου.)*

---

15 *τῇ σκηνῇ* M marg. pr. m. et D] *τὴν σκηνὴν* F || 18 *δὲ τὰ* F] *δέ τοι* R; *τὰ* del. K || 21 *παρ' ἑκάστῳ* F] *παρ' ἑκάστων* D; *περὶ ἑκάστου* K; *περὶ ἑκάστων* R || 22 *ἔστι . . . Διονύσου* Fr. Haase, Misc. philol. V, 4 utpote glossema delevit || 23 *Διονύσσου* F (et sic saepius).

## 1. ΔΙΟΝΥΣΟΣ.

1 *Διόνυσος ἐπ' Ἰνδοὺς ἐλαύνων, ἵνα δέχοιντο αἱ πόλεις αὐτὸν, ὅπλοις μὲν φανεροῖς τὴν στρατιὰν οὐχ' ὥπλισεν, ἐσθῆσι δὲ λεπταῖς καὶ νεβρίσι· δόρατα ἦν κισσῷ πεπυκασμένα· ὁ θύρσος εἶχεν αἰχμήν· κυμβάλοις καὶ τυμπάνοις ἐσήμαινεν ἀντὶ σάλπιγγος καὶ οἴνου τοὺς πολεμίους γεύων εἰς ὄρχησιν ἔτρεπεν καὶ ὅσα ἄλλα Βακχικὰ ὄργια. πάντα δὲ ἦν Διονύσου στρατηγήματα, οἷς Ἰνδοὺς καὶ τὴν ἄλλην Ἀσίαν ἐχειρώσατο.*

2 *Διόνυσος ἐν Ἰνδικῇ τῆς στρατιᾶς οὐ φερούσης τὸ φλογῶδες τοῦ ἀέρος κατελάβετο τρικόρυφον ὄρος τῆς Ἰνδικῆς. τῶν κορυφῶν κληΐζεται δὲ ἡ μὲν Κορασιβίη, ἡ δὲ Κονδάσβη, τὴν δὲ τρίτην αὐτὸς ἐκάλεσε Μηρὸν, τῆς αὐτοῦ γενέσεως ὑπόμνημα. ἐνταῦθα πηγαὶ πολλαὶ, ἴδαι πυκναὶ, θῆραι περισσαὶ, ὀπῶραι ἄφθονοι, χιόνες ἀναψύχουσαι. ἐν τούτοις ἡ στρατιὰ διαιτωμένη τοῖς ἐν τῷ πεδίῳ βαρβάροις ἐξαίφνης ἐπεφαίνετο καὶ ἀπὸ τῶν ὑψηλῶν καὶ ὑπερδεξίων ἀκοντίζοντες τοὺς πολεμίους ῥᾳδίως ἐτρέποντο.*

3 *Διόνυσος Ἰνδοὺς ἑλὼν αὐτούς τε Ἰνδοὺς καὶ Ἀμαζόνας ἄγων συμμάχους εἰς τὴν Βακτρίων ἐνέβαλεν· ὁρίζει δὲ τὴν Βακτρίαν ποταμὸς Σαράγγης.*

---

Cap. 1. § 1. 2. Ex Megasthenis Indicis hausta esse censuerat W (praef. p. XIII et not. 20), sed cf. J. p. 423.

---

3 *στρατείαν* F et sic fere semper ‖ 6 *τυμπάνοις* MV; *τυμπάνοις οἷς* F ‖ 7 *ἐσόρχησιν* F ‖ *ὅσα* W coll. 2, 3, 5. 4, 6, 13. 4, 20 (19). 6, 3; *ὅσα δὲ* F ‖ 8 *δὲ* del. K; *δὴ* Hertlein ‖ 14 *τῆς δὲ αὐτοῦ γ. ὑπομνήματα* F; tacitus corr. K ‖ 15 *ἴδαι* Mendelssohn; *ὗλαι* vel tale quid W; iam R proposuit *ἴδαι* aut *ὗλαι* aut *ὑλεῖαι*; *ἠδεῖαι* F ‖ 21 *ξυμμάχους* F.

*Βάκτριοι τὰ ὄρη κατέλαβον τὰ ὑπὲρ τὸν ποταμὸν ὡς Διονύσῳ διαβαίνοντι ἄνωθεν ἐπιθησόμενοι. ὁ δὲ στρατοπεδεύσας παρὰ τὸν ποταμὸν τὰς Ἀμαζόνας καὶ τὰς Βάκχας διαβαίνειν ἔταξεν, ἵνα οἱ Βάκτριοι καταφρονήσαντες γυναικῶν κατέλθοιεν ἀπὸ τῶν ὀρῶν. αἱ μὲν δὴ διέβαινον, οἱ δὲ κατέβαινον καὶ τῷ ῥεύματι ἐμβαίνοντες ἀνακόπτειν αὐτὰς ἐπειρῶντο. αἱ δὲ ἀνεχώρουν ἐπὶ πόδα. Βάκτριοι μέχρι τῆς ὄχθης ἐδίωκον. τότε Διόνυσος μετὰ τῶν ἀνδρῶν ἐκβοηθήσας πεπεδημένους τῷ ῥεύματι τοὺς Βακτρίους κτείνας διέβη τὸν ποταμὸν ἀκινδύνως.*

## 2. ΠΑΝ.

*Διονύσου στρατηγὸς ἦν Πάν· οὗτος πρῶτος τάξιν* e. 12, 1
*εὗρεν, φάλαγγα ὠνόμασε, κέρας ἔταξε δεξιὸν καὶ λαιόν. ταύτῃ τοι ἄρα κερασφόρον τὸν Πᾶνα δημιουργοῦσιν· ἀλλὰ δὴ καὶ πρῶτος οὗτος πολεμίοις φόβον ἐνέβαλε σοφίᾳ καὶ τέχνῃ. ἦν * * Διονύσῳ ἐν κοίλῃ νάπῃ· ἤγγειλαν οἱ σκοποὶ μυρίαν χεῖρα πολεμίων ἐπέκεινα στρατοπεδεύειν· ἔδεισε Διόνυσος, οὐ μὴν ὅ γε Πάν, ἀλλὰ ἐσήμηνε νύκτωρ [τῇ] Διονυσιακῇ στρατιᾷ ἀλαλάξαι μέγιστον. οἱ μὲν ἠλάλαξαν,*

---

Cap. 2. Idem narrat Anonym. de Incredibilibus 11, pg. 323 Mythogr. Westerm.

---

5 *γυναικῶν* F] *τῶν γυναικῶν* vel *ὡς γ.* K ‖ 7 *ἐμβαίνοντες* W coll. 8, 23, 5; *ἐπιβαίνοντες* F; *appropinquantes* V, cf. ad 5, 2, 12 ‖ 13 *Πάν* F] *ὁ Πάν* vulg. ‖ 14 *φάλαγγα ὠνόμασεν* F] *ὠνόμασε φ.* vulg. ‖ 17 *ἦν . . . Διονύσῳ* dedi (in lacuna suppleas *στρατόπεδον* vel tale quid); *ἦν Δ.* FK; *ὄντι Δ.* R; *ἦν Διόνυσος* Cas. ‖ 19 *ἔδεισε* F] *ἔδεισεν ὁ* vulg. ‖ 20 *ἐσήμηνε* F] *ἐσήμαινε* vulg. et Anon. de incred. 11; *ἐσήμανε* K. Usitatior est apud Polyaenum aoristi forma *ἐσήμηνα*, rarior altera, sed codice H confirmata; 4, 2, 5, quem l. confert W, *σημήνας* praebet F ‖ *τῇ* add. Anon. K.

ἀντήχησαν δὲ αἱ πέτραι καὶ τὸ κοῖλον τῆς νάπης ἦχον πολλῷ μείζονος δυνάμεως τοῖς πολεμίοις ἐνεποίησεν. οἱ μὲν δὴ φόβῳ πληγέντες ἔφευγον. τοῦ δὲ Πανὸς τὸ στρατήγημα τιμῶντες τὴν Ἠχὼ τῷ Πανὶ φίλην ᾄδομεν καὶ τοὺς κενοὺς καὶ τοὺς νυκτερινοὺς τῶν στρατευμάτων φόβους Πανικὰ κληΐζομεν.

### 3. ΗΡΑΚΛΗΣ.

Ἡρακλῆς ἐξελεῖν βουλόμενος τοῦ Πηλίου τὸ 1
Κενταύρων γένος, οὐ μὴν αὐτὸς ἄρξαι μάχης, ἀλλ' ἐκείνους ἐκκαλέσασθαι κατήγετο παρὰ Φόλῳ· οἶνου δὲ ἀνθοσμίου πίθον ἀνοίξας αὐτός τε καὶ ὅσοι ἀμφ' αὐτὸν ἠρύσαντο. ᾔσθοντο οἱ γείτονες Κένταυροι καὶ συνδραμόντες ἐπὶ τὸ ἄντρον τοῦ Φόλου τὸν οἶνον ἥρπαζον· Ἡρακλῆς ὡς ἄδικα δρῶντας ἀμυνόμενος τοὺς ἐπελθόντας ἔκτεινε Κενταύρους.

Ἡρακλῆς τὴν ἀλκὴν τοῦ Ἐρυμανθίου συὸς φοβη- 2
θεὶς δόλῳ τὸν θῆρα εἷλεν. ὁ μὲν ὑπὸ τῇ φάραγγι εὐνάζετο· μεστὴ δὲ χιόνος πολλῆς ἡ φάραγξ ἦν. ὁ δὲ λίθους πολλοὺς ἄνωθεν ἐπέβαλεν, ὥστε ἀγριανθεὶς ὁ σῦς ἐξάλλεται καὶ θυμῷ φερόμενος τῇ χιόνι ἐμπεσὼν καταδυόμενος περιπταίων ἁλίσκεται.

---

Cap. 3. § 1. Cf. Diod. 4, 12, 3.

---

2 ἦχον] δόξαν Hertlein coll. 1, 5. 1, 21, 1. 2, 3, 7. 2, 4, 1. 8, 23, 7. 8, 23, 12, quae tamen omnia ad oculorum ludibrium pertinent; de forma ἦχος cf. 3, 9, 5. 42. 5, 23 ‖ 5 καινοὺς F ‖ 6 Πανικὰ Casaub. W, quod probavit Hertlein (Iahnii annal. 1861, p. 248), cf. indicem hist. s. v. et Cic. ad Att. 5, 20; Πανὶ F; Πανικοὺς Anon. VK ‖ 9 ἀλλ' ἐκείνους, ἐκκαλεσόμενος R ‖ 19 ἐπέβαλεν scripsi cum Herchero (qui ἐπέβαλλεν); ἐνέβαλεν F; ἐνέβαλλεν M; ἔβαλλεν K.

3 Ἡρακλῆς πλεύσας ἐπὶ Τροίαν αὐτὸς μὲν ἀπέβη πεζομαχήσων, τοῖς δὲ κυβερνήταις προσέταξε τὰς ναῦς ἀνακωχεύειν. οἱ μὲν οὖν πεζοὶ Τρῶες ἡττῶντο, οἱ δὲ ἱππεῖς ἐπὶ τὰς ναῦς ἔδραμον· οὐ μὴν αἱροῦσι τὰ σκάφη σαλεύοντα ἄνω θαλάσσης. Ἡρακλῆς διώξας ἔκτεινε πάντας παρὰ τὴν ἠϊόνα φεύγειν οὐκ ἔχοντας διὰ θαλάττης. e. 58,

4 Ἡρακλῆς ἐν Ἰνδικῇ θυγατέρα ἐποιήσατο, ἣν ἐκάλεσε Πανδαίην. ταύτῃ νείμας μοῖραν τῆς Ἰνδικῆς πρὸς μεσημβρίαν καθήκουσαν εἰς θάλασσαν διένειμε τοὺς ἀρχομένους εἰς κώμας τξε΄ προστάξας καθ' ἑκάστην ἡμέραν μίαν κώμην ἀποφέρειν τὸν βασίλειον φόρον, ἵνα τοὺς ἤδη δόντας ἔχοι συμμάχους ἡ βασιλεύουσα κατανοοῦσα ἀεὶ τοὺς δοῦναι ὀφείλοντας.

5 Ἡρακλῆς Μινύαις πολεμῶν, ἦσαν δὲ ἱππομαχεῖν ἐν πεδίῳ Μινύαι δεινοί, μάχην συνάψαι μὴ θαρρῶν ποταμὸν ἐπαφῆκεν. ἦν δὲ ὁ ποταμὸς Κηφισὸς ὁρίζων ὄρη δύο, Παρνασσὸν καὶ Ἡδύλιον. τεμὼν δὲ τὴν Βοιωτίαν μέσην, πρὶν ἐκβάλλειν εἰς θάλασσαν, ἐμπίπτων μεγάλῳ χάσματι ἀφανὴς γίγνεται. τοῦτο δὲ τὸ χάσμα Ἡρακλῆς πέτροις μεγάλοις περι- e. 37,

Cap. 3. §. 4. Ex Megasthenis Indicis hausta esse censuerat W (praef. p. XIII et not. 20), sed cf. J. p. 423.

1 *Τροίαν* F] *Προῦσαν* H: cf. Diod. 4, 32, 3, Apollod. 2, 5, 9 ‖ 4 *εἰς τὰς ναῦς* H ‖ 6 *πρὸς τὴν ἠϊόνα* H ‖ 7 *ἐπὶ θαλάττης* H ‖ 9 *Πανδάμην* F; corr. vulg. ‖ 11 *τξε΄*] *trecentos vicos* auctore Megasthene Plin. n. h. 7, 2, 29 coll. 6, 20, 76 ‖ 12 *ἀποφέρειν* Hertlein; *ἀναφέρειν* F ‖ 13 *ἤδη δόντας* Cas.; *μὴ διδόντας* F; *μὴ δόντας* D; *ἤδη δεδωκότας πρὸς* (vel *ἐπὶ*) *τοὺς μὴ διδόντας* R; *διδόντας* K ‖ 14 *κατανοοῦσα* F] *καταναγκάζουσα* Cas.; *καταπονοῦσα* Iac. Gronov.; *καταπολεμοῦσα* Schneidewin; *καταπτοοῦσα* Hertlein ‖ 16 *μινύαι* F] *οἱ Μινύαι* vulg. ‖ 17 *Κηφισὸς* F] *Κηφισσὸς* vulg. ‖ 18 *τεμὼν* F] *τέμνων* vulg. ‖ 20 *γίγνεται* F] *γίνεται* vulg. ‖ 21 *ὁ Ἡρακλῆς* vulg.

τειχίσας ἀποστρέφει τὸν ποταμὸν εἰς τὸ πεδίον, ἔνθα Μινύαι καθιππάζοντο, καὶ δὴ τοῦ πεδίου λιμνάσαντος τοῖς Μινύαις τὸ ἱππικὸν ἀχρεῖον ἦν. Ἡρακλῆς κρατήσας ἀποτειχίζει τὸ χάσμα καὶ ὁ Κηφισσὸς ἐπὶ τὴν ἀρχαίαν ἐπανέρχεται ὁδόν.

4. ΘΗΣΕΥΣ.

Θησεὺς ἐν ταῖς μάχαις τὰ πρόσθεν τῆς κεφαλῆς ἀπεκείρατο, τῶν τριχῶν τὴν ἀντίληψιν ἀφαιρούμενος. μετὰ Θησέα ὅσοι Ἕλληνες οὕτως ἐκείροντο, ἡ κουρὰ Θησηῒς ἐκληΐζετο. ζηλοῦσι τὴν κουρὰν μάλιστα δὴ Ἑλλήνων Ἄβαντες. μαρτυρεῖ Ὅμηρος ᾄδων

Ἄβαντες ..... ὄπιθεν κομόωντες.

5. ΔΗΜΟΦΩΝ.

Δημοφῶν παρὰ Διομήδους τὸ Παλλάδιον παρακαταθήκην λαβὼν ἐφύλαττεν. Ἀγαμέμνονος ἀπαιτοῦντος τὸ μὲν ἀληθινὸν ἔδωκεν ἀνδρὶ Ἀθηναίῳ, καλουμένῳ Βουζύγῃ, κομίζειν Ἀθήναζε· ἴσον δὲ καὶ ὅμοιον ἄλλο κατασκευάσας εἶχεν ἐπὶ τῆς σκηνῆς. Ἀγαμέμνονος δὲ σὺν πολλῇ χειρὶ ἐπελθόντος ἀπεμάχετο ἐπὶ μακρὸν δόξαν ἐμποιῶν ὡς ὑπὲρ τοῦ ἀληθινοῦ προκινδυνεύοι. πολλῶν δὲ τραυματιῶν γενομένων οἱ μὲν ἀμφὶ Δημοφῶντα ὑπεῖξαν, Ἀγαμέμνων δὲ τὸ παραπεποιημένον Παλλάδιον λαβὼν ἐξαπατηθεὶς ᾤχετο.

---

Cap. 4. Cf. Plutarchi vita Thes. 5. et J. p. 424.

---

3 τὸ ἱππικὸν ἀχρεῖον ἦν F] ἦν ἀχρεῖον (vel ἀχρεῖον ἦν) τὸ ἱππικὸν vulg. || 4 Κηφισσὸς vulg. || 8 ἀπεκείρατο F et Plutarch.; ἀπεκείρετο K et V *abradere solebat* || 9 comma post ἐκείροντο posuit, ut subaudiatur παρὰ τούτοις R || κούρα F] κουρὰ δὲ M vulg. || 10 ζηλοῦσι δὲ R || 11 Ὅμηρος ἄδον F] ᾄδων Ὅμηρος vulg. || 12 ὄπιθεν Hom. Il. 2, 542; ὄπισθεν F.

## 6. ΚΡΕΣΦΟΝΤΗΣ.

*Κρεσφόντης καὶ Τήμενος καὶ οἱ Ἀριστοδήμου παῖδες τὴν Πελοπόννησον ἐνέμοντο. ἔδοξε τριχῇ νεῖμαι τὴν χώραν, Σπάρτην, Ἄργος, Μεσήνην. Κρεσφόντης βουλόμενος τῆς Μεσήνης ὡς ἀρίστης κρατῆσαι γνώμην ἀγορεύει· ‘λαχὼν ὁ πρῶτος καὶ ὁ δεύτερος ἑλέσθω Σπάρτην ἢ Ἄργος, Μεσήνη δ' ἔστω τοῦ τρίτου.’ ἐπείσθησαν καὶ τοὺς κλήρους καθῆκαν, οἱ μὲν ἐκ λίθου λευκῆς ἐς κάλπιν ὕδωρ ἔχουσαν, Κρεσφόντης δὲ βώλου λευκῆς ὁμοίας λίθῳ. ἡ μὲν δὴ βῶλος αὐτίκα ἐτέτηκτο· οἱ δὲ τῆς λίθου κλῆροι προελθόντες ἔδωκαν Ἄργος Τημένῳ, Σπάρτην τοῖς Ἀριστοδήμου παισίν. Κρεσφόντης Μεσήνην τέχνῃ λαβὼν τύχῃ λαβεῖν ἔδοξεν.*

## 7. ΚΥΨΕΛΟΣ.

*Κύψελος Ἀρκαδίας ἦρχεν. Ἡρακλεῖδαι στρατεύουσιν ἐπ' Ἀρκάδας. χρησμὸς ἦν, ξένια παρ' Ἀρκάδων εἰ λάβοιεν, σπένδεσθαι. Κύψελος ὥρᾳ θέρους προσέταξε τοῖς γεωργοῖς τὴν ὀπώραν ἀφελόντας θέντας παρὰ τὴν ὁδὸν ἀναχωρεῖν· οἱ στρατιῶται τῶν Ἡρακλειδῶν ἄσμενοι ταῖς ὀπώραις ἐχρήσαντο. Κύψελος ἀπαντήσας ἐπὶ ξένια τοὺς Ἡρακλείδας ἐκάλει· τῶν δὲ μνήμῃ τοῦ μαντείου τὴν τιμὴν ἀπωθουμένων, ‘καὶ μὴν’, ἔφη, ‘φθάνουσα ὑμῶν ἡ στρατιὰ ξένια παρ'*

---

Cap. 6. Ex Ephoro coll. fr. 16; cf. Apollod. 2, 8, 4.

---

3 *Πελοπόνησον* F ‖ 5 *Μεσσήνης* F ‖ 11 *ἐτέτηκτο* F] *ἐτήκετο* vulg. ‖ 15 *Ἡρακλείδαις* K, cf. 4, 1. 7, 42 ‖ 16 *ξενίαν* F; corr. V, cf. infra v. 23 ‖ 18 *θέντας* K; *τιθέντας* F ‖ 21 *ξενία* F.

ἡμῶν τὴν ὀπώραν ἔχει'. οὕτως ἄρα Ἡρακλεῖδαι τῇ σοφίᾳ τοῦ Κυψέλου πρὸς Ἀρκάδας ἐσπείσαντο.

## 8. ΕΛΝΗΣ.

Ἔλνης, βασιλεὺς Ἀρκάδων, Τεγέαν πορθούντων Λακεδαιμονίων, ὅσοι μὲν ἐν ἀκμῇ, κατὰ κορυφῆς ἔπεμψε τῶν πολεμίων νυκτὶ μέσῃ κελεύσας ἐπιθέσθαι· ὅσοι δὲ γέροντες καὶ παῖδες, τούτους ἐκέλευσε πρὸ τῆς πόλεως τὴν ἴσην ὥραν φυλάξαντας πῦρ ἀνακαῦσαι μέγιστον. οἱ πολέμιοι πρὸς τὴν τοῦ πυρὸς ὄψιν ἐκπλαγέντες ἐς τοῦτο ἀπεσκόπουν· οἱ δὲ κατὰ κορυφῆς ἐμπεσόντες τοὺς πλείστους αὐτῶν διέφθειραν, πολλοὺς δὲ ζωγρήσαντες ἔδησαν. καὶ τὸ λόγιον ἐτελεύτησε

δώσω τοι Τεγέην ποσσίκροτον ὀρχήσασθαι.

## 9. ΤΗΜΕΝΟΣ.

Τήμενος μετὰ τῶν ἄλλων Ἡρακλειδῶν εἰς τὸ Ῥίον περαιοῦσθαι βουλόμενος ἔπεμψε Λοκροὺς αὐτομόλους Πελοποννησίοις ἀγγέλλοντας, ὅτι ναυλοχοῦσιν ἐν Ναυπάκτῳ τοῦ δοκεῖν ἐπὶ τὸ Ῥίον πλευσούμενοι, ὁρμὴ δέ ἐστιν αὐτοῖς χωρεῖν ἐπὶ τὸν Ἰσθμόν. πιστεύσαντες οἱ Πελοποννήσιοι μετῆλθον ἐπὶ τὸν Ἰσθμόν. οἱ δ' ἀμφὶ Τήμενον μεθ' ἡσυχίας τὸ Ῥίον κατέσχον.

---

1 ἔχει M; ἔχειν F; ἔσχεν vulg. ‖ ἄρα] ἀπατηθέντες R ‖ 3. 4 Ελνης F] Ἕλνης V C; Ἄλνης vulg.; Ἄλεος coni. Maasv. coll. Paus. 8, 4, 8; Ἀλήτης Odofr. Müller; Αἰγινήτης Unger coll. Paus. 8, 5, 5, cf. J. p. 425 ‖ 11 ἐκπεσόντες F ‖ 15 Ῥεῖον F et sic infra ‖ 17 ἀγγέλοντας F; ἀγγελοῦντας K. At amat Pol. praesens pro futuro ut 1, 15. 1, 30, 4. 1, 43, 1. 2, 2, 4. 2, 13. 4, 2, 21. 5, 33, 4. 7, 14, 4. 7, 41. 8, 41 ‖ ναυλοχοῦσι μὲν ἐν R ‖ 18 τοῦ δοκεῖν R Hertlein; τῷ δοκεῖν K; τὸ δοκεῖν F ‖ 20 οἱ οὖν ἀμφὶ R.

## 10. ΠΡΟΚΛΗΣ.

*Προκλῆς καὶ Τήμενος Ἡρακλεῖδαι Εὐρυσθείδαις* c. 18, 1 *κατέχουσι τὴν Σπάρτην ἐπολέμουν. Ἡρακλεῖδαι μὲν δὴ ἔθυον τῇ Ἀθηνᾷ τῶν ὁρίων ὑπερβατήρια, Εὐρυσθεῖδαι δὲ ἄφνω προσέπιπτον ἐς μάχην· οὐ μὴν ἡρέθησαν Ἡρακλεῖδαι, ἀλλὰ τοὺς αὐλητὰς, ὡς εἶχον, ἡγεῖσθαι κελεύουσιν. οἱ μὲν τοῖς αὐλοῖς ἐμπνέοντες ἡγοῦντο, οἱ δὲ ὁπλῖται πρὸς τὸ μέλος καὶ τὸν ῥυθμὸν ἐμβαίνοντες ἄρρηκτοι τὴν τάξιν ἐγένοντο καὶ τοὺς πολεμίους ἐνίκησαν. ἡ πεῖρα ἐδίδαξε τοὺς Λάκωνας τὸν αὐλὸν ἔχειν ἀεὶ στρατηγὸν ἐν ταῖς μάχαις. αὐλὸς ἡγεῖται Λακώνων ἐς πόλεμον ἰόντων καὶ τὸ ἐμβατήριον αὐλὸς ἐνδίδωσι τοῖς μαχομένοις. οἶδα ἐγὼ καὶ τὸν θεὸν ἀνελόντα νίκην Λάκωσιν, ἔστ' ἂν πολεμῶσι μετὰ αὐλητῶν καὶ μὴ πρὸς αὐλητάς. τὸ λόγιον ἤλεγξεν ἐν Λεύκτροις ἡ μάχη. ἐν γὰρ δὴ Λεύκτροις αὐλητῶν οὐχ ἡγουμένων οἱ Λάκωνες παρετάξαντο πρὸς Θηβαίους, οἷς πάτριον ἀσκεῖν αὐλητικὴν, ὥστε δῆλος ἦν ὁ θεὸς προαγορεύσας, ὅτι νικήσουσί ποτε Θηβαῖοι Λάκωνας αὐλῷ μὴ στρατηγουμένους.*

---

Cap. 10. De his disseruerunt Manso, Sparta I, 2, p. 169; Wachsmuth, Iahnii annal. 1868 p. 1 sqq.; Schoemann, Griech. Altertümer I[3], p. 576.

---

2 *Εὐρυσθείδαις*] *Ὀρεστίδαις* Manso, cf. J. p. 425 sq. ‖ 4 *ὁρίων* Pierson p. 223; *ὀρείων* F; *ὀρέων* Cobet; aut *ὅρων* aut *μεθορίων* R ‖ 5 *ἠρέθησαν*, 'oppressi, victi sunt' Hertlein, quod confirmat F: *ἠρέθισαν* (*ι* pro *η*, *ει* in F saepissime occurrit); *ἠρέθησαν* etiam Neapolitani duo; *ἠρέθεσαν* M; *ἤρισαν* D; *ἔδεισαν* K ‖ 14 *ἔστ' ἂν* Cas.; *εὖτ' ἂν* F.

## 11. ΑΚΟΥΗΣ.

Ἀκούης Λακεδαιμονίων Τεγέαν προδοσίᾳ νύκτωρ καταλαβομένων τοῖς ἰδίοις ὁπλίταις ἔδωκε σύνθημα κτείνειν τοὺς τὸ σύνθημα ἐρωτῶντας. οἱ μὲν δὴ Ἀρκάδες οὐκ ἐπηρώτων· οἱ δὲ Σπαρτιᾶται ὡς ἐν νυκτὶ ἀγνοοῦντες καὶ διὰ τοῦτο ἐρωτῶντες ὑπὸ τῶν Ἀρκάδων ἀνῃροῦντο.

## 12. ΘΕΣΣΑΛΟΣ.

2, 2 Θεσσαλὸς Βοιωτῶν τῶν Ἄρνην οἰκούντων Θεσσαλοῖς πολεμούντων τέχνῃ ἐκράτησεν ἄνευ μάχης. νύκτα παραφυλάξας ἀσέληνον καὶ σκοτεινὴν ἐκέλευσε τοὺς στρατιώτας διασπαρέντας ἀνὰ τὸ πεδίον ἄλλον ἀλλαχοῦ κατὰ κορυφὰς τῶν ὀρῶν δᾷδας καὶ λυχνούχους ἀνάπτειν καὶ μετεωρίζειν καὶ πάλιν αὖ καθαιρεῖν. οἱ Βοιωτοὶ τὴν ὄψιν τοῦ πυρὸς ὥσπερ ἀστραπὰς κυκλουμένας ἰδόντες ἐδεδίξαντο καὶ πρὸς ἱκεσίαν τῶν Θεσσαλῶν ἐτράποντο.

## 13. ΜΕΝΕΛΑΟΣ.

Μενέλαος ἐπανιὼν ἀπ' Αἰγύπτου τὴν Ἑλένην ἄγων Ῥόδῳ προσέσχε. Τληπολέμου δὲ ἐν Τροίᾳ τε-

---

Cap. 11. Cf. G. Fr. Unger, Philol. 26, p. 369 sqq.
Cap. 12. Ex Ephoro coll. 7, 43.

---

1 Ἀκούης idem nomen et pariter corruptum esse atque Ἄλνης cap. 8 statuit R ‖ 2 post Λακεδαιμονίων Unger inserit κατεχόντων ‖ 3 καταλαβομένων M; καταβαλομένων F; καταλαβόμενος Unger ‖ 7 Ἀργείων Unger ‖ 9 τῶν om. H ‖ 13 κατὰ τὰς κορυφὰς K ‖ ὀρῶν K ut 1, 1, 3. 2, 2, 6. 4, 3, 27. 8, 10, 2; ὀρέων F ‖ λύχνους H ‖ 14 αὖ om. H ‖ καθαίρειν F; καθελεῖν H ‖ 16 καὶ om. F pr. m. ‖ 20 δὲ [τοῦ] ἐν Hertlein.

θνηκότος γυνὴ Πολυξὼ πενθοῦσα, ἐπειδή τις ἤγγειλε Μενέλεων μετὰ τῆς Ἑλένης ἥκειν, τιμωρῆσαι τῷ ἀνδρὶ βουλομένη μετὰ Ῥοδίων ἁπάντων ἀνδρῶν καὶ γυναικῶν αἱρομένων πῦρ καὶ λίθους ἐπὶ τὰς ναῦς κατέδραμε. Μενέλεως ὑπὸ τοῦ πνεύματος ἀναχθῆναι κωλυόμενος τὴν μὲν Ἑλένην ἐς κοίλην ναῦν κατέκρυψε, τὸν δὲ κόσμον αὐτῆς καὶ τὸ διάδημα θεραπαίνῃ τῇ μάλιστα καλλίστῃ περιέθηκεν. οἱ δὲ (μάλιστα) πιστεύσαντες Ἑλένην εἶναι πῦρ καὶ λίθους ἐπὶ τὴν θεράπαιναν * * * καὶ ὡς ἱκανὴν δίκην ἐπὶ τῷ Τληπολέμῳ λαβόντες τὸν Ἑλένης θάνατον ἀνεχώρησαν. Μενέλεως δὲ τὴν Ἑλένην ἔχων ἀπέπλευσεν.

## 14. ΚΛΕΟΜΕΝΗΣ.

ca. 520 (alii 495) Κλεομένης, Λακεδαιμονίων βασιλεύς, Ἀργείοις e. 20 ἐπολέμει καὶ ἀντεστρατοπέδευεν. ἦν τοῖς Ἀργείοις ἀκριβὴς φυλακὴ τῶν δρωμένων τοῖς πολεμίοις· καὶ πάντα ὅσα Κλεομένης βούλοιτο, ὑπὸ κήρυκος ἐσήμαινε τῇ στρατιᾷ, καὶ αὐτοὶ τὰ ἴσα δρᾶν ἐσπούδαζον. ὁπλιζομένων ἀνθωπλίζοντο, ἐπεξιόντων ἀντεπεξῄεσαν, ἀνα-

Cap. 14. Cf. Herod. 6, 77 et 78; de tempore cf. Curtius, Griech. Gesch. I[4], p. 362 et not. 159 (p. 650).

1 *Πολυξὼ* Lennep ap. Heringam obs. 120 ex Paus. 3, 19, 9; *Φιλοξὼ* F; *Φιλοζώη* Cas. K: cf. Tzetz. ad Lycophr. 911 ‖ 8 (*μάλιστα*) contra usum Polyaeni; om. D. Prius *μάλιστα* suspectum habuit K, cf. tamen 7, 21, 2 *μάλιστα πολεμιωτάτην*, Herod. post Moer. p. 460 *μάλιστα πλουσιώτατος*, Thucyd. 7, 42, 3 *μάλιστα δεινότατος*, Xenoph. Anab. 7, 2, 22 *μάλιστα νυκτὸς πολεμικώτατοι* ‖ 10 hiatum notavi; *ἔπεμπον* suppl. M vulg.; *ἀφῆκαν* C ‖ *ἐπὶ τῷ πολέμῳ* $F_1$ ‖ 15 *ἀντεστρατοπέδευεν* H; *ἀντεστρατοπέδευσεν* F ‖ 16 *καὶ* F] *καὶ γὰρ* VK ‖ 17 *ἐσημαίνετο* R ‖ 18 *αὐτὸς* .... *ἐσπούδαζεν* F ‖ 19 *ἐπεξιόντων* Hercher; *ἐξιόντων* F ‖ *ἀντεπεξῄεσαν* H; *ἀντεπεξίεσαν* F.

*παυομένων ἀντανεπαύοντο. Κλεομένης λάθρα παράγγελμα ἔδωκεν, ὅταν ἀριστοποιεῖσθαι κηρύξῃ, ὁπλίσασθαι. ὁ μὲν ἐκήρυξεν· οἱ δὲ Ἀργεῖοι πρὸς ἄριστον ἐτράποντο. Κλεομένης ὡπλισμένους ἐπαγαγὼν εὐμαρῶς ἀόπλους καὶ γυμνοὺς τοὺς Ἀργείους ἀπέκτεινεν.*

## 15. ΠΟΛΥΔΩΡΟΣ.

e. 54, 1 *Πολύδωρος, Λακεδαιμονίων Μεσηνίοις εἴκοσιν* 743— *ἔτεσι πολεμούντων, πρὸς τὸν ἀπὸ τῆς ἑτέρας οἰκίας βασιλέα Θεόπομπον διαφορὰν ὑπεκρίνατο καὶ αὐτόμολον ἔπεμψεν ἀγγέλλοντα, ὅτι στασιάζουσι δὴ καὶ καταλείψουσιν ἀλλήλους. Μεσήνιοι παρεφύλαττον. Θεόπομπος μὲν ἀνέζευξε καὶ οὐ μακρὰν ἀπέκρυψε τὴν στρατιὰν εἰς ἀναχώρησιν. ταῦτα ὁρῶντες οἱ Μεσήνιοι καταφρονοῦσι μόνου τοῦ Πολυδώρου καὶ πασσυδὶ τῆς πόλεως προελθόντες ἐτράποντο ἐς μάχην. Θεόπομπος, τῶν σκοπῶν σημηνάντων, ἐξ ἀφανοῦς περιελθὼν τό τε ἄστυ ἔρημον εἷλε καὶ κατόπιν ἐμβάλλει τοῖς Μεσηνίοις, οἱ περὶ Πολύδωρον κατὰ πρόσωπον. ἀμφίβολοι γενόμενοι Μεσήνιοι κατὰ κράτος ἑάλωσαν.*

---

2 *κηρύξω ὁπλίσασθε* H ‖ 4 *ἐτρέποντο* H ‖ *εὐμαρῶς* F; *εὐχερῶς* H; *εὖ μαλ'* C, unde Koen. p. 218 *εὖ μαλ' ὡς* ‖ 5 *ἀόπλους* (= *γυμνοὺς*) *καὶ ῥαθύμους* R; (*ἀόπλους καὶ*) *γυμνοὺς* Rud. Schoell coll. 1, 40, 5 ‖ *τοὺς* om. FH; add. vulg. ‖ 7 *εἴκοσι ἔτεσι πολεμούντων* F] *πολ. εἴκ. ἔτ.* vulg. ‖ 10 *ἀγγελοῦντα* K ‖ 11 *παρεφύλαττον* K (sic Polyaenus ubique); *παρεφυλάττοντο* F ‖ 12 aut *ἀπέπεμψε* pro *ἀπέκρυψε* aut *εἰς δασὺ χωρίον* pro *εἰς ἀναχώρησιν* R; *ἀνέζευξεν ὡς ἀναχωρήσων* Hertlein deletis *εἰς ἀναχώρησιν* ‖ 15 *ἐτράποντο ἐς μάχην* F] *εἰς μάχην ἐτράποντο* vulg. ‖ 17 *ἐμβάλλει* RK *cepit* V; *ἐμβαλλουσι* F; *οἱ δὲ περὶ* RK.

## 16. ΛΥΚΟΥΡΓΟΣ.

1 *Λυκοῦργος Λακεδαιμονίους θειοτέρῳ φόβῳ κατηνάγκασεν ὑπακοῦσαι τοῖς νόμοις. εἴ τινα νόμον ἐξεῦρε, κομίσας εἰς Δελφοὺς ἠρώτα τὸν θεὸν, εἰ συμφέροι· ἡ δὲ προφῆτις χρήμασι πεπεισμένη ἀεὶ συμφέρειν ἔχρα. οἱ Λάκωνες φόβῳ τοῦ θεοῦ τοῖς νόμοις ὡς χρησμοῖς ὑπήκουσαν.*

2 *Λυκοῦργος παρήγγειλεν 'ἐπὶ τοὺς αὐτοὺς, ὦ Λάκωνες, μὴ στρατεύετε πολλάκις, ἵνα μὴ πολεμεῖν τοὺς ἐναντίους διδάσκοιτε'.* e. 13, 1

3 *Λυκοῦργος προσέταττε τοῖς Λάκωσι 'τοὺς πολεμίους φεύγοντας μὴ φονεύετε, ἵνα τὸ φεύγειν ἡγοῖντο τοῦ μένειν λυσιτελέστερον'.* e. 45, 1

## 17. ΤΥΡΤΑΙΟΣ.

—628 *Τυρταῖος, Λακεδαιμονίων μελλόντων παρατάττεσθαι Μεσσηνίοις καὶ βεβουλευμένων νικᾶν ἢ ἀποθανεῖν ἐν τῇ μάχῃ, ἵνα δὲ ὑπὸ τῶν οἰκείων ἐν τῇ τῶν νεκρῶν ἀναιρέσει γνωρίζοιτο ἕκαστος, ἐπὶ (τὰς) σκυταλίδας τοὔνομα γραψάντων καὶ περὶ τῇ λαιᾷ χειρὶ φερόντων, βουλόμενος ἐκπλῆξαι τοὺς Μεσσηνίους τοῦτο* e. 12, 3

---

Cap. 16. § 1. Cf. Gelzer, Mus. Rhen. 28, p. 38.

Cap. 16. § 2. 3. Cf. Plut. apophthegm. Lacon. et vit. Ages. 26, Lycurgi 12 et 22 extr. — K. Trieber, Forschungen zur spartanischen Verfassungsgeschichte p. 39.

Cap. 17. Ex Ephoro coll. Diod. fr. 8, 24, 2 (Dindorf); cf. J. p. 428.

---

4 *ἐξευρίσκε* K ‖ 8 *παρήγγελλεν* K ‖ 9 *στρατεύετε* $F_1$ K; *στρατεύητε* $F_2$ vulg. ‖ 10 *διδάσκοιτε* F] *διδάσκητε* vulg. ‖ 12 *τὸ φεύγειν . . . τοῦ μένειν* $F_1$ H Plut.; *τοῦ φεύγειν . . . τὸ μένειν* $F_1$ *μὴ τοῦ φ. . . . τὸ μ.* $F_2$ vulg. ‖ 18 *τὰς* aut delendum aut in *τινας* mutandum censuit Hertlein.

μαθόντας παρήγγειλε μὴ παρατηρεῖν τοὺς αὐτομολοῦντας Εἵλωτας. οἱ δὲ μηδενὸς παραφυλάττοντος ἀνέδην αὐτομολήσαντες ἤγγειλαν τοῖς Μεσσηνίοις τὴν ἀπόνοιαν τὴν Λακωνικήν. οἱ δὲ καταπλαγέντες ἀσθενέστερον ἀγωνισάμενοι τὴν νίκην οὐ διὰ μακροῦ Λακεδαιμονίοις ἔδωκαν.

18. ΚΟΔΡΟΣ.

Ἀθηναίοις καὶ Πελοποννησίοις πόλεμος ἦν. ὁ θεὸς ἔχρησε νικᾶν Ἀθηναίους, εἰ ὁ βασιλεὺς αὐτῶν ἀποθάνοι πρὸς ἀνδρὸς Πελοποννησίου. Κόδρος ἦν Ἀθηναίων βασιλεύς. οἱ πολέμιοι τὸ λόγιον εἰδότες, κοινὸν αὐτοῖς παράγγελμα ἦν ἐν ταῖς μάχαις ἀπέχεσθαι Κόδρου. ὁ δέ, ἦν γὰρ ἑσπέρα, σχῆμα φρυγανιστῆρος λαβὼν τοῦ χάρακος προελθὼν ἔτεμνε τὴν ὕλην. Ἔτυχον δὲ καὶ Πελοποννήσιοι ἄνδρες κατὰ φρυγανισμὸν ἥκοντες. ἀψιμαχεῖ τούτοις Κόδρος, ὥστε καὶ τὸ δρέπανον ἐπ' αὐτοὺς ἀνατεινάμενος ἔτρωσεν. οἱ δὲ φθάσαντες κατακαίνουσιν αὐτὸν τοῖς δρεπάνοις καὶ γαννύμενοι ἀπηλλάγησαν ὡς ἀνδραγάθημα δὴ πεποιηκότες. παιωνίσαντες Ἀθηναῖοι — τί γὰρ οὐκ ἔμελλον τοῦ λογίου πεπληρωμένου; — θυμῷ καὶ ῥύμῃ πλείονι προΐασιν εἰς μάχην καὶ πρὸ τῆς μάχης κήρυκα πέμψαντες ᾔτησαν ἀναίρεσιν τοῦ βασιλέως. Πελοποννήσιοι μὲν συνέντες τοῦ γεγονότος ἔφυγον· Ἀθηναῖοι δὲ νικήσαντες Κόδρῳ τιμὰς κατεστήσαντο

---

2 οἱ οὖν R ‖ 5 μικροῦ F; corr. vulg. ‖ 11 πολέμιοι F] Πελοποννήσιοι M ‖ 17 ἐπανατεινάμενος M ‖ 20 γὰρ οὐκ F] γὰρ M ‖ 22 ῥύμῃ Hercher; ῥώμῃ F ‖ προΐασιν Blume; προϊᾶσιν F ‖ 25 κατεστήσαντο W coll. 1, 19. 6, 7, 2. 8, 4 et Iuliano or. I, 16 D τιμὰς καταστῆσαι; ἀνεστήσαντο F; ἀνέδησαν vel ἄνηψαν τὰς Hertlein; τιμὰς .... καὶ ἀνέστησαν τὸ (αὐτῷ Schömann) ἡρῷον Lugebil Iahnii annal. suppl. V, p. 545 sq. probante Schoemann. Iahnii ann. 1872, p. 148.

τῶν ἡρώων, ὅτιπερ τοὺς πολεμίους ἑκουσίῳ θανάτῳ κατεστρατήγησεν.

## 19. ΜΕΛΑΝΘΟΣ.

Ἀθηναίων στρατηγὸς ἦν Μέλανθος, Βοιωτῶν Ξάνθος. ἐπολέμουν Μελαινῶν πέρι· Μελαιναὶ χωρίον μεθόριον Ἀττικῆς καὶ Βοιωτίας. ὁ θεὸς ἔχρησε·

τῷ ξάνθῳ τεύξας ὁ μέλας φόνον ἔσχε Μελαίνας.

τοῦ λογίου τὸ ἔργον ἀποβαίνει τῇδε. οἱ στρατηγοὶ μονομαχοῦσι τῆς νίκης πέρι, καὶ συνιόντων ὁ Μέλανθος ἔφη 'καὶ μὴν ἀδικεῖς δεύτερος ἰὼν ἐπὶ τὴν μάχην'. ὁ Ξάνθος ἐπεστράφη τὸν δεύτερον ὀψόμενος καὶ ὑπὸ τοῦ Μελάνθου τῷ ξυστῷ διελαθεὶς ἀνῃρέθη. Ἀθηναῖοι τῷ στρατηγήματι τῆς ἀπάτης νικήσαντες ἐτήσιον ἑορτὴν κατεστήσαντο, ἥν γε δὴ κληΐζουσιν Ἀπατούρια.

## 20. ΣΟΛΩΝ.

.604 1 Ἀθηναῖοι καὶ Μεγαρεῖς ἐπολέμουν χρόνῳ μακρῷ Σαλαμῖνος πέρι. ἡσσώμενοι Ἀθηναῖοι νόμον ἐκύρωσαν

---

Cap. 19. Ex Ephoro coll. Harpocr. s. v. Ἀπατούρια. — Cf. Front. strat. 2, 5, 41; Conon, narrationes 39.
Cap. 20. § 1. Cf. Plut. vita Sol. 8 et Iust. 2, 7.

---

5 *Κελαινῶν* schol. ad Aristoph. Acharn. 146, Pac. 890 ‖ 6 *ἐν μεθορίῳ* vel *ἐν μεθορίοις* Hertlein ‖ 7 *ἔχρησε· τῷ ξάνθῳ τεύξας ὁ μέλας φόνον* Rud. Schoell; *ἔχρησε τῷ Ξάνθῳ· τεύξαν ἀπάτην ὁ μέλας φόνον* F; *τάξιν ἀπάτῃ* vulg.; ... *τεύξας ἀπάτην* W, qui confert Hom. Od. 8, 276 *τεῦξε δόλον* ‖ *φόρον*, 'praedam' C. L. Roth W ‖ 10 *δεύτερος ἰὼν* F] *δεύτερον ἄγων* vulg.; cf. schol. ad Aristoph. Acharn. 146 *ἀδικεῖν αὐτὸν δεύτερον ἥκοντα*, id. Pac. 890 *ἀδικεῖς δεύτερος παραγενόμενος* ‖ 12 *διελαθεὶς* F] *διελασθεὶς* vulg. ‖ 15 *Ἀπατούρια* Maasvicius; *ἀπατηρίαν* F ‖ 18 *περγης σώμενοι* (sic) F.

*‘τῷ ἀγορεύσαντι πλεῖν ἐπὶ Σαλαμῖνος μάχῃ θάνατος ἔστω’. Σόλων τὸν θάνατον οὐ φοβηθεὶς λύει τὸν νόμον· λύει δὲ ὧδε. μανίαν ὑποκρίνεται καὶ προελθὼν εἰς ἀγορὰν ἐλεγεῖα ᾖδε· τὰ δὲ ἐλεγεῖα ἦν Ἀρήϊα ᾄσματα. τούτοις ἤγειρεν Ἀθηναίους ἐπὶ τὴν μάχην. οἱ δὲ κάτοχοι ἐκ Μουσῶν καὶ Ἄρεως αὐτίκα τε ἀνήγοντο ᾄδοντες ὁμοῦ καὶ ἀλαλάζοντες καὶ Μεγαρεῖς κατὰ κράτος ἐνίκων· καὶ πάλιν ἡ Σαλαμὶς Ἀθηναίων κτῆμα ἦν. Σόλων δὲ μάλα ἐθαυμάζετο καὶ τὸν νόμον λύσας τῇ μανίᾳ καὶ τὸν πόλεμον νικήσας τῇ μουσικῇ.*

2 c. 28, 1 *Ἦν πόλεμος Ἀθηναίοις καὶ Μεγαρεῦσι Σαλαμῖνος πέρι· Σόλων ἔπλευσεν ἐπὶ Κωλιάδος, ἔνθα αἱ γυναῖκες Δήμητρι ἑορτὴν ἐτέλουν ἐπ’ αὐτῇ τῇ θαλάσσῃ. αὐτόμολον ἐκπέμπει Σόλων ἀγγελοῦντα Μεγαρεῦσιν ‘ἢν ἐπὶ Κωλιάδος πλεύσητε, τὰς Ἀθηναίων γυναῖκας αἱρήσετε χορευούσας· ἀλλὰ μὴ μέλλετε’. Μεγαρεῖς τῇ ἀπάτῃ πείθονται. οἱ μὲν δὴ ἐπέπλεον· Σόλων δὲ τὰς μὲν γυναῖκας ἀναχωρῆσαι κελεύει, μειράκια δὲ ἀγένεια ταῖς τῶν γυναικῶν ἐσθῆσι κεκοσμημένα, στεφάνους περικείμενα, κρυπτοῖς ἐγχειριδίοις ὡπλισμένα παρὰ τὴν ἠϊόνα παίζειν καὶ χορεύειν ἔταξεν. οἱ δὲ Μεγαρεῖς τῇ ὄψει τῶν ἀγενείων καὶ τῇ ἐσθῆτι τῶν γυναικῶν ἐξαπατώμενοι τῶν νεῶν ἀποβάντες ἐπειρῶντο συλλαμβάνειν οἷα δὴ γυναῖκας· οἱ δὲ σπα-*

---

Cap. 20. § 2. Cf. Plut. vit. Sol. 8; Aeneas Poliorc. 4, 8; Iust. 2, 8; Front. strat. 4, 7, 44. — A. Hug, Mus. Rhen. 32, p. 629 sqq.; B. Niese, Zur Geschichte Solons und seiner Zeit (Histor. Unters. zum 25. Jubiläum A. Schaefers, p. 1 sqq.); J. p. 429 sq.

---

1 *ἐπὶ Σαλαμῖνος* [*ἐπὶ*] *μάχῃ* R[1]; ἐπὶ Σαλαμῖνος τιμωρία *θάνατος ἔστω* R[2] ‖ 2 *ἔστω ἡ ζημία* coni. Cas., at cf. 2, 83 ‖ 7 ἀχαλάζοντες F ‖ 8 *κατὰ κράτος*, ut solet auctor, vulg.; ἀνακράτος F.

*σάμενοι τὰ ἐγχειρίδια μάλα δὴ ἀντὶ γυναικῶν ἄνδρες ἐφάνησαν, τοὺς πολεμίους ἔκτειναν, τῶν νεῶν ἐπέβησαν, τῆς Σαλαμῖνος ἐκράτησαν.*

## 21. ΠΕΙΣΙΣΤΡΑΤΟΣ.

541 1 *Πεισίστρατος ἀπ' Εὐβοίας ἐστράτευσεν ἐπὶ τὴν* c. 4, 1
*Ἀττικὴν ἐπὶ Παλληνίδος καὶ τοῖς πρώτοις τῶν πολεμίων προσπεσὼν ἔκτεινε πάντας· προελθὼν ἄλλοις ἀπηντᾶτο πλείοσι. παράγγελμα ἔδωκε θαλλῷ στεφανοῦσθαι καὶ μὴ κτείνειν τοὺς ἀπαντῶντας, φράζειν δὲ, ὡς ἐσπείσαντο τοῖς πρώτοις. οἱ δὲ πιστεύσαντες ἄρα σπένδονται καὶ Πεισιστράτῳ τὸ ἄστυ ἐπέτρεψαν.*
554 *ὁ δὲ ἅρματος ἐπιβὰς, παραστησάμενος γυναῖκα μεγάλην, καλὴν, ὄνομα Φύην, ὅπλοις Παλλαδικοῖς κεκοσμημένην, δόξαν ἐνδοὺς ὡς Ἀθηνᾶ κατάγοι Πεισίστρατον, ἀδεῶς εἰσήλασε καὶ τῆς τυραννίδος τῶν Ἀθηναίων κατέσχεν.*

2 *Πεισίστρατος Ἀθηναίων τὰ ὅπλα βουλόμενος παρελέσθαι παρήγγειλεν ἥκειν ἅπαντας εἰς τὸ Ἀνάκειον μετὰ τῶν ὅπλων. οἱ μὲν ἧκον· ὁ δὲ προῆλθε βουλόμενος δημηγορῆσαι καὶ σμικρᾷ τῇ φωνῇ λέγειν ἤρχετο. οἱ δὲ ἐξακούειν μὴ δυνάμενοι προελθεῖν*

---

Cap. 21 ad § 1 priorem partem cf. Herod. 1, 62, ad alteram Herod. 1, 60.

---

8 *ἀπήντετο* F; *ἀπηντᾶτο* vulg.; *ἀπήντα* K, forma media legitur etiam 192, 8. 278, 9, activa fere vicies; H hoc loco *ἀπαντήσας* ‖ 12 *μεγάλην καὶ καλὴν* K ‖ 14 *Ἀθηνᾶ* F vulg. (*Ἀθηναίη* Herod.)] *ἡ Ἀθηνᾶ* M: cum articulo 1, 10. 2, 3, 12. 6, 47. 7, 43. 8, 51. 8, 59, omisso art. 6, 51 ‖ *κατάγοι* F] *κατάγει* vulg. ‖ 16 *κατέσχεν* F cum genet. ut 4, 7, 6. 5, 2, 4; *ἐκράτησεν* D: cf. Schweighaeuser ad Appian p. 120 sq. ‖ 19 *ἦλθον* M.

*αὐτὸν ἠξίωσαν εἰς τὸ προπύλαιον, ἵνα πάντες ἐξακούσειαν. ἐπεὶ δὲ ὁ μὲν ἡσυχῇ διελέγετο, οἱ δ' ἐντείναντες τὰς ἀκοὰς προσεῖχον, οἱ ἐπίκουροι προελθόντες ἀράμενοι τὰ ὅπλα κατήνεγκαν εἰς τὸ ἱερὸν τῆς Ἀγραύλου. Ἀθηναῖοι δὲ γυμνοὶ καταλειφθέντες τότε ᾔσθοντο τῆς Πεισιστράτου βραχυφωνίας, ὅτι ἄρα ἦν τέχνασμα κατὰ τῶν ὅπλων.*

*Πεισίστρατος Μεγακλεῖ διεπολιτεύετο, καὶ ἦν ὁ* 3 560
*Μεγακλῆς ὑπὲρ τῶν πλουσίων τεταγμένος, ὁ δὲ Πεισίστρατος ὑπὲρ τῶν πενήτων. καὶ δή ποτε ἐν ἐκκλησίᾳ πολλὰ τῷ Μεγακλεῖ λοιδορησάμενος καὶ ἀπειλήσας ἀπηλλάγη κατατρώσας δὲ ἑαυτὸν οὐ καιρίοις τραύμασι τῆς ὑστεραίας προῆλθεν εἰς τὴν ἀγορὰν δεικνύων τοῖς Ἀθηναίοις ταῦτα. ὁ δὲ δῆμος ὑπερηγανάκτησεν, ὡς ὁ κηδόμενος αὐτῶν δι' αὐτοὺς ταῦτα εἴη παθών, καὶ ἐς φυλακὴν τοῦ σώματος ἔδωκαν αὐτῷ τριακοσίους φύλακας, οἷς κορυνηφόροις χρησάμενος αὐτός τε τύραννος Ἀθηναίων ἐγένετο καὶ τοῖς παισὶ τὴν τυραννίδα κατέλιπεν.*

## 22. ΑΡΙΣΤΟΓΕΙΤΩΝ.

*Ἀριστογείτων ὑπὸ τῶν δορυφόρων στρεβλούμενος* 514
*περὶ τῶν συνειδότων, τῶν μὲν συνειδότων ὡμολόγησεν οὐδένα, πάντας δὲ τοὺς Ἱππίου φίλους κοινωνῆσαι τῆς ἐπιθέσεως. ὁπότε δὲ τούτους Ἱππίας ἀπέκτεινε,*

---

Cap. 21. § 3. Cf. Plut. vita Sol. 30.
Cap. 22. Ex Ephoro coll. Diod. fr. 10, 16, 3 (Dindorf); cf. Iustin. 2, 9. — J. p. 431.

---

1 *ἐξακούσειαν* Hertlein; *exaudire* V; *ἐπακούσειαν* F; *ἀκούσειαν* M ‖ 3 *προσελθόντες* F.

*τότε ὁ Ἀριστογείτων ὠνείδισεν αὐτῷ τὸ στρατήγημα τῶν φίλων.*

## 23. ΠΟΛΥΚΡΑΤΗΣ.

2 1 *Πολυκράτει τῷ Σαμίῳ καταθέοντι τὴν Ἑλληνικὴν θάλατταν ἔδοξεν εἶναι στρατηγικόν, εἰ κατάγοι καὶ τὰ τῶν φίλων, ὡς ἀπαιτούμενος ἃ λαμβάνοι, φιλτέρους ἕξων· οὐδὲν δὲ λαβὼν οὐκ ἂν οὐδ' ἀποδοῦναι δύνασθαι.*

18 2 seb.) *Πολυκράτης, μελλόντων Σαμίων θυσίαν ποιεῖν ἐν τῷ ἱερῷ τῆς Ἥρας πάνδημον, ἐν ᾗ μεθ' ὅπλων ἐπόμπευον, πλεῖστα ὅσα τῇ προφάσει τῆς ἑορτῆς ὅπλα συλλέξας τοὺς μὲν ἀδελφοὺς Συλοσῶντα καὶ Πανταγνωστον συμπομπεύειν ἔταξε. μετὰ δὲ τὴν πομπὴν τῶν Σαμίων θύειν μελλόντων οἱ πλεῖστοι τὰς πανοπλίας ἀπέθεντο παρὰ τοῖς βωμοῖς προσέχοντες σπονδαῖς καὶ εὐχαῖς. οἱ δ' ἀμφὶ Συλοσῶντα καὶ Παντάγνωστον τὰ ὅπλα ἔχοντες, ἀνὴρ ἀνδρὶ παραστάς, ἐφεξῆς ἅπαντας ἐκτίννυον. Πολυκράτης τοὺς ἐν τῇ πόλει μετέχοντας τῆς ἐπιθέσεως ἀλίσας προκατελάβετο τῆς πόλεως τοὺς ἐπικαιροτάτους τόπους [τοὺς] ἀπὸ τοῦ*

---

Cap. 23. § 1. Ex Ephoro coll. Diod. fr. 10, 15, 1 (Dindorf); cf. Herod. 3, 39. — J. p. 431 sq.

---

1 *ὠνείδισεν*] *ἐδήλωσεν* R ‖ 2 *τῶν φίλων* F] *κατὰ τῶν φίλων* vulg. ‖ 4 *τῷ* om. vulg. ‖ 5 *κατάγοι* F] *φέροι καὶ ἄγοι* Cas. (*ἔφερε δὲ καὶ ἦγε πάντας* Herod.) ‖ 6 *ἀπαιτούμενος ἃ λαμβάνοι* Rud. Schoell; *ἀπαιτούμενα λαμβάνοι* F; *εἰ ἀπαιτούμενα λαμβάνοιεν* D ‖ 7 *ἕξων* RK, quod probat Hertlein; *ἕξω* F; *ἕξει* vulg.; *ἕξοι* W ‖ 8 *δυνησόμενος* R ‖ 16 *σπονδαῖς* post *οἱ δὲ* habet F; transposuit W (similiter V et K) ‖ *συλώσοντα καὶ πάντα γνωστὸν* F ‖ 20 *τοὺς* add. Hertlein.

*ἱεροῦ μετὰ τῶν ὅπλων σπουδῇ θέοντας ἀδελφοὺς καὶ συμμάχους δεξάμενος. τειχίσας ἀκρόπολιν τὴν καλουμένην Ἀστυπάλαιαν, μεταπεμψάμενος παρὰ Λυγδάμιδος τοῦ Ναξίων τυράννου στρατιώτας καὶ δὴ Σαμίων τύραννος ἦν.*

24. ΙΣΤΙΑΙΟΣ.

*Ἱστιαῖος Μιλήσιος ἐν Πέρσαις διάγων παρὰ Δα-* 499 *ρείῳ βασιλεῖ βουλόμενος Ἰωνίαν ἀποστῆσαι γράμματα πέμπειν οὐ θαρρῶν διὰ τοὺς φύλακας τῶν ὁδῶν οἰκέτην πιστὸν ἀποξύρας τὰς τρίχας στίγματα ἐνέγραψατο τῇ κεφαλῇ "Ἱστιαῖος Ἀρισταγόρᾳ· Ἰωνίαν ἀπόστησον" καὶ τοῖς στίγμασιν ἐπέθρεψε τὰς τρίχας. τοῦτον τὸν τρόπον λαθὼν τοὺς φύλακας ὁ στιγματοφόρος καταβὰς ἐπὶ θάλατταν ἀποξυράμενος ἔδειξεν Ἀρισταγόρᾳ τὰ στίγματα· ὁ δὲ ἀναγνοὺς ἀπέστησεν τὴν Ἰωνίαν.*

25. ΠΙΤΤΑΚΟΣ.

e. 11. *Πιττακὸς καὶ Φρύνων ἐμονομάχουν Σιγείου πέρι·* ca. Ol. 608— *ἔδοξεν ἀμφοῖν ἴσα ἔχειν ὅπλα. τὰ μὲν δὴ φανερὰ* (sec.Ei *ὅπλα ἴσα ἦν. Πιττακὸς δὲ ὑπὸ τῇ ἀσπίδι κρύψας ἀμφίβληστρον περιβάλλει τὸν Φρύνωνα καὶ ῥᾳδίως ἐπισπασάμενος κτιννύει καὶ Σίγειον τοῖς Λεσβίοις τῷ λίνῳ ἐθήρευσεν. οἷον καὶ νῦν οἱ μονομαχοῦντες λίνον ἔχουσι, Πιττακὸς ἐδίδαξεν.*

---

Cap. 24. Cf. Herod. 5, 35; Aen. Poliorc. 31, 28; Gellius 17, 9. — J. p. 432.
Cap. 25. Cf. Diog. Laert. 74; Plut. de Herod. mal. 15; Festus s. v. retiarius.

---

1 *σπουδῇ*] *ἐπ' οὔδη* F ‖ *θέοντας τοὺς ἀδελφοὺς* K ‖ 3 *καὶ μεταπεμψάμενος* DK ‖ 10 *ἐνεγράψατο* F] *ἐνέγραψε* vulg. ‖ 17 σιτίου F ‖ 21 *ἐπισπάμενος* F ‖ *Λεσβίοις* M; δεσβίοις F; δεσμίοις vulg.

## 26. ΒΙΑΣ.

ι. 560 *Κροῖσος Λυδὸς ἐπιπλεῖν τοῖς νησιώταις παρεσκευάζετο. Βίας ὁ Πριηνεὺς ἐξέπληξε τὸν Λυδὸν εἰπὼν ‘οἱ νησιῶται πολλὴν ἵππον ἐπί σε ὠνοῦνται’. ὁ δὲ γελάσας ἔφη ‘ὦ Ζεῦ, νησιώτας ἐν ἠπείρῳ λάβοιμι’. ὁ δὲ Βίας ‘τί δ’ ἄλλο [οἴει]’, ἔφη, ‘κἀκείνους εὔχεσθαι Διί, ἢ ὅπως Κροῖσον ἠπειρώτην ἐν θαλάσσῃ λάβοιεν;’ ὁ λόγος Βίαντος ἔπεισεν Κροῖσον ἐπὶ τὰς νήσους πλεῦσαι μηκέτι.*

## 27. ΓΕΛΩΝ.

ι. 480 *Γέλων Δεινομένους Συρακούσιος ἐν τῷ πρὸς Ἰμίλκωνα τὸν Καρχηδόνιον πολέμῳ στρατηγὸς αὐτοκράτωρ χειροτονηθείς, λαμπρῶς ἀγωνισάμενος, κρατήσας, παρελθὼν εἰς ἐκκλησίαν, εὐθύνας δοὺς τῆς αὐτοκράτορος ἀρχῆς, τῆς δαπάνης, τῶν καιρῶν, τῶν ὅπλων, τῶν ἵππων, τῶν τριήρων, ἐπὶ πᾶσιν ἐπαινεθεὶς τέλος ἐξέδυ τὴν ἐσθῆτα καὶ στὰς ἐν μέσῳ γυμνός· ‘οὕτως ἐγώ’, ἔφη, ‘γυμνὸς ὑμῖν ἕστηκα, ὑμεῖς δὲ ἔνοπλοι, ὥστε, εἴ τί μοι πέπρακται βίαιον, χρήσασθε*

---

Cap. 26. Ex Ephoro coll. Diod. fr. 9, 25 (Dindorf); cf. Herod. 1, 27.

Cap. 27. Cf. Diod. 11, 26, 5; Aelian. v. h. 6, 11. — Holm, Gesch. Siciliens I, p. 418, not. ad p. 210.

---

2 *ἐπιπλεῖν τοῖς* Maasvicius; *ἐπὶ πλείστοις* F; *ἐπιπλεῖν* D ‖ 6 [*οἴει*] inserui ‖ 7 *διῒ* F; *τῷ Διὶ* M; *δὴ* D; *οἴει* Koen. p. 49 (*credis* iam V); *δεῖ* R (*νησιώτας δὲ τί δοκέεις εὔχεσθαι ἄλλο* Herodot.; *οὐκ οἴει θεοῖς εὔξασθαι* etc. Diodor.) ‖ 8 *Βίαντα* F ‖ 12 *Χαλκηδόνιον* F ‖ 13 *κρατήσας* F] *καὶ κρατήσας* vulg. ‖ 15 *καιρῶν*] *λαφύρων* R ‖ 16 *τριήρων* F] *τριήρεων* vulg. ‖ 18 *οὗτος* K, quod probat Hertlein coll. Eurip. Suppl. 1045.

κατ' ἐμοῦ καὶ σιδήρῳ καὶ πυρὶ καὶ λίθοις.' ὁ δῆμος ἐπεβόησεν ὡς ἄριστον στρατηγὸν ἐπαινῶν. ὁ δὲ ὑπολαβὼν ἔφη 'καὶ εἰσαῦθις οὖν τοιοῦτον στρατηγὸν χειροτονήσατε'. πάλιν ὁ δῆμος 'ἀλλὰ τοιοῦτον ἄλλον οὐκ ἔχομεν'. οὕτως δὴ παρακληθεὶς δεύτερον στρατηγῆσαι ἀντὶ στρατηγοῦ τύραννος ἐγένετο Συρακουσίων.

Γέλων Σικελῶν τύραννος Ἰμίλκωνι βασιλεῖ Καρ- 2 ca. 48
χηδονίων διαπλεύσαντι ἐπὶ Σικελίαν ἀντιστρατοπεδεύων μάχῃ μὲν συμβαλεῖν οὐκ ἐθάρρει· Πεδίαρχον δὲ τὸν τοξοτῶν ἡγούμενον, ὅμοιον ἑαυτῷ τὴν ἰδέαν ἀμφιέσας τὴν ἑαυτοῦ τυραννικὴν ἐσθῆτα ἐκέλευσε προελθεῖν τοῦ στρατοπέδου καὶ θύειν ἐπὶ τῶν βωμῶν, ἕπεσθαι δὲ αὐτῷ τοξότας ἐν ἐσθῆτι λευκῇ κατέχοντας μυρίνας, τόξα ὑπὸ ταῖς μυρίναις κρύπτοντας· ἡνίκ' ἂν δὲ ἴδωσιν Ἰμίλκωνα καὶ αὐτὸν ὁμοίως προελθόντα καὶ θύοντα, τοξεύειν ἐπ' αὐτόν. οὕτω δὴ τούτων πραχθέντων Ἰμίλκων οὐδὲν ὑπιδόμενος προελθὼν ἔθυσεν· ὥστε σπένδων θύων τε ἄφνω πολλῶν τοξευμάτων ἐπ' αὐτὸν ἐπελθόντων ἐτελεύτησεν.

Γέλων τὸ Μεγαρικὸν βουλόμενος καταλῦσαι ἐποί- 3 483
κους μὲν ἐκάλει τοὺς ἐθέλοντας Δωριῶν, Διογνήτῳ δέ, τῷ Μεγαρέων ἄρχοντι, χρήματα παρὰ δύναμιν ἐπέταξεν· ὁ δὲ τοῖς πολίταις. οἱ δὲ τοῖς τέλεσιν ἀπα-

---

Cap. 27. § 2. Cf. Herod. 7, 167; Diod. 11, 21. — Holm, Gesch. Siciliens I, p. 207 et not. p. 415; Meltzer, Gesch. d. Karthager, p. 501; Busolt, Mus. Rhen. 40, p. 156 sqq.

---

3 οὖν F] γοῦν vulg. ‖ 7 σικελλῶν et Καλχηδονίων F ‖ 11 ἀμφιέσας F; ἀμφιάσας M ‖ 14 μυρρίναις K ‖ 18 ὡς F, *ita* V, unde scripsi ὥστε; ὅς vulg., quod iam W notavit ‖ ἅμα pro ἄφνω D; ἅμα, ἄφνω K ‖ 20 τὸ Μεγαρικὸν κράτος R ‖ 21 δωρεῶν F ex δωριεῶν corr.

*γορεύοντες ἐς τὴν ἀποικίαν τὴν ἐν Συρακούσαις ὑπείκουσαν ὑποβαλόντες αὐτοὺς τῇ Γέλωνος δυναστείᾳ.*

## 28. ΘΗΡΩΝ.

—486 *Θήρων Καρχηδονίοις παρετάσσετο. τῶν δὲ πολεμίων φευγόντων οἱ Σικελιῶται ἐμπίπτοντες ἐς τὸ στρατόπεδον ὡς διαρπασόμενοι τὰς σκηνὰς ὑπὸ τῶν Ἰβήρων παραβοηθούντων ἀνῃροῦντο. Θήρων πολὺν τὸν ὄλεθρον ἰδὼν ἔπεμψε τοὺς κυκλωσομένους παραγγείλας ὄπισθεν τὰς σκηνὰς καταπρῆσαι· φλογὸς δὲ πολλῆς αἱρομένης οὐκ ἔχοντες οἱ πολέμιοι σκηνὰς ἐπὶ τὰς ναῦς ἔφευγον. οἱ δὲ Σικελιῶται διώκοντες παρὰ ταῖς ναυσὶ τοὺς πλείστους διέφθειραν.*

## ΘΗΡΩΝ ΜΙΛΤΙΑΔΟΥ.

(2) *Σελινούντιοι Καρχηδονίοις παραταξάμενοι πολλῶν πεσόντων ἀτάφων κειμένων καὶ τῶν πολεμίων ἐπικειμένων θάψαι τοὺς νεκροὺς οὐ θαρροῦντες, οὐ μὴν οὐδὲ ἀτάφους περιορᾶν ὑπομένοντες ἐβουλεύοντο τί χρὴ πράττειν. Θήρων ὑπέσχετο, εἰ λάβοι τριακοσίους οἰκέτας τοὺς τεμεῖν τὴν ὕλην δυνησομένους, αὐτὸς ἂν σὺν αὐτοῖς προσελθὼν καὶ τὰ σώματα καῦσαι καὶ πολυάνδριον αὐτῶν ἐγεῖραι· εἰ δὲ οἱ πολέμιοι*

---

Cap. 28. § 1. Unger, Mus. Rhen. 37, p. 183; Holm I, p. 415. Busolt, Mus. Rhen. 40, p. 156—160.

Cap. 28. § 2. De tempore cf. Völkerling, de rebus Siculis etc. p. 8; Holm I, p. 153 et not. p. 400; Meltzer, p. 493.

---

1 *ὑπείκουσαν* vulg.; *ὑπήκουσαν* F; *ὑπείκουσιν* Valckenarius ap. Wyttenb. ad Iulian. p. 203 ed. Lips.; *concesserunt* V; *ἀπῴκησαν* Hertlein || 4 *χαλκηδονίοις* F (id. 14) || 7 *ἰβηρίων* F || 8 *ὄπισθεν παραγγείλας* coni. K || 15 *καὶ* post *πεσόντων* add. vulg. || 19 *τὴν* del. K || 20 *ἂν* del. K || *προσελθὼν* F] *προελθὼν* vulg.

κρατήσειαν αὐτῶν, οὐδὲν μέγα κινδυνεύεσθαι τῇ πόλει, ἐὰν ἕνα πολίτην ἀπολέσῃ καὶ τιμὴν ἀνδραπόδων τριακοσίων. ἐπῄνεσαν οἱ Σελινούντιοι τὴν γνώμην καὶ αὐτῷ συνεχώρησαν, οὓς βούλοιτο οἰκέτας αἱρεῖσθαι. ὁ δὲ τοὺς εὐρώστους καὶ ἀκμάζοντας ἐπιλεξάμενος ἐξήγαγε δρέπανα καὶ πελέκεις καὶ ἀξίνας ἔχοντας ὡς τεμοῦντας ὕλην εἰς πυρκαϊὰν νεκρῶν τοσούτων. ἐπεὶ δὲ ἐξῆλθον, πείσας αὐτοὺς Θήρων ἐπιθέσθαι τοῖς δεσπόταις βαθείας ἑσπέρας ἐπανῆλθεν εἰς τὴν πόλιν. οἱ δὲ τῶν τειχῶν φύλακες γνωρίσαντες εἰσεδέξαντο. Θήρων αὐτούς τε τοὺς φύλακας φονεύσας καὶ τῶν πολιτῶν τοὺς πλείστους καθεύδοντας ἀποκτείνας κατέλαβε τὴν πόλιν καὶ τύραννος ἐγένετο Σελινουντίων.

29. ΙΕΡΩΝ.

29, 1 Ἱέρων ποταμὸν κωλυόμενος διαβῆναι ὑπὸ τῶν 1 πολεμίων ἐπιστήσας τοὺς ὁπλίτας ἐπὶ τῆς διαβάσεως ἐκέλευσε τοὺς ἱππεῖς προάγειν ἄνω τοῦ ποταμοῦ ὡς διαβησομένους ἐκεῖθεν, τοὺς δὲ ψιλοὺς ἀνωτέρω τῶν ἱππέων. οἱ μὲν πολέμιοι ἀντιπαρῆγον ὡς τοὺς ἱππέας καὶ τοὺς ψιλοὺς κωλύσοντες· ὁ δὲ Ἱέρων διήγαγε τοὺς ὁπλίτας βιασάμενος ὀλίγους ὄντας τοὺς καταλελειμμένους τῶν ἐναντίων καὶ παραχρῆμα σημεῖον ἦρε τοῖς ψιλοῖς καὶ τοῖς ἱππεῦσιν. οἱ δὲ ὑποστρέψαντες διέβησαν τῶν προδιαβάντων ὁπλιτῶν τοὺς ὑποστρέψαντας πολεμίους ἀνειργόντων.

---

Cap. 29. § 1. Cf. Hense, de Hierone I Syracusanorum tyranno eiusque aula. Monast. 1862, p. 24 et p. 26, not. 2.

---

1 *κινδυνεύεσθαι* K: praesens infinitivi pro futuro 1, 18. 1, 45, 1. 4, 6, 17. 18; cf. quoque 1, 30, 4. 1, 43, 2 et ad 1, 9 ‖ 7 *ὕλην* F] *τὴν ὕλην* MW ‖ 18 et 20 *ψιλοὺς* ex *φίλους* corr. F ‖ 19 *οἱ μὲν πολέμιοι* scripsi; *οἱ πολέμιοι μὲν* F; *οἱ μὲν οὖν π.* vulg.; *οἱ γοῦν π.* H ‖ 20 *κωλύσοντες* Koen. p. 31 coll. 5, 16, 1; *κωλύοντες* F.

2 Ἱέρων Ἰταλιώταις πολεμῶν, ὁπότε λάβοι τινὰς αἰχμαλώτους τῶν εὐγενῶν ἢ πλουσίων, οὐκ εὐθὺς ἀπεδίδου τοῖς λυτρουμένοις, ἀλλὰ πολλὰς ἡμέρας κατασχὼν κοινωνήσας αὐτοῖς ἑστίας καὶ τιμήσας προεδρίᾳ τηνικαῦτα προσιέμενος τὰ λύτρα τοὺς ἄνδρας ἐξεπέμπετο. οἱ δὲ ἐπανελθόντες ὕποπτοι παρὰ τοῖς πολίταις ἦσαν ὡς φιλίας Ἱέρωνι κεκοινωνηκότες. c. 42,

### 30. ΘΕΜΙΣΤΟΚΛΗΣ.

180 1 Ἀθηναίοις ο θεὸς ἔχρησεν

ὦ θείη Σαλαμὶς, ἀπολεῖς δὲ σὺ τέκνα γυναικῶν.

Θεμιστοκλῆς Ἀθηναίων τὸ λόγιον δεδιότων ʻτά γε τῶν πολεμίων᾿, ἔφη· ʻοὐ γὰρ ἂν θείην τὴν Σαλαμῖνα ὁ θεὸς ἀνηγόρευσεν, εἰ ἔμελλεν ἀπολλύειν τὰ τέκνα τῶν Ἑλλήνων.᾿ τοῦτο λεχθὲν θάρσος Ἀθηναίοις ἔδωκε, καὶ ἡ νίκη τὴν ἐξήγησιν ἐπιστώσατο.

180 2 Τοῦ θεοῦ χρήσαντος

τεῖχος Τριτογενεῖ ξύλινον διδοῖ εὐρύοπα Ζεὺς

---

Cap. 29. § 2. Holm I, p. 427, not. ad p. 242.

Cap. 30. § 1. Cf. Herod. 7, 142. 143; Plut. vita Themist. 10. — Schmidt, das Pericleische Zeitalter II, p. 354.

Cap. 30. § 2. Cf. Herod. 7, 141—143; Plut. vita Them. 10; Corn. Nep. Them. 2, 7.

---

2 εὐγενῶν HM ut coni. Cas.; συγγενῶν F vulg.: cf. Niebuhr hist. Rom. I, not. 821 ‖ 3 πολλαῖς ἡμέραις H ‖ 4 τιμήσας προεδρίᾳ Valckenarius in Stephani thes. l. gr. VI, 1687 A; similiter R τιμήσας προεδρίαις; τιμῆς προεδρίας F; τιμῆς καὶ προεδρίας H ‖ 11 τά γε R; κατά γε F ‖ 12 ἐστὶν ante ἔφη inserunt Cas. K ‖ 13 ἀπολύειν F ‖ 15 καὶ ἡ νίκη Pierson p. 488; καὶ ἡνίκα F; ἡνίκα δὲ vulg. ‖ 17 εὐρύωπα F.

*οἱ μὲν ἄλλοι Ἀθηναῖοι τειχίζειν τὴν ἀκρόπολιν ἠγόρευον, Θεμιστοκλῆς δὲ ἐς τὰς τριήρεις ἐμβαίνειν, ὡς ταύτας οὔσας τὸ ξύλινον τεῖχος τῶν Ἀθηναίων. ἐπείσθησαν, ἐνέβησαν, ἐναυμάχησαν, ἐνίκησαν.*

3 480 *Θεμιστοκλῆς ἐναυλόχει περὶ Σαλαμῖνα· τοῖς Ἕλλησιν ἐδόκει φεύγειν, Θεμιστοκλεῖ ναυμαχεῖν ἐν στενῇ θαλάσσῃ. ὡς δὲ μένειν οὐκ ἔπειθεν, ἦν αὐτῷ Σίκιννος εὐνοῦχος παιδαγωγὸς τοῖν παίδοιν, νύκτωρ τὸν Σίκιννον τοῦτον ὡς βασιλέα πέμπει μηνύσοντα κατ' εὔνοιαν δὴ ὅτι ἀποδιδράσκει τὸ Ἑλληνικόν· ἀλλὰ ναυμάχει. πείθεται βασιλεὺς καὶ ναυμαχεῖ, καὶ τὸ πλῆθος τῶν τριήρων συνέτριψεν ἡ στενὴ θάλασσα· οἱ δὲ Ἕλληνες ἄκοντες ἐνίκησαν τῇ σοφίᾳ τοῦ στρατηγοῦ.*

32, 1 — 4 480 *Οἱ Ἕλληνες νικήσαντες ἐν Σαλαμῖνι βουλεύονται πλεῖν ἐφ' Ἑλλήσποντον καὶ τὸ ζεῦγμα λύειν, ἵνα βασιλεὺς μὴ φύγῃ· Θεμιστοκλῆς ἀντιβουλεύεται λέγων 'βασιλεὺς ἀποληφθεὶς ἀναμαχεῖται τάχα· πολλάκις δὲ ἀπόνοια δίδωσιν, ὅσα μὴ ἔδωκεν ἀνδρεία'. πέμπει δὴ*

---

Cap. 30. § 3. Cf. Herod. 8, 75; Plut. Them. 12; Diod. 11, 17; Corn. Nep. Them. 4, 3; Iustin. 2, 12, 18; Front. strat. 2, 2, 14. — Schmidt. l. l. p. 354.

Cap. 30. § 4. Cf. Herod. 8, 110; Plut. Them. 16; Diod. 11, 19; Corn. Nep. Them. 5, 1; Front. strat. 2, 6, 8; Iustin. 2, 13, 5. — Schmidt. l. l. p. 138.

---

4 *ἐνέβησαν* Hertlein, Iahnii annal. 1867, p. 606; *ἐπέβησαν* F ‖ 6 *Θεμιστοκλῆ* F ‖ 8 *εὐνοῦχος* F] *εὔνους τῷ Θεμιστοκλεῖ* Plut. Them. 12; *οἰκέτης, παιδαγωγός*, *servus* vocatur apud Plut., Diodor., Corn. Nep., Iustin., Clem. Alex. Paed. 1, 7; itaque Polyaenum aut corrupto Plut. codice usum esse aut male respexisse verba Plut. cap. 16 *τινὰ τῶν βασιλικῶν εὐνοῦχον* censuit W (ne emendare coneris, cf. p. 32, 1 *εὐνοῦχον ἄλλον*); aliter de hac Polyaeni et Plutarchi discrepantia iudicavit A. Schmidt, l. l. ‖ *τοῖν παίδοιν* F] *τῶν παίδων* Seybold; cf. Herod. 8, 75 ‖ 10 *δῆθεν* D et W ‖ 12 *συνέτριψεν* M et Maasvicius; *συνέστρεψεν* F ‖ 17 *ἀπολειφθεὶς* F.

πάλιν ὡς βασιλέα εὐνοῦχον ἄλλον Ἀρσάκην οὑτωσὶ προαγορεύοντα· εἰ μὴ φύγοι διὰ τάχους, ἡ γέφυρα τοῦ Ἑλλησπόντου διαλύεται. βασιλεὺς ἔδεισε καὶ φθάσας τὸ Ἑλληνικὸν διέβη τὸ ζεῦγμα καὶ φυγὼν ᾤχετο· Θεμιστοκλῆς δὲ τοῖς Ἕλλησιν ἐφύλαξε τὴν νίκην ἀκίνδυνον.

479 5 Ἀθηναῖοι τὰ τείχη τοῦ ἄστεος ἤγειρον· Λάκωνες ἐφθόνουν· ἠπάτησεν αὐτοὺς Θεμιστοκλῆς. ὁ δὲ τρόπος τῆς ἀπάτης ἦν· ἀφίκετο πρεσβευτὴς καὶ ἦν πρὸς τοὺς Λάκωνας ἔξαρνος, ἦ μὴν οὐκ ἐγείρεσθαι τὸ τεῖχος. ‘εἰ δὲ ἀπιστεῖτε, τοὺς ἀρίστους ἐκπέμψατε κατασκόπους ἐμὲ κατασχόντες.’ οἱ μὲν ἔπεμψαν· Θεμιστοκλῆς δὲ κρύφα πέμψας ἐνετείλατο Ἀθηναίοις κατέχειν τοὺς κατασκόπους, ἔστ’ ἂν ἐγείρωσι τὸ τεῖχος· ἐπειδὰν δὲ ἐγείρωσι, μὴ πρότερον αὐτοὺς ἀποπέμπειν, εἰ μὴ πρόσθεν αὐτὸν ἀπολάβοιεν. καὶ ταῦτα οὕτως ἐγένετο. ἠγέρθη τὸ τεῖχος, καὶ ἐπανῆλθε Θεμιστοκλῆς. ἀπεδόθησαν οἱ κατάσκοποι, ἐτειχίσθησαν Ἀθῆναι Λακεδαιμονίων ἀκόντων.

483 6 Θεμιστοκλῆς ἐν τῷ πρὸς Αἰγινήτας πολέμῳ μελ-

---

Cap. 30. § 5. Cf. Plut. Them. 19; Thucyd. 1, 90 sqq.; Corn. Nep. Them. 6 sq.; Diod. 11, 39 sq.; Iustin. 2, 15; Front. strat. 1, 1, 10. — A. Schmidt II, p. 300 sq.; A. Schaefer, Mus. Rhen. 34, p. 616 sqq.

Cap. 30. § 6 eadem tradit, quae fragmentum papyri Aegypt., quod primum ed. Blass, Hermes 15, p. 373, ad Aristotelis *Ἀθηναίων πολιτείαν* iure retulit et partim e Polyaeni loco supplevit Th. Bergk, Mus. Rhen. 36, p. 87. Cf. H. Landwehr, Pap. Berol. Nr. 163 Musei Aegyptiaci, Gothae 1883, p. 31, § 4.

---

1 *ἀρσάκης* F; *Ἀρνάκην* Plut. ‖ 2 *προαγορεύοντα* F] *προσαγ.* vulgo; *προαγορεύσοντα* K ‖ 6 *ἤγειρον* K; *ἤγειραν* F ‖ 8 *ἦν*] *οὗτος* add. vulg., sed cf. 7, 12; Xenoph. anab. 6, 1, 8 ‖ 9 *ἐγείρεσθαι* K ‖ 11 *ἐμὲ κατασχόντες* Maasv.; *μετασχόντες* F.

λόντων Ἀθηναίων τὴν ἐκ τῶν ἀργυρείων πρόσοδον, ἑκατὸν τάλαντα, διανέμεσθαι κωλύσας ἔπεισεν ἑκατὸν ἀνδράσι τοῖς πλουσιωτάτοις ἑκάστῳ δοῦναι τάλαντον· κἂν μὲν ἀρέσῃ τὸ πραχθησόμενον, τῇ πόλει τὸ ἀνάλωμα λογισθῆναι, ἐὰν δὲ μὴ ἀρέσῃ, τοὺς λαβόντας ἀποδοῦναι. ταῦτα μὲν ἔδοξεν. οἱ δὲ ἑκατὸν ἄνδρες ἕκαστος μίαν τριήρη κατέστησαν σπουδῇ χρησάμενοι κάλλους καὶ τάχους. Ἀθηναῖοι καινὸν στόλον ποιήσαντες ἥσθησαν, καὶ οὐ μόνον κατὰ Αἰγινητῶν ταῖς τριήρεσι ταύταις, ἀλλὰ καὶ κατὰ Περσῶν ἐχρήσαντο.

e. 8, 1 Θεμιστοκλῆς Ἰώνων Ξέρξῃ συμμαχούντων ἐκέ- 7 480
λευσε τοῖς Ἕλλησι καταγράφειν ἐπὶ τοὺς τοίχους 'ἄνδρες Ἴωνες, οὐ δίκαια ποιεῖτε στρατεύοντες ἐπὶ τοὺς πατέρας'. τούτων ἀναγιγνωσκομένων βασιλεὺς τοὺς Ἴωνας ὑπόπτους ἡγήσατο.

Θεμιστοκλῆς φεύγων Ἀθηναίους νεὼς ἐπιβὰς 8 467-
ἀγνοούμενος ἐκομίζετο τὴν ἐπὶ Ἰωνίας. ἐπεὶ δὲ ἡ ναῦς ὑπὸ χειμῶνος ἐπὶ Νάξον κατεφέρετο πολιορκουμένην ὑπ' Ἀθηναίων, τῷ ναυκλήρῳ φοβηθεὶς ἔφρασεν ὅστις εἴη. καὶ εἰ μὴ σώσειεν αὐτόν, κατερεῖν ἠπείλησεν Ἀθηναίοις, ὡς χρήμασι αὐτὸν πεισθεὶς ἄγοι· ὅπως οὖν ἀμφότεροι σωθεῖεν, μηδεὶς (οὖν) ἐκβαινέτω

---

Cap. 30. § 7. Cf. Herod. 8, 22; Plut. Them. 9; Iustin. 2, 12, 3.
Cap. 30. § 8. Ex Thucyd. 1, 137 coll. Plut. Them. 25, Corn. Nep. Them. 8, 6. — De fontibus cap. 30 cf. J. p. 433—436.

---

1 ἀργυρίων F; corr. Hertlein ‖ 7 κατέστησεν vulg.; κατεσκεύασε K ‖ 12 τοὺς τοίχους FH; τοῦ τείχους vulg.; τοὺς λίθους m, ut est ap. Herod. et Plut.; *saxis proscribi curat* Iustin.; ἐπὶ τοῖς τοίχοις R et Heringa ‖ 21 πεισθεὶς αὐτὸν vulg. ex Thucyd. ‖ 22 σωθείημεν K; σωθεῖμεν Hertlein ‖ μηδεὶς οὖν F; om. vulg.

τῆς νεώς. ὁ ναύκληρος φοβηθεὶς οὔτε ἐκβῆναι συνεχώρησε καὶ ἀναχθῆναι διὰ τάχους ἔσπευσεν.

## 31. ΑΡΙΣΤΕΙΔΗΣ.

480 Ἀριστείδης καὶ Θεμιστοκλῆς, ἐχθρότατοι πάντων ὄντες διεπολιτεύοντο. τοῦ δὲ Πέρσου δὴ ἐπιόντος ἀλλήλων λαβόμενοι τῆς πόλεως ἔξω προελθόντες ἐς ταὐτὸν ἑκάτερος τὴν δεξιὰν χεῖρα καθιέντες συνημμένων τῶν δακτύλων ἐπεφώνουν· ‘τὴν ἔχθραν ἐνταῦθα κατατιθέμεθα, ἕως ἂν πρὸς τὸν Πέρσην διαπολεμήσωμεν.’ ταῦτ’ εἰπόντες ἄραντες τὰς χεῖρας διαλελυμένων τῶν δακτύλων, ὡς δή τι κατατεθεικότες, ἔπειτα συγχώσαντες τὸν βόθρον ἐπανῆλθον καὶ διετέλεσαν παρὰ πάντα τὸν πόλεμον ὁμονοοῦντες. ἡ δὲ τῶν στρατηγῶν ὁμόνοια μάλιστα δὴ τοὺς βαρβάρους ἐνίκησεν.

## 32. ΛΕΩΝΙΔΑΣ.

480 1 Λεωνίδας ἐν Θερμοπύλαις παραταξάμενος τῇ στενότητι τοῦ χωρίου ἀχρεῖον ἐποίησε τὸ πλῆθος τῶν βαρβάρων. c. 18. 2

2 Λεωνίδας μάχην συνάπτειν μέλλων ὁρῶν νεφέλας χειμερίους ἀλιζομένας πρὸς τοὺς ἡγεμόνας ἔφη, ὡς οὐ χρὴ θαυμάζειν ἀστραπῶν καὶ βροντῶν γιγνομένων· ἀνάγκη γὰρ αὐτὰ συμβαίνειν, ἄστρου κινουμένου.

---

Cap. 31. Cf. Plut. apophth. reg. et imp., Aristid. 8.
Cap. 32. § 1. Ex Ephoro coll. Diod. 11, 6, 4.
Cap. 32. §§ 2 et 3. Cf. J. p. 437.

---

1 *συνεχώρησε*] *οὐδενὶ* suppl. R ‖ 5 *δὴ ἐπιόντος* Koen. p. 185; *διέποντος* F ‖ 7 *ταὐτὸν*] *βόθρον* R ‖ *καθέντες* K ‖ *συνημμένων* R; *συνηγμένων* F vulg. ‖ 9 *καταθώμεθα* K ‖ 10 *ἄραντες* K; *αἴροντες* F; *αἴρονται* Blume ‖ 16 *στενότητι* HMV] *σεμνότητι* F ‖ 22 *τὰ αὐτὰ* M, unde W coni. *ταῦτα*.

πολλῶν οὖν διοσημειῶν γιγνομένων οἱ μὲν τοῦ Λεωνίδου προϊδόντες τὸ μέλλον θαρροῦντες ἠπείγοντο. οἱ πολέμιοι δὲ ἐκπλαγέντες ἄθυμοι πρὸς τὸν κίνδυνον ἐγένοντο καὶ παρὰ τοῦτο ἡττήθησαν.

e. 12, 4 Λεωνίδας ἐμβαλὼν ἐς χώραν πολεμίων διαπέμψας 3
νύκτωρ ἄλλους ἀλλαχῇ προσέταξεν, ὅταν αἴρῃ τὸ σημεῖον, δένδρα κόπτειν καὶ τὰς ἐπαύλεις ἐμπιπράναι. ταῦτα ὁρῶντες οἱ κατὰ τὴν πόλιν καὶ πάμπολυ τὸ πλῆθος εἶναι νομίσαντες οὐκ ἐπεξῆλθον, ἀλλὰ τὴν λείαν ἄγειν αὐτοῖς προήκαντο.

## 33. ΛΕΩΤΥΧΙΔΗΣ.

e. 14, 1 Λεωτυχίδης, περὶ Μυκάλην τῶν Ἑλλήνων ναυμα- 479
χούντων καὶ τὸ πλῆθος τῶν βαρβάρων καταπεπληγότων, τῶν δὲ Ἰώνων μηδιζόντων φόβῳ μᾶλλον ἢ γνώμῃ, μετέβαλεν ἁπάντων τὸ φρόνημα πλασάμενος ἀγγελίαν ἥκειν, ὡς τῶν ἐν Πλαταιαῖς Ἑλλήνων τοὺς Πέρσας νενικηκότων. οἱ δὲ Ἴωνες ἀκούσαντες ἐθάρρησαν καὶ προσέθεντο τοῖς Ἕλλησιν. ἡ τύχη τὸ Λεωτυχίδου στρατήγημα ἐποίησεν ἀληθὲς νίκην παρασχοῦσα τοῖς Ἕλλησι τῆς ἐν Πλαταιαῖς μάχης.

## 34. ΚΙΜΩΝ.

e. 57, 1 Κίμων ἐπ' Εὐρυμέδοντι ποταμῷ νικᾷ τοὺς βασι- 1 46

---

Cap. 33. Ex Ephoro coll. Diod. 11, 35; cf. Herod. 9, 100.
Cap. 34. § 1. Ex Ephoro coll. Diod. 11, 61. — M. Duncker, Gesch. d. Altertums 8, p. 210, not. 4.

---

1 διοσημειῶν W; διοσημιῶν K; διοσημείων F ‖ γινομένων F ‖ 5 πολεμίανK ‖ ἀποπέμψας H ‖ 6 ἄλλον ἀλλαχοῦ H ‖ αἴρῃ τὸ FH] ἄρῃ τὸ K, quod praefert W; αἴρητο τὸ vulg. ‖ 8 τὸ om. M ‖ 10 προήκαντο vulg.; προσήκαντο F ‖ 17 εἰ τύχῃ F.

*λέως σατράπας καὶ πολλὰ σκάφη βαρβαρικὰ ἑλὼν ἐς ταῦτα τοὺς Ἕλληνας ἐμβῆναι κελεύει καὶ στολὰς ἐνδῦναι Μηδικὰς καὶ πλεῖν ἐπὶ Κύπρον. Κύπριοι τῇ ὄψει τοῦ βαρβαρικοῦ σχήματος ἐξαπατώμενοι τὸν στόλον ὡς φίλιον ὑποδέχονται· οἱ δὲ ἀποβάντες καὶ σφόδρα γε ἀντὶ βαρβάρων Ἕλληνες ἐφάνησαν καὶ Κυπρίους ἐνίκησαν μείζω τὴν ἔκπληξιν τῆς δυνάμεως ἔχοντες.*

65 2 *Κίμων ἀπὸ Σηστοῦ καὶ Βυζαντίου αἰχμάλωτα πολλὰ βαρβαρικὰ εἷλε καὶ τῶν συμμάχων δεηθέντων διανομεὺς ἐγένετο. μοῖραν μίαν ἔταξε γυμνὰ τὰ σώματα, μοῖραν ἑτέραν ἀναξυρίδας, κάνδυς, στρεπτὰ καὶ ὅσα τοιάδε. οἱ σύμμαχοι αἱροῦνται τὸν κόσμον· Ἀθηναῖοι γυμνὰ τὰ σώματα. γέλων ὀφλισκάνει Κίμων ὡς τὴν μείζω μοῖραν προέμενος τοῖς συμμάχοις. οὐκ ἐς μακρὰν τῶν αἰχμαλώτων οἱ συγγενεῖς ἀπὸ Λυδίας καὶ Φρυγίας καταβάντες μεγάλα λύτρα ὑπὲρ τῶν οἰκείων κατέβαλον. τότε ἡ σοφία Κίμωνος ἐθαυμάζετο· Ἀθηναῖοι δὲ πολλῷ πλείω χρήματα λαβόντες μάλα δὴ τῶν συμμάχων κατεκερτόμησαν.*

## 35. ΜΥΡΩΝΙΔΗΣ.

157 1 *Ἀθηναῖοι καὶ Θηβαῖοι παρετάσσοντο. Μυρωνίδης*

---

Cap. 34. § 2. Cf. Plut. vita Cimon. 9.
Cap. 35. § 1. Cf. Front. strat. 2, 4, 11.

---

2 *ἐνδοῦναι* $F_1$ ‖ 5 *φίλιον* F] *φίλον* M; *προσεδέξαντο τοὺς Ἀθηναίους ὡς φίλους* Diod., sed idem *Κίμων ὡς φίλιος προσδεχθεὶς*; cf. tamen ad 5, 40 ‖ 6 *καὶ* om. F vulg. ‖ 9 *εἶχε* ut videtur M; *πολλοὺς τῶν βαρβάρων αἰχμαλώτους λαβόντες* Plut. ‖ 11 *κάνδυς, στρεπτὰ* V *vestes, torques*; *κανδύστρεπτα* F; *καὶ δί·στρεπτα* M.

Ἀθηναίοις παρήγγειλεν, ὅταν ὑποσημήνῃ, θεῖν ἐπὶ τοὺς πολεμίους ἀρξαμένους ἀπὸ τοῦ εὐωνύμου. ὁ μὲν ἐσήμηνεν· οἱ δ' ἔθεον. ὡς δὲ βραχὺ προῆλθον, Μυρωνίδης ἐπὶ τὸ δεξιὸν κέρας δραμὼν μέγα ἐβόα 'νικῶμεν κατὰ τὸ εὐώνυμον'. Ἀθηναῖοι μὲν τῷ λόγῳ τῆς νίκης ἐπιρρωσθέντες προθυμότερον ἐμβάλλουσι· Θηβαῖοι δὲ τῷ ἀγγέλματι τῆς ἥττης καταπλαγέντες ἔκλιναν εἰς φυγήν.

e. 14, 2 Μυρωνίδης Ἀθηναίους ἦγεν ἐπὶ Θήβας, καὶ προ- 2 4
ελθὼν εἰς τὸ πεδίον ἐκέλευσεν αὐτοὺς θεῖναι τὰ ὅπλα καὶ περισκοπεῖν ἐν κύκλῳ. τῶν δὲ περισκοπούντων 'ὁρᾶτε', ἔφη, 'τὸ πεδίον ὅσον. ἐν πεδίῳ τόσῳ πολεμίων ἵππους ἐχόντων, ἢν μὲν φεύγωμεν, ἀνάγκη διωκόντων ἱππέων ἁλῶναι· ἢν δὲ μένωμεν, πολλαὶ τοῦ νικᾶν ἐλπίδες.' οὕτως ἄρα πείθονται μένειν· καὶ προῆλθε Μυρωνίδης κρατῶν ἄχρι Φωκίδος καὶ Λοκρῶν.

## 36. ΠΕΡΙΚΛΗΣ.

e. 24, 1 Λακεδαιμόνιοι τὴν Ἀττικὴν ἐδῄουν. Περικλῆς 1 4
ἐξέπεμψε τριήρεις Ἀθηναίων, οἳ δῃώσουσι τὰ παράλια τῆς Λακωνικῆς, ὅπως αὐτοῖς πλείω πάσχειν ἢ δρᾶν συμβαίνῃ.

Περικλῆς πλουτῶν χώραν πολλὴν ἐκέκτητο. Ἀρ- 2 4

Cap. 35. § 2. Cf. Front. strat. 4, 7, 21. — J. p. 438 sq.

Cap. 36. § 1. Cf. Thucyd. 1, 143; Plut. Per. 34; Iust. 3, 7, 5; Diod. 12, 42, 7; Front. strat. 1, 3, 9. — A. Schmidt, das Pericleische Zeitalter II, p. 265 et 349.

Cap. 36. § 2. Cf. Thucyd. 2, 13; Plut. Per. 33; Iust. 3, 7, 8. — Schmidt, ibid. p. 349.

1 θεῖν DV *excurrerent;* θῆναι F; θεῖναι M ‖ 10 τὸ F] τι HW ‖ 13 ἢν F] ἂν H; εἰ vulg. ‖ 14 τῶν ἱππέων H ‖ 19 οἳ FH; αἳ vulg. ‖ 20 παρασχεῖν FH; corr. vulg. ‖ 21 συμβαίνῃ F] συμβῇ H; συμβαίη E.

χίδαμος, φίλος ὢν αὐτῷ πάλαι καὶ πρόξενος, δηώσων ἐνέβαλλε τὴν Ἀττικήν. Περικλῆς προϊδόμενος, ὡς ἄρα τιμῶν Ἀρχίδαμος τὴν προξενίαν τῶν αὐτοῦ χωρίων ἀποσχήσοιτο, ἵνα μὴ γένοιτο Ἀθηναίοις ὕποπτος, φθάσας τὴν δῄωσιν ἐς ἐκκλησίαν παρελθὼν ἐχαρίσατο τῇ πόλει τὴν γῆν, ὅσην ἐκέκτητο.

### 37. ΚΛΕΩΝ.

360 Κλέων Ἀβυδηνοῖς Σηστὸν παρέδωκεν οὐ φανερᾷ c. 54, 2
μάχῃ, ἀλλ' ἀφανεῖ τέχνῃ. Θεόδωρος φρουρῶν Σηστόν, ἑταῖρος Κλέωνος, μοιχεύων γύναιον ἐν προαστείῳ, τῆς ὑδρορρόης διὰ τοῦ τείχους στενῆς φερομένης, ἕνα λίθον ἐξαιρῶν, διὰ νυκτὸς ἐξιὼν καὶ εἰσιὼν τὸν λίθον ἐναρμόττων καὶ τοῦτο λανθάνων τῷ Κλέωνι τὸ πραττόμενον ὡμολόγησεν ὡς παίγνιον. ὁ δὲ τοῖς Ἀβυδηνοῖς τὸ ἀπόρρητον ἐξαγορεύσας ἀσέληνον νύκτα παρατηρήσας κατὰ τὴν ὑδρορρόην, τοῦ Θεοδώρου τὸν λίθον ἐξῃρηκότος καὶ περὶ τὴν μοιχείαν ἀσχολουμένου, τοὺς στρατιώτας ὑπεισήγαγεν, οἳ τοὺς φύλακας ἀνελόντες τὰς πύλας ἔνδοθεν ἀνοίξαντες πᾶσαν δεξάμενοι τὴν δύναμιν τῆς Σηστοῦ ῥᾳδίως ἐκράτησαν.

### 38. ΒΡΑΣΙΔΑΣ.

424 1 Βρασίδας Ἀμφίπολιν προδοθεῖσαν εἷλε καὶ τοῖς προδόταις κελεύει κλεῖσαι τὰς πύλας καὶ λαβὼν τὰς βαλανάγρας ἔρριψεν ὑπὲρ τὸ τεῖχος, ὅπως ἂν ἀμύ-

Cap. 37 falso retuleram ad Cleonem Brasidae adversarium J. p. 439: agitur de re a Demosthene commemorata or. 23, 158; cf. Schaefer, Demosth. I, 136 et not. 4.

1 δηώσων ἐνέβαλλε F] ἐνέβαλε δηῶσαι vulg.; ἐνέβαλε δηώσων K ‖ 3 αὐτοῦ Hertlein; αὐτοῦ F ‖ 9 Θεότιμος et 16 Θεοτίμου A. Schäfer mus. Rhen. 19 p. 610 ex Hyperide p. Euxen. in. ‖ 12 ἐξαίρων F ‖ 13 τοῦτο vulg.; τοῦτον F; τοῦτο aut delendum aut τοῦτο [ποιῶν] scribendum censet R.

νοιντο τοὺς πολεμίους, εἰ καὶ κλίμακας προσθέντες βιάζοιντο.

e. 47, 1 Βρασίδας περὶ Ἀμφίπολιν ἐπολιορκεῖτο ἐπὶ λόφου 2 42 καρτεροῦ προσβαλλόντων ἐν κύκλῳ τῶν πολεμίων. οἱ μὲν δὴ δεδιότες, μὴ νύκτωρ ἀποδραίη, λίθοις περιετείχιζον τὸν λόφον καὶ τεῖχος ὑψηλὸν ἤγειρον. οἱ δὲ Λάκωνες ἠγανάκτουν, ὅτι μὴ προῆγεν αὐτοὺς εἰς μάχην, ἀλλὰ περιτειχισθέντες αἴσχιστα λιμῷ ἁλώσοιντο· Βρασίδας αὐτὸς ἔφη τὸν καιρὸν τῆς μάχης εἰδέναι. ἐπεὶ δὲ τὸ πλεῖστον τοῦ λόφου περιετετείχιστο, λοιπὸν δὲ ἦν ἀτείχιστον ὅσον πλέθρον αὔταρκες, τοῖς μετ' αὐτοῦ πρὸς μάχην παρήγγειλε τοῦτον εἶναι τὸν καιρὸν ὁρμῶσιν ἐπὶ τὴν ἔξοδον. καὶ δὴ ὁρμήσαντες πολλοὺς τῶν πολεμίων διαφθείραντες ἐσώθησαν· ἡ γὰρ στενοχωρία ἐλάττονας ὄντας οὐκ ἔβλαψεν· ὁ δὲ περιτειχισμὸς ὠφέλησε κωλύσας μηδένα κατὰ νώτου πολέμιον αὐτῶν γενέσθαι, ὥστε τῷ τείχει τῶν ἐναντίων τὸ μὲν ἐκείνων πλῆθος ἀχρεῖον, ἡ δὲ ἔξοδος ἀσφαλεστέρα τοῖς Λάκωσιν ἐγένετο.

e. 4, 2 Βρασίδας ἐπ' Ἀμφίπολιν ἐλθὼν λάθρα καὶ συν- 3 42
ιδὼν ταραχὴν τῶν ἔνδον οὐχ ἡγούμενος ἀσφαλῆ τὴν ἐξ ἀπονοίας μάχην ἐκήρυξεν Ἀθηναίοις μὲν ἄδειαν ὑποσπόνδοις ἀπιοῦσι καὶ τὰ σφῶν αὐτῶν ἔχουσιν, Ἀμφιπολίταις δὲ αὐτόνομον τὴν πατρίδα, εἰ σύμμαχοι Λακεδαιμονίων γένοιντο. τῷ κηρύγματι πεισθέντες Ἀθηναῖοι μὲν ἀπαλλάσσονται, Ἀμφιπολῖται δὲ Λακε-

---

Cap. 38. § 2. Cf. Front. strat. 1, 5, 23. — J. p. 439 sq.
Cap. 38. § 3. Cf. Thucyd. 4, 105 sq.; Diod. 12, 68. — J. p. 440 sq.

---

6 ἤγειραν vulg. K || 16 πολέμιον vulg.; πόλεμον F; τῶν πολεμίων K; ὡς κατὰ νώτου μὴ δυναμένων τῶν πολεμίων ἐπιτίθεσθαι H.

*δαιμονίοις προσέθεντο· Βρασίδας δὲ Ἀμφίπολιν καθ' ὁμολογίαν προσεκτήσατο.*

123 4 *Βρασίδας νυκτὸς ἐπιπλέων Σκιώνῃ τριήρη φιλίαν προπλεῖν ἔταξεν· αὐτὸς δὲ ἐν ὑπηρετικῷ κατόπιν εἵπετο, ὅπως, εἰ μέν τι μεῖζον τοῦ ὑπηρετικοῦ πολέμιον ἐπιφανείη σκάφος, ἡ τριήρης ἀμύνοι, εἰ δὲ ἀντίπαλος ἄλλη τριήρης, ἐν ὅσῳ πρὸς ἐκείνην διαγωνίζεται, αὐτὸς ἐν τῷ ὑπηρετικῷ διασωθῆναι φθάσειεν.*

5 *Βρασίδας ἐν τόπῳ στενῷ προσκειμένων κατὰ τὴν* e. 46, 1 *οὐραγίαν τῶν πολεμίων ἐκέλευσεν ἀπὸ λόφου κόπτοντας ἐν μέρει ξύλα κομίζειν· τὴν δὲ ὕλην πῦρ ἐμβαλὼν ἐνέπρησεν, ὥστε πολλῆς φλογὸς αἰρομένης οἱ πολέμιοι κατὰ τὴν οὐραγίαν προσπίπτειν ἐκωλύοντο, αὐτὸς δὲ ἀσφαλῶς τὴν ἀναχώρησιν ἐποιήσατο.*

## 39. ΝΙΚΙΑΣ.

425 1 *Νικίας, ἐπιπλεύσας τῇ Κορινθίᾳ νύκτωρ, ἔνθα ὁ* cf. e. 54, 18 *Σολύγης λόφος, ἀποβιβάσας Ἀθηναίων ὁπλίτας χιλίους καὶ ἄλλους ἀλλαχῇ λοχῆσαι τάξας ἀπέπλευσεν· ἐπεὶ δὲ ὑπηύγαζεν ἕως, πάλιν αὖ φανερῶς ἐπέπλευσεν. οἱ μὲν Κορίνθιοι σπουδῇ ἐκβοηθοῦντες ἔθεον, κωλύσοντες ἐκβαίνειν· οἱ δὲ ἐν ταῖς ἐνέδραις ἐξανιστάμενοι τοὺς πλείστους αὐτῶν διέφθειραν.*

---

Cap. 38. § 4. Ex Thucyd. 4, 120.
Cap. 38. § 5. Cf. J. p. 441.
Cap. 39. § 1. Cf. Thucyd. 4, 42—44.

---

5 *ἐπιφανείη* Aug. Baumeister et Hertlein; *ἐπιφανῇ* F ‖ 7 *ἄλλη* vulg.] *ἀλλ' ἡ* F ‖ 17 *καὶ χιλίους ἄλλους* F; corr. vulg. ‖ 19 *ὑπηύγαζεν ἕως* Koen. p. 32 coll. 7, 8, 2. 8, 3, 2; *ἐπηύγαζεν ὡς* F ‖ 21 *ἐξανιστάμενοι* Hertlein, Iahnii annal. 1861, p. 249; *ἐπανιστάμενοι* F.

.37,2 Νικίας στρατοπεδευόντων Ἀθηναίων περὶ τὸ Ὀλυμπιεῖον ἐς τὸ πρὸ τοῦ στρατοπέδου χωρίον ὁμαλὲς ὂν ἐκέλευσε νύκτωρ τριβόλους κατασπεῖραι. ἐπεὶ δὲ τῆς ὑστεραίας Ἔκφαντος ὁ Συρακουσίων ἵππαρχος προήγαγε τοὺς ἱππεῖς, ἦν αὐτῶν αἰσχρὰ φυγὴ τῶν τριβόλων ἐμπηγνυμένων ἐν τοῖς ποσὶ τῶν ἵππων· πολλοὶ δ' αὐτῶν οὐδὲ προβαίνειν οἷοί τε ἦσαν, ἀλλ' ὑπὸ τῶν πελταστῶν στερεὰ ὑποδήματα ἐχόντων διεφθείροντο. 2 415

.22,1 Νικίας ἐν τῷ κύκλῳ τοῦ τείχους ἀπελείφθη μετ' ὀλίγων στρατιωτῶν τῆς ἄλλης δυνάμεως περὶ Θάψον οὔσης. τῶν δὲ Συρακουσίων τὸ προπύργιον τοῦ κύκλου λαβόντων, ἐν ᾧ ξύλα πολλὰ ἦν, οὐχ ἱκανὸς ὢν ἀμύνασθαι τὰ ξύλα ἐνέπρησεν· ἡ δὲ φλὸξ ἐπὶ μέγα αἰρομένη τοὺς πολεμίους ἀπεκρούετο. ἐν τῷ τέως ἡ ἀπὸ Θάψου δύναμις ἐπελθοῦσα προσεβοήθησεν. 3 414

.39,1 Νικίας ὑπὸ Γυλίππου διωκόμενος ἤδη καταλαμβανόμενος ἔπεμψε κήρυκα πρὸς αὐτὸν, φάσκων πάντα ποιήσειν τὰ προστασσόμενα, καὶ ὡς ἤδη τινὰ χρὴ πέμπειν τὸν δώσοντα ὅρκους καὶ ληψόμενον. Γύλιππος τῷ κήρυκι πιστεύσας κατεστρατοπέδευσε καὶ τοῦ διώκειν ἀποσχόμενος τῷ κήρυκι τῷ ἀπὸ Νικίου συνέπεμψε τὸν συνθησόμενον. ἐν δὲ τῷ τέως Νικίας 4 413

---

Cap. 39. § 2. Cf. Holm II, p. 26 et not.; J. p. 492 sq.
Cap. 39. § 3. Cf. Plut. vita Nic. 18 et Thucyd. 6, 102, 2.
Cap. 39. § 4. Cf. Thucyd. 7, 83. — J. p. 493.

---

2 Ὀλυμπιεῖον H; ὀλύμπιον F ‖ 3 ὂν Cas.; ὃ F ‖ 7 ὅσοι τε F; corr. vulg. ‖ 11 ἐπὶ Θάψον H ‖ 12 τὰ προπύργια H ‖ 15 ἡ H vulg. Hertlein; om. F ‖ 16 ἐλθοῦσα H.

τῶν ὀχυρωτέρων λαβόμενος πάλιν ἐπολέμει τὴν ἀποχώρησιν τῇ διὰ τοῦ κήρυκος ἀπάτῃ στρατηγήσας.

## 40. ΑΛΚΙΒΙΑΔΗΣ.

1 Ἀλκιβιάδης δοκιμασίαν φίλων τοιάνδε ποιεῖται. e. 6, 1 εἴδωλον ἀνδρὸς ἐν οἰκίσκῳ σκοτεινῷ καθεῖρξε καὶ τῶν φίλων ἕκαστον εἰσάγων ἐδείκνυεν ὡς ἄνδρα δὴ πεφονευμένον καὶ παρεκάλει συμπράττειν, ὅπως ἂν τὸ δεινὸν λάθοι. οἱ μὲν δὴ ἄλλοι κοινωνῆσαι τοῦ μιάσματος ἔφυγον· Καλλίας δὲ ὁ Ἱππονίκου προσήκατο τὸ εἴδωλον, ὃ ἔδειξεν ἐπὶ δοκιμασίᾳ φίλων πεποιημένον. πιστὸν φίλον ἡγεῖται Καλλίαν, καὶ τὰ πάντα ἦν Ἀλκιβιάδῃ Καλλίας.

2 Ἀλκιβιάδης προσπλεύσας πολεμίᾳ πόλει τοὺς στρα- e. 36, 1 τιώτας ἀποβιβάσας νύκτωρ καὶ ἡμέραν ἀναμείνας, τῶν πολεμίων οὐκ ἐξιόντων, ἐνέδραν ἐγκαταστήσας τὰς σκηνὰς ἐμπρήσας ἀνήχθη. οἱ δὲ ἐκ τῆς πόλεως ἀνηγμένον ἰδόντες, θαρρήσαντες, ἐξελθόντες ἐσκεδάννυντο ἀνὰ τὴν χώραν. οἱ λοχῶντες ἐξαναστάντες εἷλον οὐκ ὀλίγα σώματα καὶ λείαν ἄφθονον· Ἀλκιβιάδης πάλιν

---

Cap. 40. Cf. G. Hertzberg, Alcibiades als Staatsmann und Feldherr, Halle 1853. — J. p. 441 sq. et p. 492.
Cap. 40. § 2. Cf. Front. 3, 11, 3.

---

1 *τῶν* F] *τόπων* K (*loco firmiore* V), quod commendatur locis 3, 9, 11. 3, 9, 43. 3, 11, 8. 4, 3, 12. 5, 44, 2. 8, 50; sed similiter variant *τόποι στενοί* et *τὰ στενά* 1, 38, 5. 3, 9, 2. 3, 9, 49. 3, 11, 4 et 2, 1, 24. 3, 9, 49. 4, 2, 8. Cf. quoque 5, 44, 2. 7, 41 ‖ *ἀναχώρησιν* H ‖ 5 *καθῆρξεν* F ‖ 6 *ἕκαστον τῶν φίλων ἰδίᾳ προσάγων* H ‖ 7 *τὸ δοκοῦν λάθοι δεινὸν* H ‖ 10 *ὃ* F] *ᾧ* Seybold K ‖ 14 *νύκτα* H ‖ 15 *καταστήσας* H ‖ 17 *ἐσκεδάσθησαν* H; *ἀνεσκεδάννυντο* vulg.: cf. 1, 48, 4 ‖ 18 *ἐξαναστάντες* Hertlein; *ἐπαναστάντες* F.

*προσπλεύσας καὶ ἀναλαβὼν αὐτὰ τὰ ληφθέντα καὶ τοὺς λαβόντας ἀπέπλευσεν.*

25, 1 *Ἀλκιβιάδης Λακεδαιμονίων πολιορκούντων τὰς* 3
*Ἀθήνας βουλόμενος τοὺς φύλακας τοῦ ἄστεος καὶ τοῦ Πειραιῶς καὶ τῶν σκελῶν τῶν ἄχρι θαλάσσης ἀγρύπνους περὶ τὴν φυλακὴν κατασκευάσαι προηγόρευσεν, ὡς αὐτὸς ἀπὸ τῆς ἀκροπόλεως νύκτωρ τρὶς ἀνασχήσοι τὸν λαμπτῆρα· ὃς δ' ἂν μὴ ἀντανάσχῃ, ὡς φυλακὴν ἐκλιπὼν κολασθήσεται. οὕτω δὴ πάντες ἀγρυπνοῦντες ἐφύλαττον ἀφορῶντες ἐς τὴν ἀκρόπολιν, ἵνα αἴροντος τοῦ στρατηγοῦ τὸ πῦρ ἀντᾶραι δύναιντο, σημαίνοντες ὡς ἐγρηγορότες φυλάττοιεν.*

*Ἀλκιβιάδης πλέων ἐπὶ Σικελίαν ἐλθὼν ἐς Κέρ-* 4 415
*κυραν πολλὴν οὖσαν τὴν δύναμιν τριχῇ διεῖλεν, ἵνα τῶν ἐπιτηδείων μᾶλλον εὐποροῖεν κατὰ μέρος ταῖς πόλεσι προσβάλλοντες. ἐπεὶ δὲ κατέσχεν ἐς Κατάνην οὐ δεχομένων αὐτὸν Καταναίων ἐπρεσβεύσατο βουλόμενος μόνος παρελθὼν εἰπεῖν αὐτοῖς τὰ συμφέροντα. τῶν δὲ ἐπιτρεψάντων καὶ θεόντων ἐς ἐκκλησίαν συνέταξεν, ὅσαι τῶν τειχῶν ἦσαν πυλίδες ἐνῳκοδομημέναι σαθρῶς, ταύτας ἐξελόντας εἴσω παρελθεῖν. ὁμοῦ δὴ συνέβαινεν Ἀλκιβιάδην μὲν ἄρχεσθαι δημηγορεῖν, Ἀθηναίους δὲ Κατάνην ἔχειν.*

29, 2 *Ἀλκιβιάδης [Κατάνην] κατασχὼν ἄνδρα Καταναῖον* 5 415

Cap. 40. § 3. Cf. Front. 3, 12, 1.
Cap. 40. § 4. Cf. Thucyd. 6, 42 et 51; Diod. 13, 4, 4; Front. 3, 2, 6.
Cap. 40. § 5. Cf. Thucyd. 6, 64 sq.; Diod. 13, 6, 2; Front. strat. 3, 6, 6.

4 *τοὺς ἰδίους καὶ φύλακας* H ‖ 5 *σικελῶν* F ‖ 7 *ὡσαύτως* F ‖ 8 *ἀντανάσχῃ* Cas.; *ἀνάσχῃ* F; *ἀνάσχοι* vulg. ‖ 10 *ἀφορῶντες* H; *ἀγρυπνοῦντες* F ‖ 21 *διελόντας* Thucyd., Diod. ‖ 24 *Κατάνην* om. FH; inser. Cas.

*πιστὸν αὐτῷ Συρακουσίοις γνώριμον καθῆκεν ἐς Συρακούσας ὡς πεμφθέντα ὑπὸ τῶν ἐν Κατάνῃ φίλων ὄντων αὐτοῖς, ὧν τὰ ὀνόματα γιγνώσκοιεν. οὗτος ἤγγειλεν, Ἀθηναίους καταλιπόντας τὸ στρατόπεδον ἀόπλους εἴσω Κατάνης αὐλίζεσθαι, εἰ δὲ αὐτοὶ ἅμα ἕῳ καταλάβοιεν τῶν Ἀθηναίων τὸ στρατόπεδον, δύνασθαι τοὺς ἐν τῇ πόλει γυμνοὺς ἀποκλεισθέντας ἁλῶναι ῥᾳδίως. ἐπίστευσαν οἱ στρατηγοὶ τῶν Συρακουσίων καὶ παρήγγειλαν ἐξιέναι πανδημεὶ τὴν ἐπὶ Κατάνης, καὶ προελθόντες ἐστρατοπεδεύσαντο πρὸς τῷ Συμαίθῳ ποταμῷ. Ἀλκιβιάδης προσιόντας αὐτοὺς ὡς ᾔσθετο, τὰς τριήρεις πληρώσας σπουδῇ προσέπλευσεν τῇ πόλει τῶν Συρακουσίων κενῇ καὶ οὐδενὸς εἴργοντος· τὸ δὲ κατὰ πλευρὰν αὐτῶν προτείχισμα ἐξελὼν διήρπασεν.*

15 6 *Ἀλκιβιάδης ἀπὸ Σικελίας ἀναχθεὶς ἐπὶ τὴν κρίσιν τὴν περὶ τῶν Ἑρμῶν καὶ τῶν μυστηρίων στρογγύλης νεὼς ἐπιβὰς ἐς Λακεδαίμονα κομίζεται καὶ πείθει τὴν ταχίστην πέμψαι Συρακουσίοις βοήθειαν καὶ Δεκέλειαν Ἀθηναίοις ἐπιτειχίσαι, ὡς οὐκ ἂν ἔτι σχόντων οὔτε τὰς ἀπὸ τῆς χώρας προσόδους οὔτε τὰς ἀπὸ τῶν ἀργυρείων, ἀλλὰ μὴν καὶ οἱ νησιῶται πολιορκουμένους αὐτοὺς ἰδόντες αὐτομολήσουσι. τούτων γενομένων ἐψηφίσαντο Ἀθηναῖοι κάθοδον Ἀλκιβιάδῃ.*

---

3 *οὕτως* F ‖ 4 *καταλιπόντας* vulg.; *καταλιπὼν* F ‖ 5 *εἰ*] *οἱ* F ‖ 9 *ἐξῄεσαν ἐπὶ Κατάνης* H; *πορευόμενοι ἐπὶ Κατάνης* Thucyd. omisso *τὴν*, cf. tamen 1, 30, 8. 1, 47, 2 ‖ 10 *προελθόντες* Cas., quod probant Hertlein et W; *προσελθόντες* F ‖ 11 *συμμέθρῳ* F ‖ 12 *προσέπλευσεν ἐν* ex dittogr. F; *προσέπλευσε μὲν* coni. Maasvicius ‖ 14 *πλευρὰν*] *πλημμύριον* R ‖ 20 *Ἀθηναίοις* Cas.; *αὐτοῖς* F ‖ 21 *ἀργυρίων* F; corr. Hertlein.

.22, 2 7 415 Ἀλκιβιάδης παρετάττετο Συρακουσίοις. ἦν μεταξὺ τῶν στρατοπέδων πτέρις ξηρὰ, δαψιλής. ἀνέμου προσπεσόντος παμμεγέθους, ὃς ἦν κατὰ νώτου τοῖς Ἀθηναίοις, τοῖς δὲ πολεμίοις κατὰ προσώπου, [ἀνῆψε τὴν πτέριν· τοῦ δὲ καπνοῦ ἐμπεσόντος] ταῖς ὄψεσι τῶν Συρακουσίων τροπὴν αὐτῶν ἰσχυρὰν εἰργάσατο.

8 Ἀλκιβιάδης Τιρίβαζον ἔφευγεν. ὁδὸς ἦν μία. Τιρίβαζος μένοντι μὲν οὐκ ἐμάχετο, φεύγοντι δὲ ἐπέκειτο. Ἀλκιβιάδης νύκτα ἀναμείνας, ξύλα πολλὰ κόψας, ταῦτα νήσας, πῦρ ἐμβαλὼν, ἀπιὼν ᾤχετο. οἱ βάρβαροι τὴν αὐγὴν τοῦ πυρὸς ὁρῶντες ᾤοντο μένειν τοὺς Ἕλληνας· ἐπεὶ δὲ ἔγνωσαν, διώκειν ὁρμήσαντες τὴν ὁδὸν πεφραγμένην ὑπὸ τοῦ πυρὸς διελθεῖν οὐ δυνηθέντες τῆς διώξεως ἐπαύσαντο.

.19, 1 9 410 Ἀλκιβιάδης περὶ Κύζικον Θηραμένην καὶ Θρασύβουλον ἔπεμψε μετὰ τῶν πλειόνων νεῶν, ὅπως τοὺς ἐς τὴν πόλιν ἀποχωρήσοντας πολεμίους ἀνείργοιεν· αὐτὸς δὲ μετὰ ὀλίγων τριήρων ἐπὶ τὴν ναυμαχίαν ἀνήγετο. Μίνδαρος καταφρονήσας μετὰ πλειόνων ἀνήχθη.

---

Cap. 40. § 9. Cf. Diodor. 13, 50; Front. strat. 2, 5, 44.

---

1 *παρετάττετο Συρ.* vulg. ex V *aciem instruebat; πολεμῶν Συρ. ἐπειδὴ* H; lacunam ante *ἦν* statuit W ‖ 4 *κατὰ προσώπου* K. L. Roth et W; *κατὰ πρόσωπον* F, ut 1, 15. 4, 3, 22. 7, 21, 6. 8, 3, 2. 8, 10, 2; *κατὰ νώτου* saepissime, nusquam *κατὰ νῶτον* ‖ *ἀνῆψε — καπνοῦ προσπίπτοντος* (rectius *ἐμπεσόντος* W coll. 4, 7, 9) suppl. Cas. ex V *incensa filice fumoque in Syracusanorum oculos delato, ὕλην ἐμπρήσας* H ‖ 7 *ἔφευγεν* F; *ἔφυγεν* vulg. ‖ 9 *ἀναμείνας* W coll. 1, 40, 2. 1, 43, 2. 7, 11, 5; *μείνας* F ‖ 12 *ἐπεὶ δὲ [πεφευγέναι] ἔγνωσαν* R ‖ 15 *περὶ* F] *ἐπὶ* K; *πολιορκῶν* H ‖ 16 *τῶν* om. vulg. ‖ 17 *ἐς*] *κατὰ* H ‖ *ἀποχωρήσοντας* Blume, Patakis; *ἀποχωρήσαντας* F; *ἀποχωροῦντας* H.

ὡς δὲ πλησίον ἦσαν, οἱ μὲν περὶ τὸν Ἀλκιβιάδην προσεποιήσαντο φεύγειν· οἱ δὲ περὶ τὸν Μίνδαρον περιχαρεῖς ὡς νικῶντες ἐδίωκον. ἐπεὶ δὲ ἐγγὺς τῶν περὶ τὸν Θηραμένην καὶ Θρασύβουλον ἐγένοντο, Ἀλκιβιάδης μὲν τὸ σημεῖον ἄρας ἐπέστρεψε τὰς ναῦς ἀντιπρώρους. Μινδάρου δὲ ἀποστρέψαντος ἐπὶ τὴν πόλιν οἱ περὶ τὸν Θηραμένην ἀπήντησαν ἀποκλείοντες, ὁ δὲ ἐπὶ τοὺς Κλήρους καλουμένους τῆς Κυζικηνῶν γῆς ἀποχωρεῖν ἐπειρᾶτο. ἀλλὰ κἀκεῖ Φαρναβάζου στρατόπεδον ἐκβαίνειν ἐκώλυεν. Ἀλκιβιάδης δὲ διώκων τὰς μὲν μετεώρους τῶν νεῶν ἐμβολαῖς ἀνερρήγνυε, τὰς δὲ προσορμιζομένας τῇ γῇ χειρῶν σιδηρῶν ἐπιβολαῖς ἀφεῖλκε, τοὺς δὲ ἀποβαίνοντας ἐνέκοπτον οἱ Φαρναβάζειοι. τέλος δὲ Μίνδαρος πεσὼν Ἀλκιβιάδῃ λαμπροτάτην νίκην ἔδωκεν.

## 41. ΑΡΧΙΔΑΜΟΣ.

467 1 Ἀρχίδαμος ἐν Ἀρκαδίᾳ μέλλων παρατάσσεσθαι τῇ ὑστεραίᾳ ἐπέρρωσε τοὺς Σπαρτιάτας διὰ νυκτὸς βωμὸν ἱδρυσάμενος καὶ κοσμήσας ὅπλοις λαμπροτάτοις καὶ ἵππους δύο περιαγαγών. ἐπεὶ δὲ ἦν ἕως, οἱ λοχαγοὶ καὶ οἱ ταξίαρχοι καινὰ ὅπλα καὶ δυοῖν ἵπποιν ἴχνη καὶ βωμὸν αὐτόματον ἰδόντες διήγγειλαν, ὡς οἱ Διόσ-

---

Cap. 41. De fontibus cf. J. p. 443 sq.

Cap. 41. § 1. Cf. Front. 1, 11, 9. — M. Duncker, Gesch. d. Altert. 8, p. 134.

---

6 ἐπὶ K; πρὸς H; ἐπὶ vel πρὸς R; περὶ F: cf. 3, 1, 1 || 11 ἐμβόλοις R || 12 πρὸς τῇ γῇ καθωρμισμένας Diod.; προσορμιζούσας vulg. || 13 ἀφεῖλκεν F] ἀνεῖλκε (*retrahebat* V) Blume et codd. quidam Casauboni; ἐφεῖλκε vulg.; ἀποσπᾶν . . . ἐπειρᾶτο Diod. || Φαρναβάζοι F, unde W coni. Φαρναβάζειοι coll. 2, 2, 9; Φαρναβαζου vulg. || 20 περιαγαγὼν K; περιάγων F || 21 καινὰ] καὶ τὰ Koen. p. 310.

*κουροι συμμαχήσοντες ἥκοιεν. οἱ στρατιῶται θαρρήσαντες καὶ τὰς γνώμας ἔνθεοι γενόμενοι γενναίως ἠγωνίσαντο καὶ τοὺς Ἀρκάδας ἐνίκησαν.*

*Ἀρχίδαμος ἐπολιόρκει Κόρινθον. ἦν ἐν τῇ πόλει* 2
*στάσις τῶν πλουσίων καὶ τῶν πενήτων, τῶν μὲν ὡς ὀλιγαρχίαν πραττόντων, τῶν δὲ ὡς προδοσίαν. ταῦτα μαθὼν Ἀρχίδαμος ἀνῆκε τὸ σφοδρὸν τῆς πολιορκίας· οὐκέτι μηχανήματα προσῆγεν, οὐκέτι περιετάφρευεν, οὐκέτι τὴν χώραν ἔτεμνεν. οἱ πλούσιοι φοβηθέντες ὡς ἄρα τοῖς πένησι προδιδοῦσι χαρίζοιτο, φθάσαντες ἐπεκηρυκεύσαντο καὶ τὴν πόλιν ἐνέδωκαν Ἀρχιδάμῳ, σφίσιν αὐτοῖς ἀσφαλὲς πρὸς αὐτὸν συνθέμενοι.*

…30, 1 *Λακεδαιμονίων ἡ πόλις ἐσείσθη, καὶ πέντε μόναι* 3 464
*διεσώθησαν οἰκίαι. Ἀρχίδαμος ὁρῶν τοὺς ἀνθρώπους ἐπὶ τὸ σώζειν τὰ ἐν ταῖς οἰκίαις τραπομένους δείσας, μὴ πάντες ἀποληφθέντες ἀπόλοιντο, τῇ σάλπιγγι πολεμίων ἔφοδον ἐσήμηνεν. πιστεύσαντες οἱ Λάκωνες πρὸς αὐτὸν συνέδραμον· αἱ μὲν οἰκίαι συνέπεσον, αὐτοὶ δὲ οὕτως ἐσώθησαν.*

*Ἀρχίδαμος κρατούντων Ἀρκάδων αὐτὸς ἤδη παρει-* 4 365
*μένος ὑπὸ τραύματος φθάσας ἐπεκηρυκεύσατο περὶ νεκρῶν ἀναιρέσεως, ὅπως μὴ καὶ οἱ λοιποὶ προσαπόλοιντο.*

e. 3, 1 *Ἀρχίδαμος νύκτωρ τοὺς στρατιώτας ἦγεν ἐπὶ Κα-* 5 367

---

Cap. 41. § 3. Cf. Plut. Cimon. 16; Diod. 11, 63. — M. Duncker, Gesch. d. Altert. 8, p. 134, not. 3; p. 135, not. 2.
Cap. 41. § 4. Cf. Xenoph. Hellen. 7, 4, 25; Iust. 6, 6, 9.

---

1 *στρατιῶται*] *Spartiatae* V ‖ 12 *σφίσιν αὐτοῖς* Hertlein; *οἱ* (*οἳ* vulg.) *εἰσαῦθις* F; *οἳ* om. K, *τὸ* Blume, quod W dubitanter recepit ‖ 16 *ἀποληφθέντες* corr. ex *ἀπολειφθέντες* F; *ἀπολειφθέντες* H vulg. ‖ 17 *ἐσήμηνεν* scripsi; *ἐσήμαινεν* F? *ἐσήμανεν* HM; *ἐκέλευσε σημαίνειν* Plut. ‖ 24 *Καρύας* Heringa; *Κάρας* F.

ρύας· ὁδὸς ἦν ἄνυδρος, τραχεῖα, πολλή, καὶ ἠγανάκτουν οἱ στρατιῶται τῷ πόνῳ· παρεμυθεῖτο αὐτους Ἀρχίδαμος, ὡς οἷόν τε ἦν, καὶ παρεκάλει μηδαμῶς ἐνδιδόναι. ἐπεὶ δὲ ἄφνω προσπεσόντες καὶ πολλοὺς τῶν πολεμίων κτείναντες ἐξεῖλον τὸ χωρίον, οἱ μὲν ἐδειπνοποιοῦντο ἐπὶ τῇ νίκῃ γεγηθότες· Ἀρχίδαμος δὲ ἤρετο, πηνίκα δοκοῦσιν ἁλῶναι τὴν πόλιν; λεγόντων δὲ τῶν μέν, ἡνίκα προσεβάλλομεν, τῶν δέ, ἡνίκα ἠκοντίζομεν, τῶν δέ, ἡνίκα ἐτοξεύομεν· 'οὐδαμῶς,' ἔφη αὐτὸς, 'ἀλλὰ τότε, ὅτε τὴν πολλὴν καὶ ἄνυδρον ὁδὸν ἐπορευόμεθα· τὸ γὰρ βούλεσθαι πονεῖν πάντων κρατεῖν πέφυκεν.'

## 42. ΓΥΛΙΠΠΟΣ.

414 1 Γύλιππος βουλόμενος αὐτοκράτωρ γενέσθαι τῆς ἐν Συρακούσαις δυνάμεως συναγαγὼν τοὺς στρατηγοὺς τῶν Συρακουσίων εἶπεν, ὡς χρὴ λόφον τινὰ μεταξὺ τῆς πόλεως καὶ τοῦ στρατοπέδου τῶν Ἀθηναίων τειχίσαι. τῶν δὲ πεισθέντων νύκτωρ αὐτὸς ἔπεμψεν αὐτόμολον ἀγγελοῦντα τοῖς πολεμίοις τὰ δεδογμένα. οἱ μὲν δὴ μαθόντες αὐτοὶ προκατέσχον τὸν λόφον. Γύλιππος δὲ ἐσχετλίαζεν ὡς τῶν ἀπορρήτων ἐξαγγελλομένων. ὅπως οὖν εἰσαῦθις τοῦτο μὴ γένοιτο, οἱ προὔχοντες τῶν Συρακουσίων ἑνὶ καὶ μόνῳ Γυλίππῳ τοῦ πολέμου τὴν ἀρχὴν ἐπέτρεψαν.

---

Cap. 42. Cf. Holm II, p. 366. — § 1. Cf. W. Stern, Philol. 42, p. 456, not. 52; Holm II, p. 413, not. ad p. 40.

---

7 πηνίκα F; ὁπηνίκα M; cf. 1, 48, 1 ‖ 8 τῶν δέ, ἡνίκα ἠκοντίζομεν addidi ex H; om. F ‖ 10 ἀλλ' ὅτε vulg.; ἀλλὰ τότε ὁπότε H ‖ 11 βούλεσθαι H] βουλεύεσθαι F.

Γύλιππος τὸν προκατεσχημένον λόφον ὑπὸ Ἀθη- 2 413
ναίων αὐτὸς βουλόμενος κατασχεῖν ἀπὸ τῶν τριήρων πολλῶν οὐσῶν εἴκοσι πληρώσας πυκνὰς τὰς μελέτας ἐποιεῖτο. τῶν δὲ πληρωμάτων συγκροτηθέντων νυκτὸς ἀφῆκεν αὐτὰς εἰς τὸ πέλαγος παραγγείλας καταπλεῖν ἀρχομένης ἡμέρας. ὡς δὲ οἱ πολέμιοι καταπλεούσας εἶδον, ἐπ' αὐτὰς ἀνήχθησαν. τῶν δὲ μεταβαλομένων ἐς φυγὴν οἱ μὲν Ἀθηναῖοι μετὰ σπουδῆς ἐδίωκον· ὁ δὲ Γύλιππος τὰς ὑπολοίπους ναῦς πληρώσας ἐπανήγετο. ἐν τῷ καιρῷ τούτῳ, περὶ τὴν ναυμαχίαν τῶν Ἀθηναίων ἀσχολουμένων, οἱ πεζοὶ Γυλίππου συνταχθέντες ῥᾷστα κατέσχον τὸν λόφον τοὺς φύλακας τῶν Ἀθηναίων ἐκβαλόντες.

## 43. ΕΡΜΟΚΡΑΤΗΣ.

Ἑρμοκράτης, τῶν [δούλων] ἐν Συρακούσαις ἐπ- 1 414
αναστάντων καὶ χειρὸς πολλῆς οἰκετικῆς ἠθροισμένης, πρὸς τὸν ἡγούμενον αὐτῶν Σωσίστρατον ἔπεμψε πρεσβευτὴν ἕνα τῶν ἱππάρχων Δαΐμαχον, ὃς ἦν αὐτῷ συνήθης καὶ φίλος, ἀγγέλλοντα παρὰ τῶν στρατηγῶν, ὡς ἄρα τὸ φρόνημα αὐτοῦ θαυμάζοντες πάντας μὲν ἐλευθέρους ἀφιᾶσι, πάντας δὲ ὁπλιοῦσι καὶ σιτηρέσιον δώσουσι τὸ ἴσον, αὐτὸν δὲ τὸν Σωσίστρατον ἀποφαίνουσι συνάρχοντα, καὶ ἤδη γε ἥκειν βουλευσόμενον μετὰ τῶν στρατηγῶν, ὅσα τὸ ὁπλιτικὸν κατεπείγοι. ὁ

---

Cap. 42. § 2. Cf. Thucyd. 7, 22 sq. — J. p. 490 sq.
Cap. 43. § 1. Cf. Holm II, Anhang I, p. 366 sq.

---

7 μεταβαλομένων K; μεταβαλλομένων F ‖ 13 ἐκβάλλοντες F ‖ 15 [δούλων] R censor Ienensis; [οἰκετῶν] Sauppe ‖ 19 ἀγγέλλοντα W; ἀγγέλοντα τὰ F; ἀγγελοῦντα K ‖ 24 τὸ ὁπλιτικὸν W; τὸ πολιτικὸν F; τῶν πολιτικῶν K ‖ κατεπείγει vulg. K

*δὲ Σωσίστρατος τῇ φιλίᾳ τοῦ Δαϊμάχου πιστεύσας παραλαβὼν εἴκοσι τοὺς ἡγεμονικωτάτους τῶν δούλων ἧκε πρὸς αὐτούς. οὗτοι μὲν συλληφθέντες ἐδέθησαν· Ἑρμοκράτης δὲ μετὰ ἑξακοσίων ὁπλιτῶν ἐξελθὼν καὶ τοὺς δούλους λαβὼν ὤμοσεν, ἦ μὴν μηδὲν αὐτοῖς δεινὸν ἂν γενέσθαι, πρὸς τὸν αὐτοῦ δεσπότην ἕκαστος εἰ ἐπανέλθοι. πεισθέντες ἐπανῆλθον, ὅτι μὴ μόνον τριακόσιοι πρὸς Ἀθηναίους ηὐτομόλησαν.*

413 2 *Ἀθηναῖοι τὴν ὑστάτην ἐν Σικελίᾳ ναυμαχίαν ἡσσῶνται, καὶ νύκτωρ φεύγειν ἔδοξεν· Συρακούσιοι θύσαντες ἐπινίκια ὑπὸ μέθης ἀνεπαύοντο. Ἑρμοκράτης, μεθύοντας καὶ καθεύδοντας ἐπὶ τὴν μάχην ὅπως μὴ ἐξάγοι, αὐτόμολον πέμπει φράσοντα πρὸς Νικίαν, ʽοἵ μέχρι νῦν πάντα σοὶ μηνύοντες φίλοι προαγορεύουσιν, ἢν ἀποκινήσῃς νύκτωρ, ἐνέδραις ἐμπίπτεις καὶ λόχοις'. πιστεύει Νικίας καὶ ἀναμείνας ἕω τὸ στρατόπεδον οὐκ ἐκίνησεν. Ἑρμοκράτης τοὺς Συρακουσίους ἅλις ἔχοντας ὕπνου ἀνέστησεν εὐρώστους· οἱ δὲ προκαταλαβόντες τὰς διαβάσεις τῶν ποταμῶν καὶ τὰς γεφύρας πανωλεθρίᾳ τοὺς Ἀθηναίους διέφθειραν.*

Cap. 43. § 2. Cf. Thucyd. 7, 73; Plut. Nic. 26; Diod. 11, 18, 3; Front. strat. 2, 9, 7. — J. p. 489.

4 *ἑξακοσίων* F; *ἑξακισχιλίων* vulg.: est selecta illa sexcentorum manus, quam Thucyd. 6, 96. 97. 7, 43, Diod. 11, 76. 13, 11 commemorant ‖ 5 [*ἐρήμους*] *λαβὼν* R ‖ 6 *αὐτοῦ* F | 10 *ἔδοξεν* RK; *ἔδοξαν* F ‖ 12 *ἐπὶ τὴν μάχην* scripsi, cf. ad 31, 2, 1; *ἐπὶ μάχην* F ‖ 14 *οἱ* Hertlein; *ὡς* F ‖ *πάντα σοι* post Casaub. C. L. Roth; *πάντες οἱ* F; *οἱ καὶ πρότερον εἰώθεσαν κρύφα τῷ Νικίᾳ διαλέγεσθαι* Diod. ‖ 16 *ἕω* Maasvicius; *ἕως* F; *ἕως ὄρθρου* vulg.; cf. 1, 40, 8. Polyaenus saepius *ἀρχομένης ἕω, πρὸ τῆς ἕω,* similia ‖ 17 *συρακοσίους* F.

### 44. ΕΤΕΟΝΙΚΟΣ.

Ἐτεόνικον Λάκωνα ἐν Μιτυλήνῃ Κόνων Ἀθη- 406 ναῖος ἐπολιόρκει. κέλης ὑπηρετικὸς ἧκεν ἀγγέλλων ‘Καλλικρατίδας ὁ ναύαρχος Λακεδαιμονίων ἐν Ἀργινούσαις ἡττημένος οἴχεται’. Ἐτεόνικος τοὺς ἀγγέλους ἐκέλευσε νύκτωρ ὑπεξελθεῖν καὶ μεθ' ἡμέραν ἐς Μιτυλήνην ἐστεφανωμένους, παιωνίζοντας, νίκην ἀγγέλλοντας ἥκειν. Ἐτεόνικος μὲν ἔθυεν εὐαγγέλια· Κόνων δὲ καὶ τὸ Ἀττικὸν ἐξεπλάγη καὶ ἡσύχαζεν. οὐ μὴν Ἐτεόνικος ἡσύχαζεν· ἀλλὰ τὸ μὲν ναυτικὸν ἐς Χίον ἐξέπεμψε, τὸ δὲ στρατιωτικὸν ἐς Μήθυμναν φίλην πόλιν ἐξήγαγεν.

### 45. ΛΥΣΑΝΔΡΟΣ.

e. 9, 1 Λύσανδρος τοῖς ἐν Μιλήτῳ φίλοις ὑποσχόμενος 1 4 τὸν δῆμον συγκαταλύσειν ἧκεν ἐς Μίλητον καὶ τοῖς μὲν νεωτερίζουσι λόγῳ χαλεπὸς ἦν, τοῖς δὲ δημόταις ἐλευθερίαν συμπράσσειν ἐπηγγέλλετο. πιστεύσας ὁ δῆμος Λυσάνδρῳ χρηστὰ λέγοντι ἀπαράσκευος ἤλπιζε τὰ βελτίονα. οἱ φίλοι κοινῷ συνθήματι ἐπανίστανται, καὶ τῷ δήμῳ προσπεσόντες κτείνουσι πολλούς, καὶ ἡ Μίλητος ἦν ὑπὸ τοῖς φίλοις Λυσάνδρου.

e. 31, 1 Ἐν Αἰγὸς ποταμοῖς Ἀθηναῖοι τετράκις ἀνήχθησαν 2 4 ἐφ' ᾧ τε ναυμαχεῖν, Λύσανδρος ὁ Λάκων οὐκ ἀνταν-

---

Cap. 44. Cf. Xenoph. Hellen. 1, 6, 36. — J. p. 534 sq.
Cap. 45. § 1. Cf. Plut. Lysand. 8.
Cap. 45. § 2. Cf. Plut. Lysand. 11; Xenoph. Hellen. 2, 1, 28; Front. 2, 1, 18.

---

15 συγκαταλύσειν H Plut.; συγκαταλύειν F ‖ 17 συμπράσσειν om. H ‖ ἐπηγγεῖλετο F ‖ 21 τοῦ Λυσάνδρου H.

ἤγετο. οἱ μὲν ἀποπλέουσι γαννύμενοι, παιᾶνας ᾄδοντες· Λύσανδρος δὲ κατόπιν πέμπει δύο τριήρεις. οἱ τριήραρχοι τοὺς Ἀθηναίους ἐκβάντας ὡς εἶδον, σημεῖον μετέωρον αἴρουσι χαλκῆν ἀσπίδα. Λύσανδρος αὐτίκα ὑπεσήμηνεν ἐπίπλουν, καὶ οἱ Λάκωνες εἰρεσίᾳ πολλῇ ἐπιπλέουσι καὶ τοὺς Ἀθηναίους καταλαμβάνουσιν ἄρτι ἐκβάντας· οἱ μὲν ἀνεπαύοντο, οἱ δὲ ἄλλος ἄλλό τι ἔδρα, γυμνοὶ πάντες. οἱ Λάκωνες ἄφνω προσπεσόντες ὡπλισμένοι γυμνοῖς, συντεταγμένοι ἀσυντάκτοις ἐνίκησαν· αἱροῦσιν αἰχμαλώτους καὶ τὰς τριήρεις ἁπάσας, ὅτι μὴ μία ἡ Πάραλος ἔφυγεν Ἀθήναζε μόνη τῆς ἥττης ἄγγελος.

05 3 Λύσανδρος παρήγγελλεν ἐξαπατᾶν χρῆναι παῖδας μὲν ἀστραγάλοις, πολεμίους δὲ ὅρκοις.

05 4 Λύσανδρος ἐκράτησε Θασίων, παρ' οἷς ἦσαν ἀττικίζοντες πολλοὶ κρυπτόμενοι [φόβῳ] τοῦ Λάκωνος. ὁ δὲ τοὺς Θασίους ἐς τὸ τοῦ Ἡρακλέους ἱερὸν συναγαγὼν φιλανθρώπους λόγους διεξῆλθεν· ὡς δέον συγγνώμην ἔχειν τοῖς κρυπτομένοις ἐν τῇ μεταβολῇ τῶν πραγμάτων καὶ θαρρεῖν αὐτοῖς προσῆκον ὡς μηδὲν δεινὸν πεισομένους τῶν λόγων ἐν ἱερῷ γιγνομένων

---

Cap. 45. § 3. Cf. Plut. Lysand. 8 et Apophthegm. Lac. Lys. 4; Diod. fr. 10, 9, 1 (Dind.); Aelian. v. h. 7, 12.
Cap. 45. § 4. Cf. Corn. Nep. Lys. 2.

---

5 ὑπεσήμηνεν scripsi; ὑπεσήμαινεν F; ὑπεσήμανεν H ‖ 7 καὶ οἱ μὲν H ‖ ἀνεπαύσαντο H ‖ 10 αἱροῦσιν οὖν αἰχμαλώτους ἄνδρας Cas.: αἰχμαλώτους de navibus usurpatum 2, 11. 3, 10, 13. 4, 6, 9 ‖ 13 παρήγγελλεν K, Patakis; παρήγγειλεν F; ἐκέλευε Plut. Lys. et ἔλεγε idem in apophthegm.; ἀπεφαίνετο Diod. ‖ 14 πολεμίους δὲ] τοὺς δὲ ἄνδρας Plut., Aelian., Diod., Dio Chrys. or. 64, p. 640 C ‖ 16 πολλοὶ κρυπτόμενοι πολλοὶ τοῦ F ‖ [φόβῳ] add. D post Λάκωνος ‖ 20 προσῆκον Koen.; προσῆκεν F; προσήκει R.

καὶ ταῦτα ἐν Ἡρακλέους (πόλει) τοῦ πατρῴου. οἱ μὲν κεκρυμμένοι τῶν Θασίων πιστεύσαντες τῇ φιλανθρωπίᾳ τῶν λόγων προῆλθον, Λύσανδρος δὲ διαλιπὼν ὀλίγας ἡμέρας, ὅπως ἀδεέστεροι γένοιντο, προσέταξε συναρπασθέντας ἀποσφαγῆναι.

Λύσανδρος τὰς Ἀθήνας κατασκάπτειν βουλομένων Λακεδαιμονίων καὶ τῶν συμμάχων, ἔφη μηδαμῶς συμφέρειν· τὴν γὰρ Θηβαίων πόλιν ἐγγὺς οἰκουμένην ἰσχυροτέραν καὶ μείζονα κατ' αὐτῶν γενήσεσθαι, ἐὰν δὲ διὰ τυράννων κατέχωσι τὰς Ἀθήνας, ἐγγύθεν παραφυλάξειν τοὺς Θηβαίους καὶ διὰ παντὸς ἕξειν ὑποδεεστέρους. ἄριστα λέγειν δόξας Λύσανδρος ἔπεισε τὰς Ἀθήνας μὴ κατασκάψαι. 5 40

## 46. ΑΓΙΣ.

e. 15, 1 Ἆγις Πελοποννησίων Λακεδαιμονίοις πολεμούντων ἐν λιμῷ γνώμην ἠγόρευσε παρὰ μίαν ἡμέραν ἀσιτεῖν. φοβῆσαι δὲ τοὺς πολεμίους βουλόμενος, αὐτομόλους ἔπεμψεν ἀγγελοῦντας, ὡς μεγάλη συμμαχία τῇ μελλούσῃ νυκτὶ τοῖς Λάκωσιν ἀφίξεται. τῶν μὲν κτηνῶν τὰ στόματα ἔδησε δι' ὅλης ἡμέρας, νυκτὸς δὲ ἀρχομένης ἔλυσεν, ὥστε τὰ κτήνη πεινῶντα, τῶν δεσμῶν ἀπολυθέντα, πόας καὶ νομῆς λαβόμενα ἀνεσκίρτα καὶ ἐφρυάττετο καὶ ψόφον ἤγειρε πολύν· συνεπήχουν δὲ καὶ τῶν ὀρῶν αἱ φάραγγες. τοὺς δὲ στρατιώτας ἐκέλευσεν ἄλλον ἀλλαχοῦ σκεδασθέντας διπλᾶ καὶ τριπλᾶ πυρὰ ἀνακαῦσαι. οἱ Πελοποννήσιοι τῷ πλήθει τῆς κραυγῆς καὶ τῷ μεγέθει τοῦ ψόφου

---

1 (πόλει) del. Patakis et Hertlein ‖ 2 θυσιῶν F ‖ 8 συμφέρει, *conducit* V ‖ 16 ἠγόρευσε K; ἠγόρευε F: cf. 49, 1.

*φενακισθέντες ὡς μεγάλης ἐπικουρίας ἡκούσης αὐτίκα φεύγοντες ᾤχοντο.*

## 47. ΘΡΑΣΥΛΟΣ.

1 *Θρασύλος βουλόμενος τοῖς πολεμίοις φανῆναι ὀλίγας τριήρεις ἔχων προσέταξε τοῖς κυβερνήταις ἐς δύο τὰς ναῦς καταστῆσαι καὶ τῆς μὲν ἑτέρας ἄρασθαι τὰ ἱστία, τὴν δὲ πρὸς τὸν ζυγὸν καλωδίοις προσλαβεῖν τῇ θεούσῃ παραθέουσαν καὶ μὴ φαινομένων μετεώρων τῶν ἱστίων (τῆς ἑτέρας τριήρους). τούτῳ τῷ τρόπῳ τὰς ἡμίσειας τῶν νεῶν ἀπεκρύψατο.* cf. c. 16, 1 57, 9

19 2 *Θρασύλος καὶ οἱ περὶ αὐτὸν στρατηγοὶ Βυζαντίοις ἐπέκειντο. οἱ περὶ Ἀναξίλαν στρατηγοὶ Βυζαντίων δείσαντες, μὴ κατὰ κράτος ἡ πόλις ἁλῷ, συνέθεντο χρόνον, ἐν ᾧ παραδώσουσι τὸ Βυζάντιον, καὶ τῆς συνθήκης ὁμήρους ἔδωκαν. οἱ περὶ Θρασύλον ἀνήχθησαν μὲν ἐπὶ τούτοις τὴν ἐπ' Ἰωνίας, [τῆς] αὐτῆς δὲ νυκτὸς ἀναστρέψαντες κατελάβοντο τὴν τῶν Βυζαντίων πόλιν ἀφύλακτον.*

## 48. ΚΟΝΩΝ.

1 *Κόνων καταλειπόμενος ὑπὸ τῶν συμμάχων αὐτόμολον ἔπεμψε φράσοντα τοῖς πολεμίοις, ὡς μέλλοιεν*

---

Cap. 47. § 1. Cf. J. p. 444 sq.
Cap. 47. § 2. Cf. Diod. 13, 66 sq.; Xenoph. Hellen. 1, 3, 18 sq.; Plut. Alcib. 31.

---

3 *θράσυλλος* $F_2$ ‖ 4 *θρασύλλος* F (id. 11. 15) ‖ 8 Punctum post *παραθέουσαν* ponendum, delendum post *τριήρους* censuit R ‖ 9 *τῆς ἑτέρας τριήρους* seclusi ‖ 11 *οἱ περὶ Ἀναξίλαν* vel *Ἀναξίλαον* Wesseling ad Diod. 13, 66, R; *οἱ περὶ ἀναξίαν οἱ* F; *περὶ ναξίαν οἱ* vulg. ‖ 16 [*τῆς*] *αὐτῆς* R; *αὐτῆς* F ‖ 19 *Κώνων* $F_2$ ‖ 20 *Κόνων* H; *Κώνων* F et sic in seqq. ‖ *καταλιπόμενος* F.

*ἀποδιδράσκειν καὶ ὅθεν καὶ πηνίκα. οἱ μὲν δὴ ἐνεδρεύοντες παρεφύλαττον. Κόνων δὲ προεῖπε τοῖς συμμάχοις ἀσφαλέστερον ἀναχωρεῖν ὡς ἐνέδραν προπεπυσμένος· οἱ δὲ ἀναχωροῦντες προαισθόμενοι τῆς ἐνέδρας ἀνέστρεψαν καὶ παραμείναντες μέχρι νίκης αὐτῷ διεπολέμησαν.*

e. 57, 2 *Κόνων Καλλικρατίδαν διπλασίας ἔχοντα τριήρεις* 2 40 *ὑπέφευγεν ἐν τῇ θαλάττῃ καὶ ἤδη πλησίον Μιτυλήνης ἦν. τῶν δὲ Λακωνικῶν νεῶν ἐν τῇ διώξει διεσπασμένων ἐπῆρε τὴν φοινικίδα· ἦν δὲ ἄρα μάχης σύνθημα τοῖς κυβερνήταις. οἱ δὲ ἐπιστρέψαντες ἀντιπρώρους τὰς ναῦς ἐμβάλλουσι ταῖς Λακωνικαῖς. αἱ δὲ ἀσύντακτοι καὶ τεταραγμέναι, τὸ παράλογον τῆς ἐπιστροφῆς ἐκπλαγεῖσαι πολλαὶ μὲν ἀνερράγησαν, πολλαὶ δὲ κατέδυσαν. Κόνων δὲ τοῦ παντὸς ἔργου τὴν νίκην ἀπηνέγκατο.*

*Κόνων Φαρναβάζῳ συμμαχῶν Ἀγησιλάου τὴν* 3 39 *Ἀσίαν πορθοῦντος ἔπεισε τὸν Πέρσην χρυσίον πέμψαι τοῖς δημαγωγοῖς τῶν πόλεων τῆς Ἑλλάδος, οἳ λαβόντες πείσουσι τὰς πατρίδας ἐκφέρειν τὸν πρὸς Λακεδαιμονίους πόλεμον. οἱ μὲν δεκασθέντες ἔπεισαν, καὶ συνέστη πόλεμος Κορινθιακός· οἱ δὲ Σπαρτιᾶται τὸν Ἀγησίλαον ἐκ τῆς Ἀσίας ἀνεκαλέσαντο.*

---

Cap. 48. § 2. Ex Ephoro coll. Diod. 13, 77.
Cap. 48. § 3. Ex Ephoro coll. Diod. 14, 81, 4—6; 82, 2; 83, 1; 86, 6.

---

4 *προαισθόμενοι* CM; *προαισθανόμενοι* F ‖ 7 *Καλλικρατίδα* F ‖ 9 *διεσπασμένων* F] *διεσπαρμένων* MD; *ἀπεσπάσθησαν* Diod. ‖ 21 *δεκασθέντες* K Patakis (*ι* = *δεκα*); *ασθέντες* F ante *α* spatio trium fere litterarum relicto, in quo *β ι* suppl. $F_2$; *βιασθέντες* vulg.

)6 4 *Κόνων ἐν Μιτυλήνῃ κατακεκλεισμένος ὑπὸ Λακεδαιμονίων σπεύδων Ἀθηναίοις μηνῦσαι τὴν πολιορκίαν, λαθεῖν τοὺς ἐφορμοῦντας οὐχ οἷός τε ὢν κατασπάσας δύο τὰς ταχυναυτούσας ναῦς καὶ τοὺς ἀρίστους ἀπὸ τῶν πληρωμάτων ἐρέτας ἐμβιβάσας, ὅσα χρὴ ἐξεργασαμένους κελεύσας ἐν τοῖς σκάφεσιν ἡσυχάζειν, ἑσπέρας προϊούσης θεασάμενος τοὺς παραφυλάσσοντας ἀνὰ τὴν γῆν ἐσκεδασμένους — οἱ μὲν σώματα ἐτημέλουν, οἱ δὲ πῦρ ἀνέκαιον, οἱ δὲ δεῖπνον παρεσκεύαζον — καὶ δὴ τότε ἀφῆκε τὰ σκάφη παραγγείλας πλεῖν δρόμον ἀλλήλοις ἐναντίον, ἵν', εἰ καὶ θάτερον ἁλίσκοιτο, θάτερον γοῦν σωθῆναι δυνηθῇ. ἄμφω δ' ἐσώθη τῶν πολεμίων διὰ τὴν ἀσχολίαν διῶξαι βραδυνάντων.* e. 47, 2 57, 3

5 *Κόνων ναυμαχεῖν μέλλων, ἀγγείλαντος αὐτομόλου, ὡς αἱ τῶν πολεμίων ἄρισται τριήρεις πεποίηνται σκοπὸν ἑλεῖν τὴν Κόνωνος ναῦν, κατασκευάσας ὁμοίαν τριήρη τῇ ἑαυτοῦ καὶ τὸν στρατηγικὸν κόσμον περιθεὶς ἔταξεν ἐπὶ τὸ δεξιὸν κέρας καὶ προσέταξεν ἀπὸ ταύτης ἆραι τὸ σημεῖον τῷ παντὶ στόλῳ. οἱ μὲν πολέμιοι ταῦτα ἰδόντες, ὅσοι τὰς ἀρίστας ναῦς εἶχον, εὐθέως ἐπὶ τὴν* e. 57, 4

---

Cap. 48. § 4. Cf. Xenoph. Hellen. 1, 6, 20.

---

4 *ναῦς* post *ταχυναυτούσας* W addidit cum H; om. F; *τῶν νεῶν* vulg. ‖ 7 *προσιούσης* K: cf. 7, 49 ‖ 8 *οἱ μὲν* [*γὰρ*] R ‖ 9 *πῦρ ἀνέκαιον*] *cum alii ignem incenderent* V; *πυρὰν ἔκαιον* F ‖ *δεῖπνον παρεσκεύαζον* K (simil. R); *πυρὰν ἀνεσκεύαζον* F dittogr., cf. 2, 2, 8; Xenoph. *τυχόντες ἐν τῇ γῇ ἀριστοποιούμενοι* ‖ 10 *καὶ* del. K ‖ 12 *ἄμφω δὲ σωθῇ* F ‖ 16 *σκοπῶν* F ‖ 17 *τριήρη* vulg.; *τριήρει* F; *ὁμοίαν τῆς ἐκείνου ἑτέραν κατασκευάσας* H ‖ 18 *στρατηγὸν* MV ‖ 21 *ὡς ἐπὶ* Patakis.

στρατηγίδα ὥρμησαν· Κόνων δὲ τῷ λοιπῷ στόλῳ προσπεσὼν τὰς μὲν κατέδυσε, τὰς δὲ καὶ κατεδίωξεν.

## 49. ΞΕΝΟΦΩΝ.

Ξενοφῶν ἐπανῆγε τοὺς μυρίους. τῶν περὶ Τισαφέρνην ἱππέων ἐνοχλούντων τὰ σκευοφόρα γνώμην ἠγόρευσε τὰς μὲν ἁμάξας καὶ τὰ περιττὰ τῆς σκευῆς [κατακαῦσαι, συγκατακαῦσαι δὲ καὶ τὰς σκηνὰς], ὅπως μὴ συμβαίνοι τοῖς Ἕλλησι περὶ ταῦτα μαχομένοις ταλαιπωρεῖν καὶ κωλύεσθαι προσωτέρω βαδίζειν. 1 401

...48, 2 Ξενοφῶν, τῶν βαρβάρων κατὰ τὴν πορείαν ἐπικειμένων, τάξας ἀμφίστομον τὴν φάλαγγα, ὅσα ἦν ἀναγκαῖα σκευοφόρα λαβὼν ἐντὸς ἐπορεύετο καταστήσας ἐπὶ τῆς οὐραγίας ἱππεῖς, ἀκοντιστάς, πελταστάς, οἳ τοὺς προσπίπτοντας τῶν βαρβάρων ἀπεκρούοντο. 2 401

Ξενοφῶν, τῶν βαρβάρων προκαταλαβόντων στενὸν τόπον, ᾗ τὴν πάροδον ἀναγκαῖον ἦν ποιεῖσθαι τοῖς Ἕλλησιν, συνιδὼν ἀπό τινος ὄρους εὐέφοδον ὄντα τὸν λόφον, ἐφ' οὗ τὴν φυλακὴν εἶχον οἱ βάρβαροι, 3 401

---

Cap. 49. § 1. Cf. Xenoph. Anab. 3, 2, 27.
Cap. 49. § 2. Cf. Xenoph. Anab. 3, 3, 16 seq.
Cap. 49. § 3. Cf. Xenoph. Anab. 3, 4, 37 seq.

---

2 τὰς δὲ καὶ F] om. vulg. ‖ 4 Τηνσαφέρνην F pr. m.; corr. $F_2$ ‖ 6 ἠγόρευσε K; ἀγορεῦσαι F; ἀγόρευσε M; ἀγορεύσας vulg.; γνώμην ἀπεφαίνετο ἀγορεύσας aut γν. ἠγόρευσε, τὰς (μὲν) ἁμάξας .... κατακαύειν, ὅπως R ‖ 7 [κατακαῦσαι, συγκατακαῦσαι δὲ καὶ τὰς σκηνὰς] add. W ex Xenoph.; καταλείπειν Cas.; καῦσαι K ‖ 8 ταλαιπωρεῖν Rud. Schoell; τελευτᾶν F; μελλητιᾶν vel tale quid Schenkl ‖ καὶ] ἢ K ‖ 11 φαλάγγαν F ‖ 17 εὐέφοδον ὄντα R et Blume (cf. Classen ad Thucyd. 6, 66, 2); ἔφοδον ὄντα F; εὔοδον ὄντα K; ἔφοδον εἶναι ἐπὶ Cobet; ἔφοδον οὖσαν ἐπὶ Schneider ad Xenoph. Anab. 3, 4, 41; ἔφοδον ἐπὶ W coll. Xenoph. ὁρᾷ ἔφοδον ἐπὶ τὸν λόφον.

παραλαβὼν Ἕλληνας, ὅσους ὑπελάμβανεν ἱκανοὺς εἶναι, τὴν πορείαν ἐπὶ τοῦτο ἐποιεῖτο κατὰ κεφαλῆς αὐτῶν βουλόμενος γενέσθαι. οἱ μὲν βάρβαροι τοὺς πολεμίους ὑπεράνω γιγνομένους ἰδόντες ἔφυγον, Ξενοφῶν δὲ ἀσφαλῶς διῆγε τοὺς Ἕλληνας.

401 4 Ξενοφῶν ποταμὸν διαβαίνειν πειρώμενος, ὑπὸ e. 48,
τῶν βαρβάρων ἀντικαθημένων κωλυόμενος, τῶν Ἑλλήνων χιλίους ἐπιλέξας ἔπεμψε καθ' ἑτέραν διάβασιν, αὐτὸς δὲ κατὰ στόμα προάγων διαβαίνειν ἐβιάζετο· τῶν πεμφθέντων διαβάντων ἐπὶ τοὺς ἀντικαθισταμένους καὶ γενομένων ὑπὲρ κεφαλῆς πολλάς τε πληγὰς ἐμβαλλόντων αὐτοῖς, οἱ μετὰ τοῦ Ξενοφῶντος ἀκινδύνως διέβησαν.

---

Cap. 49. § 4. Cf. Xenoph. Anab. 4, 3, 20 sq.; Front. 1, 4, 10.

---

2 τοῦτον R et K ‖ 4 γενομένους K ‖ 5 διῆγε F] διήγαγεν K, quod probat W ‖ 10 bene ἀντικαθημένους H et coni. K, ut paulo superius legitur: cf. 2, 1, 27. 2, 3, 13 et ad 6, 9, 32 ‖ 12 ἐμβαλλόντων F] ἐμβαλόντων vulg.

## Τάδε ἔνεστι ἐν τῷ δευτέρῳ τῶν

## Πολυαίνου στρατηγημάτων·


Ἀγησίλαος . . . . . . . . . λβ
Κλέαρχος . . . . . . . . . ι
Ἐπαμινώνδας . . . . . . . ιε
Πελοπίδας . . . . . . . . γ
Γοργίδας . . . . . . . . . β
Δερκυλλίδας. . . . . . . . α
Ἀλκέτας . . . . . . . . . α
Ἀρξιλαΐδας . . . . . . . . α
Ἰσίδας . . . . . . . . . . α
Κλεανδρίδας . . . . . . . ε
Φαρακίδας . . . . . . . . α
Δηϊφόντης . . . . . . . . α
Εὐρυπῶν . . . . . . . . . α
Ἔφοροι . . . . . . . . . . β
Ἱπποδάμας . . . . . . . . α
Γάστρων . . . . . . . . . α
Μεγακλείδας . . . . . . . α
Ἁρμοστής . . . . . . . . . α
Θίβρων . . . . . . . . . . α
Δημάρατος . . . . . . . . α
Ἡριππίδας . . . . . . . . α
Ἰσχόλαος . . . . . . . . . δ
Μνασιππίδας . . . . . . . α
Ἀνταλκίδας . . . . . . . . α
Ἀγησίπολις . . . . . . . . α
Σθένιππος . . . . . . . . α
Καλλικρατίδας Κυρηναῖος . β
Μάγας . . . . . . . . . . β
Κλεώνυμος . . . . . . . . β
Κλέαρχος τύραννος. . . . . γ
Ἀριστομένης . . . . . . . δ
Κινέας . . . . . . . . . . α
Ἡγητορίδης . . . . . . . . α
Δεινίας. . . . . . . . . . α
Νίκων . . . . . . . . . . α
Διοίτας . . . . . . . . . . α
Τισαμενός . . . . . . . . α
Ὀνόμαρχος . . . . . . . . β


---

δευτέρῳ βιβλίῳ τῶν F ‖ Γεωργίας $F_1$, Γοργίας $F_2$, ut etiam 2, 5; Γοργίδας recte 2, 2 ‖ Ἰσάδας Maasvicius K: cf. ad 2, 9; Ἰασίδας F ‖ Κλεανδρίας F ‖ Διηφόντης $F_2$ ‖ Εὐρυπῶν K in adnot.; Εὐρυτίων F ‖ Δημήτριος $F_1$ ‖ Μέγας $F_1$ ‖ Δεινέας F.

# ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ.

*Καὶ τόδε ὑμῖν δεύτερον βιβλίον, ἱερώτατοι βασιλεῖς Ἀντωνῖνε καὶ Οὐῆρε, προσφέρω τῶν Στρατηγημάτων καὶ αὐτοῖς δήπου συνιέναι δυναμένοις, ἀφ᾿ ὅσης ἱστορίας καὶ ὅσῳ πόνῳ τάδε συλλεξάμενος ὠφέλειαν σύντομον ὑμῖν δίδωμι· καὶ ταῦτα σχολὴν οὐκ ἄγων, ἀλλὰ καὶ δίκας ἐφ᾿ ὑμῶν λέγων.*

## 1. ΑΓΗΣΙΛΑΟΣ.

391 1 *Ἀγησίλαος Ἀκαρνᾶσιν ἐπολέμει καὶ προσῄει, ὅτε τὴν γῆν σπείρειν ἐχρῆν. οἱ Λάκωνες ἐβουλεύοντο τοὺς πολεμίους εἴργειν· Ἀγησίλαος ἐπέτρεψεν, ὡς μᾶλλον εἰρήνης ἐπιθυμήσοντας, εἰ καρποὺς ἔχοιεν, ὑπὲρ ὧν φοβήσοιντο. ‘εἰ δὲ εἰρήνης μὴ γλίχοιντο, ἡμῖν ἄρα’, ἔφη, ‘εἶεν ἂν ἐσπαρκότες.’*

378 2 *Λακεδαιμόνιοι Θηβαίοις καὶ Ἀθηναίοις ὁμοῦ παρετάσσοντο· τὸ μὲν δὴ κοῦφον καὶ πελταστικὸν τοῖς Λάκωσιν ἀχρεῖον ἦν, τὴν δὲ φάλαγγα ὅλην ἐπάγειν* e. 17

---

Cap. 1. Cf. Hertzberg, Das Leben des Königs Agesilaos II. von Sparta, Halle 1856, p. 226. — J. p. 535—545.

Cap. 1. § 1. Cf. Xenoph. Hellen. 4, 6, 13 et Plut. vita Ages. 22 s. fin.

Cap. 1. § 2. Cf. Diod. 15, 32, 4 sq.; Corn. Nep. Chabr. 1.

---

6 *ὑφ᾿ ὑμῖν* Hertlein || 9 *προσῄει* F] *ἀπῄει* W ex Xenoph. || 10 *ἐβουλεύοντο* F] *ἐβούλοντο* C || 11 *ἐπέτρεψεν* scripsi cum M; *ἐπέστρεψεν* F; *ὑπέστρεψεν* vulg. R; *ἀπέτρεψεν* K Pat. W || 12 *ἐπιθυμήσονται* R || 13 *φοβηθήσοιντο* K.

ἔδοξεν Ἀγησιλάῳ. Χαβρίας Ἀθηναίοις, Γοργίδας Θηβαίοις παραγγέλλουσι μὴ προδραμεῖν, ἀλλὰ μένειν ἡσυχῇ, τὰ μὲν δόρατα ὀρθὰ προτειναμένους, τὰς δὲ ἀσπίδας ἐς γόνυ προσερεισαμένους. Ἀγησίλαος καταπλαγεὶς τὸ στάσιμον σχῆμα τῆς μάχης ἀνεχώρησε στρατηγικὸν ἡγούμενος πολεμίων ῥώμην φυλάξασθαι.

14, 3 Ἀγησίλαος περὶ Κορώνειαν ὅσον οὔπω παρετάσ- 3 394
σετο· ἧκέν τις ἀγγέλλων ‘τέθνηκε Πείσανδρος ὁ ναύαρχος Λακεδαιμονίων ἡττηθεὶς ὑπὸ Φαρναβάζου’. ὅπως οὖν ἀθυμία καὶ φόβος μηδαμῶς ἐμπέσοι τῷ στρατεύματι, Ἀγησίλαος προστάσσει τοῖς ἀγγέλοις ‘τἀναντία πρὸς τοὺς στρατιώτας ἀγγέλλετε· Λακεδαιμόνιοι νικῶσιν ἐν τῇ θαλάσσῃ’. ἀλλὰ μὴν καὶ αὐτὸς προῆλθεν ἐστεφανωμένος, ἔθυσεν εὐαγγέλια, διέπεμψε τοῖς φίλοις μερίδας ἀπὸ τῶν ἱερείων. οἱ στρατιῶται ταῦτα ἀκούσαντες καὶ ὁρῶντες πλεῖον θαρσήσαντες μετὰ μείζονος προθυμίας ἐν τῇ Κορωνείᾳ παρετάξαντο.

45, 2 Ἀγησίλαος τοῖς φεύγουσι τῶν πολεμίων δίοδον 4
διδόναι παρήγγειλεν.

32, 2 Ἀγησίλαος ἐν Κορωνείᾳ Θηβαίους ἐνίκησεν. 5 394

---

Cap. 1. § 3. Cf. Plut. vita Ages. 17.
Cap. 1. § 4. Cf. Plut. apophthegm. Lacon. Ἄγιδος τοῦ Ἀρχιδάμου 12.
Cap. 1. § 5. Cf. Xenoph. Hellen. 4, 3, 20; Plut. Ages. 19.

---

3 *προτειναμένους* FH; *προτειναμένοις* vulg. ‖ 4 *προσερεισαμένους* P; *affigant* V; *προερεισαμένους* F; *προερυσαμένους* M; *προερυσαμένοις* vulg. ‖ 7 *Κορωνίαν* F (id. 17. 20) ‖ 8 *ἀγγέλων* F ‖ *ὅτι τέθνηκε* vulg.; *ὡς τ.* H ‖ 10 *ἐμπέσοι* F] *ἐμπέσει* M; *ἐμπέσῃ* Plutarch.; *ἀθυμήσῃ* H ‖ 14 *προῆλθεν* Plutarch. H vulg.; *προσῆλθεν* F ‖ *ἐστεφανωμένους* $F_1$ ‖ *ἔθυσεν χαριστήρια* H ‖ 17 *παρετάσσετο* H ‖ 19 *παρήγγελλεν* K ‖ 20 *Ἀθηναίους* HF, sed W praefert *Θηβαίους* cum Xenoph., codice Fermati *παρεκβολῶν*, Wess. ad Diod. 12, 34: similiter 2, 1, 24 *Ἀθήνας* M pro *Θήβας*; *Ἀθηναίους καὶ Βοιωτοὺς* Cas.

*ἤγγειλέ τις 'οἱ πολέμιοι συμφεύγουσιν εἰς τὸν νεών'· ὁ δὲ προσέταξεν ἐᾶν αὐτοὺς ἀπιέναι, οἷ καὶ βούλοιντο, ὡς ἄρα εἴη σφαλερὸν συμπλέκεσθαι τοῖς ἐξ ἀπονοίας ἀναμαχομένοις.*

95 6 *Ἀγησίλαος ἐπὶ τῆς Ἀσίας τοὺς στρατιώτας ἔπεισε καταφρονεῖν τῶν βαρβάρων, οὓς τέως ἐδεδοίκεσαν, αἰχμαλώτους Πέρσας ἀποδύσας καὶ τοῖς Ἕλλησιν ἐπιδείξας, τὰ μὲν σώματα αὐτῶν ἀσθενῆ καὶ λευκὰ διὰ τὴν τρυφήν, τὸν δὲ κόσμον καὶ τὴν ἐσθῆτα πολυτελῆ, κἀκεῖνο Λακωνικῶς εἰπὼν 'πρὸς οὓς μὲν τὸν ἀγῶνα ἔχομεν, εἰσὶν οὗτοι· ὑπὲρ ὧν δέ, ταῦτα'.*

77 7 *Οἱ σύμμαχοι Λακεδαιμονίους ᾐτιῶντο 'αὐτοὶ μὲν στρατευόμεθα πολλοί, Λάκωνες δὲ ὀλίγοι'. Ἀγησίλαος ἐν πεδίῳ προσέταξεν ἰδίᾳ μὲν καθίσαι τοὺς Λάκωνας, ἰδίᾳ δὲ τοὺς συμμάχους. οἱ μὲν δὴ κριθέντες ἐκάθηντο. κῆρυξ δὲ ἠγόρευεν· 'ἀναστάντων οἱ κεραμεῖς'· ἀνέστησαν ἀπὸ τῶν συμμάχων οὐκ ὀλίγοι. 'δεύτεροι οἱ χαλκεῖς'· ἀνέστησαν πολλοί. 'τρίτον οἱ τέκτονες'· ἀνέστησαν πλείονες· καὶ τοὺς ἄλλους βαναύσους καὶ τεχνίτας ἐφεξῆς κατέλεξεν, ὥστε ὀλίγου δεῖν πάντες ἀνέστησαν οἱ σύμμαχοι, Λακεδαιμονίων δὲ οὐδείς· ἀπείρητο γὰρ αὐτοῖς τέχνην βάναυσον ἐργάζεσθαι.*

---

Cap. 1. § 6. Cf. Plut. vita Ages. 9. et apophthegm. Lacon. Ages. 13; Athen. 12 p. 550 e; Front. 1, 11, 17.
Cap. 1. § 7. Cf. Plut. Ages. 26 et apophthegm. Lacon. Ages. 72.

---

1 *ἤγγελλε* H; *ἠρώτων* Xenoph. ‖ *συμφεύγουσιν* HF; *confugiunt* V; *φεύγουσιν* vulg. ‖ *τὸν νεών*] *τὸν νεὼν τῆς Ἀθηνᾶς* vulg. ex Plut. Ages. ‖ 4 *ἀναμαχουμένοις* Hertlein ‖ 5 *ἐποίησε* Patakis ‖ 10 *εἶπε* vulg. ‖ 15 *οἱ μὲν διακριθέντες* K cum Cas. ‖ *κάθηντο* F ‖ 18 *τρίτοι* Maasvic.

*οὕτως ἄρα ἐδιδάχθησαν οἱ σύμμαχοι πλείονας αὐτῶν εἶναι στρατιώτας τοὺς Λάκωνας.*

*Ἀγησίλαος εἰς Ἀσίαν ὅτε διέβη καὶ τὴν βασιλέως* 8 396
*ἐλυμαίνετο, Τισαφέρνης ἀνοχὰς συνέθετο. αἱ δὲ ἀνοχαὶ τρεῖς μῆνες, ἐφ' ᾧ τε βασιλέα πεῖσαι, ὅσαι πόλεις Ἑλληνίδες ἐν Ἀσίᾳ, καὶ δὴ αὐτονόμους ἀφεῖναι. οἱ μὲν Ἕλληνες ἀνέμενον τὴν προθεσμίαν· ὁ δὲ Πέρσης πολλὴν χεῖρα συλλέξας ἐπέθετο τοῖς Ἕλλησιν. ὀρρωδία καὶ φόβος. Ἀγησίλαος καὶ φαιδρὸς τὴν ὄψιν, μάλα δὴ γαννύμενος ἐστρατήγησε 'χάριν οἶδα Τισαφέρνῃ τῆς ἐπιορκίας· ἑαυτῷ μὲν γὰρ πολεμίους τοὺς θεοὺς ἐποίησεν, ἡμῖν δὲ συμμάχους. ἴωμεν δὴ θαρροῦντες ὡς μαχούμενοι μετὰ τηλικούτων συμμάχων'. ἀνεθάρρησαν οἱ Ἕλληνες τῷ λόγῳ τοῦ στρατηγοῦ καὶ συμβαλόντες ἐνίκησαν τοὺς βαρβάρους.*

.29, 3 *Ἀγησίλαος ἐπὶ Σάρδεις ἐλαύνων καθῆκε λογοποι-* 9 395
*οὺς, ὡς ἐξαπατῶν Τισαφέρνην στέλλεται μὲν φανερῶς ἐπὶ Λυδίας, τρέπεται δὲ ἀφανῶς ἐπὶ Καρίας. ἠγγέλη ταῦτα Τισαφέρνῃ. ὁ μὲν Πέρσης ὥρμησε Καρίαν φυλάττειν, ὁ δὲ Λάκων κατέδραμε Λυδίαν καὶ λείαν πολλὴν κατέσυρεν.*

.24, 2 *Ἀγησίλαος ἐς τὴν Ἀκαρνάνων ἐνέβαλε. τῶν δὲ* 10 39
*ἀναφυγόντων ἐς τὰ ὄρη, οὐκ ὀξεῖαν τὴν ἐπιδρομὴν*

---

Cap. 1. § 8. Cf. Xenoph. Ages. 1, 10; Hellen. 3, 4, 5 sq. 11 sq.; Corn. Nep. vita Ages. 2, 3 sq.

Cap. 1. § 9. Cf. Xenoph. Hellen. 4, 3, 20; Plut. Ages. 9. 10; Corn. Nep. Ages. 3; Front. 1, 8, 12.

Cap. 1. § 10. Cf. Xenoph. Hellen. 4, 6, 5 sq.

---

4 *τι . σαφέρνης* F littera post *ι* erasa ‖ 5 *μῆνες* vulg.; *μῆνας* F; *εἰς τρ. μ.* Cas.: cf. 6, 53 ‖ 6 *καὶ δὴ* del. R ‖ 9 *ἦν ὀρ.* K. cf. 2, 1, 14. 2, 3, 13 ‖ 10 *ἐστρατήγησε λέγων* vulg. ‖ 16 *ἐπὶ τὰς* CK ‖ 17 *μὲν* FH; *μὲν γὰρ* vulg. ‖ 19 *τισ*(erat *τίσ*)*σαφερνη* F ‖ *ὥρμησεν ἐπὶ* H ‖ 21 *κατέσχεν* H.

ἐποιήσατο, ἀλλ' ἐς τὰ πλάγια τῆς χώρας διαπέμπων ἐκέλευσεν ἐκ ῥιζῶν ἀνασπᾶν τὰ δένδρα. οἱ δὲ Ἀκαρνᾶνες καταφρονήσαντες αὐτοῦ τῆς βραδυτῆτος καὶ τῆς περὶ τὰ δένδρα ἀσχολίας, ἐκ τῶν ὀρῶν κατέβησαν ἐς τὰς πόλεις τὰς ἐν τοῖς πεδίοις. ὁ δὲ ἑκατὸν ἑξήκοντα στάδια ὀλίγῳ μέρει τῆς νυκτὸς διαδραμὼν ἀρχομένης ἕω καταλαβὼν ἐν τῷ πεδίῳ τοὺς Ἀκαρνᾶνας πολὺ πλῆθος ἀνθρώπων καὶ βοσκημάτων καὶ τῶν ἄλλων κτημάτων λαφυραγωγήσας ἀνέζευξεν.

377 11 Ἀγησίλαος πυθόμενος Θηβαίους τὴν κατὰ Σκῶλον πάροδον φυλάττειν, πάσαις ταῖς ἀπὸ τῶν Ἑλλήνων πρεσβείαις ἐν Θεσπείαις ἀναμένειν συνέταξεν· ἀλλὰ μὴν καὶ τὰ σιτία τῆς στρατιᾶς συγκομίζειν ἐκεῖσε. Θηβαῖοι ταῦτα πυθόμενοι μετῆλθον ἐπὶ τὴν κατὰ Θεσπείας πάροδον καὶ ταύτῃ παρεφύλαττον. Ἀγησίλαος δυοῖν ἡμερῶν ὁδὸν ἀνύσας ἡμέρᾳ μιᾷ τὴν κατὰ Σκῶλον πάροδον ἐρήμην εὑρὼν ἄνευ μάχης διῆλθεν.

377 12 Ἀγησίλαος ἐπόρθει τὴν Θηβαΐδα. οἱ [Θηβαῖοι] cf. ε 47,
κατελάβοντο λόφον ὑπὲρ τῆς ὁδοῦ δύσβατον, καλούμενον Γραίας ἕδος, ὥστε ἦν καὶ τὸ παρατάσσεσθαι

Cap. 1. § 11. Cf. Xen. Hellen. 5, 4, 48 sq.
Cap. 1. § 12. Cf. Xen. Hellen. 5, 4, 49 sq.

5 ρ'ϟ' στάδια F; ρ'ξ' K ex Xenoph. ‖ 12. 15 Θεσπείαις et Θεσπείας F; Θεσπιαῖς et Θεσπιὰς K: cf. ad 2, 5, 2 et Eustath. ad Iliad. 2, 498 ‖ 15 ταύτῃ F; ταύτην vulg. K ‖ 16 ἡμέρᾳ μιᾷ Schneider ad Xenoph. Hellen. 5, 4, 48 et R; ἡμέραις δύο F; ἡμέρας δύο M; δυοῖν ἡμερῶν ὁδὸν ἐν μιᾷ ἀνύσας K ‖ 17 ἐρήμην F] ἔρημον M: cf. 5, 4. 5, 6 et 3, 9, 36. 4, 6, 16. 7, 17, 7 18 οἱ [Θηβαῖοι] W; οἳ F ‖ 19 κατελάβοντο Dindorf. in Steph. thes. II 748 B; κατέλαβον τὸν F ‖ καλούμενον m; καλέσας F: ὃν καλοῦσι K: cf. 1, 5. 7, 39; καθ' ὃ ἦν R ‖ 20 Γραίας Wesseling. ad Anton. Itin. p. 327, cf. Schneider ad Xenoph. Hellen. 5, 4, 50 et Steph. Byz. s. v. Τάναγρα; ῥέας F; cf. J. p. 539.

δύσμαχον καὶ τὸ προχωρεῖν ἀδύνατον. προσποιεῖται δὴ λοξώσας τὴν στρατιὰν ἄγειν ἐπὶ τὸ ἄστυ τῶν Θηβαίων· καὶ γὰρ ἦν ἔρημον ἐξεστρατευκότων ἁπάντων. Θηβαῖοι περὶ τῇ πόλει δείσαντες τὸν λόφον καταλιπόντες ἠπείγοντο ἐς τὸ ἄστυ· Ἀγησίλαος τὸν λόφον ἀκωλύτως διῆλθεν.

[Ἀγησίλαος,] ἐν Λεύκτροις Λακεδαιμονίων πολλῶν 13 371
ῥιψάντων τὰ ὅπλα καὶ λιπόντων τὴν τάξιν, ἵνα μὴ πολὺ πλῆθος ἄτιμον γένοιτο, ἠξίωσεν ἀποδειχθῆναι νομοθέτης. ἐπειδὴ ἀπεδείχθη, οὐ καινοὺς νόμους ἔγραψεν, ἀλλὰ τοὺς παλαιοὺς ἰσχύειν μετὰ τὴν ἐν Λεύκτροις μάχην.

Ἀγησίλαος, ἐν τῇ Σπάρτῃ στάσεως γενομένης, 14 361
ὥστε τῶν ὁπλιτῶν οἱ πολλοὶ κατελάβοντο λόφον ἱερὸν Ἀρτέμιδος Ἰσσωρίας ἐγγὺς Πιτάνης· ἐνέκειντο δὲ Βοιωτοὶ καὶ Ἀρκάδες ἐμβεβληκότες, καὶ δέος ἦν ἀμήχανον, ἐν τῷ πολέμῳ καὶ στάσις — οὐ μὴν αὐτὸς ἔδεισεν, ἀλλὰ τὸ μὲν ὅπλοις βιάζεσθαι τοὺς ἐπὶ τοῦ λόφου σφαλερὸν, τὸ δὲ ἱκετεύειν ταπεινὸν ὂν παρῆκεν. αὐτὸς δὲ μόνος ἄοπλος ἀτρέπτῳ καὶ πολλῷ τῷ προσώπῳ πρὸς τὸν λόφον ἐλθὼν 'οὐκ ἐνταῦθα', ἔφη, 'ὦ νεανίαι, ὑμᾶς ἔταξα· ἀλλ' ὑμεῖς μὲν εἰς τόνδε τὸν λόφον', ἕτερον δείξας, 'ὑμεῖς δὲ ἐς τόδε τὸ χωρίον ἄπιτε καὶ

---

Cap. 1. § 13. Cf. Plut. Ages. 30; apophth. reg. et imp. Ages. 10; apophth. Lacon. Ages. 73.

Cap. 1. § 14. Cf. Plut. Ages. 32; Corn. Nep. Ages. 6, 2.

---

1 *προχωρεῖν* Heringa; *procedere* V; *προσχωρεῖν* F ‖ 3 *Θηβαίων* Hertlein: cf. ad 2, 30, 3; *Θηβῶν* F ‖ 7 [*Ἀγησίλαος,*] inserui ‖ 8 *λιπόντων* vulg.; *διαλιπόντων* F; *δὴ λιπόντων* W ‖ 10 *ἐπειδὴ* F] *ἐπεὶ δὲ* C ‖ 12 *γενομένης τῶν μὲν ὁπλιτῶν* R ‖ 14 *Ἰσσωρίας* Meursius; *ἐσορίας* F; *Ὀρθείας* vulg. ‖ 16 *ἔν τε τῷ πολέμῳ καὶ στάσει* K mutata interpunctione ‖ 18 *ὂν* vulg.; om. F ‖ 19 *πολλῷ*] confert Abresch *πολλῷ τῷ ὀφθαλμῷ βλέπειν*; *φαιδρῷ* K; *ἁπλῷ* Roth.: cf. 8, 8. 8, 23, 15 ‖ 20 *νεανία* F.

φρουρεῖτε'. οἱ δὲ Λάκωνες, ὡς ἀγνοοῦντος τὴν διάνοιαν αὐτῶν τῆς ἀποστάσεως, κατηδέσθησαν καὶ οἷ προσέταξεν εὐπειθῶς ἀνεχώρησαν. νύκτωρ δὲ τοὺς ἐξάρχους τῆς στάσεως, ἄνδρας δώδεκα, ἄλλον ἄλλῃ ὑπεξάγων ἔπαυσε τὴν στάσιν.

169 15 Ἀγησίλαος, πολλῶν αὐτομολούντων καὶ τῆς στρατιᾶς περιδεῶς ἐχούσης, ἵνα λανθάνοιεν τοὺς μένοντας οἱ ἀποδιδράσκοντες, περιπέμπων ἐν ταῖς νυξὶν ἀνὰ τὰς στιβάδας καὶ τὰ συσσίτια τὰς ἐρριμμένας ἀσπίδας ἐκέλευσε συλλέγειν καὶ ὡς αὐτὸν κομίζειν, ἵνα μὴ κειμένης ἀσπίδος ὁ δεσπότης ζητοῖτο. οὐ τοίνυν οἱ αὐτομολοῦντες ἔτι ἐγιγνώσκοντο τῶν ὅπλων οὐ φαινομένων. c. 34, 2

394 16 Ἀγησίλαος ἐπολιόρκει Φώκαιαν χρόνῳ μακρῷ καὶ οὔτε τὴν πόλιν ἑλεῖν ἴσχυεν καὶ τοῦ χρόνου τὴν τριβὴν οὐκ ἔφερε. πολλῷ γε μὴν μᾶλλον ἐταλαιπώρουν οἱ τῶν Φωκαέων σύμμαχοι. ὁ δὲ διαλύσας τὴν πολιορκίαν ἀνεχώρησεν· ἄσμενοι δὴ καὶ οἱ τῶν Φωκαέων σύμμαχοι τῶν πολεμίων ἀπελθόντων ἀπηλλάγησαν. τότε Ἀγησίλαος ἐπιστρέφει, καὶ συμμάχων ἔρημον τὸ Φωκαέων ἄστυ κατελάβετο. c. 54, 3

94 17 Ἀγησίλαος Μακεδονίαν διοδεύων ἔπεμψε πρὸς Ἀέροπον Μακεδόνων βασιλέα ἐπὶ τῇ διόδῳ σπενδόμενος. Ἀέροπος οὐκ ἐσπείσατο, αὐτὸς φήσας ἀπαν- c. 15, 2

---

Cap. 1. § 15. Cf. Plut. Ages. 32.
Cap. 1. § 16. Cf. Front. 3, 11, 2.
Cap. 1. § 17. Cf. Polyaen. 4, 4, 3.

---

2 οἷ Casaub.; οἷς F; ὡς *quemadmodum* V: cf. 2, 1, 5 ‖ 8 πέμπων K ‖ 11 ζητῆται H ‖ 14 Φώκαιαν scripsi; Φωκέων F; Φωκαέας Heringa; Φωκέας vulg. Front. 3, 11, 2 A. cum Phocenses (Phocaenses?) obsideret ‖ 18. 21. **Φωκαέων** F] **Φωκέων** vulg. ‖ 24 αὐτὸς F] καὶ αὐτὸς M; ἀλλ' αὐτὸς K.

*τήσειν, τὸ [δὲ] ἱππικὸν ἐξέταττε πυθόμενος ἱππέας ὀλίγους εἶναι τῷ Λάκωνι. ὁ δέ, ἵνα δόξειε τῶν ὄντων πλείονας ἱππέας ἔχειν, τὰ μὲν πεζὰ τέλη προέταξεν· ὄπισθεν δὲ τοὺς ἱππέας, ὅσους εἶχεν, ἐς διφαλαγγίαν ἐπιστήσας, ἀνέμιξεν ὄνους καὶ ἡμιόνους καὶ τῶν ἵππων ὅσοι διὰ γῆρας ἀχθοφοροῦντες εἵποντο. τούτοις ἐποχούμενοι ἄνδρες ὅπλισιν ἱππικὴν ἔχοντες φαντασίαν παρέσχον ἱππικοῦ πολλοῦ. Ἀέροπος καταπλαγεὶς τὴν δίοδον ἐσπείσατο.*

18 *Ἀγησίλαος ἐστρατοπέδευεν ἐν Βοιωτίᾳ. τῶν συμμάχων συνάψαι μάχην δεδιότων, λάθρα δὲ ἐς Ὀρχομενόν, φίλην πόλιν, ὑπορρεόντων, ἀφανῶς πέμψας πρὸς Ὀρχομενίους ἐκέλευσε μηδένα χωρὶς αὐτοῦ σύμμαχον δέχεσθαι. οὐ τοίνυν ἔχοντες ποῖ τρέποιντο οἱ σύμμαχοι οὐκέτι περὶ φυγῆς, ἀλλὰ περὶ νίκης ἐβουλεύοντο.*

c. 32, 3 19 *Ἀγησίλαος Θηβαίοις παρετάσσετο. οἱ δὲ τὴν Λακωνικὴν φάλαγγα ῥῆξαι βουλόμενοι καὶ διεξελθεῖν καρτερῶς ἠγωνίζοντο, καὶ φόνος ἀμφοτέρων πολύς. Ἀγησίλαος παρήγγειλε· ‘παυσάμενοι τῆς θυμομαχίας διαστῶμεν.’ οἱ μὲν διέστησαν· Θηβαῖοι δὲ διαδραμόντες ἔφευγον. Ἀγησίλαος κατὰ τὴν οὐραγίαν αὐτοῖς ἐπέκειτο, καὶ οὐκέτι φόνος ἦν ἀμφοτέρων, ἀλλὰ μόνων τῶν φευγόντων.*

20 *Ἀγησίλαος παραταξάμενος ἰδὼν ἐθελοκακοῦντας*

---

Cap. 1. § 18. Cf. Front. 1, 11, 5.
Cap. 1. § 19. Cf. Front. 2, 6, 6.

---

1 [δὲ] add. Rud. Schoell ‖ 3 *ὄπιθεν* F ‖ 5 *ἀνέμιξεν* $P_2$ marg.; *ὑπέταξεν* H; *ἀνέμεινεν* F ‖ 6 *ἐπεπαύοντο* K ‖ *τούτοις* K, quod probavit Hertlein (Iahnii annal. 1861, p. 251 coll. 7, 10); *τούτων* F ‖ 7 *ὅπλησιν* F ‖ 12 *ὑπαπορρεόντων* Hertlein (Iahnii annal. 1861, p. 251) ‖ 13 *αὑτοῦ* F ‖ 22 *φόνος* corr. $F_1$ ex *φόβος* ‖ *μόνων* F] *μόνον* HM.

τοὺς συμμάχους ἀνεχώρησεν· ἦν δὲ ἡ ἀναχώρησις διὰ στενῶν ὀρῶν, ἐν οἷς προσεδόκα τοὺς Βοιωτοὺς ἐπιχειρήσειν. ἔταξεν οὖν τοὺς μὲν Λακεδαιμονίους προηγεῖσθαι, τοὺς δὲ συμμάχους οὐραγεῖν, ἵνα τῶν πολεμίων κατὰ τὴν οὐραγίαν προσκειμένων ἀνάγκην ἔχοιεν ἀνδρείως ἀγωνίζεσθαι.

17 21 Ἀγησίλαος ἐμβαλὼν ἐς Βοιωτίαν δῃοῦν καὶ δενδροτομεῖν τὴν χώραν ἐκέλευσε τοῖς συμμάχοις· τῶν δὲ ὀκνούντων παρήγγειλεν ἀπέχεσθαι δῃώσεως, τὰς μέντοι μεταστάσεις τοῦ στρατοπέδου δὶς καὶ τρὶς τῆς ἡμέρας ἐποιεῖτο. ἀναγκαίως οὖν τὰς καλύβας ἐγείροντες ἔτεμνον τὰ δένδρα διὰ τὴν αὑτῶν χρείαν, οὐ διὰ τὴν τῶν πολεμίων βλάβην· ἴσον δὲ ἄρα ἦν τοῖς πολεμίοις τὸ βλάπτεσθαι.

60 22 Ἀγησίλαος ἐν Αἰγύπτῳ Νεκτανεβῷ συμμαχῶν ἐς χωρίον κατακλεισθεὶς περιετειχίζετο. τοῦ δὲ Αἰγυπτίου τὸν περιτειχισμὸν οὐ φέροντος, ἀλλὰ διακινδυνεύειν ἀξιοῦντος οὐκ ἐπείσθη, ἀλλ' ἐνέμεινεν, ἕως περιεταφρεύθη καὶ περιετειχίσθη τὸ πᾶν, πλὴν ὀλίγου τοῦδε, ὃ στόμα καὶ δίοδος ἦν τοῦ τείχους. Ἀγησίλαος ἀνεβόησεν 'οὗτος τῆς ἀλκῆς ὁ καιρός', καὶ διὰ τοῦ στόματος ἐξώρμησεν κατ' ὀλίγους τῶν πολεμίων ἐν τῇ στενότητι φονεύων, καὶ τὸ περιβεβλημένον τεῖχος ἔρυμα ἔχων πρὸς τὸ κυκλωθῆναι μὴ δύνασθαι.

---

Cap. 1. § 22. Cf. Plut. Ages. 39; apophth. reg. et imp. Ages. 11; apophth. Lacon. Ages. 78; Diod. 15, 93.

---

10 μετὰ στρατοπεδο δὶς spatiis circa ternarum litterarum relictis $F_1$; μεταστάσεις τοῦ στρατοπέδου δὶς corr. $F_2$ ‖ 12 αὐτῶν F ‖ 13 ἄρα ἦν F] ἦν ἄρα M; ἦν vulg. ‖ 18 ἐνέμεινεν $P_2$; ἐνέμενεν F ‖ περιετραφεύθη F ‖ 19 ὀλίγου τοῦδε F; ὀλίγου του, δι' οὗ Hertlein ‖ 21 ὁ del. Hertlein ‖ 22 κατ' ὀλίγους F; οὐκ ὀλίγους vulg., Gutschmid: cf. 2, 25.

cf. e. 34, 1

23 39… Ἀγησίλαος πρὸς Βοιωτοὺς παρετάξατο. ἦν ἀμφίρροπος ἡ νίκη· νὺξ γὰρ διέλυσε τὴν μάχην. ὁ δὲ μέσης νυκτὸς τοὺς πιστοτάτους διέπεμψε κελεύσας οὓς δύναιντο γνωρίσαι Σπαρτιάτας νεκροὺς, ἐπαμησαμένους κόνιν ἀποκρύψαι. οἱ μὲν τοῦτο πράξαντες πρὸ ἡμέρας ἀνεχώρησαν· οἱ πολέμιοι δὲ ἡμέρας γενομένης αὐτῶν νεκροὺς ἰδόντες ἅπαντας κειμένους, τοὺς δὲ τῶν Σπαρτιατῶν ὀλίγους, ἄθυμοι καὶ δειλότεροι ταῖς γνώμαις ἐγένοντο ὡς Λακεδαιμονίων τὴν νίκην ἐχόντων.

24 394 (377) Ἀγησίλαος ἀπὸ τῆς Ἀσίας ἐπανιὼν διὰ Βοιωτίας ἐπορεύετο· Θηβαῖοι προκατελάβοντο τὰ στενὰ, δι᾽ ὧν ἐχρῆν πορεύεσθαι. ὁ δὲ ἐπιμηκύνας τὴν φάλαγγα ἦγεν ἐπὶ δύο τάξας, παραγγείλας φανερῶς ὁρμᾶν ἐπὶ τὴν πόλιν. Θηβαῖοι δείσαντες, μὴ καταλάβοιτο τὰς Θήβας, ἔξω τῆς δυνάμεως οὔσης, ἀπολιπόντες τὰ στενὰ διὰ τάχους ἐπανῆλθον ἐς τὴν πόλιν· Ἀγησίλαος δὲ ἀσφαλῶς τὸ στράτευμα διεπόρευσεν.

25 3… Ἀγησίλαος ἐς Θήβας ἐνέβαλε· Θηβαῖοι τὸ πεδίον διετάφρευσαν καὶ ἀπεχαράκωσαν· τοῦ χαρακώματος ἑκατέρωθεν δύο πάροδοι στεναί. βουλόμενος Ἀγησίλαος παρελθεῖν πλινθίον τάξας κοῖλον προῆγεν ἐπὶ τὴν πάροδον τὴν κατὰ τὸ εὐώνυμον. Θηβαίων ἐνταῦθα πάντων ἀντιταξαμένων, ὁ δὲ μεταβαλόμενος ἀπ᾽ οὐρᾶς ἐπὶ τὴν ἑτέραν πάροδον τοὺς εἴργοντας οὐκ ἔχουσαν, εἴσω παρελθὼν τὴν χώραν τεμὼν ἐπανῆλθεν οὐδενὸς ἀντιστάντος.

---

Cap. 1. § 24. Cf. Front. strat. 1, 4, 3.

---

6 αὐτῶν F; τοὺς αὐτῶν vulg. ‖ 13 τάξας F] τάξεις MD: cf. 5, 18; Herod. 6, 111; Hertlein ad Xenoph. Anab. 4, 8, 11 ‖ 14 καταλάβοιτο Rud. Schoell; καταλάβοιντο F ‖ 15 Ἀθήνας M ‖ 16 διὰ τοῦ τάχους F ‖ 23 μεταβαλλόμενος F, corr. K et Patakis.

26 Ἀγησίλαος ἐστρατοπεδεύσατο Λαμψάκου πλησίον. ἧκόν τινες ἐκ τῶν μετάλλων ἐκπεπηδηκότες Ἕλληνες ἀγγέλλοντες, ὡς ἄρα Λαμψακηνοῖς πάντες μεταλλεύουσιν οὓς ἂν λάβωσι. τὸ στράτευμα ἠγανάκτησε, καὶ πρὸς τὸ τεῖχος ὥρμησε διαρπασόμενον τὴν πόλιν. Ἀγησίλαος κωλῦσαι μὴ δυνάμενος σῶσαι τὴν πόλιν βουλόμενος ὡς ὑπεραγανακτῶν δὴ ἐκέλευσεν αὐτοὺς δραμόντας ἐκκόψαι τὰς ἀμπέλους πρώτας· εἶναι γὰρ τῶν πρώτων Λαμψακηνῶν. οἱ δὲ πρὸς τὸ ἐκκόπτειν ἐτράποντο· ὁ δὲ καιρὸν ἔσχε πέμψας μηνῦσαι Λαμψακηνοῖς, ὡς χρὴ τὴν πόλιν ἀσφαλῶς φυλάττειν.

369 27 Ἀγησίλαος, ἀντικαθημένων Λακεδαιμονίων καὶ c. 48, 2
Θηβαίων, μέσου [τοῦ] ποταμοῦ διείργοντος, ὁρῶν τοὺς Λακεδαιμονίους διαβαίνειν τὸν Εὐρώταν προθυμουμένους, δεδοικὼς πλείονας τοὺς Θηβαίους ὄντας μετὰ τῶν συμμάχων λογοποιοὺς καθῆκεν, ὡς ἄρα χρησμὸς εἴη, τοὺς προτέρους τὸν ποταμὸν διαβάντας ἡττᾶσθαι. οὕτως μὲν δὴ τοὺς Λακεδαιμονίους ἐπισχών, ὀλίγους τῶν συμμάχων ἐγγὺς τοῦ ποταμοῦ καταλιπὼν καὶ στρατηγὸν ἐπ' αὐτῶν τὸν Θάσιον Σύμμαχον, ἐντειλάμενος, Θηβαίων τὸν ποταμὸν διαβάντων αὐτοὺς φεύγειν ὅτι τάχος, ἄλλους τινὰς ἐς ἐνέδραν κατέκρυψεν ἐν τοῖς κοίλοις χωρίοις, αὐτὸς δὲ τοὺς στρατιώτας ἐς ὀχυρὸν καὶ δασὺ χωρίον ἀγαγὼν ἐπέστησεν. Θηβαῖοι τοὺς περὶ Σύμμαχον ὀλίγους ὄντας ἰδόντες, θαρροῦντες,

---

Cap. 1. § 27. Cf. Front. strat. 1, 10, 3. Diod. 15, 65.

---

3 *Λαμψακηνοῖς* Hertlein et idem *παρὰ* pro *ἄρα*; *Λαμψακηνοὶ* F: *ὡς ἄρα* legitur 1, 43. 2, 1, 4. 2, 1, 27. 5, 3, 2. 8, 22 ‖ *πάντας* Cas. ‖ *μεταλλεύειν κελεύουσιν* Malina ‖ 13 [*τοῦ*] K ‖ 14 *εὐρῶτα* F ‖ 23 *αὐτὸς* M; *αὐτοὺς* F ‖ 24 *ἐπέστησεν* F; *ὑπέστησεν* vulg.

*διαβάντες, φεύγοντας διώκοντες, ἐς τὴν ἐνέδραν ἐμπεσόντες ἀνῃρέθησαν ἑξακόσιοι.*

c. 32, 4 *Ἀγησίλαος ἐς τὴν Μεσσηνίαν ἐμβαλὼν ἔπεμψε κατά-* 28 *σκοπον. τοῦ δὲ ἀγγείλαντος, ὡς οὐ μόνον οἱ Μεσήνιοι τῆς πόλεως ἔξω προΐασιν, ἀλλὰ καὶ αἱ γυναῖκες αὐτῶν καὶ τὰ τέκνα καὶ τὰ ἐλεύθερα σώματα, ἀνέζευξεν ὡς ἀπεγνωκότων τὸ ζῆν καὶ διὰ τοῦτο ἀνδρειοτέρως μαχουμένων.*

*Ἀγησίλαος, ἐπειδὴ Λακεδαιμόνιοι κατακλεισθέντες* 29 *εἴσω τῆς Σπάρτης ὑπὸ Θηβαίων οὐκ ἔφερον τὸ τειχήρεις μετὰ τῶν γυναικῶν φρουρεῖσθαι, ἀλλ' ἐπεξελθόντες γενναῖόν τι δρῶντες ἢ κρατεῖν ἢ ἀποθνήσκειν ᾑροῦντο, ἀπέτρεψεν αὐτοὺς ἀναμνήσας, ὅτι καὶ ἡμεῖς ποτε Ἀθηναίους τειχήρεις ἐποιήσαμεν· οἱ δὲ οὐκ ἠξίωσαν ἐπεξελθόντες αὐτοὺς ἀναλῶσαι πάντας, ἀλλὰ τῆς πόλεως καὶ τῶν τειχῶν φύλακας καταστησάμενοι αὐτοὺς διεσώσαντο, τῶν πολιορκούντων πονηθέντων τῷ χρόνῳ καὶ αὐτῶν ἑκόντων ἀποστάντων.*

c. 42, 2 *Ἀγησίλαος ἐν Ἀσίᾳ λείαν ἦγε πολλὴν τῶν βαρ-* 30 *βάρων ἐπικειμένων καὶ τοξευόντων καὶ ἀκοντιζόντων· ὁ δ' ὅσους εἶχε τῶν αἰχμαλώτων βαρβάρους, δεδεμένους γυμνοὺς προέταξε τοῦ στρατοπέδου. οἱ προσ-*

Cap. 1. § 30. Cf. Front. strat. 1, 4, 2.

5 *προΐασιν* F] *προιᾶσιν* vulg. ‖ 6 Post *τέκνα* lacunam statuit Lugebil, Iahnii annal. suppl. V, p. 545 sq., in qua suppl. *καὶ οἱ δοῦλοι* vel tale quid; *καὶ* [*πάντα*] *τὰ* Rud. Schoell ‖ *ἀνέζευξαν* $F_1$; corr. $F_2$ ‖ 11 *τῶν* om. M ‖ 12 *ἀποθνήσκειν* F] *ἀποθανεῖν* M: cf. 1, 17. 2, 5, 1. 8, 49 et 2, 38, 1. 7, 46 ‖ 13 *ἀπέτρεψεν* C; *ἀπέστρεψεν* F ‖ 15 et 16 *αὐτοὺς* F ‖ 17 *πολιορκούντων* *oppugnatoribus* V; *πολιορκηθέντων* F ‖ *ποιηθέντων* F ‖ 21 *βαρβάρους* FH; *βαρβάρων* CK ‖ 22 *γυμνοὺς* Hertlein coll. 3, 9, 62; *μόνους* F; *γυμνοὺς μόνους* H; *μόνους* del. K.

*κείμενοι γνωρίσαντες τοὺς οἰκείους ἐπαύσαντο ἀφιέντες τὰ βέλη.*

94 31 *Ἀγησίλαος εἰς Μένδαν ἀττικίζουσαν λάθρα νυκτὸς παρελθὼν τὸ καρτερώτατον τῆς πόλεως κατασχών, τῶν Μενδαίων ἀγανακτούντων καὶ σπουδῇ συνελθόντων εἰς ἐκκλησίαν, ἐπιστὰς 'τί', ἔφη, 'θορυβεῖσθε; οἱ γὰρ ἡμίσεις ὑμῶν κοινωνοῦσι τῆς προδοσίας τῶν ἐμοὶ καταλαβεῖν τὴν πόλιν παρασχόντων.' οἱ Μενδαῖοι ἀλλήλους ὑπόπτους ἡγησάμενοι τῆς ταραχῆς ἐπαύσαντο.*

32 *Ἀγησίλαος τοὺς ἐνδόξους καὶ πολυφίλους αἰχμαλώτους ἄνευ λύτρων ἀπεδίδου ποιῶν αὐτοὺς ἀπίστους παρὰ τοῖς πολίταις.* e. 42

33 *Ἀγησίλαος ἐν ταῖς διαπρεσβείαις ἠξίου τῶν πολεμίων τοὺς μάλιστα δυνατοὺς πέμπεσθαι πρὸς αὐτόν, οἷς διαλέξεται περὶ τῶν κοινῇ συμφερόντων. τούτοις ἐπὶ πλεῖστον συγγιγνόμενος καὶ κοινωνῶν ἑστίας καὶ σπονδῶν ταῖς πόλεσι στάσιν ἐνεποίει διὰ τὰς τῶν πολλῶν ὑποψίας.* e. 8,

## 2. ΚΛΕΑΡΧΟΣ.

1 *Κλέαρχος πολλὴν στρατιὰν ἄγων ἦλθεν ἐπὶ ποταμὸν τῇ μὲν εὐδιάβατον ἄχρι κνήμης, τῇ δὲ βαθὺν ἄχρι μαστοῦ· πρῶτον μὲν ἐπειρᾶτο κατὰ τὸ εὐδιάβατον* e. 48

---

Cap. 2. De fontibus cf. J. p. 527—533.

---

8 *παρασχόντων* K Patakis; *κατασχόντων* F ‖ 10 *λαμβάνων αἰχμ.* H ‖ 13 *πολεμίων* FH; *πολιτῶν* K ‖ 14 *αὐτὸν* Hertlein, *αὑτὸν* FH ‖ 15 *διαλέξεται* K, quod Hertlein in textum recipiendum esse censet, non propter aoristi formam *διαλέξηται*, quam F exhibet (cf. 3, 9, 40. 5, 35) sed quod offendat modus coniunctivus ‖ 16 *συγγιγνομένοις* F ‖ 17 *σπονδῶν* H vulg.; *σποδῶν* FV: cf. 5, 5 ‖ 20 *ἐπὶ τὸν ποταμὸν* $F_1$; corr. $F_2$.

*ἄγειν. τῶν πολεμίων ἀπωτέρω τοῦ ποταμοῦ σφενδονώντων καὶ τοξευόντων καὶ τοὺς διαβαίνοντας ἀνειργόντων ὁ Κλέαρχος τοὺς ὁπλίτας ἤγαγε διὰ τοῦ βαθυτέρου, ἵνα τὸ μὲν πολὺ τοῦ σώματος ὑπὸ τοῦ ποταμοῦ κρύπτοιτο, τὰ δὲ ὑπερέχοντα τοῦ ὕδατος τῇ ἀσπίδι φυλάσσοιτο. οἱ μὲν ὁπλῖται ἀσφαλῶς διαβαίνοντες ἀνέκρουσαν τοὺς πολεμίους· ἡ δὲ λοιπὴ στρατιὰ κατὰ τὸ εὔπορον τοῦ ποταμοῦ διῆλθεν ἀκωλύτως.*

.46,3 *Κλέαρχος Κύρου πεσόντος ἀναχωρῶν μετὰ τῶν* 2 401 *Ἑλλήνων ἐστρατοπέδευεν ἐν κώμῃ τροφὴν ἄφθονον ἐχούσῃ. Τισαφέρνης πρέσβεις πέμψας ἠξίου μένειν αὐτόθι τοὺς Ἕλληνας παραδόντας αὐτῷ τὰ ὅπλα. Κλέαρχος ὑπεκρίνατο προσίεσθαι τοὺς λόγους, ὅπως Τισαφέρνης ἐλπίδι σπονδῶν ἐς τὰς κώμας διαπέμψειε τοὺς πολλοὺς τῶν Περσῶν. ὁ μὲν δὴ νομίσας εἶξαι τὸν Κλέαρχον διέλυσε τὴν δύναμιν. ὁ δὲ νύκτωρ τοὺς Ἕλληνας ἐξαγαγὼν τῇ πορείᾳ προέλαβεν ἡμέραν ὅλην καὶ νύκτα τοῦ Τισαφέρνου βραδέως τοὺς διαλυθέντας συνάγοντος.*

e.1 *Κλέαρχος Κύρῳ μὲν συνεβούλευεν αὐτῷ μὴ κιν-* 3 401 *δυνεύειν, ἀλλ᾽ ἐφορᾶν τὴν μάχην· μαχόμενον γὰρ μηδὲν μέγα συμπράξειν τῷ σώματι, παθόντα δέ [τι]*

---

Cap. 2. § 2. Cf. Xenoph. Anab. 2, 1 sqq.; Ktesias ap. Photium § 58.

Cap. 2. § 3. Ad priorem partem cf. Plut. Artax. 8, ad alteram Diod. 14, 23. — O. Kaemel, Philol. 34 p. 516 sqq.; W. Vollbrecht, Zur Würdigung und Erklärung von Xenophons Anabasis (Ratzeburg 1880) p. 7 sq.; J. p. 527—529.

---

6 *διαβάντες* Hertlein ‖ 10 *ἐστρατοπέδευεν* F] *ἐστρατοπέδευσεν* vulg. ‖ 11 *τισσαφέρνης* F ‖ 12 *αὐτῷ* F ‖ 18 *τοῦ* om. H ‖ *τισσαφέρνου* F ‖ 19 *συνάγοντος* K; *συναγαγόντος* FH ‖ 22 *μηδὲν* [*ἂν*] K ‖ *συμπράξειν* Hertlein; *συμπρᾶξαι* L ‖ [*τι*] Patakis.

*πάντας ἀπολεῖν τοὺς μετ' αὐτοῦ. τὴν δὲ φάλαγγα τῶν Ἑλλήνων κατ' ἀρχὰς μὲν βάδην ἦγε τῇ εὐταξίᾳ τοὺς βαρβάρους ἐκπλήττων· ὡς δὲ βέλους ἐντὸς ἤμελλεν εἶναι, δρόμῳ χρῆσθαι παρήγγειλεν, ὅπως μηδὲν ὑπὸ τῶν βελῶν βλάπτοιντο. καὶ δὴ τὸ Ἑλληνικὸν κατὰ τοῦτο τὸ μέρος τοὺς Πέρσας ἐνίκησεν.*

4 *Κλέαρχος μετὰ τὸν Κύρου θάνατον τῶν Ἑλλήνων κατασχόντων χώραν πολλὴν καὶ ἀγαθὴν — ποταμὸς ἐκυκλοῦτο τὴν χώραν ἐλαχίστῳ διειργομένην ἰσθμῷ μὴ νῆσον εἶναι — κωλύων ἔνδον στρατοπεδεύειν, ὡς οὐκ ἔπειθε, πεπλασμένον αὐτόμολον καθῆκεν ἀπαγγέλλοντα ‘βασιλεὺς τὸν ἰσθμὸν ἀπειλεῖ ἀποτειχίσαι’. τοῦτ' ἀκούσαντες οἱ Ἕλληνες καὶ πεισθέντες Κλεάρχῳ στρατοπεδεύουσιν ἐκτὸς ἰσθμοῦ.*

5 *Κλέαρχος λείαν ἄγων πολλὴν ἐπὶ λόφου καταληφθείς, περιχαρακευόμενος ὑπὸ τῶν πολεμίων, δεομένων τῶν ἡγεμόνων διακινδυνεύειν, πρὶν ἅπαντα περιχαρακωθῆναι τὸν λόφον, θαρρεῖν αὐτοὺς ἐκέλευσεν, ὡς πρὸς ὀλίγους ἐσομένης διὰ τὸ χαράκωμα τῆς μάχης. ἑσπέρας δὲ προσιούσης καταλιπὼν τὴν λείαν κατὰ τὸ διαλεῖπον τοῦ χάρακος διεξεπαίσατο τοὺς ἀπαντῶντας ἐν στενῷ κατακόπτων.*

6 *Κλέαρχος λεηλατήσας Θρᾴκην μὴ φθάσας ἐπαν-* e. 10, 1

---

Cap. 2. § 4. Cf. Xenoph. Anab. 2, 4, 14—25.

---

1 *ἀπολεῖν* Hertlein; *perditurum* V; *ἀπολιπεῖν* F ‖ *τοῖς μετ' αὐτοῦ* FH ‖ 9 *διειργομένην* Schneider ad Xenoph. Anab. 2, 4, 22, K et Hertlein coll. Achille Tatio 4, 12: *εἰς γὰρ αὐτὴν διεῖργεν στενωπὸς τὸ μὴ πᾶσαν νῆσον γενέσθαι: διειργόμενος* F; cf. etiam Thucyd. 6, 1 cum interpr. ‖ 10 *νῆσον* F] *νῆσος* Casaub. et Darmarius in marg. *δ* ‖ 11 *ἀπαγγέλοντα* F ‖ 14 *τοῦ ἰσθμοῦ* K ‖ 20 *προσιούσης* F] *προιούσης* vulg. ‖ 21 *διεξεπαίσατο* K, *διεξεπέσατο* F; *διεσπάσατο* vulg.; *διεξέπεσε* R.

ελθεῖν ἐς Βυζάντιον ἐστρατοπέδευσε πλησίον ὄρους Θρᾳκίου. τῶν δὲ Θρᾳκῶν ἀθροιζομένων εἰδὼς ὅτι οἰνωθέντες ἐκ τῶν ὀρῶν ὁρμώμενοι νύκτωρ ἐπιθήσονται, προσέταξεν ἐν τοῖς ὅπλοις διατελεῖν καὶ τὰς ἐγέρσεις ποιεῖσθαι πυκνάς. αὐτὸς δὲ νυκτὸς οὔσης ἀφεγγοῦς λαβὼν μέρος τοῦ στρατεύματος ἐπεφαίνετο τύπτων τὰ ὅπλα τὸν Θρᾴκιον τρόπον. οἱ δὲ ὡς τῶν πολεμίων ἐπιφαινομένων ἦσαν ἕτοιμοι πρὸς μάχην. ἐν τούτῳ καὶ οἱ Θρᾷκες ἐπεφάνησαν ὡς καθεύδοντας αἱρήσοντες· οἱ δὲ ἐγρηγορότες καὶ ὡπλισμένοι δεξάμενοι τοὺς ἐπιδραμόντας πλείστους αὐτῶν ἀπέκτειναν.

Κλέαρχος ἀποστάντων Βυζαντίων ζημιωθεὶς ὑπὸ 7
τῶν ἐφόρων ἐς Λάμψακον κατέπλευσε ναῦς ἔχων τέσσαρας καὶ διέτριβεν ἐνταῦθα μεθύειν καὶ κωμάζειν προσποιούμενος. ἐπολιορκοῦντο ὑπὸ Θρᾳκῶν Βυζάντιοι· καὶ δὴ ἔπεμψαν τοὺς στρατηγοὺς δεησομένους τῆς Κλεάρχου βοηθείας. ὁ δὲ ὡς ἀδυνάτως ἔχων διὰ 403
τὴν οἰνοφλυγίαν ἐντυχεῖν αὐτοῖς ἡμέρᾳ τρίτῃ προσήκατο καὶ δεηθέντας οἰκτεῖραι φάσκων ὑπέσχετο συμμαχήσειν. πληρώσας δὲ δὴ ναῦς δύο πρὸς ταῖς τέτταρσι κατέπλευσεν ἐς Βυζάντιον καὶ συναγαγὼν ἐκκλησίαν συνεβούλευσε πάντας τοὺς ἱππέας καὶ τοὺς ὁπλίτας ἐπιβῆναι τῶν νεῶν ὡς ἐπιθησομένους ὄπισθεν τοῖς Θρᾳξί, τοὺς δὲ κυβερνήτας ἀναχθέντας ἐπ' ἀγκυρῶν

Cap. 2. § 7. Cf. Diod. 14, 12. — Schaefer, Demosth. I[1], p. 24.

3 *οἰνωθέντες* F] *σωθέντες* vulg.; *σινωθέντες* Iac. Gronovius; *συθέντες* Heringa; *συνθέοντες* K; *λαθόντες* Blume ex V ‖ 4 *πάντας διάγειν* H ‖ 5 *ποιῆσαι* H ‖ 7 *Θρᾴκειον* K; *Θρακεῖον* F ‖ 8 *ἐπιφερομένων* H ‖ 14 *μεθύων* F; corr. vulg. ‖ 15 *θρακῶν* in ras. $F_2$ ‖ 17 *τῆς ὑπὸ Κλεάρχου* vulg. ‖ 23 *ὡς ἐπιθησομένους* F; *ὡς ὠθησομένους* M ‖ *ὄπιθεν* F.

*σαλεύειν, ἔστ' ἂν ἴδωσιν αἰρόμενον ὑπ' αὐτοῦ τὸ σημεῖον τῆς μάχης. οὕτω δὴ πάντων ἀναχθέντων ὁ Κλέαρχος διψῆν ἔφη πρὸς τοὺς στρατηγοὺς καὶ πλησίον ἰδὼν καπηλεῖον μετ' αὐτῶν εἰσελθὼν φυλακὴν καταστήσας ἔνδον ἀπέκτεινεν ἀμφοτέρους· καὶ συγκλείσας τὸ καπηλεῖον καὶ προστάξας τῷ καπήλῳ σιωπᾶν, τῶν στρατηγῶν ἀνῃρημένων, τῶν ὁπλιτῶν ἀνηγμένων αὐτὸς τοὺς αὐτοῦ στρατιώτας διὰ τάχους εἰσαγαγὼν κατέσχε τὸ Βυζάντιον.*

401 8 *Κλέαρχος ἐλεηλάτει τὴν Θρᾴκην καὶ πολλοὺς ἔκτεινε Θρᾳκῶν· οἱ δὲ πρέσβεις ἔπεμψαν δεησομένους διαλύσασθαι τὸν πόλεμον. ὁ δὲ τὴν εἰρήνην ἐπιζήμιον ἡγούμενος ἐκέλευσεν ἐκ τῶν Θρᾳκῶν νεκρῶν σώματα δύο ἢ τρία διατεμόντας τοὺς ὀψοποιοὺς ἀνακρεμάσαι· εἰ δὲ οἱ Θρᾷκες ἰδόντες ἔροιντο τὴν αἰτίαν, προσέταξε λέγειν 'Κλεάρχῳ δεῖπνον παρασκευάζεται'. ταῦτα οἱ πρέσβεις τῶν Θρᾳκῶν ἰδόντες φρίξαντες ἀνεχώρησαν μηδὲν περὶ τῶν διαλύσεων εἰπεῖν ἔτι τολμήσαντες.*

401 9 *Κλέαρχος ὁπλίτας ἔχων ἐν πεδίῳ προσκειμένων* e. 37, 3 *πολεμίων ἱππέων καὶ ἱπποκρατούντων συνέταξε τὸ στρατόπεδον ὀκτὼ τὸ βάθος καὶ κατέστησεν ἀραιοτέρους ἢ κατὰ σχῆμα πλινθίου καὶ παρήγγειλε τὸ ἐγχειρίδιον καθέντας ὑπὸ τὴν ἀσπίδα βαθύτατον ὀρύξαι βόθρον. οἱ μὲν ὤρυξαν, ὁ δὲ τοὺς ὁπλίτας ἐπανήγαγεν [ἐκ τῶν] ὀρυγμάτων ἐς τὸ πρόσω τοῦ πεδίου. τῶν δὲ*

Cap. 2. § 8. Cf. Front. 3, 5, 1.

1 *ἔστ' ἂν* Koen. ad Greg. Cor. p. 224; *ὅτ' ἂν* F ‖ 7 *ὁπλιτῶν* Koen. p. 60; *πολιτῶν* F ‖ 18 *τῶν* om. vulg. K ‖ 25 *ἀπήγαγεν* H ‖ 26 *ἐκ τῶν* om. F; add. vulg.

*πολεμίων ἱππέων ἐμπεσόντων, ἀναχωρεῖν ἐπὶ πόδα παρήγγειλεν ἕως τῶν ὀρυγμάτων· οἱ δὲ πολέμιοι μηδὲν προειδότες ἐπελαύνοντες τῇ ἵππῳ σφοδρῶς, ἐμπεσόντες τοῖς ὀρύγμασιν ἔπιπτον ἐπ' ἀλλήλοις· οἱ Κλεάρχειοι δὲ ἀνήρουν τοὺς ἱππέας χαμαὶ κειμένους.*

e. 27 *Κλέαρχος ἦν ἐν Θρᾴκῃ· νυκτερινοὶ φόβοι τὸ στρά-* 10 402
*τευμα κατελάμβανον. ὁ δὲ παρήγγειλεν, εἰ γένοιτο νύκτωρ θόρυβος, μηδένα ὀρθὸν ἀνίστασθαι· ὁ δὲ ἀναστὰς ὡς πολέμιος ἀναιρείσθω. τὸ παράγγελμα τοῦτο ἐδίδαξε τοὺς στρατιώτας καταφρονῆσαι τοῦ νυκτερινοῦ φόβου, καὶ οὕτως ἐπαύσαντο ἀναπηδῶντες καὶ ταραττόμενοι.*

LELAND ST...
DEPARTMENT OF ...

### 3. ΕΠΑΜΙΝΩΝΔΑΣ.

*Ἐπαμινώνδου τῆς γυναικὸς ἠράσθη Φοιβίδας, φρου-* 1. 479
*ρῶν τὴν Καδμείαν· ἡ δὲ τῷ ἀνδρὶ τὴν πεῖραν ἐμήνυσεν. Ἐπαμινώνδας προσέταξεν αὐτῇ τὸν Φοιβίδαν * * ὑποκρίνασθαι καὶ νύκτα συνθέσθαι ὡς καὶ ταῖς φίλοις αὐτοῦ γυναῖκας ἄλλας ἄξουσαν. ταῦτα μὲν δὴ συνέθεντο· αἱ δὲ ἧκον καὶ συνέπιον τοῖς περὶ τὸν Φοιβίδαν ἄχρι μέθης. καὶ ᾐτήσαντο πρὸς ὀλίγον ἐξελθεῖν ἐπί τινα θυσίαν νυκτερινὴν ὡς αὐτίκα ἀναστρέφουσαι. οἱ μὲν ἐπέτρεψαν τοῖς θυρωροῖς προστάξαντες πάλιν αὐτὰς ἐσδέξασθαι· αἱ δὲ ἀπῆλθον.*

Cap. 3. De fontibus cf. J. p. 545—550.

4 *ἀλλήλοις* M; *ἀλλήλους* F; *ἀλλήλων* H: cf. 8, 21 ‖ *Κλεάρχειοι* W; *Κλεάρχιοι* F: cf. *Θιβρώνειοι* 2, 19, *Εὐμενείων* 4, 6, 13, *Σελεύκειοι* et *Ἀντιγόνειοι* 4, 9, 1, *Μεμνόνειοι* 5, 44, 2, *Ἀγαθοκλείων* 6, 41, 1 ‖ 10 *τοῦ* om. H ‖ 14 *Φοιβίδας* W coll. 2, 5, 2; *φοιβιάδας* et 20 *φοιβιάδαν* F; *Φοιβιάδης* vulg. (cf. p. 78, 5) ‖ 17 *Φοιβ. ὑποκρίνασθαι* F; *φιλεῖν* suppl. vulg., *προσίεσθαι* Rud. Schoell ‖ 19 *συνέθεντο* F] *συνέθετο* vulg. ‖ 23 *ἀπῆλθον* D; *ὑπεξῆλθον* M; *ὑπῆλθον* F; *ἐπῆλθον* vulg.

πρὸς δὲ ταῖς πύλαις ἀγένειοι νεανίσκοι τὰς τῶν γυναικῶν ἐσθῆτας ἀλλαξάμενοι καὶ μίαν αὐτῶν παραλαβόντες ἡγεμόνα τῆς ὁδοῦ τῆς ἔνδον, ἣ καὶ βραχέα λαλήσειν τοῖς πυλωροῖς ἔμελλεν, οὕτως ἄρα ἐπελθόντες τόν τε Φοιβίδαν αὐτὸν καὶ ὅσοι ἀμφ' αὐτὸν πάντας ἔκτειναν.

2 Ἐπαμινώνδας Θηβαίων ἡγεῖτο, Λακεδαιμονίων e. 14, 4
Κλεόμβροτος· Λεῦκτρα ἔνθα ἡ μάχη· τὸ μὲν ἔργον ἰσόρροπον ἦν. Ἐπαμινώνδας παρὰ Θηβαίων ᾐτήσατο 'ἓν βῆμα χαρίσασθέ μοι, καὶ τὴν νίκην ἕξομεν'. ἐπείσθησαν, ἐνίκησαν. οἱ Λάκωνες εἶξαν, καὶ Κλεόμβροτος ὁ βασιλεὺς ἔπεσεν ἐν τῇ μάχῃ.

3 Ἐπαμινώνδας ἐν Λεύκτροις προσῆγεν ἤδη τὴν e. 5, 1
φάλαγγα· Θεσπιεῖς ἐθελοκακοῦντες εἵποντο. οὐκ ἠγνόησεν Ἐπαμινώνδας, ἀλλὰ ὅπως μὴ ταράττοιτο ἡ τάξις ἐν τῷ καιρῷ τῆς μάχης, ἐκήρυξε 'Βοιωτῶν ἀπιέναι τοῖς βουλομένοις ἐξέστω'. Θεσπιεῖς μὲν αὐτοῖς ὅπλοις ἀπηλλάσσοντο· Ἐπαμινώνδας δὲ τοῖς μείνασιν ὁπλίταις συντεταμένοις καὶ προθύμοις χρησάμενος εὐκλεῶς ἐνίκησεν.

4 Ἐπαμινώνδας ὑπερέβαλλεν ἐς Πελοπόννησον. οἱ πο-
(77?) λέμιοι κατὰ τὸ Ὄνειον (ἐμβαλόντες) ἐστρατοπεδεύοντο. βροντὴ γίγνεται, καὶ φόβος αἱρεῖ τοὺς στρατιώτας. ὁ μὲν μάντις ἐπισχεῖν ἐκέλευεν. Ἐπαμινώνδας δὲ 'μηδαμῶς', ἔφη· τοὺς πολεμίους γὰρ ἐν τοιούτῳ χωρίῳ

---

Cap. 3. § 3. Cf. Paus. 9, 13, 8.
Cap. 3. § 4. Cf. Plut. apophthegm. reg. et imp. Epam. 9. — Schaefer, Demosth. I[1] p. 78 et 91.

---

5 φοιβίδαν $F_1$] φοιβιάδαν $F_2$ ‖ 7 ἔνθα ἦν ἡ μάχη M, at cf. 4, 6, 8 ‖ 9 χαρίσασθαι F ‖ 18 συντεταμένοις Hertlein coll. 4, 2, 22; συντεταγμένοις F ‖ 20 ὑπερέβαλλεν Darmarius sup. scr. in δ; ὑπερέβαλεν F; ἐνέβαλλεν vulg. ‖ πελοπόνησον F et sic saepe ‖ 21 (ἐμβαλόντες) seclusi; ἐμβαλόντος Hertlein.

στρατοπεδεύσαντας ἐμβεβροντῆσθαι. ὁ λόγος τοῦ στρατηγοῦ θάρσος ἐνέδωκε τοῖς στρατιώταις, καὶ προθύμως ἠκολούθησαν.

Ἐπαμινώνδας ἐνέβαλεν ἐς τὴν Λακωνικὴν καὶ 5 37
οἷός τε ἦν διαρπάσαι τὴν Λακεδαιμονίων πόλιν· ἀλλὰ μεταγνοὺς οὐχ ἁψάμενος τῆς πόλεως ἀνέζευξεν. οἱ συνάρχοντες ἠπείλουν αὐτῷ δίκην· ὁ δὲ δείξας αὐτοῖς τοὺς συμμάχους Ἀρκάδας, Μεσσηνίους, Ἀργείους, καὶ ὅσοι ἄλλοι Πελοποννήσιοι 'εἰ Λακεδαιμονίους ἀναστάτους ἐπεποιήκειμεν', ἔφη, 'νῦν ἐχρῆν πᾶσιν ἂν τούτοις μάχεσθαι· ὡς καὶ νῦν συμμαχοῦσιν ἡμῖν Λακεδαιμονίους καθαιροῦντες, οὐχὶ Θηβαίους αὔξοντες.'

c. 14, 5 Ἐπαμινώνδας τοὺς Θηβαίους ἔπεισε τοῖς ἐπιδη- 6 38
μοῦσι Λακεδαιμονίων ἐν τοῖς γυμνασίοις παλαίειν· οἱ δὲ εὐκόλως καταβάλλοντες αὐτοὺς ἐδιδάχθησαν καταφρονεῖν αὐτῶν καὶ ὡς ἀνδρειότεροι τὸν πρὸς αὐτοὺς πόλεμον θαρροῦντες ἐξήνεγκαν.

c. 13, 3 Ἐπαμινώνδας ἀεὶ τὴν δύναμιν ἅμα ἡλίῳ προῆγε 7
δόξαν ἐμποιῶν, ὡς ἐκ τοῦ προφανοῦς διαμάχοιτο· ἐν δὲ Πελοποννήσῳ νυκτὸς ἐπαναστὰς προσέπεσεν ἀπροσδοκήτως Λακεδαιμονίοις ἔτι καθεύδουσιν.

Ἐπαμινώνδας ἡγεῖτο Θηβαίων, Κλεόμβροτος Λακε- 8 37

---

Cap. 3. § 5. Cf. Hertzberg, Agesilaos p. 359, not. 181.
Cap. 3. § 8. Cf. Diodor. 15, 53 sq. — Cf. quae E. Bachof in Iahnii annal. 1879, p. 167 sq. de his disseruit.

---

5 οἷός τε vulg.; ὥστε F ‖ Λακεδαιμονίαν F: cf. 2, 3, 10 et 2, 30, 3 ‖ 8 τοῖς συμμάχοις F ‖ 10 πεποιήκειμεν F vulg. ‖ 11 ὡς] οἳ R ‖ 15 καταβάλλοντες H; καταβαλόντες F; καταλαβόντες vulg. ‖ 19 προφανοῦς R; διαφανοῦς F ‖ διαμάχοιτο D; διαμάχοιντο FM; ὡς οὐδέποτε κλέψαι βούλοιτο H; διαμαχοῖτο censor Ienensis et Hertlein; διαμαχήσοιτο vel διαμαχέσοιτο K: cf. ad 2, 1, 28 ‖ 20 ἀπροσδοκήτοις W ex V *inopinantes et dormientes obruit.*

δαιμονίων καὶ τῶν συμμάχων, τετρακισμυρίων. ἐδεδοίκεσαν οἱ Θηβαῖοι τὸ πλῆθος τῶν πολεμίων. Ἐπαμινώνδας θαρρεῖν αὐτοὺς ἔπεισε δυσὶ τεχνάσμασι. παρεσκεύασεν ἄνδρα ἀγνῶτα προελθοῦσιν αὐτοῖς τῆς πόλεως ἐστεφανωμένον καὶ ταινίας ἔχοντα πρῶτον ἀπαντῆσαι ἀγγέλλοντα· ʽὁ Τροφώνιός μοι προσέταξεν ἀπαγγεῖλαι Θηβαίοις, ὅτι νίκην δίδωσι τοῖς ἄρχουσι τῆς μάχης.ʼ τῶν δὲ Θηβαίων θαρσησάντων καὶ τὴν τοῦ θεοῦ πρόσθεσιν προσκυνησάντων Ἐπαμινώνδας ἐκέλευσε καὶ ἐς τὸ Ἡρακλεῖον ἐλθόντας προσεύξασθαι. ἦν δὲ ἄρα καὶ πρὸς τὸν ἱερέα τοῦ Ἡρακλέους πάλαι προσυγκείμενον, τὸν μὲν νεὼν νύκτωρ ἀνοῖξαι, τὰ δὲ ἀνακείμενα ὅπλα καθελεῖν καὶ ἀποσμήξαντα παραθεῖναι τῷ θεῷ· καὶ αὐτόν τε καὶ τοὺς μετʼ αὐτοῦ ζακόρους ἐκποδὼν οἴχεσθαι μηδενὶ μηδὲν ἀπαγγείλαντας. ἐπεὶ δὲ οἱ στρατιῶται σὺν ἡγεμόσιν ἐς τὸ ἱερὸν ἐλθόντες εἶδον τὰς θύρας ἀνεῳγμένας οὐδενὸς τῶν ζακόρων παρόντος, εἶδον δὲ καὶ τὰ ὅπλα τὰ παλαιὰ νεόσμηκτα καὶ λάμποντα ἔμπροσθεν τοῦ θεοῦ, ἠλάλαξαν καὶ δαιμονίου θάρσους ἐνεπλήσθησαν ὥσπερ τὸν Ἡρακλέα στρατηγὸν τῆς μάχης ἔχοντες. οὕτω δὴ συνέβη αὐτοῖς θαρσήσασι κρατῆσαι τῶν τετρακισμυρίων.

369 9 Ἐπαμινώνδας βουλόμενος ἐμβαλεῖν ἐς Λακεδαίμονα, ἐπειδὴ τὸ Ὄνειον κατεῖχε φυλακὴ Λακωνικὴ, e. 25,

Cap. 3. § 9. Cf. Xenoph. Hellen. 7, 1, 15—18; Diod. 15, 68; Front. 2, 5, 26.

3 ἔπεισεν F] ἐποίησεν Hertlein (Iahnii annal. 1867, p. 606) || 4 παρεσκεύασεν H; παρεσκεύαζεν F || προσελθοῦσιν F || 6 ἀγγέλοντα F || 10 καὶ del. RK || 12 προσυγκείμενον K; προσκείμενον F || νεὼ $F_1$ || 13 ἀποσμήξαν $F_1$ || παραθῆναι F || 15 ἐπαγγείλαντας $F_2$; ἐπαγγείλαντος $F_1$ || 16 σὺν τοῖς ἡγεμόσιν K || 17 εἶδον τὰς M: ἰδόντες F; ἰδόντες τὰς vulg.; εἶδον μὲν τὰς K ex coni. Cas. || 21 αὐτοῖς vel Θηβαίοις R; τοῖς F || 23 προσβαλεῖν H.

ἐνδειξάμενος ὡς μέλλων νυκτὸς παριέναι τὸ στράτευμα κατεκοίμισεν ὑπ' αὐτῷ τῷ Ὀνείῳ. οἱ δὲ τὴν πάροδον φρουροῦντες ἐν τοῖς ὅπλοις τὴν νύκτα ὅλην ἐταλαιπώρησαν ἐγρηγορότες. ἐπεὶ δὲ ὑπέλαμψεν ἕως, ἀναστήσας τὸ στρατόπεδον Ἐπαμινώνδας ἐπέθετο τοῖς φύλαξιν ἐς ὕπνον τετραμμένοις καὶ χειρωσάμενος αὐτοὺς ῥᾳδίως παρῆλθεν.

34, 3 Ἐπαμινώνδας ἐπεχείρησε νυκτὸς καταλαβέσθαι 10 3
[τὴν] Λακεδαιμονίων πόλιν ἐρήμην οὖσαν πολιτῶν. Ἀγησίλαος τὴν ἐπίθεσιν παρὰ αὐτομόλων μαθών, συντόνως δραμὼν μετὰ τῆς αὐτοῦ δυνάμεως, φθάσας εἴσω τῆς πόλεως παρελθεῖν ἀνέμενε τοὺς Θηβαίους· οἱ δὲ προσπεσόντες ἐξώσθησαν μετὰ βίας ὑπὸ τῶν Λακεδαιμονίων. ὡς δὲ ἐν ἰσχυρῷ κινδύνῳ ταραχωδῶς ἐμπεσόντες καὶ διὰ νυκτὸς φεύγειν βιασθέντες ἀπέβαλον πολλοὶ τὰς ἀσπίδας, Ἐπαμινώνδας ἰδὼν τὸ γεγονὸς οὐ βουλόμενος ἐλεγχθῆναι τοὺς ῥιψάσπιδας ἐκήρυξε 'μηδεὶς τῶν ὁπλιτῶν αὐτὸς φερέτω τὴν ἀσπίδα, ἀλλὰ διδότω τοῖς ὑπασπισταῖς ἢ τοῖς ἄλλοις ἀκολούθοις· αὐτοὶ δὲ μόνα τὰ δόρατα καὶ τὰ ἐγχειρίδια ἔχοντες τῷ ἡγεμόνι ἕπεσθε.' οὕτως ἄρα τὸ πλῆθος ἔλαθον οἱ τὰ ὅπλα ἀποβαλόντες καὶ προθυμότερον ὑπήκουον

---

Cap. 3. § 10. Cf. Front. 3, 11, 5.

---

1 μέλλων $F_1$H; μελλον $F_2$M; μέλλοι vulg. ‖ παριέναι H et Hertlein (coll. παρῆλθεν infra v. 7 et 3, 9, 33); παρεῖναι F ‖ 2 κατεκοίμισεν H; κατεκοίμησεν F ‖ 4 ἕως FH; ἡ ἕως vulg.: cf. 1, 39, 1. 1, 40, 5. 1, 41, 1. 1, 43, 2. 2, 1, 10 etc. ‖ 7 κατῆλθεν H ‖ 9 [τὴν] K ex emend. Cas., cf. 2, 3, 5 ‖ 11 συντόνως Cas. K; συντόμως F ‖ αὐτοῦ F ‖ 12 ἀνέμεινε vulg. ‖ 13 ἐκπεσόντες K ‖ 15 ἀπέβαλον F] ἀπέβαλλον vulg. ‖ 21 ἕπεσθε Koen. p. 198; ἕπεσθαι F ‖ διὰ τὸ πλῆθος Patakis.

τῷ Ἐπαμινώνδᾳ πρὸς τοὺς μέλλοντας κινδύνους ἀντὶ τῆς εὐεργεσίας ταύτης.

11 Ἐπαμινώνδας Λακεδαιμονίοις παρετάσσετο· τῆς δὲ μάχης καρτερᾶς γενομένης, πολλῶν ἀμφοτέρωθεν πεσόντων, νυκτὸς ἀφελομένης τὸ τέλος τῆς νίκης ἀνεχώρησαν ἐπὶ τὸ στρατόπεδον ἕκαστοι. Λακεδαιμόνιοι μὲν δὴ κατὰ λόχους καὶ μόρας [καὶ] ἐνωμοτίας καὶ συσσίτια στρατοπεδεύοντες ἔμαθον τὸ πλῆθος τῶν ἀπολωλότων καὶ οὕτως ἀθυμήσαντες ἐς ὕπνον ἐτράποντο. Θηβαίοις δὲ παρήγγειλεν Ἐπαμινώνδας καταστρατοπεδεύειν, ὡς ἔτυχον ἕκαστοι, καὶ μὴ ζητεῖν τοὺς λόχους μηδὲ τὰς τάξεις, ἀλλὰ ὡς τάχιστα δειπνοῦντας ἀναπαύεσθαι, ἄνδρα ἀνδρὶ ἐκ τῶν παρόντων ἐπιτηδείων ἐπαρκέσαντα. συνέβη τοίνυν δειπνήσαντας αὐτοὺς διὰ τάχους ἀναπαύσασθαι· καὶ τὸ μέγιστον ἀγαθὸν, ἀγνοῆσαι τοὺς ἀπολωλότας οὐκ ἐν τοῖς οἰκείοις συσσιτίοις, ἀλλὰ σποράδην δεδειπνηκότας. εἰκότως ἄρα τῆς ὑστεραίας Θηβαῖοι μὲν παραταξάμενοι γενναιότεροι ἐκράτησαν, Λακεδαιμόνιοι δὲ διὰ τὸν θάνατον τῶν οἰκείων ἐῴκεσαν προηττημένοις.

12 Ἐπαμινώνδας Θηβαίων [ἑξακισχιλίους] ἦγεν ἐπὶ τετρακισμυρίους Σπαρτιατῶν καὶ τῶν συμμάχων. τῶν

---

Cap. 3. § 11. Cf. Trieber, Forsch. z. spart. Verf.-Gesch. p. 15.
Cap. 3. § 12. Cf. Front. 1, 11, 16.

---

1 τῷ Ἐπαμινώνδᾳ M; τὸν Ἐπαμινώνδαν F; τοῦ Ἐπαμινώνδα vulg.: cf. 1, 16, 1. 5, 1, 3 ‖ 5 ἀφελομένης R; γενομένης πολλῶν ἀμφοτέρωθεν πεσόντων (sic, punctis notantur verba errore repetita) F; verba νυκτὸς γενομένης om. M ‖ [ᾗ] τὸ τέλος Hertlein; πρὸ τοῦ τέλους K ‖ νίκης] ἀφείλετο add. vulg. ‖ 6 ἕκαστοι F] ἑκάτεροι Hertlein (Iahnii annal. 1867, p. 606) ‖ 7 δὴ F] οὖν vulg. ‖ μοίρας F ‖ [καὶ] add. K ‖ 13 ἀναπαύσεσθαι F ‖ 15 ἀναπαύσεσθαι F ‖ 18 γενναιότερον K ‖ 19 τὸν οἰκεῖον F ‖ 21 [ἑξακισχιλίους] i. e. ͵ς Maasv. ex Diod. 15, 52; om. F.

δὲ πολιτῶν, οἷον εἰκὸς, δεδιότων τὸ πλῆθος τῶν πολεμίων, τὴν δυσθυμίαν αὐτῶν ἰάσατο. ἦν ἐν Θήβαις τὸ βρέτας τῆς Ἀθηνᾶς τὸ μὲν δόρυ τῇ χειρὶ διειληφὸς τῇ δεξιᾷ, τὴν δὲ ἀσπίδα κειμένην ἔχον πρὸ τῶν γονάτων. ὁ δὲ νύκτωρ τεχνίτην ἐπαγαγὼν μετεσχημάτισε τὸ ἄγαλμα καὶ τὴν θεὸν ἐποίησε διὰ πόρπακος ἔχουσαν τὴν ἀσπίδα. ἐπεὶ δὲ καιρὸς ἦν ἐξόδου, τοὺς νεὼς ἅπαντας ἀνέῳξεν ὡς θύσων ὑπὲρ τῆς στρατείας. οἱ δὲ στρατιῶται τὸ σχῆμα τῆς θεοῦ μεταβεβλημένον ἰδόντες κατεπλάγησαν ὡς τῆς Ἀθηνᾶς αὐτῆς ὁπλιζομένης κατὰ τῶν πολεμίων, καὶ πολὺς ἦν Ἐπαμινώνδας ἐγκελευόμενος θαρρεῖν ὡς τῆς θεοῦ τὴν ἀσπίδα κατὰ τῶν πολεμίων προβεβλημένης. οὕτως ἀνεθάρρησαν οἱ Θηβαῖοι καὶ συμβαλόντες ἠγωνίσαντο λαμπρῶς καὶ τοὺς πολλῷ πλείονας πολεμίους ἐνίκησαν.

48, 4 Ἐπαμινώνδας πρὸς τῇ γεφύρᾳ τοῦ Σπερχειοῦ, 13 3
Θεσσαλῶν ἀντικαθημένων, ὁρῶν ἀπὸ τοῦ ποταμοῦ περὶ τὴν ἕω πολλὴν καὶ βαθεῖαν ὁμίχλην αἰρομένην, παρήγγειλεν ἑκάστῳ λόχῳ, δύο κομίσαι φορτία ξύλων, τὸ μὲν χλωρῶν, τὸ δὲ αὔων· καὶ περὶ μέσην νύκτα τὰ μὲν αὖα κάτωθεν, τὰ δὲ χλωρὰ ἄνωθεν [θέντας ὑφάψαι]. ὁμοῦ νὺξ καὶ ὁμίχλη καὶ καπνός· ὁ μὲν ἀὴρ τοῖς πολεμίοις ἀόρατος ἦν· ὁ δὲ Ἐπαμινώνδας ἐπὶ τὴν γέφυραν διεβίβασε τοὺς στρατιώτας. οἱ δὲ αὖ

---

Cap. 3. § 13. Cf. Diod. 15, 71, 5 sqq. — Schaefer, Demosth. I, p. 81, not. 1.

---

2 ἰήσατο F ‖ 5 εἰσαγαγὼν K ‖ 16 σπερχίου F ‖ 20 χλωρῶν et αὔων RK; χλωρὸν et αὖον F ‖ 21 τὰ χλωρὰ δε F ‖ [θέντας ὑφάψαι] suppl. Blume coll. 3, 9, 7. 8, 65; θέντας ἀνάπτειν K ex coni. Cas. ‖ 22 ὁ μὲν [οὖν] R ‖ 23 ἀόρατος F; ὡς ἂν μὴ ὁρᾶται ὁ ἀὴρ H; ἀδιόρατος R ‖ ἐπὶ] κατὰ Blume ‖ 24 οἱ δὲ οὖν R.

κατὰ μέσον τι πεδίον ὄντες, ὁπότε ὁ καπνὸς μετὰ τῆς ὁμίχλης διεσκεδάσθη, οἱ Θεσσαλοὶ τῆς διαβάσεως τῶν πολεμίων ᾔσθοντο.

14 Ἐπαμινώνδας περὶ Τεγέαν διακινδυνεύων πρὸς e. 38 Λακεδαιμονίους βουλόμενος ὑπερδεξίους καταλαβέσθαι τόπους, ἵνα λάθῃ τοὺς πολεμίους, προσέταξε τῷ ἱππάρχῳ μετὰ ἱππέων χιλίων ἑξακοσίων προϊππεῦσαι τῆς φάλαγγος καὶ πυκνὰς ποιεῖσθαι τὰς ἀναστροφὰς τῇδε κἀκεῖσε. ὡς δὲ πλεῖστον ἐπανέστησε κονιορτὸν ἐπισκοτῶν ταῖς τῶν πολεμίων ὄψεσιν, ὁ μὲν ἔλαθε κατασχὼν τὰ ὑπερδέξια· οἱ δὲ Σπαρτιᾶται, λήξαντος τοῦ κονιορτοῦ, τὸ γεγονὸς ἰδόντες ἐνόησαν τὴν αἰτίαν τῆς προϊππασίας.

15 Ἐπαμινώνδας προτρέπων Θηβαίους πρὸς αὐτοὺς e. 14, 7 ὁρμῆσαι Λακεδαιμονίους μέγιστον ἔχιν συλλαβὼν ἔδειξεν αὐτοῖς καὶ πάντων ἐναντίον τὴν κεφαλὴν τοῦ θηρίου συντρίψας 'ὁρᾶτε', ἔφη, 'ὅτι τὸ λοιπὸν σῶμα ἄχρηστον τῆς κεφαλῆς οἰχομένης· οὕτω δὴ (αἱ τῶν πολεμίων κεφαλαί), ἣν γε τὸ Λακωνικὸν τοῦτο συντρίψωμεν, τὸ λοιπὸν σῶμα τῶν συμμάχων ἄχρηστον.'

---

Cap. 3. § 14. Cf. Front. 2, 2, 12.

---

1 τὸ om. vulg. K ‖ ὁ om. M ‖ 4 διακινδυνεύειν F ‖ 6 ἵνα λάθοι H ‖ τὸν ἵππαρχον K ‖ 7 μετὰ ἱππέων χιλίων ἑξακοσίων FH] μετὰ τῶν ἱ. χιλίους ἑξακοσίους vulg.; παραλαβόντα aut saltem λαβόντα R; ἄγοντα Blume ‖ 9 ἐπισκοτῶν Pierson ad Moer. p. 162 coll. 3, 9, 7. 4, 6, 13; ἐπισκοτοῦντα R; ἀποσκοτώσας H; ἐπισκήπτων corr. ex ἐπισκύπτων F; ἐπισκήπτοντα K ‖ 10 τῶν πολεμίων τὴν ὄψιν H ‖ 11 λήξαντος M; λήξαντες F; καταλήξαντος vulg. ‖ 14 πρὸς Λακεδαιμονίους ὁρμῆσαι H ‖ 18 (αἱ τῶν πολεμίων κεφαλαὶ) utpote glossema del. Rud. Schoell; οὕτω δὴ ἣν τὴν τῶν πολεμίων κεφαλὴν, τὸ Λακωνικὸν τοῦτο cum Cas. K; οὕτω δὴ ἐὰν τὰς τῶν πολεμίων κεφαλὰς συντρίψωμεν H ‖ 19 ἥν γε R; ἤν τε F; ἣν μὲν M; ἣν τε D ‖ 20 ἄχρηστον [ἔσται] vel [οἴχεται] K.

τούτῳ τῷ παραδείγματι Θηβαῖοι πεισθέντες ὁρμήσαντες προθύμως ἐπὶ τὴν φάλαγγα τὴν Λακωνικὴν ἐτρέψαντο, καὶ τὸ πλῆθος τῶν συμμάχων ἔφυγεν.

## 4. ΠΕΛΟΠΙΔΑΣ.

). 54, 4 Πελοπίδας ἐπολιόρκει πόλεις ἀπεχούσας ἀλλήλων 1 368 ἑκατὸν εἴκοσι στάδια. πλησίον ὢν τῆς ἑτέρας συνέταξεν, ἐπειδὰν προσάγῃ τοῖς τείχεσι, τέσσαρας ἱππεῖς ἐστεφανωμένους θέοντας ἥκειν ἀγγέλλοντας τὴν ἑτέραν πόλιν ἑαλωκέναι. ὁ δὲ ἀκούσας ἀνέζευξεν ἐπὶ τὴν δοκοῦσαν ἡττᾶσθαι καὶ πρὸ τῶν τειχῶν ὕλην πολλὴν ἅψας καπνὸν ἤγειρε μέγαν, ἵνα τοῖς ἑτέροις ἐμποιήσῃ φαντασίαν πόλεως καταπεπρησμένης. οἱ δέ, ὡς εἶδον, καταπλαγέντες τὴν μέλλουσαν ἅλωσιν σφᾶς αὐτοὺς τῷ Πελοπίδᾳ παρέδωκαν. ὁ δὲ τὴν παρὰ τούτων δύναμιν προσλαβὼν ἐπὶ τὴν ἑτέραν πόλιν ἐλθὼν κἀκείνην παρεστήσατο οὐκέτι θαρροῦσαν ἀντιτάξασθαι. οὕτως ἄρα τὴν μὲν εἰληφέναι δόξας, τὴν δὲ λαβὼν ἀμφοτέρων ἐκράτησεν.

e. 48, 5 Πελοπίδας ἐν Θετταλίᾳ ποταμὸν διαβῆναι μὴ δυ- 2 368 νάμενος ἐπικειμένων πολεμίων στρατοπεδεύσας τοῦ ποταμοῦ πρόσθεν χάρακα περιεβάλετο· πολλὴν ὕλην τεμὼν ἀναπαύσας τοὺς στρατιώτας νυκτὶ μέσῃ τὸν

Cap. 4. § 1. Cf. Front. 3, 8, 2.
Cap. 4. § 2. Cf. Front. 1, 5, 2.

3 *ἔφευγεν* F ‖ 5 *πόλεις* Car. Sintenis coll. Front. strat. 3, 8, 2 *duo oppida simul oppugnaturus; ἀκροπόλεις* FH, sed cf. infra v. 9. 12. 15 ‖ 7 *τέσσαρας*] *quattuor* Frontinus; *τετρακισχιλίους* FH; *δ'* $P_2$ ‖ 8 *αγγέλοντας* F ‖ 10 *ἡττῆσθαι* Roth; *ἡρῆσθαι* H ‖ 11 *ἅψας* FH; *ἀνάψας* M ‖ 12 *οἱ δὲ ὡς ἤδη γεγενημένης καταπλαγέντες τὴν μέλλουσαν ἅλωσιν* H ‖ 22 τοὺς] τε τοὺς K.

*χάρακα κατέφλεξε. τοῦ δὲ πυρὸς ἐπὶ μέγα αἰρομένου πανταχόθεν οἱ μὲν πολέμιοι διώκειν ἐκωλύοντο, οἱ δὲ ἀμφὶ Πελοπίδαν ἀσφαλῶς τὸν ποταμὸν διῆλθον.*

379 3 *Θήβας ἐφύλασσε φρουρὰ Λακωνική, καὶ φρούραρχος ἐπὶ τῆς Καδμείας ἐτέτακτο. ἦν Ἀφροδίτης ἑορτή· αἱ μὲν γυναῖκες ἔπαιζον τῇ θεῷ· οἱ δὲ ἄνδρες ἀμφὶ ταύτας εἶχον. ἔδοξε τῷ φρουράρχῳ τιμῆσαι τὴν θεόν· ἐκάλεσεν ἑταίρας. ἔχων ξιφίδιον κρυπτὸν [Πελοπίδας] εἰσέρχεται καὶ τὸν φρούραρχον ἀνελὼν ἠλευθέρωσε τὰς Θήβας.*

## 5. ΓΟΡΓΙΔΑΣ.

379 1 *Γοργίδας πρῶτος ἐν Θήβαις τὸν ἱερὸν λόχον συν-* e. 14, 8
*έταξεν. ὁ λόχος ἦν ἐρασταὶ καὶ ἐρώμενοι τριακόσιοι. φιλοῦντες γὰρ δὴ ἀλλήλους οὐκ ἄν ποτε φύγοιεν, ἀλλ' ἢ ὑπὲρ ἀλλήλων ἀποθάνοιεν ἢ νικῷεν τοὺς πολεμίους.*

378 2 *Γοργίδας ἱππεῖς ἔχων Θηβαίους παρετάσσετο Φοιβίδᾳ πελταστὰς ἔχοντι· στενόπορον ἦν τὸ χωρίον. Γοργίδας φεύγειν προσποιούμενος τοὺς πελταστὰς ἐπὶ πόδα ἀνεχώρει· τῶν δὲ πολεμίων ἐγκειμένων, ὑπήγαγεν αὐτοὺς ἐς τὴν εὐρυχωρίαν. ἔνθα δὴ Γοργίδας κράνος ἐπὶ δόρατος ἀνατείνας σημεῖον ἔδωκεν ἀναστροφῆς. ὡς δὲ ἐν πλατυτέρῳ χωρίῳ τὸ ἱππικὸν ἀνέστρεψε, τὴν ἐμβολὴν τῶν ἵππων οὐ φέροντες οἱ πελτασταὶ προ-*

---

Cap. 4. § 3. Cf. Plut. Pelop. 11.
Cap. 5. § 2. Cf. Xenoph. Hellen. 5, 4, 42 sqq. — Curtius, Griech. Gesch. III[4], p. 271. J. p. 550 sq.

---

8 [*Πελοπίδας*] om. F ‖ 11 *Γοργίδας* Cas. coll. 2, 1, 2; *Γοργίας* F constanter ‖ 14 *φύγοιεν ἄν ἢ* F ‖ 17 *στενόπορον* R; *στενοπόριον* F; *στενοπορία* vulg.: cf. 2, 10, 2 ‖ 23 *ἵππων*] *equitum* V unde *ἱππέων* W.

*τροπάδην ἐς Θεσπιὰς ἔφυγον. ἀφ' ὧν * * * ἐν τῇ φυγῇ· Φοιβίδας δὲ διώκων αὐτίκα φεύγων ᾤχετο.*

## 6. ΔΕΡΚΥΛΙΔΑΣ.

39, 2 *Δερκυλίδας ὤμοσε Μειδίᾳ τῷ τυράννῳ τῆς Σκήψεως, ἐφ' ᾧ τε προελθόντα καὶ ὁμιλήσαντα ταχὺ πάλιν εἰς τὴν πόλιν ἀφεῖναι. καὶ δὴ ὁ μὲν τύραννος προῆλθε· Δερκυλίδας δὲ προσέταξεν ἀνοῖξαι τὰς πύλας, εἰ δὲ μή, φονεύσειν αὐτὸν ἠπείλησεν. ἐπεὶ δὲ φοβηθεὶς ἀνέῳξεν, 'ἀφίημί σε', ἔφη, 'νῦν ἐς τὴν πόλιν· τοῦτο γὰρ ὤμοσα· κἀγὼ δὲ μετὰ τῆς ἐμῆς δυνάμεως εἰσέρχομαι.'* 399

## 7. ΑΛΚΕΤΑΣ.

*Ἀλκέτας Λακεδαιμόνιος ἀπὸ Ἱστιαίας ὁρμώμενος βουλόμενος λαθεῖν, πεπληρωκὼς ναῦς πολλάς, καθελκύσας τριήρη μίαν καὶ ἐς ταύτην ἀνὰ μέρος ἐμβιβάζων* 377

Cap. 6. Cf. Xenoph. Hellen. 3, 1, 10—28.
Cap. 7. Cf. Front. 4, 7, 19. — Xenoph. Hellen. 5, 4, 56.

1 *Θεσπιὰς* M; *Θεσπίδας* F; *Θεσπείας* vulg. ‖ *ἀφ' ὧν * **] excidit fere [*ὁ μὲν ἐδίωκεν*] coll. 4, 13 vel [*ὁ μὲν ἐνίκησεν*] coll. 5, 22, 1; *ἀφ' ὧν τὸ μὲν ἔφευγον* F; *ἀφ' ὧν ἔφευγον* M; *ἀφ' ὧν οἱ μὲν ἔπεσον ἢ τοὺς μὲν ἐφόνευον* Darmarius in marg. cod. δ; [*τοὺς μὲν ἐζώγρησαν, τοὺς δὲ διέφθειραν*] W coll. 1, 8. 2, 27, 2. 3, 9, 33. 5, 44, 4. 7, 14, 2 ‖ 2 *ὁ διώκων* Hertlein coll. 4, 13 ‖ 3 *Δερκυλίδας* H vulg., quod probat Hertlein; *Δερκυλλίδας* F ‖ 4 *Μειδίᾳ* H; *Μηδίᾳ* F ‖ 5 *ἐφ' ᾧ τε* H ut solet auctor 1, 45, 2. 2, 1, 8. 2, 12. 7, 13. 8, 45; *ἐφ' ᾧ* F ‖ *προελθόντα καὶ ὁμιλήσαντα ταχὺ πάλιν* R; *προελθόντα ταχὺ* F; *προελθόντα τοῦ τείχους* K; *βραχὺ* Patakis; cf. 1, 35, 1. 4, 3, 4: usitatius Polyaeno *ἔξω τοῦ τείχους* ‖ 6 *ἀπεῖναι* F ‖ 9 *σε νῦν ἔφη* H ‖ 10 *εἰσέρχομαι. τοῦτο γὰρ ποιῆσαι οὐκ ὤμοσα* H ‖ 14 *κατελκύσας* F ‖ 15 *ἀνὰ* F ut 3, 9, 19. 5, 22, 4; *κατὰ* M; om. vulg.

τοὺς στρατιώτας, ἵνα δοκοίη τοῖς πολεμίοις ἓν σκάφος ἔχειν, ἤσκει τῶν τριήρων ἁπασῶν τὰ πληρώματα.

### 8. ΑΡΞΙΛΑΙΔΑΣ.

Ἀρξιλαΐδας ὁ Λάκων μετὰ στρατεύματος διαπο- e. 35, 1
ρεύεσθαι μέλλων ὁδὸν ὕποπτον, ὃ μὴ προῄδει γενόμενον, ἐλογίζετο δὲ δύνασθαι γενέσθαι, τοῦτο ὡς προεγνωκὼς ἀπήγγειλε τῷ πλήθει καὶ προσέταξε διεσκευασμένους πρὸς μάχην ὁδοιπορεῖν ὡς τῶν πολεμίων λοχώντων. κατὰ τύχην δὲ εὑρεθέντος μεγάλου λόχου, ὡς ἂν οὐ προίδωσι τὴν τῶν πολεμίων παρασκευήν, αὐτὸς φθάσας ἐπέθετο καὶ ῥᾳδίως ἅπαντας διέφθειρε τοὺς ἐνεδρεύσαντας τῷ προπαρεσκευάσθαι καταστρατηγήσας.

### 9. ΙΣΙΔΑΣ.

370/69 Ἰσίδας ὁ Λάκων μετὰ τὴν περὶ Λεῦκτρα συμφορὰν Γύθειον, τὸ τῆς Σπάρτης ἐπίνειον, Θηβαίων ἔμφρουρον ποιησάντων, ἑκατὸν ἡλικιώτας κοινωνοὺς προσλαβὼν λίπα τε ἐποίησεν αὐτοὺς ἀλείψασθαι καὶ στεφάνους ἐλαίας περιθέσθαι καὶ ξίφος ὑπὸ μάλης

---

Cap. 9. Cf. Hertzberg, Agesilaus p. 358, not. 178.

---

1 *δοκοίη* m; *δοίη* F ‖ 2 *ἤσκει* Koen. (*exercebat* Frontinus); *ἣ καὶ* F; *ἣν δὲ* Schneider ad Xenoph. Hellen. 5, 4, 56 ‖ *τριήρων* M; *τριηρῶν* F; *τριῶν* vulg., ad quod cf. Xenoph. *ἐπληρώσατο τρεῖς τριήρεις* ‖ 4 *μετὰ τοῦ* H ‖ 5 *γενησόμενον* K ‖ 7 *παρήγγειλε* H ‖ *προσέταξε πάντας* H ‖ *διεσκευασμένους* FH; *διασκευασαμένους* vulg. ‖ 10 *προίδωσι* F, cf. H *συνέβη εὑρεθῆναι λόχον μέγαν, μὴ προορώμενον τὴν τῶν πολεμίων παρασκευήν*, V *ne praeviderent hostium apparatum, ipse prior impetum fecit*; *προειδόσι* vulg. ‖ 12 *προπαρεσκευάσθαι* RK; *προπαρασκευᾶσθαι* F ‖ 14 *Ἰσίδας* F, Plut. Ages. 34; *Ἰσάδας* Maasv. T; Aelian. v. h. 6, 3 ‖ 16 *Γύθειον* Hertlein; *Γύθιον* F ‖ 18 *ἔπεισεν* Hertlein coll. 5, 1, 3.

*ἔχοντας ἕπεσθαι. αὐτὸς μὲν δὴ γυμνὸς ἐξῆλθε δρόμῳ πολλῷ· οἱ δὲ ἡλικιῶται γυμνοὶ συνέθεον. τῶν δὲ Θηβαίων ὑπὸ τοῦ σχήματος ἀπατηθέντων καὶ γυμνοὺς καὶ παίζοντας δεξαμένων οἱ Λάκωνες τὰ ξίφη σπασάμενοι τοὺς μὲν ἀπέκτειναν αὐτῶν, τοὺς δὲ ἐξέβαλον καὶ τὸ Γύθιον αὐτοὶ κατέσχον.*

## 10. ΚΛΕΑΝΔΡΙΔΑΣ.

e. 8, 3 *Κλεανδρίδας ὁ Λάκων ἐπὶ Τέριναν ἄγων τὴν στρατιὰν ὁδὸν κοίλην λάθρα προσπεσεῖν ἐπεχείρησε τοῖς Τεριναίοις· οἱ δὲ προαισθόμενοι δι' αὐτομόλων σπεύσαντες ἐπὶ τὴν ὁδὸν ὑπὲρ κεφαλῆς ἐγένοντο τοῦ Κλεανδρίδου. ὁ δέ, τῶν στρατιωτῶν ἀθύμως ἐχόντων, θαρρεῖν αὐτοὺς κελεύσας τὸν κήρυκα διὰ τῆς στρατιᾶς ἦγε προστάξας ἀναβοᾶν· ὃς ἂν Τεριναίων τὸ σύνθημα λέγῃ τὸ προσυγκείμενον, τοῦτον φίλον ἡγεῖσθαι. ἀκούσαντες οἱ Τεριναῖοι τοῦ συντάγματος ὑπόπτως ἔσχον ὡς δὴ σφῶν αὐτῶν ὄντας τινὰς προδότας, καὶ ἔδοξεν αὐτοῖς τὴν ταχίστην ἀπαλλαγεῖσι φυλάττειν τὴν πόλιν. οἱ μὲν ἐξαπατηθέντες ἀπεχώρουν. Κλεανδρίδας δὲ ἀκινδύνως ἀνεβίβασεν ἐπὶ τὰ ὑψηλὰ τὴν στρατιάν, προσέτι καὶ λεηλατήσας τὴν χώραν ἀσφαλῶς ἀπηλλάγη.* 1 post

e. 18, 2 *Κλεανδρίδας Θουρίων ἡγούμενος μάχῃ νικήσας Λευκανοὺς μετὰ τὴν νίκην ἦγε τοὺς Θουρίους ἐπὶ τὸν* 2 post

Cap. 10. Cf. J. p. 559—561. M. Duncker, Gesch. d. Altert. 9, p. 272 sqq. et p. 301 sqq.

3 *καὶ ὡς γυμνοὺς* Hertlein ‖ 7 *Κλεανδρίδας ὁ Λάκων* F in titulo, unde *ὁ Λάκων* inserui v. 8 ‖ 8 *ἄγων* Hertlein; *ἀγαγὼν* F ‖ 10 *προαισθόμενοι* H P; *προσαισθανόμενοι* F ‖ *δι' αὐτομόλου* H ‖ 15 *προυσυγκείμενον* K; *προκείμενον* F ‖ 16 *κηρύγματος* Hertlein; *συνθήματος* W ‖ 21 *ὑψηλὰ καὶ τὴν* F ‖ *τὴν στρατιὰν διαβιβάσας* H ‖ *προσέτι καὶ* F] *καὶ προσέτι* M V, cf. 5, 2, 2.

τόπον τῆς μάχης δεικνύων αὐτοῖς, ὅτι αὐτοὶ μὲν ἐν τῷ αὐτῷ μείναντες διὰ τοῦτο ἐνίκησαν, οἱ πολέμιοι δὲ πολὺ ἀπ' ἀλλήλων πεσόντες τοῦτο ἔπαθον τῷ μὴ μένειν, ἀλλὰ διεσπάσθαι. ταῦτα διεξιόντος πρὸς τοὺς Θουρίους, ἐπεφάνησαν οἱ Λευκανοὶ πολλῷ πλείονα δύναμιν ἔχοντες. ὁ δὲ ἐκ τῆς εὐρυχωρίας ἐς στενόπορον χωρίον ὑπεξήγαγε τὴν ἑαυτοῦ στρατιάν, ἵνα τὸ πλῆθος τῶν πολεμίων ἀχρεῖον κατασκευάσας ἴσους τοὺς αὐτοῦ στρατιώτας (ἐν) τῇ στενότητι τοῦ τόπου πρὸς τὸν κίνδυνον καταστήσῃ· καὶ δὴ πάλιν Λευκανοὺς ἐνίκησαν οἱ Θούριοι.

445 3 Κλεανδρίδας τοὺς ἀρίστους Τεγεατῶν λακωνίζειν e. 8, 4
ὑποπτευομένους ἐποίησεν ὑποπτοτέρους τὰ τούτων χωρία μόνον μὴ δῃώσας, τὰ δὲ τῶν ἄλλων λυμηνάμενος. οἱ μὲν οὖν Τεγεᾶται σὺν πολλῇ ὀργῇ τοὺς ἄνδρας ἐς δίκην προδοσίας ὑπήγαγον· οἱ δὲ ἁλῶναι δείσαντες τὴν ψῆφον προλαβόντες προέδωκαν τὴν πόλιν τὴν ψευδῆ ὑποψίαν ἀληθῆ ποιῆσαι φόβῳ βιασθέντες.

443 4 Κλεανδρίδας Λευκανοῖς πολεμῶν ὑπερέχων ἡμιολίῳ e. 17, 2
πλήθει λογισάμενος ὡς, εἰ φανερὸν τὸ πλῆθος γένοιτο τοῖς πολεμίοις, ἀναχωρήσουσι [μὴ] διακινδυνεύσαντες, τὴν φάλαγγα συνήγαγεν ἐς βάθος. ἐπεὶ δὲ Λευκανοὶ καταφρονήσαντες ὡς ὀλίγων ἐπὶ μῆκος ἐξέτειναν τὰ

Cap. 10. § 4. Cf. Front. 2, 3, 12.

3 τῷ D; τοῦ F ‖ 4 διεσπάσθαι H; διασπᾶσθαι F ‖ 5 πλείονα $P_2$; πλεῖον F; πλείω vulg. ‖ 9 τοὺς αὐτοὺς F ‖ ἐν del. Hertlein coll. 1, 32, 1 ‖ 12 τῶν Τεγεατῶν H ‖ 14 μόνων R, Patakis; μόνα Hertlein ‖ λυμαινόμενος H ‖ 16 ὑπῆγον H ‖ 18 τῷ φόβῳ H ‖ 22 [μὴ] inseruit K.

ζυγὰ ὑπερφαλαγγῆσαι πειρώμενοι καὶ βουλόμενοι καὶ * ἦν αὐτοῖς ἡ ἀναχώρησις ἡπλωμένης τῆς φάλαγγος, παρήγγειλε τοὺς ἐπιστάτας μεταβαίνειν εἰς παραστάτην· πολλῷ δὲ ποιήσας ὑπερμηκεστέραν τὴν τάξιν ὑπερεφαλάγγησε τοὺς Λευκανούς. οἱ δὲ κυκλωθέντες, βαλλόμενοι πανταχόθεν πάντες ἀπώλοντο πλὴν ὀλίγων, [οἳ] διεσώθησαν αἰσχρῶς φεύγοντες.

Κλεανδρίδας Θουρίοις ἐλάττοσιν οὖσι παραγγέλλων 5 post
μὴ συμβάλλειν πλήθει πολεμίων ἔφη 'ὅπου μὴ ἐξαρκεῖ ἡ λεοντῆ, τότε χρὴ καὶ τῆς ἀλωπεκῆς προσράπτειν'.

11. ΦΑΡΑΚΙΔΑΣ.

Φαρακίδας, Καρχηδονίων ἐφορμούντων Συρακού- 397
σαις, περιπεσὼν κατὰ τὸν πλοῦν Καρχηδονίαις τριήρεσι καὶ ἀπὸ τούτων ἐννέα λαβών, ὅπως ἡσυχάσειαν οἱ Καρχηδόνιοι καταπλέοντος, ἐς τὰς αἰχμαλώτους τριήρεις τὰς ἐννέα ἀνεβίβασε τοὺς ἰδίους ἐρέτας καὶ στρατιώτας· Καρχηδόνιοι γνωρίζοντες τὰ οἰκεῖα σκάφη προσπλέοντας αὐτοὺς τῷ λιμένι τῶν Συρακουσίων οὐκ ἐκώλυσαν.

---

Cap. 10. § 5. Cf. Plut. Lys. 7 extr. et apophthegm. reg. et imp. Lys. 2.
Cap. 11. Cf. Front. 1, 4, 12. — Beloch, Mus. Rhen. 34 p. 124.

---

1 βουλόμενοι καὶ ἦν F (adiectivum latere videtur in his verbis corruptis); βουλόμενοι καὶ punctis notata sunt in Cant. et in marg. adscr. κυκλουμένη καὶ (ἣ?) κεκλεισμένη ἦν; καὶ κυκλοῦσθαι βουλόμενοι, ἵνα κεκλεισμένη ἦν αὐτοῖς etc. Blume; πειρώμενοι ἡττῶντό τε αὐτοὶ κυκλούμενοι καὶ κακὴ (aut ex cod. Cant. καὶ κατακεκλεισμένη) ἦν αὐτοῖς ἡ ἀναχώρησις R ‖ 6 βαλόμενοι F ‖ 7 οἳ om. F ‖ ἐσώθησαν W ‖ 8 παραγγέλων F ‖ 9 ὅπου ... τότε] Plut. ὅπου ... ἐκεῖ; ‖ 10 λεοντὴς F ‖ 15 καταπλέοντος vel παραπλέοντος Cas.; καταπλέοντας F; καταπλέοντες vulg. ‖ 17 γνωρίσαντες K.

## 12. ΔΗΙΦΟΝΤΗΣ.

*Δηΐφόντης τοῖς Δωριεῦσι συνέταξεν ἐκκαλεῖσθαι τοὺς Ἀργείους ἐς μάχην. αὐτὸς δὲ τῶν νεῶν ἐπιβὰς ὑπὸ λόφῳ τινὶ περιωρμίσατο, ἔνθα οὐκ ἦν κάτοπτος. σκοπὸς ἤγγειλε ʻΔωριεῖς μὲν περιελαύνουσι λείαν, Ἀργεῖοι δὲ ἐκβοηθοῦσι τὸ στρατόπεδον καταλιπόντες'. Δηΐφόντης καὶ οἱ σύμμαχοι τῶν νεῶν ἐκδραμόντες ἔρημον αἱροῦσι τὸ στρατόπεδον. Ἀργεῖοι πατέρων καὶ παίδων καὶ γυναικῶν ἑαλωκότων ἐφ' ᾧ τε σῶσαι τούτους τήν τε χώραν καὶ τὰς πόλεις παρέδωκαν Δωριεῦσιν.*

## 13. ΕΥΡΥΠΩΝ.

*Εὐρυπῶν βασιλεὺς Λακεδαιμονίων ὁρῶν τὸν πρὸς* e. 8, 6 *Ἀρκάδας πόλεμον μηκυνόμενον στάσιν αὐτοῖς ἐμποιῆσαι μηχανώμενος κήρυκα ἔπεμψεν ἀγγέλλοντα ʻΛακεδαιμόνιοι παύσονται πολεμοῦντες, ἐὰν τοὺς ἐναγεῖς ἐξελάσητε'. τούτους δὲ εἶναι τοὺς Ἆγιν ἀνῃρηκότας. οἱ δὴ τοῦ φόνου τὴν αἰτίαν ἔχοντες, προσδοκῶντες ὑπὸ τοῦ δήμου διωχθήσεσθαι διὰ τὴν τῆς εἰρήνης ἐπιθυμίαν, σὺν ἐγχειριδίοις ἐλθόντες ἀπέσφαξαν ὅσους ἠδύναντο· πολλοὺς δὲ καὶ [δούλους] συμμάχους προσεποιήσαντο τὴν ἐλευθερίαν ὑπισχνούμενοι. οἱ δὲ τῆς εἰρήνης ἐπιθυμοῦντες συνετάχθησαν, ὥστε δίχα διαι-*

---

1 et 2 *διηφόντης* F ‖ 4 *ὑπὸ* RK; *ἐπὶ* F: cf. 4, 7, 6. 4, 7, 7 ‖ *προσωρμίσατο* K ‖ 7 *δηΐφόντης* in *διηφόντης* corr. $F_2$ ‖ 8 *αἵρουσι* F ‖ 12 *Εὐρυπῶν* K in Addendis; *εὐρυτίων* FH ‖ 15 *ἀγγέλοντα* F ‖ 16 *παύσονται* H; *παύονται* F ‖ 17 *Ἆγιν ἀνῃρηκότας* C. Fr. Hermann, Staatsalterth. § 22, 1; *αἴγιναν ἡρηκότας* F; erravit Od. Müller in Aeginet. p. 50 sq. ‖ 21 [*δούλους*] hoc loco inseruit Hertlein, post *πολλοὺς* Blume coll. Meursio de regno Laced. cap. 15: cf. 1, 43, 1 ‖ 23 *συνετάχθησαν κατ' αὐτῶν ὥστε* H.

ρεθέντες, ὁπλισάμενοι, προελθόντες παρετάξαντο· οἱ δὲ τὰ τοῦ δήμου φρονοῦντες ἡττηθέντες, πρὸς μέρος τι τοῦ τείχους καταφυγόντες, τὰς πύλας ἀνοίξαντες Λακεδαιμονίους ἐδέξαντο. οἱ δὲ κατέσχον τῇ στάσει Μαντίνειαν, ἧς τῷ πολέμῳ κρατεῖν οὐκ ἠδύναντο.

## 14. ΕΦΟΡΟΙ.

e. 36, 2 Οἱ Ἔφοροι μηνυθέντος ἐπιβουλεύειν Κινάδωνα 1 399
συλλαβεῖν αὐτὸν ἐν τῇ πόλει συμφέρειν οὐχ ἡγούμενοι τῶν ἱππέων τινὰς κρύφα προπέμψαντες ἐς Αὐλῶνα τῆς Λακωνικῆς οὐ προ πολλοῦ, τὸν Κινάδωνα καλέσαντες μετὰ δύο στρατιωτῶν ἐς Αὐλῶνα ἔπεμψαν ὡς ἐπὶ πρᾶξιν ἀπόρρητον. ὡς δὲ ἀφίκετο, οἱ προπεμφθέντες ἱππεῖς συλλαβόντες αὐτὸν, στρεβλώσαντες, μαθόντες τοὺς κοινωνοὺς τῆς ἐπαναστάσεως ἐπέστειλαν τοῖς Ἐφόροις. οἱ δὲ μαθόντες τοὺς μηνυθέντας ἄνευ ταραχῆς ἀπέκτειναν οὐ παρόντος τοῦ μεμηνυκότος.

Οἱ Ἔφοροι πυθόμενοι τοῖς Παρθενίαις σημεῖον 2 708
συγκείμενον, ὅταν μέλλωσιν ἄρχεσθαι τῆς ἐπαναστά- (sec. Hierony
σεως, ἐκ μέσης τῆς ἀγορᾶς πῖλον ἀνασχεῖν, προσέταξαν τῷ κήρυκι ἀναγορεῦσαι· ‘οἱ τὸν πῖλον αἴρειν μέλλοντες ἐκ τῆς ἀγορᾶς ἄπιτε.’ τούτου δὲ κηρυχθέντος οἱ κοι-

Cap. 14. § 1. Cf. Xenoph. Hellen. 3, 3, 5—11. — J. p. 553.
Cap. 14. § 2. Ex Ephoro coll. Strab. 6, p. 427.

1 προσελθόντες F ‖ παρετάξαντο πρὸς ἀλλήλους H ‖ 5 μαντινίαν F ‖ ἠδύναντο F] ἠδυνήθησαν M; ἣν πολέμου νόμῳ κρατῆσαι οὐκ ἴσχυον H ‖ 7 μηνυθέντος Cas.; μηνυθέντες FH; μηνυθέντα M ‖ 8 αὐτῶν F ‖ 12 ἀπόρρητον H; ἀπορρήτων F | ἀφίκετο H; ἀφίκοντο F; ἀφῖκτο vulg. ‖ 17 Παρθενίαις Ephorus ap. Strab. 6, 427, Παρθενίοις F ‖ 19 et 20 πηλὸν F ‖ 20 μέλλειν αἴροντες F.

*νωνοῦντες τῆς ἐπιθέσεως ἐπέσχον ὡς προεγνωσμένης τῆς πράξεως.*

15. ΙΠΠΟΔΑΜΑΣ.

364 *Ἱπποδάμας ὑπὸ Ἀρκάδων ἐν Πρασιαῖς ἐπολιορκεῖτο. λιμὸς ἦν· οἱ Σπαρτιᾶται κήρυκα ἔπεμψαν· εἴσω παρελθεῖν Ἀρκάδες οὐκ ἐπέτρεψαν. Ἱπποδάμας ἀπὸ τοῦ τείχους τῷ κήρυκι ἀπεκρίνατο 'τοῖς Ἐφόροις ἄγγελλε τὴν γυναῖκα λύειν τὴν ἐν τῷ ἱερῷ τῆς Χαλκιοίκου δεδεμένην'. οἱ μὲν Ἀρκάδες οὐκ ἐνόησαν· οἱ δὲ Λάκωνες συνῆκαν ὅτι λιμὸν λύειν ἐπιστέλλοι. ἦν γὰρ ἐν τῷ ἱερῷ τῆς Χαλκιοίκου ἀνακειμένη Λιμοῦ γραφή, γυνὴ (γεγραμμένη) ὠχριῶσα, λεπτή, τὼ χεῖρε ὀπίσω δεδεμένη· ὥστε τὸ ἀφανὲς τοῖς πολεμίοις φανερὸν τοῖς πολίταις Ἱπποδάμαντος ἦν.*

16. ΓΑΣΤΡΩΝ.

*Γάστρων Λακεδαιμόνιος μέλλων ἐν Αἰγύπτῳ συμβαλεῖν τοῖς Πέρσαις μετενέδυσε τὰς πανοπλίας καὶ τὰς μὲν τῶν Ἑλλήνων τοῖς Αἰγυπτίοις, τὰς δὲ τῶν Αἰγυπτίων τοῖς Ἕλλησι περιέθηκε. κρύψας δὲ τοὺς Αἰγυπτίους (ἐν τοῖς Ἕλλησι) παρατάξας προῆγε τοὺς Ἕλληνας. τῶν δὲ οὐδὲν ἐνδιδόντων, ἀλλ' εἰς τοὔμ-*

---

Cap. 15. Cf. Athen. 10, p. 452 a (ex Callisthenis Hellenicis). — J. p. 561 sq.
Cap. 16. Cf. Front. 2, 3, 13.

---

3 *Ἱππόδαμος* Athenaeus, Plut. apophthegm. Lac. s. v.: cf. Schaefer, Demosth. III, 195, not. 3 || 6 *ἐπέστρεψαν* || 7 *ἄγγελε* F || 8 *λύειν* K; *λύεσθαι* Athenaeus; *κωλύειν* bis F || 8 et 11 *Χαλκειοίκου* F || 12 *γεγραμμένη* inclusi || *ὠχρειῶσα* F || 20 *ἐν τοῖς Ἕλλησι* del. Blumius; *ἕλεσι* p et Wessel. ad Anton. Itin. p. 726.

*προσθεν βιαζομένων καὶ προθύμως κινδυνευόντων ἐξανέστησε τοὺς Αἰγυπτίους ἐν τοῖς ὅπλοις τοῖς Ἑλληνικοῖς. ἰδόντες δὲ οἱ Πέρσαι καὶ τοὺς Ἕλληνας ὑπονοήσαντες ἐπιέναι λύσαντες τὴν τάξιν ἔφευγον.*

## 17. ΜΕΓΑΚΛΕΙΔΑΣ.

*Μεγακλείδας συμφυγὼν ἐς ὄρος δασὺ, πολιορκούμενος, διελὼν τοῦ στρατεύματος, ὃ μὲν ἀχρεῖον ἦν καὶ βαρύτερον, φεύγειν ἐκέλευσε διὰ τῆς ὕλης εἰδὼς, ὅτι φανερὸν ἔσται τοῖς πολεμίοις. οἱ μὲν ὥρμησαν ἐπὶ τοὺς φεύγοντας· ὁ δὲ τὴν εὔχρηστον καὶ γενναίαν δύναμιν ἔχων ἐπὶ τὴν ἐναντίαν ὁδὸν τῆς ὕλης τραπόμενος ὑπεξέφυγεν ἀσφαλῶς.*

## 18. ΑΡΜΟΣΤΗΣ.

*Ἁρμοστὴς Λακεδαιμόνιος ὑπὸ Ἀθηναίων ἐπολιορκεῖτο δυοῖν ἔτι λοιπὸν ἡμερῶν ἔνδον ἔχων τροφάς. κῆρυξ ἧκε Σπαρτιάτης· οὐ συνεχώρουν Ἀθηναῖοι βαδίζειν ἔσω τείχους, ἀλλὰ πρὸ τοῦ τείχους λέγειν ἃ βούλοιτο πάντων ἀκουόντων. ὁ κῆρυξ 'θαρρεῖν', ἔφη, 'κελεύουσί σε Λακεδαιμόνιοι καὶ προσδέχεσθαι βοήθειαν διὰ τάχους'· ὁ δὲ ἁρμοστὴς 'μὴ πάνυ', ἔφη, 'σπεύσητε βοηθοῦντες· τροφὰς γὰρ ἔχω πέντε μηνῶν ἔτι'. Ἀθηναῖοι, καὶ γὰρ χειμὼν προσήει, [πρὸς] μακρὰν καὶ χειμερινὴν πολιορκίαν ἀπαγορεύσαντες καὶ δὴ διαλύσαντες τὸ στρατόπεδον ᾤχοντο.*

---

7 ὃ] τὸ F, quod probat W deleto ἦν: cf. 3, 10, 8 || 9 ἔσται M; *sciens fore* V ἔστι F || 18 βουλοιντο F || 21 ἔχω M; ἔχωσι F; ἔχουσι vulg.; ἔχομεν K ex V *habemus* || 22 [πρὸς] Cas.: cf. 8, 47.

## 19. ΘΙΒΡΩΝ.

399 *Θίβρων ἐν Ἀσίᾳ χωρίον πολιορκῶν τὸν φρούραρχον ἔπεισεν ἐπὶ συνθήκας προελθεῖν ὀμόσας, εἰ μὴ συντίθοιντο, πάλιν αὐτὸν ἐς τὸ φρούριον καταστήσειν. ὁ μὲν προῆλθε καὶ λόγων ἐκοινώνησεν· οἱ δὲ τοῦ φρουρίου φύλακες διαλύσεως ἐλπίδι ῥαθυμότερον εἶχον. ἐν τῷ καιρῷ τούτῳ προσβαλόντες οἱ Θιβρώνειοι κατα κράτος αἱροῦσι τὸ χωρίον. Θίβρων δὲ τὸν φρούραρχον ἐς τὸ χωρίον ἀγαγὼν πάλιν κατὰ τοὺς ὅρκους προσέταξεν αὐτὸν ἔνδον ἀναιρεθῆναι.* e. 39,:

## 20. ΔΗΜΑΡΑΤΟΣ.

481 *Δημάρατος ἐπιστέλλων Σπαρτιάταις περὶ τῆς Ξέρξου στρατείας ἐς πτύχα ἀκήρωτον τὴν ἐπιστολὴν γράψας ἐπεκήρωσεν, ἵνα ὡς ἄγραφος διὰ τῶν φυλάκων κομισθῇ.*

## 21. ΗΡΙΠΠΙΔΑΣ.

399 *Ἡριππίδας ἀφικόμενος εἰς Ἡράκλειαν τὴν Τραχινίαν, συναγαγὼν ἐκκλησίαν, περιστήσας τοὺς ὁπλίτας ἐκήρυξε τοὺς Τραχινίους καθίσαι χωρίς. οἱ μὲν ἐκάθισαν· ὁ δὲ ἐκέλευσεν αὐτούς, περὶ ὧν ἀδικοῦσι, Λακεδαιμονίοις κρίσιν ὑποσχεῖν, ὡς νόμιμόν ἐστιν ἐν*

---

Cap. 19. Cf. J. p. 558.
Cap. 20. Cf. Herod. 7, 239 et Iustin. 2, 10, 13. — J. p. 448.
Cap. 21. Cf. Diod. 14, 38.

---

3 *σύνθημα* H ‖ 4 *συνθοῖντο* vel *συνθεῖντο* coni. K ‖ 6 *διαλύσεως ἐλπίδας λαβόντες ῥαθυμότερον ἔσχον τὴν φρουρὰν* H ‖ 8 *Θιβρώνιοι* F: cf. ad 2, 2, 9; *Θιβρώναιοι* H ‖ 9 *ἀγαγὼν πάλιν* H; *ἀγαγὼν* F; *ἀναγαγὼν* W: cf. supra v. 4 ‖ 16 *Ἡριππίδας* F et sic Diodor., Plut.; Xenoph.; *Ἡριππίδας* vulg. ‖ 17 *Τραχεινίαν* et 19 *Τραχεινίους* F.

τῇ Σπαρτιάτιδι, δεθέντας. ἐπεὶ δὲ ὑπὸ τῶν ὁπλιτῶν δεθέντες ἔξω πυλῶν ἤχθησαν, καὶ δὴ πάντες ἀνῃρέθησαν.

## 22. ΙΣΧΟΛΑΟΣ.

Ἰσχόλαος ἐν Αἴνῳ πλησίον ὁρῶν Ἀθηναίους ἐφορμοῦντας ναυσὶ πολλαῖς δεδοικώς, μὴ νύκτωρ ἐπιπλεύσαντες πολλὰ τῶν πλοίων αὐτοῦ μετὰ βίας ἀποσπάσωσι, πρὸς τὸν πύργον τὸν ἐπὶ τοῦ χώματος ἅπαντα προσαγαγὼν ἔδησεν ἐκ τῶν ἱστῶν· τὰ δὲ πορρωτέρω σχοινίοις ἐκ τῶν πλησιαιτέρων συνῆψεν, ὥστε τὸν σύνδεσμον εἶναι δι' ἀλλήλων. οἱ μὲν Ἀθηναῖοι νυκτὸς ἐπελθόντες ἀφέλκειν πειρώμενοι τῶν πλοίων οὐδὲν ἀπέσυραν· οἱ δὲ ἀπὸ τῆς Αἴνου τῶν φυλάκων ἀγγειλάντων ἐπεξελθόντες ἐδίωξαν τοὺς Ἀθηναίους, οἱ μὲν ἀπὸ τῆς γῆς, οἱ δὲ ἀπὸ τῶν νεῶν. 1 376—

Ἰσχόλαος ἐν ὁδῷ κατὰ μὲν θάτερον ἀποκρήμνῳ καὶ σφαλερᾷ, κατὰ θάτερον δὲ ὄρος ἐχούσῃ, ὃ κατεῖχον οἱ πολέμιοι, πνεύματος γενομένου μεγάλου τὴν ὕλην ἐνέπρησεν· ὥστε τῶν παραφυλαττόντων πολεμίων ὑπὸ τοῦ καπνοῦ καὶ τοῦ πυρὸς διωχθέντων κατὰ τοῦτο τὸ μέρος ἀσφαλῶς τὴν δύναμιν ἤγαγεν. 2

56, 1 Ἰσχόλαος ὑπὸ Χαβρίου πολιορκούμενος ἐν Δρυῒ μέλλοντος προσάγειν τοὺς κριοὺς αὐτὸς φθάσας μέρος κατέβαλε τοῦ τείχους ἄμφω μηχανώμενος, τοῖς μὲν 3 373—

---

Cap. 22. § 1. Hoc in annos 376—374 cadere censet Rehdantz, vita Iphicratis etc. p. 63, sed cf. Schaefer, Demosth. I, p. 39, not. 2.

---

10 πλησιαιτέρων vel πλησιεστέρων Bursian; πλοίων F ‖ 14 ὑπεξελθόντες vulg. V ‖ 18 γενομένου F] γινομένου vulg.

αὐτοῦ στρατιώταις ἀνδρειότερον ἀγωνίσασθαι τὸ τοῦ τείχους ὀχυρὸν οὐκ ἔχουσι, τοῖς δὲ πολεμίοις τὸ καταπεφρονῆσθαι τὴν παρασκευὴν τῶν πολιορκητικῶν μηχανημάτων. ἀμέλει τὴν ἑκούσιον ἀποτείχισιν φοβηθέντες παρελθεῖν εἰς τὴν πόλιν οὐκ ἐθάρσησαν.

-374 4 Ἰσχόλαος προσκαθημένων Ἀθηναίων πυθόμενος e. 56, 1 εἶναί τινας τῶν φυλάκων τοὺς προδιδόντας νύκτωρ ἐφοδεύων τὰς φυλακὰς ἑκάστῳ τῶν φυλάκων παρέζευξε τῶν μισθοφόρων ἕνα. τοῦτο πράξας ἀταράχως ἔφυγε τὸν κίνδυνον τῆς προδοσίας.

## 23. ΜΝΑΣΙΠΠΙΔΑΣ.

Μνασιππίδας ὀλίγον πλῆθος ἦγεν. ἐπεὶ δὲ νυκτὸς ἐπέθεντο πολέμιοι, τοὺς ψιλοὺς καὶ τοὺς σαλπιγκτὰς ἐκέλευσεν ἐν τῷ σκότῳ περιελθόντας ὄπισθεν τῶν ἐπιτιθεμένων σημαίνειν τὸ πολεμικὸν καὶ ἀκροβολίζεσθαι. οἱ δὲ ὡς ὑπὸ πλήθους πολλοῦ κυκλούμενοι διὰ τάχους ἀνεχώρησαν.

## 24. ΑΝΤΑΛΚΙΔΑΣ.

387 Ἀνταλκίδας ἐν Ἀβύδῳ μετὰ ναυτικοῦ πλείονος διατρίβων Ἀττικὰς τριήρεις ὁρμούσας ἐν Τενέδῳ μαθὼν φοβουμένας ἐς Βυζάντιον διαπλεῦσαι πρὸς Ἰφικράτην, ἀγγείλαντος τινὸς, ὡς Ἰφικράτης πολιορκοίη Χαλκηδονίους φίλους ὄντας, παρήγγειλεν ἀποπλεῖν ἐς Χαλκη-

---

Cap. 24. Cf. Xenoph. Hellen. 5, 1, 25 sq. — Cf. Rehdantz, vitae Iphicratis etc. p. 25, not. 9.

---

1 αὐτοῦ F ‖ 7 φυλάκων] πολιτῶν Hertlein ‖ 8 ἑκάστῃ τῶν φυλακῶν Hertlein ‖ 10 τῆς προδοσίας τὸν κίνδυνον vulg. ‖ 13 οἱ πολέμιοι K ‖ τοὺς ante σαλπ. om. M ‖ 22 Καλχηδονίους et 23 Καλχηδόνα F.

δόνα καὶ ἀναχθεὶς ἐνήδρευσε περὶ τὴν Κυζικηνήν. οἱ δὲ ἀπὸ τῆς Τενέδου τὴν ἀναγωγὴν τὴν Ἀνταλκίδου πυθόμενοι κατὰ τάχος ἐπειρῶντο πρὸς τὸν Ἰφικράτην πλεῖν. ἐπεὶ δὲ ἐγένοντο κατὰ τὰς τῶν πολεμίων τριήρεις οὐχ ὁρωμένας, ἀλλὰ ἀφανῶς ἐφορμούσας, Ἀνταλκίδας ἄφνω προσπεσὼν ταῖς Ἀττικαῖς τὰς μὲν κατέδυσε, τῶν δὲ πλειόνων ἐκράτησεν.

## 25. ΑΓΗΣΙΠΟΛΙΣ.

.40,1 Ἀγησίπολις Μαντίνειαν ἐπολιόρκει μετὰ τῶν συμ- 385
μάχων, οἳ πρὸς τοὺς Μαντινεῖς εὖ διακείμενοι διὰ τὸ Λακεδαιμονίους ἄρχειν τῆς Ἑλλάδος εἵποντο μὲν ἐπὶ τὸν πόλεμον, κρύφα δὲ εἰσέπεμπον τοῖς Μαντινεῦσι νυκτὸς ὧν ἐδέοντο. Ἀγησίπολις μαθὼν τὰ δρώμενα κύνας περὶ τὸ στρατόπεδον ἠφίει πολλούς, [τοὺς] πλείονας δὲ κατὰ τὸ μέρος τὸ πρὸς τὴν πόλιν, ὅπως μηδεὶς αὐτομολοίη φυλαττόμενος ὑπὸ τῶν κυνῶν ἁλῶναι.

## 26. ΣΘΕΝΙΠΠΟΣ.

.41,1 Σθένιππος Λάκων ζημιωθεὶς χρήμασιν ὑπὸ τῶν Ἐφόρων προσποιητῶς, αὐτομολῆσαι πρὸς τοὺς Τεγεάτας ὑποκρινάμενος, δεξαμένων αὐτὸν ὡς αἰτίαν ὀργῆς δικαίας ἔχοντα, τοὺς διαπολιτευομένους τῷ ἄρχοντι αὐτῶν Ἀριστοκλεῖ διαφθείρας μετὰ τούτων πομπῆς οὔσης θύειν αὐτὸν μέλλοντα προσπεσὼν ἀπέκτεινεν.

---

1 ἐνίδρευσεν F ‖ 2 ἀναγωγὴν vulg.; ἀγωγὴν F ‖ 10 τους om. M ‖ 12 μαντιεῦσι F ‖ 14 [τοὺς] πλείονας R; πλείονας F ‖ 18 χρήματα H ‖ 20 ὑποκρινάμενος K; ὑποκρινόμενος F; ὑπεκρίνατο· οἱ καὶ προσεδέξαντο H.

## 27. ΚΑΛΛΙΚΡΑΤΙΔΑΣ.

-248 1 e. 54, 5 *Καλλικρατίδας Κυρηναῖος τὸν τὴν ἄκραν Μαγνησίας φυλάσσοντα [ᾔτησε τραυματίας] αὐτοῦ δέξασθαι τέσσαρας. τοῦ δὲ ἐπιτρέψαντος ἕκαστον θωρακίσας κατέκλινε σπάθας αὐτοῖς παραθείς, χλανίδα ἐπιβαλὼν ἄνωθεν. ἐπεὶ δὲ κλίνας τέσσαρας φέροντες ἔνδον πυλῶν ἐγένοντο, εἴκοσιν ὁμοῦ νεανίαι ὡπλισμένοι τοὺς φύλακας ἀποσφάξαντες τὴν ἄκραν κατέσχον.*

-248 2 e. 56, 3 *Καλλικρατίδας ἐν Μαγνησίᾳ πολιορκούμενος τῶν πολεμίων κριοὺς προσαγόντων τοῖς τείχεσιν αὐτὸς κατὰ τὸ ἀπρόσμαχον τοῦ τείχους παραρρήξας τοῦ πύργου μέρος, παραφυλάξας τὸν καιρὸν τῆς τῶν προσβαλλόντων διαδοχῆς περιῆλθε τὸ τεῖχος καὶ κατὰ νώτου προσπεσὼν πολλοὺς μὲν αὐτῶν διέφθειρεν, οὐκ ὀλίγους δὲ ἐζώγρησε· μετὰ δὲ τὴν νίκην τὸ τεῖχος ἀνῳκοδόμησεν.*

## 28. ΜΑΓΑΣ.

-258 1 *Μάγας ἀπὸ Κυρήνης ἐκστρατεύων κατέλειπε μὲν καὶ τῶν φίλων τοὺς φρουρήσοντας τὴν πόλιν, ὄργανα*

---

Cap. 27. § 1. De tempore cf. Droysen, Gesch. d. Hellenismus III², 1, p. 320, not. 3.

Cap. 28. De Maga cf. Droysen III², 1, p. 270, 274 cum notis et appendicis tab. IX.

---

3 [*ᾔτησε τραυματίας*] suppl. W ex H: *ὅτι ἐάν τις τραυματίας τινὰς τῶν οἰκείων πείσῃ δέξασθαι, δύναται κατασχεῖν πόλεως*; cf. 1, 5. 7, 11, 4. 8, 70. V *ut quattuor ex suis aegrotantes reciperet*, unde K [*ᾔτησεν ἀρρώστους*] || 4 *ἐπιστρέψαντος* F || 6 *ἐπὶ* F || 10 *προσαγόντων* F] *προσαγαγόντων* vulg. || 11 *παρρῆξας* F || 13 *προσβαλόντων* vulg. || 18 *κατέλειπε* K, Patakis; *κατέλιπε* F.

δὲ καὶ βέλη καὶ μηχανήματα κατέκλειεν εἴσω τῆς ἄκρας, ἀφῄρει δὲ καὶ τῶν τειχῶν τὰς ἐπάλξεις, ὅπως εἴ τινες νεωτερίσειαν, ἀνεῳγυῖαν ἔχοι τὴν διὰ τῶν πυλῶν εἴσοδον.

21, 1 Μάγας Παραιτώνιον κατασχὼν συνέταξε τοῖς 2 266-
φρυκτωροῖς πυρσὸν φίλιον αἴρειν ἑσπέρας καὶ πάλιν βαθέος ὄρθρου τὸν αὐτόν. τῇ τῶν πυρσῶν ἀπάτῃ προῆλθε τῆς χώρας ἄχρι τοῦ Χῖ καλουμένου.

## 29. ΚΛΕΩΝΥΜΟΣ.

Κλεώνυμος, Λακεδαιμονίων βασιλεύς, Τροιζῆνα 1 277/
πολιορκῶν κατὰ πολλὰ μέρη τῆς πόλεως ὀξυβελεῖς περιστήσας ἐκέλευσεν ἀφιέναι τοῖς βέλεσιν ἐπιγράψας 'ἥκω τὴν πόλιν ἐλευθερώσων'. ἔχων δὲ καὶ Τροιζηνίους αἰχμαλώτους ἀφῆκεν ἄνευ λύτρων. οἱ μὲν αἰχμάλωτοι εἴσω παρελθόντες εὐηγγελλίζοντο. Εὐδαμίδας δέ, στρατηγὸς Κρατεροῦ, φυλάττων τὴν πόλιν τοῖς νεωτερίζουσι παρετάττετο. καὶ δὴ τῶν ἔνδον ἀλλήλοις μαχομένων Κλεώνυμος προσθεὶς κλίμακας ἐξεῖλε τὴν πόλιν καὶ διήρπασε καὶ Σπαρτιάτην ἁρμοστὴν μετὰ φρουρᾶς ἐπέστησεν.

Κλεώνυμος Ἔδεσσαν πολιορκῶν, τοῦ τείχους πε- 2 273
σόντος, τῶν πολεμίων ἐπελθόντων σαρισοφόρων —

---

Cap. 29. § 1. Cf. Front. 3, 6, 7. — Droysen III², 1, p. 199 sq.
Cap. 29. § 2. Cf. Droysen, III², 1, p. 199 sq.

---

2 εἴ τινες Maasv.; ἐστὶν ἐς F; εἰ vulg. ‖ 3 νεωτερήσειαν F ‖ 5 προσέταξεν H ‖ 8 Χῖ F] Χειμῶ Cas.; Δέλτα Blume, sed cf. Droysen III², 1, p. 274, not. 2 ‖ 16 Κρατεροῦ F; κράτερος vulg.; Κρατέρου W ‖ φυλάττων vulg.; φρίττων F; φρουρῶν MW ‖ 21 Ἔδεσσαν sic nummi, Polyb., Strabo, Ptolem.; αἴδεσαν F; Ἔδεσαν vulg. ‖ τοῦ τείχοντος $F_1$, corr. $F_2$ ‖ 22 σαρησοφόρων F.

*ἑκάστη σάρισα πηχῶν ἦν ἑκκαίδεκα — ἐπύκνωσε τὴν αὑτοῦ φάλαγγα ἐς βάθος· τοὺς δὲ πρωτοστάτας καὶ τοὺς τούτων ἐπιστάτας ἄνευ δοράτων ἔταξε παραγγείλας, ἂν συμμίξωσιν οἱ σαρισοφόροι, διαλαβεῖν ἀμφοτέραις ταῖς χερσὶ τὴν σάρισαν καὶ κατέχειν, τοὺς δὲ ἑπομένους παρὰ πλευρὸν ἑκάστου παρελθόντας ἐνεργεῖν τὴν μάχην. οἱ μὲν ἐλάβοντο τῶν σαρισῶν (οἱ δὲ) ἀνθέλκοντες, οἱ δὲ κατόπιν παρελθόντες ἀνεῖλον τοὺς σαρισοφόρους, καὶ ἄχρηστον ἠλέγχθη τὸ σαρίσης μέγεθος τῇ Κλεωνύμου δεινότητι.*

## 30. ΚΛΕΑΡΧΟΣ.

363 1 *Κλέαρχος Ἡρακλεώτης ἀκρόπολιν ἀναστῆσαι βουλόμενος μισθοφόρους συνέταξε λεληθότως ἐξιέναι νυκτὸς, λωποδυτεῖν, ἁρπάζειν, ὑβρίζειν, τιτρώσκειν. ἀγανακτοῦντες οἱ πολῖται παρεκάλεσαν Κλέαρχον βοηθεῖν· ὁ δὲ οὐκ ἄλλως ἔφη δυνατὸν εἶναι τὴν ἀπόνοιαν αὐτῶν κατασχεῖν, εἰ μή τις αὐτοὺς περιτειχίσειεν. συγχωρησάντων Ἡρακλεωτῶν τόπον τῆς πόλεως περιτειχίσας ἀκρόπολιν κατασκευάσας οὐκ ἐκείνους ἐκώλυσεν, ἀλλ' αὑτῷ τὸ ἐξεῖναι πάντας ἀδικεῖν παρέσχεν.*

–352 2 *Κλέαρχος Ἡρακλείας τύραννος ἐλογοποίησεν, ὡς ἀπαλλαγῆναι βουλόμενος μετὰ τῶν δορυφόρων καὶ τῇ βουλῇ τῶν τριακοσίων παραδοῦναι τὰ πράγματα. οἱ*

---

Cap. 30. De Clearchi tyrannide eiusque tempore cf. Schaefer, Demosth. I, p. 106 sq.

---

1 *ἑκάστη δὲ* vulg. ‖ *σάρεισα* et *σαρεισοφόροι* F constanter ‖ 2 *αὐτοῦ* F ‖ 5 *τὰς σαρίσσας* K; *τῶν σαρισσῶν* S. Acerius ad Aeliani Tactica ‖ 6 *ἐνεργεῖν* (i. e. *ἐνεργῆ ποιεῖν*) *τὴν μάχαιραν* R ‖ 7 (*οἱ δέ*) del. Rud. Schoell ‖ 8 *ἀνθέλκοντες*] *ἔστησαν* add. Roth, *ἦσαν* vulg.; *ἀνθεῖλκον αὐτὰς* K ‖ *περιελθόντες* K ‖ 20 *αὐτῷ* F.

δὲ συνῆλθον ἐς τὸ βουλευτήριον ὡς ἐπαινεσόμενοι Κλέαρχον καὶ τὴν ἐλευθερίαν ἀποληψόμενοι· ὁ δὲ περιστήσας τῷ βουλευτηρίῳ στρατιώτας τῶν τριακοσίων ὑπὸ τοῦ κήρυκος ἀνακαλουμένων καθ' ἕνα συλλαβὼν ἐκέλευσε πάντας ἄγειν ἐς τὴν ἀκρόπολιν.

3 363– Κλέαρχος βουλόμενος πολλοὺς τῶν πολιτῶν ἀποκτεῖναι πρόφασιν οὐκ ἔχων κατέλεξε τοὺς ἀπὸ ἑκκαίδεκα ἐτῶν μέχρι πέντε καὶ ἑξήκοντα ἐπὶ στρατείαν ἐν τοῖς κυνικοῖς καύμασιν ὡς πόλιν Ἀστακὸν πολιορκήσων. ἐπεὶ δὲ ἧκε τῆς Ἀστακοῦ πλησίον, τοὺς μὲν πολίτας ἐν ἑλώδει χωρίῳ καὶ νηνέμῳ καὶ μεστῷ σταςίμων ὑδάτων ἐκέλευσε στρατοπεδεῦσαι παραγγείλας προσέχειν, μὴ Θρᾶκες ἐπιφανῶσιν ἐκ τῆς χώρας. αὐτὸς δὲ ὡς κακοπαθήσων περὶ τὴν πολιορκίαν μετὰ τῶν ξένων ὑψηλὰ χωρία καὶ σύσκια, ὕδασιν ἐπιρρεόμενα καταλαβόμενος ἐστρατοπέδευσεν καὶ μέχρι τοσούτου τὴν πολιορκίαν παρέτεινεν, ἕως τοὺς πολίτας αὐτοῦ διέφθειρεν ὥρᾳ θέρους τὸ ἑλῶδες καὶ ἐπίνοσον τοῦ στρατοπέδου. ἐπεὶ δὲ διεφθάρησαν ἅπαντες, τότε μετὰ τῶν μισθοφόρων ἀνέζευξε λοιμῷ προσθεὶς τὴν αἰτίαν τῆς τῶν πολιτῶν τελευτῆς.

## 31. ΑΡΙΣΤΟΜΕΝΗΣ [ΛΑΚΕΔΑΙΜΟΝΙΟΣ].

Ἀριστομένης Λακεδαιμόνιος, Διονυσίῳ συμμαχῶν, 1
τροπῆς βραχείας γενομένης ὁρῶν τὰς τριήρεις ἀναμεμιγμένας παρήγγειλε τοῖς αὐτοῦ στρατιώταις βοᾶν

7 κατέλεξε Cas. ex V *delegit;* κατέλιπε F ‖ 8 ἑξήκοντα (i. e. ξ') Heringa R; ζ' F ‖ 9 Ἀστακὸν F] Ἄστακον K; Ἀστακίων (rectius Ἀστακηνῶν) W coll. 2, 1, 5. 10. 2, 36. 3, 10, 9. 4, 11, 3 ‖ 10 Ἀστάκου K contra F, Strab. 10, 459, Paus. 5, 12, 7 ‖ 17 αὐτοῦ vulg ‖ 19 ἐπειδὴ δὲ M ‖ 24 ῥοπῆς K; *inclinatione* V: cf. 3, 9, 27 ‖ 25 αὐτοῦ F.

'ἔα φεύγειν'. οἱ πολέμιοι τῆς βοῆς ταύτης ἀκούσαντες ἐς φυγὴν ἐτράποντο δόξαντες κατὰ κράτος ἡττᾶσθαι.

54—628

## [ΑΡΙΣΤΟΜΕΝΗΣ ΜΕΣΗΝΙΟΣ.]

2 (1) Ἀριστομένης, Μεσηνίων ἡγεμών, τρὶς ἑκατομφόνια θύσας κατὰ Λακεδαιμονίων ἰσχυροῖς ποτὲ τραύμασι περιπεσὼν ἑάλω σὺν ἄλλοις πλείοσιν. ἔδοξε τοῖς Λάκωσιν ἅπαντας κατακρημνίσαι, τοὺς μὲν ἄλλους γυμνούς, τὸν δὲ Ἀριστομένην διὰ τὴν δόξαν τῆς ἀρετῆς ἐν τοῖς ὅπλοις. οἱ μὲν δὴ ἄλλοι κατενεχθέντες παραχρῆμα ἐτελεύτησαν· τοῦ δὲ Ἀριστομένους ἡ ἀσπὶς ἐφελκομένη τὸν ἀέρα ἐλαφρῶς αὐτον ἐπὶ τὴν γῆν κατήνεγκεν. ὁ δὲ ἐς τὸ ὕψος ἀναβλέπων καὶ τοὺς κρημνοὺς ἐν κύκλῳ περιέχοντας οὐκ ἀνῆκε τῆς ἐλπίδος, ἀλλὰ τὸ σύμπαν ὄρος ἀνασκοπούμενος, κατανοήσας εἴσδυσιν στενωτάτην καὶ δι' αὐτῆς ἀλώπεκας εἰσιούσας, ἀπὸ τῶν κειμένων νεκρῶν ὀστοῦν κλάσας, μιᾶς τῶν ἀλωπέκων λαβόμενος τῆς οὐρᾶς, δακνόμενος ὑπ' αὐτῆς συνεξεδύετο τὰ στενόπορα τοῦ ὄρους τῷ ὀστῷ παραιρῶν καὶ παρακόπτων, καὶ τὸ * * συνεξέθει. καὶ δὴ διεξελθὼν ἧκεν ἐς τοὺς Μεσηνίους προϊέναι μέλλοντας ἐς μάχην καὶ αὐτίκα ὁπλισάμενος αὐτὸς ἡγεῖτο τῆς φάλαγγος. οἱ δὲ Λάκωνες Ἀριστομένην πάλιν ἰδόντες ἐν τοῖς ὅπλοις, πάλιν ἀριστεύοντα, πάλιν διώκοντα,

---

Cap. 31. § 2 (1). Cf. Paus. 4, 18, 4 sqq.

---

4 ἑκατὸν φόνια F ‖ 13 κρημνοὺς τοὺς coni. K ‖ 16 κειμένων om. MV ‖ 17 δακνόμενος F] ἑλκόμενος M: Paus. 4, 18, 6 ἐφείλκετο ὑπ' αὐτῆς ‖ 18 παραιρῶν K; παραίρων F ‖ 19 καὶ τὸ * * συνεξέθεεν (συνεξέθει scripsi) W coll. Paus. 4, 18, 6 τὰ μὲν δὴ πλείω θεούσῃ συνέθει; καὶ τὸ συνεξέθον F; om. vulg.; τὸ λοιπὸν vel tale quid supplendum censet W ‖ 21 αὐτοῖς K ‖ 23 πάλιν ante ἀριστ. om. MD: cf. 6, 16, 2.

τὸν βεβλημένον κατὰ τῶν κρημνῶν, ἀφ' ὧν οὐδεὶς ἐσώθη πώποτε, πάντες ἐνέκλιναν εἰς φυγὴν θνητῆς φύσεως μείζονα εἶναι τὸν ἄνδρα ἡγούμενοι.

e. 52,1 Ἀριστομένης Μεσήνιος αἰχμάλωτος ὑπὸ Λακεδαιμονίων καὶ φρουρούμενος [τούτων κοιμωμένων] τῷ παρακειμένῳ πυρὶ προσεκύλισεν ἑαυτὸν καὶ τοὺς δεσμοὺς κατακαύσας τοὺς μὲν φύλακας ἀνεῖλε, κρύφα δὲ ἐς τὴν Σπάρτην παρελθὼν καὶ τὰς ἀσπίδας αὐτῶν προσηλώσας τῷ τεμένει τῆς Χαλκιοίκου ἐπέγραψεν· Ἀριστομένης ἀπὸ Λακεδαιμονίων ἀβλαβὴς ἀνεσώθη. τοῦτο ποιήσας ἐς Μεσήνην ἐπανῆλθε. 3 (

Ἀριστομένης ὁ Μεσήνιος Λακεδαιμονίων πάνδημον θυσίαν τοῖς Διοσκούροις ἐπιτελούντων μετὰ ἑνὸς φίλου λευκῶν ἵππων ἐπέβησαν ἄμφω καὶ ταῖς κεφαλαῖς [πίλους] περιεθηκάτην [καὶ] χρυσοῦς ἀστέρας· καὶ νυκτὸς ἤδη προϊούσης ἐπεφάνησαν κατὰ σύμμετρον διάστημα τοῖς Λακεδαιμονίοις ἔξω πόλεως μετὰ γυναικῶν καὶ παιδίων πανηγυρίζουσιν. οἱ μὲν δὴ Διοσκούρων ἐπιφάνειαν οἰηθέντες γεγονέναι προῄεσαν ἐς μέθην καὶ ἡδονὴν πλείονα· οἱ δὲ ἀπὸ τῶν ἵππων καταβάντες, τὰ ξίφη σπασάμενοι, πλείστους καταφονεύσαντες αὐτῶν καὶ δὴ ἀφιππεύσαντες ᾤχοντο. 4 (

## 32. ΚΙΝΕΑΣ.

Ὁ περὶ Μαντίνειαν ἀγὼν ἴσος ἦν Θηβαίοις καὶ

Cap. 31. § 4 (3). Cf. Paus. 4, 27, 1.

5 [τούτων κοιμωμένων] W addidit ex H ‖ 10 ἀνεσώθη F] διεσώθη vulg. ‖ 15 [πίλους] περιεθηκάτην [καὶ] Hemsterh. ad Lucian. II, 338 ed. Bipont.: cf. 6, 12 et Paus. l. l. ‖ 16 προσιούσης Cm ‖ 19 οἰηθέντες Cas.; ἡγηθέντες L: nusquam legitur apud Polyaenum ἡγηθεὶς, semel ἡγησάμενοι (2, 1, 31) et ἡγήσατο (1, 30, 7), saepius ἡγούμενοι: cf. 7, 14, 4 οἰηθεὶς; 7, 58, 1 οἰηθέντες ‖ προΐεσαν F ‖ 24 μαντινίαν F.

ἕα φεύγειν'. οἱ πολέμιοι τῆς βοῆς ταύτης ἀκούσαντες ἐς φυγὴν ἐτράποντο δόξαντες κατὰ κράτος ἡττᾶσθαι.

4—628 [ΑΡΙΣΤΟΜΕΝΗΣ ΜΕΣΗΝΙΟΣ.]

2 (1) Ἀριστομένης, Μεσηνίων ἡγεμὼν, τρὶς ἑκατομφόνια θύσας κατὰ Λακεδαιμονίων ἰσχυροῖς ποτὲ τραύμασι περιπεσὼν ἑάλω σὺν ἄλλοις πλείοσιν. ἔδοξε τοῖς Λάκωσιν ἅπαντας κατακρημνίσαι, τοὺς μὲν ἄλλους γυμνοὺς, τὸν δὲ Ἀριστομένην διὰ τὴν δόξαν τῆς ἀρετῆς ἐν τοῖς ὅπλοις. οἱ μὲν δὴ ἄλλοι κατενεχθέντες παραχρῆμα ἐτελεύτησαν· τοῦ δὲ Ἀριστομένους ἡ ἀσπὶς ἐφελκομένη τὸν ἀέρα ἐλαφρῶς αὐτον ἐπὶ τὴν γῆν κατήνεγκεν. ὁ δὲ ἐς τὸ ὕψος ἀναβλέπων καὶ τοὺς κρημνοὺς ἐν κύκλῳ περιέχοντας οὐκ ἀνῆκε τῆς ἐλπίδος, ἀλλὰ τὸ σύμπαν ὄρος ἀνασκοπούμενος, κατανοήσας εἴσδυσιν στενωτάτην καὶ δι' αὐτῆς ἀλώπεκας εἰσιούσας, ἀπὸ τῶν κειμένων νεκρῶν ὀστοῦν κλάσας, μιᾶς τῶν ἀλωπέκων λαβόμενος τῆς οὐρᾶς, δακνόμενος ὑπ' αὐτῆς συνεξεδύετο τὰ στενόπορα τοῦ ὄρους τῷ ὀστῷ παραιρῶν καὶ παρακόπτων, καὶ τὸ * * συνεξέθει. καὶ δὴ διεξελθὼν ἧκεν ἐς τοὺς Μεσηνίους προϊέναι μέλλοντας ἐς μάχην καὶ αὐτίκα ὁπλισάμενος αὐτὸς ἡγεῖτο τῆς φάλαγγος. οἱ δὲ Λάκωνες Ἀριστομένην πάλιν ἰδόντες ἐν τοῖς ὅπλοις, πάλιν ἀριστεύοντα, πάλιν διώκοντα,

---

Cap. 31. § 2 (1). Cf. Paus. 4, 18, 4 sqq.

---

4 ἑκατὸν φόνια F ‖ 13 κρημνοὺς τοὺς coni. K ‖ 16 κειμένων om. MV ‖ 17 δακνόμενος F] ἑλκόμενος M: Paus. 4, 18, 6 ἐφείλκετο ὑπ' αὐτῆς ‖ 18 παραιρῶν K; παραίρων F ‖ 19 καὶ τὸ * * συνεξέθεεν (συνεξέθει scripsi) W coll. Paus. 4, 18, 6 τὰ μὲν δὴ πλείω θεούσῃ συνέθει; καὶ τὸ συνεξέθον F; om. vulg.; τὸ λοιπὸν vel tale quid supplendum censet W ‖ 21 αὐτοῖς K ‖ 23 πάλιν ante ἀριστ. om. MD: cf. 6, 16, 2.

τὸν βεβλημένον κατὰ τῶν κρημνῶν, ἀφ' ὧν οὐδεὶς ἐσώθη πώποτε, πάντες ἐνέκλιναν εἰς φυγὴν θνητῆς φύσεως μείζονα εἶναι τὸν ἄνδρα ἡγούμενοι.

e. 52, 1 Ἀριστομένης Μεσήνιος αἰχμάλωτος ὑπὸ Λακεδαι- 3 (2
μονίων καὶ φρουρούμενος [τούτων κοιμωμένων] τῷ παρακειμένῳ πυρὶ προσεκύλισεν ἑαυτὸν καὶ τοὺς δεσμοὺς κατακαύσας τοὺς μὲν φύλακας ἀνεῖλε, κρύφα δὲ ἐς τὴν Σπάρτην παρελθὼν καὶ τὰς ἀσπίδας αὐτῶν προσηλώσας τῷ τεμένει τῆς Χαλκιοίκου ἐπέγραψεν· Ἀριστομένης ἀπὸ Λακεδαιμονίων ἀβλαβὴς ἀνεσώθη. τοῦτο ποιήσας ἐς Μεσήνην ἐπανῆλθε.

Ἀριστομένης ὁ Μεσήνιος Λακεδαιμονίων πάνδη- 4 (3
μον θυσίαν τοῖς Διοσκούροις ἐπιτελούντων μετὰ ἑνὸς φίλου λευκῶν ἵππων ἐπέβησαν ἄμφω καὶ ταῖς κεφαλαῖς [πίλους] περιεθηκάτην [καὶ] χρυσοῦς ἀστέρας· καὶ νυκτὸς ἤδη προϊούσης ἐπεφάνησαν κατὰ σύμμετρον διάστημα τοῖς Λακεδαιμονίοις ἔξω πόλεως μετὰ γυναικῶν καὶ παιδίων πανηγυρίζουσιν. οἱ μὲν δὴ Διοσκούρων ἐπιφάνειαν οἰηθέντες γεγονέναι προήεσαν ἐς μέθην καὶ ἡδονὴν πλείονα· οἱ δὲ ἀπὸ τῶν ἵππων καταβάντες, τὰ ξίφη σπασάμενοι, πλείστους καταφονεύσαντες αὐτῶν καὶ δὴ ἀφιππεύσαντες ᾤχοντο.

### 32. ΚΙΝΕΑΣ.

Ὁ περὶ Μαντίνειαν ἀγὼν ἴσος ἦν Θηβαίοις καὶ

---

Cap. 31. § 4 (3). Cf. Paus. 4, 27, 1.

---

5 [τούτων κοιμωμένων] W addidit ex H ‖ 10 ἀνεσώθη F] διεσώθη vulg. ‖ 15 [πίλους] περιεθηκάτην [καὶ] Hemsterh. ad Lucian. II, 338 ed. Bipont.: cf. 6, 12 et Paus. l. l. ‖ 16 προσιούσης Cm ‖ 19 οἰηθέντες Cas.; ἡγηθέντες L: nusquam legitur apud Polyaenum ἡγηθεὶς, semel ἡγησάμενοι (2, 1, 31) et ἡγήσατο (1, 30, 7), saepius ἡγούμενοι: cf. 7, 14, 4 οἰηθεὶς; 7, 53, 1 οἰηθέντες ‖ προίεσαν F ‖ 24 μαντινίαν F.

*Μαντινεῦσιν· ἔμελλον οἱ Μαντινεῖς ἐπικηρυκεύεσθαι πρὸς Θηβαίους περὶ νεκρῶν ἀναιρέσεως. Κινέας ὁ Ἀθηναῖος, ἐτεθνήκει δὲ ὁ ἀδελφὸς αὐτοῦ Δημήτριος ἐν τῇ μάχῃ, πρὸς τοὺς Μαντινέας ἔφη, μᾶλλον ἂν τὸν ἀδελφὸν ἄταφον περιιδεῖν ἢ τοῖς πολεμίοις ἧττων ὁμολογῆσαι βούλεσθαι· καὶ γὰρ τὸν ἀδελφὸν διὰ τοῦτο προθύμως ἀποθανεῖν, ἵνα μὴ σταθείη τρόπαιον κατ' αὐτοῦ καὶ κατὰ τῆς πατρίδος. οἱ Μαντινεῖς ἀκούσαντες τῆς ἐπικηρυκείας ἀπετράποντο.*

## 33. ΗΓΗΤΟΡΙΔΗΣ.

462 *Θάσον ἐπολιόρκουν Ἀθηναῖοι. νόμον ἐκύρωσαν Θάσιοι· 'τῷ γράψαντι σπείσασθαι πρὸς Ἀθηναίους θάνατος ἔστω.' Ἡγητορίδης Θάσιος ὁρῶν πολλοὺς πολίτας ἀπολλυμένους μακρῷ πολέμῳ καὶ λιμῷ βρόχον τῷ τραχήλῳ περιβαλὼν ἐς ἐκκλησίαν εἰσελθὼν 'ἄνδρες', ἔφη, 'πολῖται, ἐμοὶ μὲν ὡς βούλεσθε καὶ ὡς ὑμῖν συμφέρει χρήσασθε, τοὺς δὲ ὑπολειπομένους πολίτας διασώσατε τῷ ἐμῷ θανάτῳ λύσαντες τὸν νόμον.' Θάσιοι ταῦτα ἀκούσαντες καὶ τὸν νόμον ἔλυσαν καὶ τὸν Ἡγητορίδην σῶον ἐφύλαξαν.*

## 34. ΔΕΙΝΙΑΣ.

*Δεινίας Τελεσίππου, Φεραῖος, ἐν Κραννῶνι τῆς Θετταλίας διῆγε θηρεύων ὅσα ἐν λίμναις καὶ ποταμοῖς ὀρνίθια. ἀπὸ τοιούτου βίου προῆλθεν ἐπὶ τυ-*

---

Cap. 33. Cf. Curtius, Griech. Gesch. II[3], p. 142 sq.

---

7 *σταθῇ* Cas. K ‖ 17 *χρήσασθαι* $F_1$ ‖ 18 *διασώσατε* F] *διασώσασθε* vulg. ‖ 19 *ἡγοτορίδην* F ‖ 22 *Δινίας* F constanter ‖ *Κραννῶνι* nummi (cf. 107, 1. 15. 18); *Κρανῶνι* F.

*ραννίδα διὰ τοιαύτης τέχνης. οἱ Κραννώνιοι τὴν φυλακὴν τῆς πόλεως ἀπεμίσθουν. ὁ Δεινίας ἐμισθώσατο καὶ μέχρι τριῶν ἐτῶν ἀκριβεστάτην ἐποιεῖτο τὴν φυλακήν, ὥστε τὰς νύκτας εἶναι τῶν ἡμερῶν ἀσφαλεστέρας τοῖς ἀωρὶ βαδίζουσιν. ἐπαινούμενος ἐπὶ τούτοις ἀεὶ καὶ πλείονας προσεμισθοῦτο φύλακας, ὡς μᾶλλον εὐδοκιμοίη, τὴν φρουρὰν ἰσχυροτέραν ποιούμενος. τῆς δὲ πόλεως τὴν τοῦ σίτου δεκάτην ἀπομισθούσης ἀδελφὸν αὐτοῦ νεώτερον τὰ τέλη καθῆκε μισθωσόμενον ὑπεράρας εἰς πολὺ τὴν πρόσοδον. οὕτω δὴ τὸν ἀδελφὸν δεκατηλόγον τῆς χώρας ἀποδείξας καὶ πολλοὺς νεανίσκους ἀκμάζοντας ἐγχειρίσας αὐτῷ, περιπόλους τῶν χωρίων καὶ συλλογέας τῶν δεκατευομένων καρπῶν, ἑορτῆς οὔσης τῶν καλουμένων Ἰτωνίων, ἐν ᾗ πάντες Κραννώνιοι παίζουσιν, ἀναμίξας τοῖς ἐν τῇ πόλει φύλαξι τοὺς ἀπὸ τῆς πόλεως τελώνας καὶ νήφοντας ἐπιστήσας οἰνωμένοις πλείους χιλίων πολίτας ἀποκτείνας τύραννος Κραννωνίων ἐγένετο.*

## 35. ΝΙΚΩΝ.

s. 54, 6 *Νίκων πειρατὴς ἐκ Φερῶν τῶν ἐν Πελοποννήσῳ συνεχῶς ὁρμώμενος πολλὰ Μεσηνίους ἠδίκει. Ἀγέμαχος, Μεσηνίων στρατηγός, λοχήσας αὐτὸν καὶ ἑλὼν προήγαγεν ἐς ἐκκλησίαν τῶν Μεσηνίων βασανισθησό-*

---

1 *τοιαύτης* F] *ταύτης τῆς* vulg. ‖ 2 *ὁ δὲ* vulg. ‖ 7 *ἰσχυροτέραν* vulg.; *ὀχυρωτέραν* F contra usum Polyaeni: *ὀχυρά* enim et *ἐχυρά* dicit loca natura munita, oppida, castella, moenia, *ἰσχυροὺς* exercitus, milites, proelia, vulnera ita, ut hoc ad animantia pertineat, illud ad inanima: cf. ad 1, 38, 2 ‖ 9 *αὐτοῦ* F ‖ *τὰ τέλη* Pierson ad Moer. 166; *ἀτελῆ* F ‖ 12 *νεανίσκους* om. $F_1$ ‖ *ἐγχειρήσας* F ‖ 13 *περὶ πολλοὺς* F ‖ 14 *Ἰτωνίων* C. Fr. Hermann; *ταινίων* F; *ξενίων* vulg.; *νεοινίων* Blume ‖ 18 *Κραννώνων* F ‖ 21 *Ἀγέμαχος* F] *Ἀγήμαχος* vulg.

*μενον· ὁ δὲ ὑπέσχετο παραδώσειν αὐτοῖς τας Φερας, εἰ σῶον αὐτὸν φυλάξειαν. πεισθέντων Μεσηνίων ἀσέληνον νύκτα παραφυλάξας τοὺς μὲν πολλοὺς ἐκέλευσεν ἀπὸ βραχέος διαστήματος ἕπεσθαι, ὀλίγους δὲ ἀκολουθεῖν αὐτῷ φορτία μεγάλα σίτου καλάμης ἀραμένους. προσελθὼν δὲ τῷ τείχει περὶ δευτέραν φυλακὴν ἀνεκάλεσε τοὺς φύλακας τὸ σύνθημα εἰπών. τῶν δὲ καὶ τὴν φωνὴν αὐτοῦ καὶ τὸ σύνθημα γνωρισάντων καὶ ἀνοιξάντων τὰς πύλας, οἱ τὰ φορτία φέροντες, ταῦτα ῥίψαντες, τὰ ξίφη σπασάμενοι τοὺς ἐπὶ τῶν πυλῶν ἐφόνευσαν· οἱ δὲ κατόπιν ἑπόμενοι συνεισπεσόντες τῆς πόλεως ἐκράτησαν.*

## 36. ΔΙΟΙΤΑΣ.

239—235 *Διοίτας, στρατηγὸς Ἀχαιῶν, τὴν Ἡραιέων πόλιν* e. 54, 7 *φανερῶς ἑλεῖν οὐ δυνάμενος ἀφανῶς εἷλε φθείρας μεγάλοις χρήμασι τῶν Ἡραιέων τινάς. οἳ φοιτῶντες ἐπὶ τὰς πύλας πολλάκις καὶ καθομιλοῦντες τοὺς πεπιστευμένους τὰς κλεῖδας τῶν πυλῶν καὶ σὺν αὐτοῖς πίνοντες ἔλαθον ἀπομαξάμενοι τὰς βαλανάγρας καὶ τὰ ἐκμαγεῖα τῷ Διοίτᾳ διέπεμψαν. ὁ δὲ παραπλησίας καὶ ἴσας κλεῖδας ταῖς δημοσίαις κατασκευάσας ἀντέπεμψεν αὐτοῖς νύκτα συνθέμενος, καθ' ἣν οἱ μὲν*

---

Cap. 36. Cf. Aen. Tact. 18, 8. — Droysen III², 2, p. 29 et not. 1.

---

3 *παραφυλάξας* W: cf. 1, 12. 2, 27, 2. 3, 9, 33. 5, 10, 5. 5, 17, (2). 6, 19, 3. 8, 8 etc.; *φυλάξας* F ‖ 5 *σιτοκαλάμης* Roth ‖ *ἀραμένους* MC; *ἀρομένους* F; *αἱρουμένους* vulg.; *αἱρομένους* K ex coni. Cas. ‖ 11 *συνεισπεσόντες* Koen. (cf. Valckenaer ad Herod. 9, 102), quod probat Hertlein; *συμπεσόντες* F ‖ 14 et 16 *ἠρεαίων* F ‖ 19 *ἀπομαξάμενοι*] *διὰ κηροῦ* add. H ‖ 22 *συνθέμενος* M; *συνθεμένοις* F.

ἀνέῳξαν τὰς πύλας, ὁ δὲ Διοίτας μετ' ὀλίγων στρατιωτῶν εἰσῆλθεν. ἑνὶ μὲν τῷ στρατηγήματι τῶν βαλαναγρῶν παρέσχεν αὐτοῖς τὴν εἴσοδον· ἑτέρῳ δὲ εἰσελθὼν ἐχρήσατο. ἐπειδὴ γὰρ οἱ Ἡραιεῖς τοῦ γενομένου συνέντες ἐξεπήδησαν, πολλοί τε ὄντες καὶ τῶν τῆς πόλεως τόπων ἔμπειροι, φοβηθεὶς αὐτοὺς Διοίτας τοὺς σαλπιγκτὰς ἐκέλευσε κατὰ πολλὰ μέρη τῆς πόλεως διαστάντας τὸ πολεμικὸν σημαίνειν. οἱ δὲ Ἡραιεῖς πολλαχόθεν πολλῶν σαλπίγγων ἀκούοντες, περιηχούμενοι, πάντα μεστὰ πολεμίων εἶναι νομίσαντες ἐξέλιπον τὴν πόλιν καὶ μεθ' ἡμέραν ἐπρεσβεύσαντο πρὸς Διοίταν ἱκετεύοντες ἀπολαβεῖν τὴν πατρίδα ὡς εἰσαῦθις ὑπήκοοι γενησόμενοι τοῖς Ἀχαιοῖς.

## 37. ΤΙΣΑΜΕΝΟΣ.

35, 2 Τισαμενὸς ἄγων τὸ στρατόπεδον ὄρνεις πολλοὺς ἰδὼν ὑπὲρ τὸν τόπον πετομένους, οὐ μὴν ἐπὶ γῆς ἱζάνοντας συνῆκεν, ὡς δεδιότες ἀνθρώπους ἐγκαθημένους ἱζάνειν ὀκνοῖεν· καὶ τὸ χωρίον ἐρευνησάμενος τοῖς ἐγκαθημένοις ἐπιθέμενος κατέκοψε τοὺς λοχῶντας Ἴωνας.

## 38. ΟΝΟΜΑΡΧΟΣ.

12, 5 Ὀνόμαρχος Φωκεὺς πολιορκουμένης Ἐλατείας ὑπὸ 1 374
Βοιωτῶν τὴν δύναμιν ἐξαγαγών, τὰς πύλας ἀποικο-

Cap. 37. Cf. Front. strat. 1, 2, 8.
Cap. 38. § 1. De tempore cf. J. p. 559.

2 ἐν μὲν τῇ τῶν στρατηγημάτων βαλαναγρῶν F; corr. Maasv. ‖ 4 ἡρεεῖς F ‖ 5 συνόντες F; ὄντες vulg. ‖ 14 Τησάμενος F ‖ 16 ὑπὲρ τοῦ τόπου Hertlein ‖ τὸν] τινα W ‖ περιπετομένους vulg. ‖ ἐπὶ γῆς FH; ἐπὶ γῆν M; ἐπὶ τῆς γῆς vulg. ‖ 17 δεδιότας F ‖ 22 ἐλατίας (om. pr.) F ‖ 23 ἀποικοδομήσας K, quod probat Hertlein; ἀνοικοδομήσας F.

*δομήσας, τέκνα μὲν καὶ γυναῖκας καὶ μητέρας ἔστησεν ἐφεξῆς καὶ πατέρας· πρὸ δὲ τούτων τοὺς ὁπλίτας ἔταξε. Πελοπίδας συνεὶς τὴν παρασκευὴν τῆς ἀπονοίας, ὡς ἀποθνήσκειν ἢ κρατεῖν προθυμοῖντο, μὴ συνάψας μάχην ἀνεχώρησεν.*

853 2 *Ὀνόμαρχος Μακεδόσι παρατασσόμενος ὄρος μη-* e. 36, 3
*νοειδὲς κατὰ νώτου λαβὼν καὶ ταῖς ἑκατέρωθεν κορυφαῖς ἐγκατακρύψας πέτρους καὶ πετροβόλους προῆγε τὴν δύναμιν ἐς τὸ ὑποκείμενον πεδίον. ὡς δὲ οἱ Μακεδόνες ἀντεπιόντες ἠκροβολίσαντο, οἱ Φωκεῖς προσεποιήσαντο φεύγειν ἐς τὰ μέσα τοῦ ὄρους. οἱ μὲν δὴ Μακεδόνες θυμῷ καὶ ῥύμῃ διώκοντες ἐπέκειντο, οἱ δὲ ἀπὸ τῶν κορυφῶν τοὺς πέτρους βάλλοντες συνέτριβον τὴν Μακεδονικὴν φάλαγγα. τότε δὴ Ὀνόμαρχος ἐσήμηνεν τοῖς Φωκεῦσιν ἐπιστρέφειν καὶ τοῖς πολεμίοις ἐμβάλλειν. οἱ δὲ Μακεδόνες, τῶν μὲν ὄπισθεν ἐμβαλλόντων, τῶν δὲ ἄνωθεν τοὺς πέτρους βαλλόντων, σὺν πολλῷ πόνῳ φυγόντες ἀνεχώρησαν. ἐν ταύτῃ τῇ φυγῇ τὸν βασιλέα τῶν Μακεδόνων Φίλιππον φασὶν εἰπεῖν 'οὐκ ἔφυγον, ἀλλ' ἀνεχώρησα ὥσπερ οἱ κριοί, ἵν' αὖθις ποιήσωμαι σφοδροτέραν τὴν ἐμβολήν'.*

---

2 *καὶ πατέρας* om. H, seclusit W, sed cf. Lys. orat. 2, 39 ‖ 3 *τῆς*] *μετὰ* H ‖ 4 *ὡς* om. F ‖ 5 *ἀπεχώρησεν* (V *discessit*) Maasv. in Addendis ‖ 8 *πεζοὺς καὶ πετροβόλους μηχανὰς* H: Polyaenum scripturum fuisse *μηχανήματα* admonuit W ‖ 10 *ἠκροβολίζοντο* K ‖ 11 *φυγεῖν* H ‖ 12 *ῥύμῃ* R; *ῥώμῃ* F ‖ 13 *τοὺς πεζοὺς* H ‖ *ἐμβάλλοντες* vulg. ‖ 15 *ἐσήμηνεν* H; *ἐσήμαινεν ἐν* F ‖ 16 *συμβάλλειν* H ‖ *οἱ δὲ* FH; *οἱ μὲν δὲ* vulg.; *οἱ μὲν δὴ* C Cas. R; *οἱ* M ‖ *τῶν μὲν ὄπισθεν βαλλόντων, τῶν δὲ ἄνωθεν* H ‖ 17 *ἐμβαλόντων* F ‖ 19 *ταύτῃ* H et Reiske ad Const. Porphyrog. de caerim. p. 126; *αὐτῇ* F; om. vulg. ‖ 20 *ἀνεχώρησαν* F.

## Τάδε ἔνεστιν ἐν τῷ τρίτῳ τῶν

# Πολυαίνου στρατηγημάτων.


| | | | |
|---|---|---|---|
| Δημοσθένης | β | Ἰφικράτης | ξγ |
| Πάχης | α | Τιμόθεος | ιζ |
| Τολμίδης | α | Χαβρίας | ιε |
| Φορμίων | γ | Φωκίων | α |
| Κλεισθένης | α | Χάρης | γ |
| Φρύνιχος | α | Χαρίδημος | α |
| Λαχάρης | γ | Δημήτριος Φαληρεὺς | α |
| Ἀρχῖνος | α | Φιλοκλῆς | α |


Φρύνιχος α om. $F_1$ ‖ Ἰφικράτης ξα F ‖ Τημοθεος F.

# ΒΙΒΛΙΟΝ ΤΡΙΤΟΝ.

*Καὶ τόδε ὑμῖν τρίτον βιβλίον, ἱερώτατοι βασιλεῖς Ἀντωνῖνε καὶ Οὖηρε, προσφέρω τῶν Στρατηγημάτων· ἀφ᾽ ὧν οὐ πολεμοῦσι μόνον, ἀλλὰ καὶ τὴν εἰρήνην ἄγουσιν ὠφελιμώτατον ἂν χρῆμα γένοιτο ἡ στρατηγικὴ σοφία καὶ τέχνη. ἅπασι μὲν γὰρ τοῖς ἄρχουσι δεῖ τῆς πολιτικῆς στρατηγίας καὶ προμηθείας, ᾗ τὰς πόλεις ἐς τὸ πράσσειν ἃ χρὴ ὑπάξονται. ὑμεῖς δὲ τὴν αὐτοκράτορα ἀρχὴν ἔχοντες καὶ τῶν ὅλων προεστηκότες ἀεὶ μετὰ στρατηγικῆς ἐπιστήμης βουλεύεσθε τὰ συμφέροντα τοῖς ἀρχομένοις· ὥστε ἐν μὲν εἰρήνῃ δεῖ ἐγγυμνάζειν τὴν γνώμην τοῖς στρατηγικοῖς ἐνθυμήμασιν, ἐν δὲ πολέμῳ — τί χρὴ καὶ γράφειν; πρόδηλον γάρ.*

## 1. ΔΗΜΟΣΘΕΝΗΣ.

425 1 *Δημοσθένης Πύλου Λακωνικὴν φρουρὰν ἐχούσης* c. 29, 4 *ἔπλευσεν ἐπὶ τὴν ἄκραν. οἱ Λάκωνες τὴν Πύλον ἐκλιπόντες ἐπὶ τὴν ἄκραν ᾖεσαν, ὡς ἀποβησόμενον εὑρόντες ἂν ἤδη τῆς ὁδοῦ μακρᾶς οὔσης. ἤδη μὲν*

---

6 *δεῖ* vulg., *δια* F ‖ 7 *ἣ* F ‖ 10 *βούλεσθε* F ‖ 11 *δεῖ* Hertlein; *δεῖν* R; *καὶ* F ‖ 13 *χρὴ καὶ* M; *καὶ χρὴ* F: cf. 3, 14. 8, 23, 5 ‖ 15 *Λακωνικῆς* F ‖ 17 *ᾖεσαν* Blume K; *εἴεσαν* F; *ἴεσαν* vulg. ‖ 18 *ἤδη*] *ἅτε* R ‖ *μακρᾶς* vulg.; *μακρὰν* F; [*οὐ*] *μακρᾶς* W cum Maasv., K, Blume.

*ἐπέλαζον οἱ πολέμιοι τῇ ἄκρᾳ· Δημοσθένης δὲ ἀποστρέψας ἐπὶ τὴν πόλιν κατέσχε τὴν Πύλον ἀνδρῶν κενήν.*

.36, 4 *Δημοσθένης Ἀκαρνάνων καὶ Ἀμφιλόχων στρα-* 2 426
*τηγῶν ἀντικρὺ Πελοποννησίων ἐστρατοπέδευεν χαράδρας μεγάλης διειργούσης. ὁρῶν δὲ πολλῷ πλείονας τοὺς πολεμίους καὶ τὸ στρατόπεδον ὑπερφαλαγγούμενον ἐς τὸ κοῖλον καὶ λοχμῶδες ἐνελόχισεν ὁπλίτας καὶ ψιλοὺς τριακοσίους, ὅπως, ἐπειδὰν ὑπερφαλαγγήσωσιν οἱ ἐναντίοι κατὰ τὸ ὑπερβάλλον αὐτῶν, ἐξαναστάντες κατὰ νώτου γένοιντο. οἱ μὲν ὑπερεφαλάγγησαν, οἱ δὲ ἐξόπισθεν ἐξανέστησαν καὶ ἄφνω προσπεσόντες οὐ σὺν πολλῷ πόνῳ τὴν μάχην ἐνίκησαν.*

## 2. ΠΑΧΗΣ.

.54, 8 *Πάχης Νότιον πολιορκῶν Ἱππίαν στρατηγὸν Πισ-* 427
*σούθνου κοινολογησόμενον προελθεῖν ἔξω τείχους ἠξίωσεν συνθέμενος ἀβλαβῆ καὶ ζῶντα ἀποπέμψειν· ἐπεὶ δὲ προῆλθε, φυλακὴν αὐτῷ περιστήσας τὸ Νότιον κατὰ κράτος ἐξεῖλεν. καὶ τότε Ἱππίαν ἐς τὴν πόλιν ζῶντα ἐσήγαγεν, ὡς ἐσπείσατο, καὶ μετὰ τοῦτο κατηκόντισεν.*

## 3. ΤΟΛΜΙΔΗΣ.

.31, 2 *Τολμίδης, Ἀθηναίων ψηφισαμένων αὐτῷ δοθῆ-* 456

---

Cap. 1. § 2. Ex Thucyd. 3, 107.
Cap. 2. Ex Thucyd. 3, 34.
Cap. 3. Cf. Diodor. 11, 84.

---

5 *ἐστρατοπέδευον* F ‖ 8 *λοχμῶδες* M et Thucyd.; *λοχῶδες* FH ‖ *ἐνελόχισεν* Heringa (*λοχίζει* Thucyd.); *ἐνελώχησεν* F ‖ 9 *ψιλοὺς* FH] *φίλους* vulg. ‖ *τριακοσίους* FH; *τετρακοσίους* Heringa ex Thucyd. ‖ 10 *ipsi* i. e. *αὐτοί* V ‖ 12 *ἐξόπιυθεν* F ‖ *ἐξανέστησαν* Hertlein, Iahnii annal. 1861, p. 249; *ἐπανέστησαν* F.

*ναι κατάλογον ἀνδρῶν χιλίων, ἑκάστῳ προσιὼν τῶν νέων ἔφασκεν, ὡς μέλλοι καταλέγειν αὐτὸν, εἴη δὲ ἄμεινον ἑκόντα στρατεύεσθαι. τρισχίλιοι μὲν ἀπεγράψαντο ἑκόντες, οἱ λοιποὶ δὲ οὐκ ἐπείθοντο. Τολμίδης ἐκ τῶν μὴ πειθομένων κατέλεξε τοὺς χιλίους καὶ πεντήκοντα τριήρεις ἐπλήρωσεν ἀντὶ χιλίων τετρακισχιλίοις ἀνδράσιν.*

## 4. ΦΟΡΜΙΩΝ.

432 1 *Φορμίων ἀποβὰς ἐς τὴν Χαλκιδέων ἁρπάσας οὐκ ὀλίγα τῶν ἐκ τῆς χώρας Σκύρῳ προσέσχεν. Χαλκιδεῖς ἐπρεσβεύσαντο ἀπαιτοῦντες· ὁ δὲ κρύφα καθῆκεν ὑπηρετικὸν ὡς Ἀθήνηθεν ἧκον τοῦ δήμου καλοῦντος αὐτὸν ἐς Πειραιᾶ διὰ τάχους. τοῖς μὲν πρεσβευταῖς ἀπέδωκεν ὅσα ἔτυχον ἀπαιτοῦντες, αὐτὸς δὲ ἀναχθεὶς ὑπὸ νησίον ὡρμίσατο τὴν νύκτα. οἱ Χαλκιδεῖς καὶ τῷ κομίσασθαι τὰ ἴδια καὶ τῷ νομίσαι τὸν Φορμίωνα Ἀθήναζε πεπλευκέναι ἀφυλάκτως καὶ τῆς πόλεως καὶ τῆς χώρας εἶχον. ὁ δὲ ἀφυλάκτοις ἐπελθὼν ὀλίγου μὲν καὶ τὴν πόλιν κατέσχεν· ὅση δὲ ἦν λεία κατὰ τὴν χώραν, ἅπασαν ἐξήγαγεν.*

429 2 *Φορμίων τριάκοντα ναῦς ἔχων πρὸς πεντήκοντα ναῦς πολεμίων ἀναχθεὶς ἔταξε τὰς ἰδίας ἐπὶ πέντε*

---

Cap. 4. § 1. Cf. Front. strat. 3, 11, 1.

---

3 *ἑκόντα* p; *ἕκαστον* F; *ἐθελοντὴν* Diodorus ‖ *στρατεύεσθαι* m; *ὁρατεύεσθαι* F; *στρατεύειν* Diod. ‖ 5 *μὴ* M; om. F ‖ 6 *χιλίων* m; *ᾳ* F; *χιλίοις* vulg. ‖ *τετρακισχιλίοις* m, Diod.; *φ′* i. e. *πεντακοσίοις* F ‖ 9 *Χαλκηδέων* F ‖ 10 *Σκύρῳ* Hemsterh., Ruhnk., Wessel. laudati apud Blumium, observ. p. 45, item Koen. ad Greg. Cor. 237; *Κύρῳ* F; *Κύῤῥῳ* K ‖ *Χάλκιδες* F ‖ 13 *Πηρέα* F ‖ *τοῖς μὲν οὖν* H ‖ 15 *ὡρμήσατο* F ‖ *Χαλκίδες* F ‖ 16 *τῷ* bis corr. M pr. manu; *τὸ* FH.

καὶ παρὰ τὴν τάξιν τῶν ἐναντίων αὐτὰς ἐκείνας προσῆγεν ὀρθίοις τάγμασιν. τῶν δὲ ἐναντίων διὰ τὴν πολλὴν προθυμίαν ταχέως διασπαρεισῶν καὶ τῶν ταχίστων τριήρων πολὺ τὰς ἄλλας ἐν τῇ διώξει καταλιπουσῶν, συνιδὼν τὴν ἀταξίαν αὐτῶν Φορμίων, ἐπιστρέψας τὴν ἑαυτοῦ πεντεναΐαν ἐνέβαλλε ταῖς γενομέναις αὐτοῦ πλησίον τριήρεσι καὶ ταύτας καταδύσας ἐπὶ τὰς ἄλλας ἐπέπλει· καὶ τῶν ἄλλων τριηραρχῶν ταὐτὰ πράσσειν πειρωμένων φυγὴ τῶν πολεμίων ἐγένετο. οἱ δὲ περὶ Φορμίωνα διώκοντες [τὰς] πλείστας αὐτῶν καταδύσαντες τὴν νίκην ἀνείλοντο.

Φορμίων περὶ Ναύπακτον ἐν τῇ Παράλῳ πλέων 3 429
ὑπὸ δύο τριήρων ἐδιώκετο. ὁρμούσης δὲ ἐπὶ σάλου νεὼς ὁλκάδος, ἤδη καταλαμβανόμενος περὶ ταύτην ἔκαμψεν καὶ τῇ βραδυτέρᾳ τῶν τριήρων κατὰ πρύμναν ἐνσείσας κατέδυσε καὶ διὰ τάχους ἐπὶ τὴν ἑτέραν ἐπιστρέψας εὐκόλως καὶ ταύτην διέφθειρεν.

5. ΚΛΕΙΣΘΕΝΗΣ.

Κλεισθένης Κίρραν ἐπολιόρκει. μάντευμα ἦν 590
Κιρραίοις, ἀνάλωτον ἔσεσθαι τὴν πόλιν, ἕως ἂν ψαύσῃ τῆς Κιρραίας γῆς ἡ θάλαττα. οἱ μὲν Κιρραῖοι κατεφρόνουν πλεῖστον ἀπέχοντες θαλάττης. ἡ δὲ Κίρρα

Cap. 4. § 3. Cf. Thucyd. 2, 91.
Cap. 5. Cf. Plut. Solon. 11; Paus. 10, 37, 6.

2 ὀρθρίοις F ‖ 6 πεντεναΐαν Wessel. ad Diod. 14, 103: cf. Lobeck, Phryn. 432; πενταναΐαν F ‖ 9 ταῦτα F ‖ 10 περὶ ἀμφὶ F ‖ [τὰς] add. K ‖ 19 Κείρραν F, et ita constanter; idem Κειρραῖοι ‖ 21 Κιρραίας Bursian; ἱερᾶς F; αὐτῆς R ‖ 22 ἀπεχούσης Blume.

γῆς ἱερᾶς ἔψαυε καθηκούσης ἐπὶ θάλατταν. ὁ Κλεισθένης τὸ μαντεῖον μαθὼν καθιέρωσε τῷ θεῷ τήν τε πόλιν καὶ τὴν χώραν τὴν Κιρραίαν, ἵνα πᾶσα ἱερὰ γενομένη κατὰ τὸν χρησμὸν ψαύσειε τῆς θαλάττης. τοῦτο πράξας ἐκράτησεν καὶ ἀνέθηκε τὴν χώραν τῷ θεῷ.

## 6. ΦΡΥΝΙΧΟΣ.

411 *Φρύνιχος ἐν Σάμῳ στρατηγῶν προδιδοὺς τὴν πόλιν, ἐν τῷ μέλλειν διαβληθεὶς καταφανὴς γίγνεσθαι μέλλων, φθάσας προεῖπε τοῖς Σαμίοις ὅσα δρᾶν ἔμελλον οἱ πολέμιοι. 'κατὰ τὸ ἀτείχιστον τῆς Σάμου μέλλουσι προσβάλλειν οὐ πασῶν [ἔνδον ὁρμουσῶν] τῶν νεῶν. ἀλλὰ προλαβόντες τειχίσωμεν.' οἱ μὲν ἤρχοντο τοῦ τειχισμοῦ. οἱ δὲ περὶ Ἀλκιβιάδην ἐχθροὶ γράμματα Σαμίοις ἔπεμψαν μηνύοντα τὴν Φρυνίχου προδοσίαν. Σάμιοι τοῖς ἔργοις Φρυνίχου μᾶλλον ἐπίστευσαν ὡς ἀγαθοῦ στρατηγοῦ ἢ τοῖς τῶν ἐχθρῶν γράμμασιν.*

## 7. ΛΑΧΑΡΗΣ.

295 1 *Λαχάρης ἁλισκομένων Ἀθηνῶν ὑπὸ Δημητρίου* e. 52, 2 *ἐσθῆτα οἰκετικὴν καὶ ἄγροικον λαβών, μέλανι χρίσας τὸ πρόσωπον, κάλαθον ὑπὸ κόλπου κομίζων, διὰ*

---

Cap. 6. Ex Thucyd. 8, 51.

Cap. 7. Cf. Schubert, die Quellen Plutarchs in den Lebensbeschreibungen des Eumenes, Demetrius u. Pyrrhus p. 700 sq.

---

1 γῆς Rud. Schoell; τῆς F; τῆς ἱερᾶς γῆς vulg. ‖ καθήκουσα Blume ‖ 4 θαλάσσης F ‖ 9 προεῖπεῖπε $F_1$; προυπεῖπε $F_2$ ‖ 11 προσβάλλειν Cas. ex V *impressionem facient;* προσβάλλουσιν F; προβάλλουσι vulg. ‖ [ἔνδον ὁρμουσῶν] Maasv. ex Thucyd.; [ἔνδον οὐσῶν] C in marg. ‖ 19 Ἀθηνῶν F; Ἀθηναίων M, quod probavit W coll. 3, 7, 2, at cf. Hertlein, Iahnii annal., 1861, p. 252; Hercher, Hermes 9, p. 112 ‖ 20 λαβὼν W; ἀναλαβὼν F; βαλὼν H ‖ 21 κόλπου m; κόπρου F; ἀπὸ κόπρου i. e. plenam fimo R.

*πυλίδος μικρᾶς ὑπεξελθὼν, ἐπιβὰς ἵππου, δαρεικοὺς χρυσοῦς μετὰ χεῖρας ἔχων ἔφευγεν. ἱππεῖς Ταραντῖνοι πολλῇ σπουδῇ διώκοντες οὐκ ἀνίεσαν. ὁ δὲ κατ' ὀλίγους τῶν δαρεικῶν ἐρρίπτει κατὰ τῆς ὁδοῦ· οἱ δὲ καταβαίνοντες ἀπὸ τῶν ἵππων συνέλεγον τὸ χρυσίον. τούτου γενομένου πολλάκις ἡ δίωξις μὲν διεκόπτετο, Λαχάρης δὲ ἱππεύσας ἔφθασεν ἐς τοὺς Βοιωτούς.*

*Λαχάρης Θηβῶν ἁλισκομένων εἰς τοὺς ὑπονόμους* 2 293 *καταδὺς, μετὰ τρεῖς ἢ τέτταρας ἡμέρας ἑσπέρας ὑπεξελθὼν εἰς Δελφοὺς ἀφίκετο κἀκεῖθεν ὡς Λυσίμαχον.*

52, 3 *Λαχάρης τῶν πολεμίων Σηστοῦ κρατησάντων* 3 post *ὀλίγας μὲν ἡμέρας ἐν λάκκῳ διήγαγε καταδεδυκὼς, τροφὰς ὀλίγας ἔχων, ὅσον μὴ τελευτῆσαι· γυναικὸς δὲ ἐκφορὰν οἰκείου νεκροῦ ποιουμένης ἐν γυναικείᾳ στολῇ ταῖς πενθούσαις ἀναμεμιγμένος, καλύπτραν ἔχων μέλαιναν ἐξῆλθεν ἔξω τείχους καὶ νυκτὸς ἐπιγενομένης ἐς Λυσιμάχειαν διῆλθεν.*

## 8. ΑΡΧΙΝΟΣ.

*Ἀρχῖνος Ἀργείων ὅπλα ποιουμένων δημοσίᾳ πᾶσι* 266—26 *τοῖς πολίταις ἐπιμελητὴς τῶν ἐργαζομένων ἀποδειχθεὶς, καινὸν ὅπλον ἑκάστῳ τῶν πολιτῶν διδοὺς τὸ παλαιὸν ἐλάμβανεν ὡς ἀναθήσων τοῖς θεοῖς· καὶ γὰρ οὕτως*

---

Cap. 8. De tempore cf. Droysen III, 1, p. 239 sq.

---

1 *δαρεικοὺς*] cf. Droysen II, 2, p. 253, not. 2 ‖ 7 *ἱππεύσας* F: cf. 2, 31, 3 (4); *τοὺς ἱππεῖς* Hertlein ‖ *τοὺς Βοιωτοὺς* W; *τὰς Βοιωτίας* F; *τὴν Βοιωτίαν* vulg. ‖ 8 *Θηβῶν* vulg.; *Θηβαίων* FM: cf. Hertlein, Iahnii annal. 1861, p. 252; Hercher, Hermes 9, p. 112 ‖ 9 *ἑσπέρας* om. M alii, unde W coniecit dittographiam esse vocis *ἡμέρας* ‖ 17 *Λυσιμαχίαν* F vulg. ‖ *διῆλθεν* M; *διεξῆλθεν* F: cf. 3, 9, 5 ‖ 22 *ἐλάμβανεν* F] *ἀνελάμβανεν* vulg.; *ἀντελάμβανεν* Blume.

*ἦν τοῖς Ἀργείοις δεδογμένον. ἐπεὶ δὲ τὰ παλαιὰ πάντων ὅπλα μόνος ἤθροισεν, ὁπλίσας ξένους καὶ μετοίκους καὶ ἀτίμους καὶ πένητας τὴν Ἀργείων τυραννίδα κατέσχεν.*

## 9. ΙΦΙΚΡΑΤΗΣ.

1 *Ἰφικράτης ἐπὶ τοὺς πολεμίους προῆγε τὴν φά-* c. 5, 2 *λαγγα· τῶν στρατιωτῶν τινὲς ὀκνηροὶ καὶ δειλοὶ καὶ ὠχριῶντες εἵποντο. τούτους ἰδὼν Ἰφικράτης κατὰ βραχὺ προελθὼν ἐκήρυξε· '[τῆς στρατείας] γενομένης ἄφνω, εἴ τις ἀπολέλοιπέ τι, ἀναστρεφέτω καὶ παρασκευασάμενος καλῶς ἐπανηκέτω.' ἥσθησαν οἱ δειλοὶ καὶ αὐτίκα ἀνέστρεψαν. ὁ δὲ Ἰφικράτης οὐκ ἀναμείνας 'νῦν', ἔφη, 'ἄνδρες, τῶν ἀνδραπόδων ἀπηλλαγμένων ἡμεῖς τοῖς πολεμίοις συνάψωμεν, ἵνα καὶ μόνοι τοὺς καρποὺς τῆς ἀνδραγαθίας λάβωμεν.' πολλῷ μᾶλλον ἐθάρσησαν οἱ στρατιῶται, καὶ συμβαλόντες ἄνευ τῶν δειλῶν ἐνίκησαν.*

2 *Ἰφικράτης τοὺς πολεμίους ἐς φυγὴν τρεψάμενος* c. 45, 3 *εἵπετο σχέδην ἄγων τὴν φάλαγγα καὶ παραγγέλλων ἔφη 'οἱ μὲν ἐλαφροὶ φυλάττεσθε τὰς ἐνέδρας, τῶν δὲ φευγόντων τοῖς ὑπολειπομένοις ἐνοχλεῖτε· ἦ ποταμῶν διαβάσεις, ἦ καὶ τόποι στενοὶ καὶ τάφροι, ταύτῃ μά-*

---

Cap. 9. Cf. Rehdantz, vitae Iphicratis, Chabriae, Timothei Atheniensium, Berolin. 1844. — J. p. 565—573.

---

6 *φαλάγγαν* F ‖ 7 *καὶ* ante *ὠχρ.* del. Patakis ‖ 9 *τῆς στρατείας* om. F, add. vulg. ‖ 14 *συνάψωμεν* H; *συνάπτωμεν* MK; *συνάπτομεν* F: cf. 3, 9, 14. 4, 11, 2. 5, 3, 8. 8, 25, 2 ‖ 18 *τοὺς* om. M ‖ 19 *σχέδην* Koen. ad Greg. Cor. 198; *pedetentim* V; *σχέδη* F; *σχολῇ* R; *σχεδὸν* vulg. ‖ *φαλάγγαν* F ‖ *παραγγέλων* F ‖ *21. 22 ἦ M; ἢ in ἦ* corr. $F_2$; ἢ vulg.

*λιστα κυκλοῦσθαι τοὺς φεύγοντας οὐ χρή, ἵνα μὴ ἀναγκάζοιντο ἐξ ἀπονοίας μάχεσθαι· τῶν τειχῶν ἐγγὺς διώκειν οὐ συμφέρει· πολλοὶ γὰρ ἤδη λαθόντες ἐντὸς βέλους ἐγένοντο καὶ κακῶς παθόντες ἀνεχώρησαν.'*

.32,5 *Ἰφικράτης νύκτωρ κατελάβετο πολεμίαν πόλιν·* 3 *οἱ δὲ συνέφευγον ἐς τὴν ἀγορὰν καὶ πλῆθος ἠθροίζοντο. Ἰφικράτης ἀνοίγειν ἐκέλευσε τὰς πύλας παρέχων αὐτοῖς ἀφορμὴν τοῦ φεύγειν, ἵνα τῆς πόλεως αὐτὸς ἀκινδυνότερον κρατήσειεν.*

*Ἰφικράτης ἐν Θρᾴκῃ ἐνέβαλλεν. τῶν στρατιωτῶν* 4 *αὐτοῦ φοβηθέντων τοὺς πολεμίους καὶ ἐς φυγὴν τρεπομένων ἐκήρυξεν, ὃς ἂν μηνύσῃ τὸν ἀφέντα τὸν ὄνον ἐς τὰ ὅπλα [τάλαντον ἀργυρίου λήψεται], ὡς δὴ Πανικοῦ γεγονότος. τούτῳ τῷ κηρύγματι τὰς ψυχὰς τῶν στρατιωτῶν ἀνεκαλέσατο καὶ πρὸς τὸ μένειν εὐθυμοτέρους ἐποίησεν.*

.47,4 *Ἰφικράτης διὰ μέσων πολεμίων ἐξελθεῖν βουλόμενος* 5 *ἔπεμψε νύκτωρ ἐπὶ τὰ ἄκρα τῶν κατεχομένων χωρίων σαλπιγκτὰς τὸ πολεμικὸν σημῆναι προστάξας. οἱ μὲν ἐσήμηναν· οἱ πολέμιοι δὲ ἀνέδραμον πρὸς τὸν*

---

Cap. 9. § 4. Cf. Xenoph. Anab. 2, 2, 20.

---

2 *ἄρχεσθαι* $F_1$, *μάχεσθαι* $F_2$ ‖ 3 *λαθόντες* absolute pro *λ. ἑαυτοὺς*: W confert Xenoph. Athen. resp. 1, 19; Plato, Theaet. 164 c ‖ 5 *πολεμίαν* F] *πολεμίων* vulg. ‖ 6 *ἠθροίζετο* H, sed cf. 7, 1 ‖ 7 *ἐκέλευε* F ‖ 9 *ἀκινδυνότερον* M; *ἀκινδυνώτερον* F ‖ 10 *ἐνέβαλλεν* F] *ἐνέβαλεν* M ‖ 13 *ὄνον* ante Toupium ad Suid. I, p. 438 Heringa p. 125 coll. Xenoph. Anab. 2, 2, 10; *νόμον* F; *ἵππον* Aen. Tact. 27 ‖ [*τάλαντον ἀργυρίου λήψεται*] R, Sauppe (Goetting. gel. Anz. 1871, p. 747); [*μισθὸν λήψεται*] K coll. 5, 1; [*αὐτὸν ἕξειν*] Blume ‖ 15 *εὐθυμοτέρους* R; *εὐθυμοτέρας* F.

ἦχον τῶν σαλπιγκτῶν. Ἰφικράτης ἀσφαλῶς διῆλθε τῶν πολεμίων τὸν μέσον τόπον ἔρημον καταλιπόντων.

6 Ἰφικράτης ἡττηθεὶς μετ' ὀλίγων κατέφυγεν ἐς e. 47 χωρίον δασὺ καὶ πολύδενδρον. ἐπεὶ δὲ ἐφυλάσσετο, προσέταξε νύκτωρ κατὰ θάτερον μέρος ποιῆσαι θόρυβον. τῶν πολεμίων τραπομένων πρὸς τὸ θορυβοῦν μέρος αὐτὸς κατὰ θάτερον ἐξῆλθεν ἀκωλύτως.

7 Ἰφικράτης ἀντιστρατευομένων τῶν πολεμίων προ- e. 47 ῆλθε τρισὶν ἡμέραις λαθών. μηχανησάμενος τὸ λαθεῖν ξύλα ξηρὰ ὑφῆψε καὶ τοῖς ξηροῖς χλωρὰ ἐπέθηκεν· ὁ δὲ ἀὴρ παχὺς καὶ ὁμιχλώδης γενόμενος ἐπεσκότησε ταῖς τῶν πολεμίων ὄψεσιν.

8 Ἰφικράτης πλείους εἶχε στρατιώτας τῶν πολεμίων, καὶ οἱ μάντεις καλὰ τὰ ἱερὰ προὔλεγον· ἀλλ' οὐκ ἔκρινε παρατάξασθαι. ὡς δὲ παράλογος ἡ μέλλησις τοῖς πολλοῖς ἐγένετο 'τὰ ἐν τῇ διανοίᾳ μου ἱερὰ οὐκ ἐπέτρεψεν', ἔφη, 'συνάψαι μάχην· πολλοὶ γὰρ ὄντες οἱ στρατιῶται οὔτε προβαλέσθαι ὁμοῦ δυνατοὶ ἦσαν οὔτε παιωνίσαι· ἡνίκα δὲ παρήγγειλα κλῖναι τὸ δόρυ, πλείων ἐξηκούετο ψόφος τῶν ὀδόντων ἢ τῶν ὅπλων.'

9 Ἰφικράτης τῶν μάντεων ἀπαγορευόντων οὐκ εὐθὺς ἐπείθετο, ἀλλὰ ἢ τὸ πλῆθος μετέταττεν ἢ χώραν ὑπήλλαττεν ἢ τὸ χωρίον μετέβαλλεν καὶ πάλιν ἐπὶ τούτοις ἐθύετο. τοῦτο ἐποίει πολλάκις, οὐ μιᾷ σκέψει τὸν τοῦ παντὸς κίνδυνον ἐπιτρέπων.

---

6 τὸ θορύβου μέρος R || 9 μηχανησάμενος F] μηχανησόμενος V *ut latere posset;* μηχανώμενος K || 10 ἐπέθηκεν C; ὑπέθηκεν F: cf. H εἴ τις ξύλα ξηρὰ ὑποθλήσας ἐπιθήσει ταῦτα χλωροῖς καὶ ὑφάψει etc. || 11 ἐπεσκότησε Pierson 162; ἐπεσκότισε F || 14 καλὰ καὶ τὰ ἱερὰ M || 15 μέλησις F || 16 πολλοῖς m et Hertlein; πολεμίοις F || ἐγίνετο K || 18 προβαλέσθαι F] προβάλλεσθαι MD || 19 παρήγγειλαν F || ἐπὶ δόρυ K.

Ἰφικράτης Λακεδαιμονίοις παραταξόμενος ἡγεῖτο. 10 392 πολλοὶ παρεκάλουν αὐτὸν, ὅπως ἀποφήνῃ τὸν μὲν χιλίαρχον, τὸν δὲ πεντακοσίαρχον· καὶ ἄλλος ταξίαρχος καὶ λοχαγὸς ἕτερος ἐσπούδαζον γενέσθαι. πάντας τοὺς παρακαλοῦντας ἀνεβάλλετο ἐς καιρὸν ἐπιτήδειον. ὁ δὲ καιρὸς οὗτος ἦν. προάγει τὴν φάλαγγα καὶ καθιστάμενος τὴν τάξιν ἐκέλευσεν ἐν ἀπορρήτῳ κινῆσαι Πανικὸν ὡς καὶ τῶν πολεμίων ἐμβεβληκότων. ταραχὴ μεγάλη πάντων· οἱ μὲν δειλοὶ φοβηθέντες ἀνεχώρουν· οἱ δὲ ἀνδρεῖοι προῆλθον ἀντιταξόμενοι τοῖς πολεμίοις. Ἰφικράτης γελάσας ὡμολόγησε τὸ Πανικὸν αὐτὸς κεκινηκέναι πειρώμενος τῶν δυναμένων ἡγεῖσθαι. τοῖς μὲν δὴ μείνασι χιλιαρχίας καὶ ταξιαρχίας ἔδωκεν, τοὺς δὲ ἀναχωρήσαντας ἐκέλευσε τούτοις ἕπεσθαι.

Ἰφικράτης μέλλων καταστρατοπεδεύειν ἔπεμψέ 11 τινας καταληψομένους τόπον ὀχυρὸν πορρωτάτω τοῦ στρατοπέδου. θαυμασάντων τῶν παρόντων καὶ ἐρομένων 'τί καταλαμβάνεις;' Ἰφικράτης ὑπολαβὼν ἔφη τὸ 'τίς ἂν ἤλπισε τοῦτ' ἔσεσθαι;' παιδεύων, ὡς ἐν πολέμῳ χρὴ φυλακὴν εἶναι καὶ τῶν οὐκ ἐλπιζομένων.

14, 9 Ἰφικράτης ἐν πεδίῳ μεγάλῳ παρετάσσετο. οἱ πολέμιοι πολλῷ πλείους ὄντες προσέβαλον· ὁ δὲ κατόπιν 12 τῶν αὐτοῦ στρατιωτῶν τάφρον βαθεῖαν ὤρυξεν, ὡς μὴ φυγῆς ἐλπίδας ἔχοντες γενναιότερον ἀγωνίζοιντο μένοντες.

13, 4 Ἰφικράτης, εἰ μὲν ἀγυμνάστοις παρετάσσετο στρα- 13 τιώτας ἔχων ἠσκημένους, οὐ παραχρῆμα συνῆπτεν ἐς

---

1 ἡγεῖτο Rud. Schoell; ἤρχετο F ‖ 5 ἀνεβάλλετο F; ἀνεβάλετο vulg. ‖ 8 ὡς καὶ τῶν F; ὡς τῶν vulg. ‖ 18 ἐρωμένων F ‖ 19 τί] τὸ F ‖ 23 προσέβαλλον Patakis ‖ 24 αὐτοῦ F.

μάχην, τρίβων δὲ τὸν χρόνον ἐν τῇ συστάσει προεξέλυε τοὺς πολεμίους ὡς πονεῖν ἔλαττον εἰθισμένους καὶ τότε ἐπετίθετο. εἰ δὲ προγεγυμνασμένοις ἔμελλε μάχεσθαι αὐτὸς ἔχων στρατιώτας ἀγυμνάστους, συνεπλέκετο παραχρῆμα ἐς μάχην ταῖς πρώταις ὁρμαῖς τῶν οἰκείων ἀκμαίως ἀποχρώμενος.

14 Ἰφικράτης πολεμίους τρεψάμενος ἐς χωρίον στενὸν συνήλασεν· ὁρῶν δὲ μηδεμίαν ὁδὸν ἀναχωρήσεως αὐτοὺς ἔχοντας ἢ μόνην τὴν ἐκ τοῦ νικᾶν ἀνάγκην εἰπὼν ʽμὴ ἀναγκάσωμεν ἀγαθοὺς γενέσθαι τοὺς πολεμίουςʼ ἔδωκεν αὐτοῖς πρὸς τὸ φυγεῖν καιρὸν καὶ τόπον, ἵνα τὴν νίκην αὐτὸς ἀκινδύνως ἔχοι. e. 14, 1(

15 Ἰφικράτης θανάτου δίκην φεύγων παρεστήσατο νεανίσκους ἐγχειρίδια κατακεκρυμμένα ἔχοντας, οἳ παραφαίνοντες τοῖς δικασταῖς τὰς λαβὰς οὕτως αὐτοὺς κατέπληξαν, ὥστε φοβηθέντες ἀπεδίκασαν τὴν δίκην.

16 Ἰφικράτης καὶ ὡς τὸν κηδεστὴν ἀπιὼν ἐπὶ τὴν ἑστίαν τὸν θώρακα ἐνεδύετο λέγων ʽμελετῶ φυλάττεσθαιʼ.

17 Ἰφικράτης καὶ ἐν τῇ φιλίᾳ τὸν χάρακα ἐβάλλετο λέγων ʽοὐ στρατηγικὸν τὸ οὐκ ᾠμηνʼ. e. 1

18 Ἰφικράτης πολεμίους ἐγγύθεν ἐπικειμένους λαθεῖν βουλόμενος καὶ ἀκινδύνως ἀναζεῦξαι, ὅσα ἦν ἐν τῷ τόπῳ δένδρα περιέκοψε καὶ προσήρτησεν αὐτοῖς ἀσπίδας, κράνη, δόρατα. οἱ μὲν δὴ πολέμιοι φαντα- e. 46, 4

Cap. 9. § 17. Plut. apophthegm. reg. et imp. Iph. 2.

1 προεξέλυε Cas., W ex Leone Tactico 20, 167 ἀλλὰ καὶ συντηρεῖν σε δεῖ τὸν χρόνον ἐν τῇ συστάσει καὶ προεκλύειν τοὺς πολεμίους; προσεξέλυεν F ‖ 6 ἀκμαίαις R ‖ 7 εἰς τινὰ στενὸν τόπον συνελάσας καὶ ὕδωρ μὴ ἔχοντα H ‖ 14 κατακεκρυμμένα ἔχοντας Patakis coll. 7, 5; κατέχοντας F ‖ 18 ἐνεδύσατο vulg.

*σίαν εἶχον μενόντων, Ἰφικράτης δὲ μετὰ τοῦ στρατοπέδου παντὸς ἀσφαλῶς ἀνέζευξεν.*

8. 15, 3 *Ἰφικράτης, εἰ μὲν πλείους τῶν πολεμίων ἔχοι* 19
*στρατιώτας, βουλόμενος λαθεῖν, ἵνα καταφρονοῦντας αὐτοὺς λάβοι, μίαν στιβάδα τοὺς δύο στρατιώτας ἐκέλευε ποιεῖσθαι, ἐπὶ ταύτης ἀνὰ μέρος ἀναπαύεσθαι καὶ τὰ ὅπλα ἐπ' ἄλληλα τιθέναι. εἰ δὲ ὀλίγους ἔχοι, ὅπως μὴ καταφρονοῖντο, τὸν ἕνα στρατιώτην δύο στιβάδας ποιεῖσθαι προσέταττε καὶ ταχέως ἐς ἄλλο χωρίον μετανίστατο. τῶν δὲ πολεμίων τὰς στιβάδας καταμαθόντων καὶ τὶ πλῆθος καταπλαγέντων τηνικάδε προσπεσὼν συνῆπτε μάχην.*

*Θηβαῖοι νύκτωρ εἰσπεσεῖν Ἀθήναζε διενοοῦντο.* 20 369
*Ἰφικράτης μαθὼν παράγγελμα ἔδωκεν Ἀθηναίοις νύκτωρ ὑποσημήναντος ἐς ἀγορὰν ἀθροίζεσθαι· 'προδίδοταί μοι ἡ Θηβαίων πόλις, καὶ μετὰ ἡσυχίας ἐξελθόντες, ἄφνω προσπεσόντες ἀμαχεὶ Θήβας αἱρήσομεν.' τοῦτο δὲ ἐξαγγελθὲν Θηβαῖοι μαθόντες ἀπέσχοντο προσπεσεῖν ταῖς Ἀθήναις, ἐς δὲ τὸ φυλάττειν τὴν πόλιν αὐτῶν κατέστησαν.*

. 14, 11 *Ἰφικράτης ὀλίγους εἶχε στρατιώτας καὶ τούτους* 21
*ἀθυμοῦντας. βουλόμενος αὐτοῖς θάρσος ἐνδοῦναι με-*

---

Cap. 9. § 20. Cf. Rehdantz, p. 102, qui confert Paus. 9, 14 extr., et Schaefer, Demosth. I[1], p. 81, not. 1.

---

6 *ἐκέλευε* K; *ἐκέλευσε* F; *προσέτασσεν* H ‖ *τοὺς* ante *δύο* om. H, idem *ποιεῖν* pro *ποιεῖσθαι* ‖ 9 *ἐξ ἄλλου χωρίου εἰς ἄλλον* (sic) *μεθίστατο* H ‖ 15 *ὑποσημήναντος* F] *ὑποσημήναντο* vulg.; *ὑποσημῆναι τὸ* K, sed est gen. absolutus et *τοῦ κήρυκος* vel *σαλπιγκτοῦ* supplendum ‖ *ἀθροίζεσθε* W ‖ *μοι* Roth, quod probat Hertlein coll. 6, 9, 2; *οἱ* F; om. C; *προδίδοται γὰρ ἡ* R ‖ 19 *τοῦ προσπεσεῖν* K, quod adamat Polyaenus: sine articulo 3, 9, 40. 5, 28, 1. 8, 23, 11 ‖ 20 *αὐτῶν* F.

ταξὺ δειπνοῦντας συγκαλεῖ λοχαγοὺς καὶ ταξιάρχους καὶ κελεύει φέρειν ὅσον ἕκαστος ἔχοι ἀργύριον ἢ χρυσίον ἢ κόσμον, ὡς προδοσίαν τῶν πολεμίων διαπραξάμενος, καὶ δέον τὰ δῶρα δόντας ἤδη βαδίζειν ἐπὶ τοὺς ἐναντίους. οἱ μὲν ἐκόμισαν, ὁ δὲ λαβὼν σύνθημα ἔδωκεν Ἑρμῆν Φίλιον, ὡς τοῦτο πρὸς τοὺς ἐνδιδόντας αὐτῷ συγκείμενον, καὶ βραχὺ διαλιπὼν ἐπῆγε τοὺς στρατιώτας. οἱ δὲ πιστεύσαντες, ὡς ἔχοιεν τοὺς προδώσοντας, εὐθαρσέστεροι πρὸς τὴν μάχην ἐγένοντο.

22 Ἰφικράτης τὴν σύνταξιν τῶν στρατοπέδων εἴκαζε cf. e. 1… τῷ σώματι. θώρακα ἐκάλει τὴν φάλαγγα, χεῖρας τοὺς ψιλούς, πόδας τὴν ἵππον, κεφαλὴν τὸν στρατηγόν. ‛τὰ μὲν δὴ ἄλλα ὅταν ἐπιλείπῃ, χωλὸν καὶ πηρὸν τὸ στρατόπεδον· ὅταν δὲ ὁ στρατηγὸς ἀπόληται, τὸ πᾶν ἄχρηστον οἴχεται.’

/88 23 Ἰφικράτης ἐν Μιτυλήνῃ λόγον διέδωκεν ‛ἀσπίδας e. 12, … χρὴ κατασκευάσαι διὰ τάχους πολλάς, ὥστε τοῖς τῶν Χίων οἰκέταις πέμψαι’. Χῖοι τοῦτο ἀκούσαντες καὶ τὸ οἰκετικὸν φοβηθέντες παραχρῆμα ἔπεμψαν αὐτῷ χρήματα καὶ συμμαχίαν συνέθεντο.

…1 24 Ἰφικράτης Σικυῶνι προσέβαλλεν. Λάκων ἁρμοστὴς e. 35, …

---

1 ταξιάρχους K nec usus est Polyaenus praeter hunc locum formis in ἀρχης nisi tribus locis 3, 9, 58. 4, 7, 11. 8, 39; ταξιάρχον 1, 41, 1. 3, 9, 10. 3, 9, 36. 6, 1, 3; ταξιάρχας F vulg. || 3 χρυσὸν F || διαπραξάμενος F] διαπραξόμενος MC; ὡς δι' αὐτοῦ προδοσίαν τοῖς πολεμίοις διαπράξασθαι, ὅπερ καὶ ἀποστεῖλαι ἐσκήψατο H || 4 τὰ del. K || 5 οἱ μὲν δὴ M: cf. 1, 1, 3. 1, 20, 2. 3, 9, 24 etc. || 6 Ἑρμῆν M; Ἑρμὴν F vulg. || 9 προδώσαντας F || 13 τῶν στρατηγῶν $F_1$ || 14 ἐπιλίπῃ Patakis: cf. 1, 32, 3 || 17 διέδωκεν Hertlein coll. 4, 17. 5, 2, 16; ἔδωκεν FH || 19 Χῖοι δὲ H || 22 προέβαλλεν F.

βοήθειαν ἐκ Λακεδαίμονος μεταπέμπεσθαι σκηψάμενος τοὺς πεμφθέντας εἰς ἐνέδραν καθίσαι προσέταξεν. οἱ μὲν δὴ ἐλόχων. Ἰφικράτης δὲ βαδίζων ἐπὶ τὴν πόλιν παρῆλθεν τὴν ἐνέδραν. νεανίσκοι τινὲς ἐκ τῆς πόλεως θρασύτερον ἠπείλησαν ‘νῦν γέ τοι δίκην δώσεις’. Ἰφικράτης ὑπονοήσας εἶναί τινας, οἷς οὗτοι πεποίθασιν, αὐτίκα ἀναστρέφει κατ᾽ ἄλλην ἀνοδίαν σύντομον καὶ τοὺς εὐρωστοτάτους ἐπιλέξας αὐτὸς ἄφνω προσέπεσε τοῖς ἐνεδρεύουσι καὶ πάντας διέφθειρεν ὁμολογῶν ἁμαρτάνειν, ὅτι μὴ προηρευνήσατο τοὺς τόπους. τῷ δὲ ταχέως ὑποπτεῦσαι τὸν λόγον ἄριστα ἐχρήσατο προεμπεσὼν ὀξέως τοῖς ἐνεδρεύουσιν.

Ἰφικράτης ἔμελλε βαρβάροις μαχεῖσθαι· καὶ βου- 25 375
λόμενος τοὺς ἑαυτοῦ στρατιώτας εὐτολμοτέρους ποιῆσαι, ‘δέδοικα’, ἔφη, ‘μὴ οὐκ ᾐσθημένοι εἶεν οἱ βάρβαροι, ὡς τοὺς πολεμίους εἴωθα καταπλήττειν τῷ Ἰφικράτης εἶναι· ἀλλ᾽ ἔγωγε φροντιῶ, ὅπως νῦν γε αὐτοὶ μαθόντες καὶ τοῖς ἄλλοις ἀπαγγείλωσι· μόνον καὶ ὑμεῖς συμφιλοτιμήσασθέ μοι.’ ἐπεὶ δὲ συνῄεσαν αἱ δυνάμεις, φήσαντός τινος φοβεροὺς εἶναι τοὺς πολεμίους ‘καὶ πόσῳ’, εἶπεν, ‘ἡμεῖς ἐκείνοις φοβερώτεροι;’

Ἰφικράτης παρεκάλεσε τοὺς στρατιώτας, ἀνθ᾽ ὧν 26

---

Cap. 9. § 25. Cf. Plut. apophth. reg. et imp. Iph. 3.

---

1 *μεταπέμψασθαι σκηψάμενος* vulg.; *μεταπεμψάμενος* Blume ex V *auxilium accersens* ‖ 4 *νεανίσκοι* K; *νεανικοὶ* F ‖ 7 *ἀνοδίαν* F] *ὁδὸν* vulg.; *ἄνοδον καὶ* Ahlwardt ap. Blumium in praef. observ. ‖ 8 *εὐρωστοτάτους* K; *εὐροτάτους* F: cf. 5, 34 ‖ 10 *ἁμαρτεῖν* K *τὸ δὲ* F ‖ 15 *ᾐσθημένοι* vulg.; *ᾐσθόμενοι* F ‖ 16 *ὡς*] *ᾧ* Patakis ‖ 17 *γε αὐτοὶ* Patakis; *γένοιντο* F; *γε τοῦτο* K; *γέ τοι καταμαθόντες* R ‖ 19 *συμφιλοτιμήσασθέ μοι* C; *συμφιλοτιμῆσαί μοι* F; *συμφιλοτιμήσεσθε μοι* vulg. ‖ *συνῄεσαν* K; *συνίεσαν* F.

πολλοὺς καὶ ἐνδόξους ἀγῶνας νενικήκασιν αὐτοῦ ἡγουμένου, τοῦτο μόνον αὐτῷ χαρίσασθαι, στῆναι προτέρους ἐν τῷ προσιέναι τοῖς ἐναντίοις, εἰδὼς ὅτι τοῦτο ποιῆσαι μὴ φιλοτιμηθέντων συμβήσεται τοὺς ἐναντίους προτέρους τοῦτο πρᾶξαι.

27 Ἰφικράτης ὑπέσχετο τοῖς στρατιώταις τὴν νίκην e. 14, 12 παραδώσειν, ἐὰν τὸ σημεῖον ἄραντος παραθρασύναντες ἀλλήλους ἓν βῆμα προβῶσιν. ἦν μὲν ἐπὶ ῥοπῆς ὀξυτάτης ἡ μάχη· τὸ δὲ σημεῖον ἦρεν ὁ στρατηγός, καὶ οἱ στρατιῶται προέβησαν ἐπαλαλάξαντες καὶ τοὺς πολεμίους ὠσάμενοι ἐς φυγὴν ἔτρεψαν.

70/69 28 Ἰφικράτης περὶ Κόρινθον Ἀθηναίων ἐστρατήγει e. 26, 1 πολεμούντων Θηβαίοις. οἱ μὲν Ἀθηναῖοι σφόδρα ἠπείγοντο ἐξελθεῖν ἐπὶ τὴν μάχην· Ἰφικράτης δὲ ὁρῶν τοὺς πολεμίους πλείονας καὶ ἐπὶ προσφάτῳ τῇ ἐν Λεύκτροις νίκῃ μεγαλοφρονοῦντας οὐ προῆγεν, ἀλλὰ καὶ πρὸς αὐτοὺς ἔφη· 'ἐγὼ μὲν ὑμᾶς ἐς τοῦτο ἀνδρείας προήγαγον, ὥστε καταφρονεῖν Βοιωτῶν δύνασθαι· τῶν δὲ ἐμοῦ κρειττόνων στρατηγῶν παραλαβών τις ὑμᾶς προαγέτω.' οὕτως εἷλε τοὺς Ἀθηναίους, καὶ τῆς ὁρμῆς ἐπαύσαντο τῇ παρὰ στρατηγοῦ ἀρετῇ, μὴ συνεξορμῆσαι τοῖς προεξανισταμένοις, ἀλλὰ τὸν θυμὸν αὐτῶν λογισμῷ κατασχεῖν.

---

2 τούτω F ‖ 7 ἐὰν πιστεύσαντες αὐτῷ, ἡνίκα τὸ σημεῖον ἄρῃ H ‖ 8 ἀλλήλοις F ‖ προβῶσιν vulg.; προσβῶσιν FH ‖ 10 προέβησαν] προσβάντων τῶν στρατιωτῶν H ‖ ἐπαλλάξαντες F ‖ 14 ἐξελθεῖν ἐν τῇ μάχῃ H ‖ 16 προσῆγεν H ‖ 19 στρατηγὸν F ‖ 20 οὕτως ἀνεῖχε vel ἀνέστειλε R ‖ 21 ἐπαύσαντο τῇ ... ἀρετῇ W; ἐπαύσατο ἡ ... ἀρετὴ F; ἐπαύσαντο ἡ ... ἀρετὴ vulg.; ἔπαυσεν ἡ ... ἀρετὴ K; οὕτως ἔπεισε τοὺς Ἀθηναίους τῆς παραλόγου παύσασθαι ὁρμῆς H: cf. 3, 12 ‖ [ὥστε] ante μὴ add. Rehdantz p. 101; [τῷ] K, sed W confert Thucyd. 1, 49. 5, 25 ‖ 22 αὐτῶν vulg.; αὑτῶν F.

Ἰφικράτης προδοσίας δίκην ἔφευγεν, Ἀριστοφῶν 29 854
καὶ Χάρης ἐδίωκον· αἰτία δὲ ἦν, ὅτι ἄρα περὶ Ἔμβατα δυνάμενος ἑλεῖν τοὺς πολεμίους οὐ διεναυμάχησεν. ὁρῶν τὸ δικαστήριον ὑποφερόμενον εἰς τοὐναντίον, τοῦ λόγου παυσάμενος παρέφηνέ πως τὸ ξίφος τοῖς δικασταῖς· οἱ δὲ καταδείσαντες, μὴ τὴν ἑταιρίαν ὅλην ἐξοπλίσας κυκλώσειε τὸ δικαστήριον, ἄφεσιν αὐτῷ πάντες ἐψηφίσαντο. μετὰ τὴν νίκην φήσαντός τινος, ὡς παρεκρούσατο τοὺς δικαστὰς ‘εὐήθης ἂν εἴην’, ἔφη, ‘ὑπὲρ Ἀθηναίων μὲν στρατηγῶν, ὑπὲρ ἐμαυτοῦ δὲ πρὸς Ἀθηναίους μηκέτι.’

Ἰφικράτης ἐν ἀπορίᾳ χρημάτων ἔπεισεν Ἀθηναίους 30 878
τὰ ὑπερέχοντα τῶν οἰκοδομημάτων ἐς τὰς δημοσίας ὁδοὺς ἀποκόπτειν ἢ πιπράσκειν, ὥστε οἱ δεσπόται τῶν οἰκιῶν πολλὰ εἰσήνεγκαν χρήματα ὑπὲρ τοῦ μὴ περικοπῆναι καὶ σαθρὰ γενέσθαι τὰ οἰκοδομήματα.

14, 13 Ἰφικράτης μετὰ μὲν τὴν μάχην ἀπὸ τῶν ληφθέν- 31
των ἄξια τῶν πόνων διένειμεν ἑκάστῳ. εἰ δὲ ξένια παρὰ πόλεων ἐκομίσθη, καὶ ἀπὸ τούτων διέπεμπεν ἑκάστῳ, οὐ κατὰ ἕνα μόνον, ἀλλὰ καὶ κατὰ ἔθνη καὶ κατὰ λόχους καὶ κατὰ τὰς ὁπλίσεις, ἱππεῦσιν ἄλλα, ὁπλίταις ἄλλα, ψιλοῖς ἕτερα. πρὸ τῆς μάχης σιγὴν κηρύξας ἐπηγγέλλετο τῷ ἀριστεύσαντι ἐν τοῖς ὁπλίταις

---

Cap. 9. § 29. Cf. Schaefer, Demosth. I[1], p. 149 sq. et not. 1.
Cap. 9. § 30. Cf. Aristot. oecon. 2, 5.

---

2 Ἔμβατον K coll. Thucyd. 3, 29 ‖ 6 ἑταίραν F ‖ 8 φήσαντος Cas. RK; ψιθυρίσαντος m; ψηφίσαντος F ‖ 13 δημοσίους vulg. ‖ 14 ἢ] Rehdantz p. 72 mavult καὶ ‖ 17 λειφθέντων F ‖ 18 διένειμεν F] διένεμεν M ‖ 22 πρὸ [δὲ] τῆς K ‖ 23 ἐπηγγέλλετο τῷ vulg.; ἐπηγγελέτω τῷ FH; ἐπήγγελε τῷ M; ἐπηγγέλλετο Roth ‖ ἀριστεύσοντι H.

*ἆθλον καὶ τὸ πάλιν ἐν τοῖς ἱππεῦσιν ἢ ἐν τοῖς πελτασταῖς καὶ ἐφεξῆς ἐν ἁπάσαις ταῖς τάξεσιν. ἔν γε μὴν ταῖς ἑορταῖς καὶ πανηγύρεσιν, ὅσοι ἀνδρειότεροι τῶν ἄλλων, προετίμα προεδρίαις. ταῦτα πάντα ἐστρατήγει προθυμοτέρους ποιῶν τοὺς στρατιώτας ἐς τοὺς κινδύνους.*

32 *Ἰφικράτης ποικίλως ἐγύμναζε τοὺς στρατιώτας* e. 3, 2
*μηχανώμενος ψευδοβοηθείας, ψευδενέδρας, ψευδοπροδοσίας, ψευδαυτομολίας, ψευδεφόδους, ψευδοπανικά, ἵνα εἴ ποτε καὶ τοιοῦτόν τι γένοιτο, μηδαμῶς ἐκπλήσσοιντο.*

s 33 *Ἰφικράτης περὶ τὸ Ἱερὸν ὄρος, ἀντικαθημένων αὐτῷ πολεμίων καὶ ἀπεχόντων στάδια πέντε καὶ κατεχόντων ὑψηλότατον τόπον παρὰ τὴν θάλατταν, καὶ τῆς πορείας τῆς ἐπ' αὐτοὺς ἐφ' ἕνα οὔσης — τὸ δὲ λοιπὸν χωρίον ἀπόκρημνον ἦν εἰς τὴν θάλατταν — ἐπιλεξάμενος ἄνδρας εὐρώστους, νύκτα παραφυλάξας ἀνηνεμίαν, ἀλειψάμενος λίπα, σὺν τοῖς ἀναγκαίοις ὅπλοις διὰ τῆς θαλάττης περιιών, ὅσα γε μὴν βαθύτερα παρανηχόμενος, παρελθὼν τοὺς φύλακας, ἐκβάς, ὄπισθεν αὐτῶν γενόμενος ἀπέκτεινε πάντας, καὶ τὸ*

---

Cap. 9. § 33. Cf. Front. strat. 1, 4, 7.

---

1 *ἆθλον μεγαλοπρεπὲς* H ‖ *τὸ* F] *τῷ* C; *αὖ* vulg. ‖ 5 *ἐς τοὺς κινδύνους* W cum V *ad pericula:* cf. 8, 23, 22 et ad 4, 20 (19); *ἐν τοῖς κινδύνοις* F ‖ 8 *ψευδενέδρας* K; *ψευδοενέδρας* FH ‖ 9 *ψευδ' αὐτολμίας* F ‖ *ψευδεφόδους* F; *ψευδοεφόδους* H ‖ 10 *ἐκπλήττοιντο* H; *ἐκπλήσοιτο* F; *ἐκπλήσσοντο* δ ‖ 12 *ἀντικαθημένων* W; *ἀντικαθιμένων* M; *ἀντικαθισταμένων* F: cf. 1, 49, 4 ‖ 15 *ἐφ' ἑνὸς* Hertlein: cf. 3, 11, 7 et ad 2, 1, 24 ‖ 18 *ἀνηνεμίαν*] *καὶ νηνεμίαν* vulg. ‖ *λεῖπα* F ‖ 19 *περιιὼν* Hertlein cum V *circumiens; περιὼν* F; *παριὼν* vulg.

αὐτοῦ στρατόπεδον ἤγαγεν διὰ τῆς στενῆς ὁδοῦ παρὰ τὸν κρημνὸν καὶ τοῖς πολεμίοις ἔτι νυκτὸς οὔσης ἀφυλάκτοις καὶ μὴ προσδοκῶσιν ἐπιθέμενος τινὰς μὲν διέφθειρε, τινὰς δὲ ἐζώγρησεν.

e. 1 Ἰφικράτης χειμῶνας καὶ κρυμοὺς ὁρῶν καιρὸν 34
6 ἐπιθέσεως προάγειν ἐβούλετο τοὺς στρατιώτας. διὰ γυμνότητα καὶ κρύος οὐ προθυμουμένων αὐτὸς ἐνδὺς ἐσθῆτα φαύλην καὶ τῶν ἄλλων ἀθλιωτέραν παριὼν τὰς σκηνὰς ἕκαστον ἐπιχειρῆσαι τοῖς πολεμίοις παρεκάλει. οἱ δὲ προθύμως ἠκολούθησαν ὁρῶντες τὸν στρατηγὸν ταπεινῶς ἠσθημένον καὶ ἀνυπόδητον ὑπὲρ τῆς κοινῆς σωτηρίας προθυμούμενον.

Ἰφικράτης, εἰ μὲν μὴ ἔχοι διδόναι μισθοφοράν, 35
ἦγε τοὺς στρατιώτας εἰς ἀοίκητα χωρία καὶ ἀκτάς, ἵνα ὡς ἐλάχιστα ἀναλίσκοιεν· εἰ δὲ εὐποροίη χρημάτων, ἦγεν αὐτοὺς ἐς πόλεις καὶ χωρία εὐδαίμονα, ὅπου τάχιστα τὸν μισθὸν ἀναλώσαντες σπουδάζοιέν τι πράττειν διὰ τὴν τοῦ ἀργυρίου ἔνδειαν. οὐ μὴν ἐπέτρεπεν αὐτοὺς οὐδὲ σχολάζειν, ἀλλ' εἰ μὴ πόλεμος ἦν, ἀεί τι προσέταττεν, ἢ ὀρύττειν ἢ ταφρεύειν ἢ δένδρα κόπτειν ἢ μεταβάλλειν ἢ μετασκευάζειν, ὡς ἐν τῇ σχολῇ νεωτερίζειν βουλομένων.

Ἰφικράτης Σάμον κατασύρας εἰς Δῆλον κατέ- 36
πλευσε. Σάμιοι πρέσβεις ἀφίκοντο λυτροῦσθαι βουλόμενοι τὰ ληφθέντα· ὁ δὲ ὁμολογῶν ἀποδώσειν,

---

1 αὐτοῦ F ‖ 3 ἀφυλάκτως F ‖ 6 διὰ F] [τῶν δὲ] διὰ R; διὰ [δὲ] K ‖ 11 ἠσθενημένον καὶ ἀνυπόδυτον F ‖ 13 διδόναι F] om. vulg.; cf. 3, 10, 9. 11 ‖ 14 ἀοίκητα F] ἀνοίκητα vulgo; ἀνίκητα M ‖ 15 ὡς om. vulg. ‖ 16 ἐς] ἐπὶ M ‖ 17 ὅπως Hertlein ‖ 18 καὶ διὰ M ‖ 19 αὐτοῖς K: cf. ad 8, 34 ‖ 24 Σάμιοι πρέσβεις scripsi; Σάμιοι πρεσβειας F; Σάμιοι ἐς πρεσβείας vulg.; Σαμίων πρέσβεις K ‖ ἀφείκοντο F.

κρύφα ὑπηρετικὸν ἐκπέμψας, ὡς ἐξ Ἀθηνῶν ἐκέλευσε καταπλεῖν, κομίζον ἐπιστολὴν πεπλασμένην, ὡς Ἀθηναίων αὐτὸν ἐπανήκειν κελευόντων. ὁ δὲ πρὸς τοὺς Σαμίους διαλυσάμενος φιλανθρώπως τοῖς τριηράρχοις ἀναγωγὴν παραγγείλας, ἀποπλεύσας εἰς ἐρήμην νῆσον ὡρμίσατο νυκτὸς καὶ ἡμέρας. οἱ Σάμιοι, πυθόμενοι ὡς ἀπέπλευσεν Ἰφικράτης φιλανθρώπως αὐτοῖς χρησάμενος, κατά τε τὴν πόλιν ἀδεῶς διέτριβον καὶ ἐς τὴν χώραν ἀδεῶς ἐξῄεσαν· ὁ δὲ διεσκεδασμένων πάλιν ἐπιπλεύσας ἐς τὴν Σάμον πολλῷ πλείονα λείαν τῆς προτέρας ἥρπασε. τοῦτο καὶ ὁ Φορμίων πρότερος ἐποίησε Χαλκιδεῦσιν.

369? 37 Ἰφικράτης Λακεδαιμονίους καὶ Θηβαίους πολεμοῦντας ἐπεχείρει διαλλάσσειν· οἱ σύμμαχοι Θηβαίων Ἀργεῖοι καὶ Ἀρκάδες ἀντέπρασσον. ὁ δὲ τῶν στρατιωτῶν ἐνίοις προσέταξε λεηλατῆσαι τὴν Ἀργολίδα. τῶν δὲ Ἀργείων ἐγκαλούντων τοὺς φυγάδας αὐτῶν ἔφη αἰτίους εἶναι. προελθὼν δὲ καὶ ὡς τοὺς φυγάδας ἀφελόμενος τὴν λείαν τοῖς Ἀργείοις ἀπέδωκεν· οἱ δὲ ἀπολαβόντες ὡς εὐεργέτῃ καὶ φίλῳ τῷ Ἰφικράτει προσέφευγον καὶ τὴν εἰρήνην αἱρεῖσθαι Θηβαίους ἔπεισαν.

375 38 Ἰφικράτης βασιλεῖ στρατηγῶν μετὰ Φαρναβάζου, πλέων ἐπ' Αἴγυπτον, τῆς χώρας οὔσης ἀλιμένου, παρήγγειλε τοῖς τριηράρχοις ‛τεσσαράκοντα σάκκους ἕκαστος ἐχέτω'. προσορμιζομένων δὲ τοὺς σάκκους

2 κομίζων F ‖ 6 ὡρμήσατο F ‖ 9 ἐξῄεσαν M; διεξῄεσαν F; διεξίεσαν vulgo ‖ 10 λείαν om. M ‖ 14 οἱ δὲ M ‖ 18 ὡς καὶ τοὺς R ‖ 19 ἀφελόμενος K ut 4, 11, 6; ἀνελόμενος F ‖ 26 τὰς σάκκους F.

*ἄμμον πλήσας * * * κεφαλίδας ἐξῆπτεν ἑκάστης νεὼς καὶ οὕτως ἀνείλκυσεν αὐτὰς τεταρσωμένας.*

e. 12, 7 *Ἰφικράτης ἐν Ἐπιδαύρῳ μικρὸν ἄνω θάλασσης* 39 *παρετάσσετο· γενόμενος δὲ κατὰ ἄλσος βαθὺ καὶ σύσκιον ἀνεβόησεν ἐξανίστασθαι τοὺς ἐγκαθημένους. οἱ πολέμιοι φοβηθέντες ἐνέδραν μεγάλην ἀνέστρεψαν καὶ διὰ τάχους εἰς τὰς ναῦς καταφυγόντες ἀνεχώρησαν.*

*Ἰφικράτης ἐν Θεσσαλίᾳ καὶ Ἰάσων ὁ τύραννος* 40 *πλησίον ποταμοῦ σπείσασθαι βουλόμενοι δι' ἀγγέλων ἠρεύνησαν ἀλλήλους καὶ τὰ σώματα ἐγύμνωσαν· καὶ οὕτως ὑπὸ τὴν γέφυραν ἐλθόντες διελέξαντο. ἐπεὶ δὲ καὶ τοὺς ὅρκους διὰ τῶν ἱερείων ἐχρῆν ποιήσασθαι, Ἰφικράτης μὲν δὴ ἐπὶ τὴν γέφυραν ἀνῆλθεν, Ἰάσων δὲ τὸ ἱερεῖον παραλαβών, τοῦ ποιμένος ἀπαλλαγέντος, σφαγιάζειν εἰς τὸν ποταμὸν ἤρχετο. καὶ δὴ τότε Ἰφικράτης καθαλόμενος, τῆς σφαγίδος ἐπιλαβόμενος αὐτὸν μὲν ἀποκτεῖναι ἀπέσχετο, προσομολογῆσαι δὲ ἃ συνέφερεν αὐτῷ κατηνάγκασεν.*

e. 31, 3 *Ἰφικράτης ἐν Θρᾴκῃ προσκαθημένων πολεμίων* 41 *ἐνέπρησε νυκτὸς τὴν μεταξὺ ἀμφοτέρων ὕλην καὶ τὰ σκευοφόρα καὶ πολλὰ τετράποδα καταλιπὼν τοῦ καπνοῦ σκοτεινοτέραν τὴν νύκτα ποιοῦντος ἀνεχώρησεν ἐς τόπον δασὺν καὶ σύσκιον. ἡμέρας δὲ γενομένης, οἱ*

---

Cap. 9. § 41. Cf. Front. strat. 1, 5, 24.

---

1 Lacunam vidit Roth, quam suppleveris [*σχοινίοις προσδήσας*] coll. Leone Tactico 20, 196 *τοῖς σχοινίοις προσδήσας ἀπὸ ἑκάστου δρόμωνος ἐκκρεμάσας* ‖ *ἐξῆπτεν* FVC; *ἐποίει* MD ‖ 2 *ἀνείλκυσεν*] *εἵλκυσεν* M; *καὶ οὕτως τὸν λεγόμενον πελαγολιμένα ποιήσας* Leo Tact. ‖ 12 *καὶ* del. K ‖ 16 *καθαλόμενος* F\ *καθαλλόμενος* vulg. ‖ *σφραγίδος* F ‖ *αὐτὸν* vulg.; *αὐτὸς* F.

Θρᾷκες ἐπὶ τὸ στρατόπεδον ἐλθόντες οὐδένα τῶν Ἑλλήνων εὑρόντες ὥρμησαν ἐπὶ ἁρπαγὴν τῶν τετραπόδων καὶ τῶν σκευοφόρων. Ἰφικράτης δὲ διεσπασμένοις ἐπιφανεὶς ἐκ τοῦ χωρίου συντεταγμένος καὶ τοὺς πολεμίους ἐνίκησε καὶ τὰ σκευοφόρα ἔσωσεν.

42 Ἰφικράτης νύκτωρ ἐπιθέμενος χωρίῳ τοὺς σαλ- e. 15, 4
πιγκτὰς ἐπὶ πολλὰ μέρη διαπέμψας ἐκέλευσε σημαίνειν. οἱ πολέμιοι πρὸς τὸν ἦχον ἄλλος ἄλλῃ διέθεον· ὁ δὲ ἐλαχίστους καταλειφθέντας νικήσας ῥᾳδίως ἐκράτησε τοῦ χωρίου.

11 43 Ἰφικράτους ὄντος ἐν Κορίνθῳ Λακεδαιμόνιοι παρῆλθον πρὸς τὴν πόλιν. ὁ δὲ οὐκ εὐθὺς ἀπεκινδύνευσε τὴν δύναμιν συμβαλών· ἀλλὰ μαθών, ὡς ἔστι τὰ περὶ τὴν πόλιν ὀχυρώτατα χωρία ἔρημα, ταῦτα προκαταλαβὼν τοῖς ἐν τῇ πόλει προὐκήρυξεν ἰέναι πρὸς αὐτόν. ἐξιόντων δὲ πάντων καὶ ἀθροιζομένων οἱ Λακεδαιμόνιοι τὸ πλῆθος φοβηθέντες καὶ τὴν φυλακὴν τῶν ὀχυρῶν τόπων ἀμαχεὶ φεύγοντες ᾤχοντο.

12 44 Ἰφικράτης Ἀβυδηνοῖς πολεμῶν περὶ Χερρόννη- e. 24, 3
σον ὢν χωρίον τι καταλαβὼν ἐτείχιζεν ὡς φοβούμενος Ἀναξίβιον τὸν Λάκωνα. Ἀβυδηνοὶ δὲ ὁρῶντες οἰκοδομοῦντα τὸ τεῖχος κατεφρόνησαν ὡς φοβουμένου καὶ προελθόντες τῆς πόλεως κατὰ τὴν χώραν ἐγένοντο.

Cap. 9. § 44. Cf. Front. strat. 2, 5, 42.

3 δὲ H; om. F ‖ 5 ἀνέσωσεν Patakis ‖ 9 ἐλαχίστους τοὺς vulg. ‖ 12 πρὸς Hertlein; εἰς F ‖ 13 τῇ δυνάμει Hertlein ‖ ὅσα ἐστιν Hertlein ‖ 14 ἔρημα Heringa p. 126; ἠρέμα F ‖ 16 αὐτὸν F ‖ 17 φυλακὴν R et Schneider ad Xenoph. Hellen. 4, 4, 9; φυγὴν F ‖ 18 φοβηθέντες post τόπων in F repetitum delevit W cum Dm ‖ 19 Χηρρόνησον F ‖ 20 ὢν om. vulg. ‖ ἐτείχισεν H ‖ 21 Ἀναξίβιον Hp; Ἀξίβιον F vulg. ‖ 23 προσελθόντες F ‖ ἐγένοντο HM; ἐγίγνοντο F.

Ἰφικράτης ἰδὼν ἀσυντάκτους νυκτὸς μέρος τοῦ στρατεύματος εἰς τὴν Ἀβυδηνῶν διαβιβάσας τοὺς ἀγροὺς αὐτῶν καταδραμὼν ἐκράτησε πολλῶν σωμάτων καὶ χρημάτων.

Ἰφικράτης ἦν ἐν Κορίνθῳ. πυθόμενος ὡς οἱ 45 8
τἀναντία πράττοντες μισθοφόρους ἐκ Λακεδαίμονος νύκτωρ ἐκδέχεσθαι μέλλοιεν, ἀγείρας τοὺς αὐτοῦ στρατιώτας τοὺς μὲν κατέλιπεν ἔνδον φυλάττειν, τοὺς δὲ ἄλλους ἔξω πυλῶν ἀγαγὼν καὶ ἐς τάξιν καταστήσας ἔσπευσεν ἐπ' ἐκείνην τὴν πύλην, ἣν ἤνοιξαν οἱ δεχόμενοι [τοὺς πολεμίους. οἱ μὲν] τοὺς πολεμίους ἐσῆγον· τῶν δ' ἐσχάτων ἐσιόντων, ἐξαίφνης ἐπιστὰς συνηκολούθησεν αὐτοῖς καὶ συνεισέπεσεν ἐς τὴν πόλιν. ἀδήλου δὲ ὄντος τοῦ γεγονότος ὡς ἐν νυκτὶ πολλοὺς μὲν αὐτῶν διέφθειρεν, ἡμέρας δὲ γενομένης πολλοὺς ἐς τὰ ἱερὰ φυγόντας ἐχειρώσατο.

e. 31,4 Ἰφικράτης ἐς Θρᾴκην ἀναβὰς μετὰ στρατιωτῶν 46
ὀκτακισχιλίων ἐστρατοπέδευσεν· πυθόμενος τοὺς Θρᾷκας νύκτωρ ἐπιτίθεσθαι μέλλειν ἀναλαβὼν τοὺς στρατιώτας ἀνεχώρησεν ἑσπέρας, ὅσον στάδια τρία, ἐς φάραγγα κρύψαι δυναμένην. οἱ Θρᾷκες ἐμπεσόντες ἐς τὸ στρατόπεδον ἔρημον διήρπαζον ἀτάκτως καταγελῶντες τῶν Ἑλλήνων ὡς φευγόντων. Ἰφικράτης ἐξ ἀφανοῦς ἐξορμήσας πολλοὺς μὲν αὐτῶν ἀπέκτεινε, πολλοὺς δὲ καὶ αἰχμαλώτους ἔλαβεν.

Ἰφικράτης μέλλων ὁδὸν ἄνυδρον δυσὶν ἡμέραις 47

---

7 αὐτοῦ F || 10 ἔσπευσεν vulg.; ἔπεσεν FM || πύλην ex πόλιν corr. F || 11 [τοὺς πολεμίους. οἱ μὲν] add. Cas. K || 13 συνεισέπεσεν Hertlein, cf. 84, 13; συνέπεσεν F || πύλην Schneider || 19 μέλλοντας H || 23 φυγόντων Patakis || 24 ὁρμήσας C.

πορεύεσθαι παρήγγειλε δειπνοποιησαμένους ὕδατος πληρῶσαι τὰ ἀγγεῖα καὶ ἡλίου δύντος ἤγαγε τὴν δύναμιν διὰ νυκτός. ἡμέρας δὲ γενομένης κατεστρατοπέδευσε καὶ προσέταξε σιτοποιεῖσθαι τῷ ὕδατι χρησαμένους καὶ κοιμηθέντας δι' ἡμέρας δειπνοποιήσασθαι καὶ συσκευασαμένους ὁδεῦσαι διὰ νυκτὸς πάλιν· ὥστε ἀντὶ δύο ἡμερῶν δύο νύκτας ἀναψύχοντες διεξῆλθον, καὶ ἡμέρᾳ μιᾷ καὶ τὸ ὕδωρ αὐτοῖς ἱκανὸν ἐγένετο.

72 48 Ἰφικράτης περὶ Ἐπίδαυρον λείαν ἦγε πολλήν. ὁ c. 19, 2
φρούραρχος τῆς χώρας Λάκων ἐδίωκεν αὐτὸν ἐγγίζοντα ταῖς ναυσίν· οἱ μὲν διώκοντες ἦσαν ἐπὶ λόφου, Ἰφικράτης δὲ πρὸ τῆς λείας τοὺς ὁπλίτας τάξας κούφους καὶ ψιλοὺς κατ' ὀλίγους ἄλλον ἄλλῃ * * καὶ τῷ Λάκωνι προσέβαλε· τοῦ δὲ προσέχοντος τοῖς πολλαχόθεν ἐφορμῶσιν, οἱ τοῦ Ἰφικράτους τὰ ὑπερδέξια χωρία καταλαβόντες κατὰ νώτου τῶν πολεμίων ἐγένοντο καὶ πάντας αὐτοὺς διέφθειραν.

92 49 Ἰφικράτης ἐν Φλιοῦντι διὰ στενῶν τόπων ἐβάδιζε. τῶν πολεμίων ἐπιθεμένων τοῖς τελευταίοις παραγγείλας τοῖς στρατιώταις ἐκ τῶν στενῶν ὅτι τάχος ὑπεξιέναι, αὐτὸς διὰ μέσου ἐπ' οὐρὰν διαδραμὼν καὶ τῶν στρατιωτῶν τοὺς ἀρίστους προσλαβὼν ἀκμάζων

---

1 *δεῖπνον ποιησαμένους* F ‖ 2 *δύντος* F] *δύναντος* M ut 5, 5, 2; Aelian. v. h. 4, 1 *ἡλίου δύντος*; Paus. 2, 11, 7 *μετὰ ἥλιον δύναντα*; *δύνοντος* D ‖ 6 *συσκησαμένους* F ‖ *διὰ νυκτὸς* M; *διὰ τῆς ν.* F: cf. 3, 9, 47. 6, 49 ‖ 7 *ἀναψυχθέντες* R ‖ 8 *ἡμέρᾳ μιᾷ* K; *ἡμέρα μία* F ‖ alt. *καὶ* del. K ‖ 11 *φρούραρχος* H; *φρουρὸς* F ‖ 13 *κώφους* F ‖ ante *κούφους* verbum *ἐπῆγε* vel *ἐφίει* vel tale quid deesse putat R; cf. H *κατ' ὀλίγον ἄλλον ἀλλαχοῦ τῷ Λάκωνι ἀντετάσσετο* ‖ 14 *κατ' ὀλίγους* K ut 2, 1, 22. 3, 7, 1. 5, 2, 11; *κατ' ὀλίγον* FH ‖ *ἀλλαχοῦ* H ‖ 18 *αὐτοὺς* om. H ‖ *διέφθειρεν* F ‖ 22 *μέσον* F.

ἐμπεσὼν τοῖς ἐπικειμένοις ἀτάκτοις πολλοὺς αὐτῶν διέφθειρεν.

Ἰφικράτης ἐς Θράκην ἐμβαλὼν ἐν πεδίῳ κατεστρα- 50
τοπέδευσεν ὑπὸ ὄρους περιεχομένῳ διέξοδον ἔχοντι στενὴν διὰ γεφύρας, ἣν ἔμελλον διαβάντες οἱ Θρᾷκες νύκτωρ ἐπιθέσθαι. ὁ δὲ πυρὰ πολλὰ καύσας ἐν τῷ στρατοπέδῳ πρὸς τὴν ὑπώρειαν ἀναδραμὼν σὺν τοῖς στρατιώταις ἐγγὺς τῆς γεφύρας ἐν τῇ ὕλῃ συγκαθίσας ἡσύχασεν. οἱ μὲν δὴ Θρᾷκες διαβάντες τὴν γέφυραν ὥρμησαν ὡς τὰ πυρὰ τοὺς πολεμίους ἐκεῖ νομίζοντες εὑρήσειν· Ἰφικράτης δὲ τοὺς στρατιώτας ἐκ τῆς ὕλης ἀναλαβὼν τὴν γέφυραν διελθὼν ἀσφαλῶς ἀνεχώρησεν.

Ἰφικράτης ἦρξε τοῦ πλείστου στρατεύματος πεζοῦ 51
καὶ ναυτικοῦ ἐν τῇ δόσει τοῦ μισθοῦ καθ' ἕκαστον μῆνα ὑφαιρῶν τὸ τέταρτον μέρος, ὥσπερ ἐνέχυρον ἑκάστου κατέχων, ἵνα μὴ λίποιεν τὸ στρατόπεδον. οὕτως ἄρα καὶ πολλοὺς εἶχεν ἀεὶ τοὺς στρατευομένους καὶ εὐπόρους, τὸ τέταρτον τοῦ μισθοῦ φυλαττόμενον ἔχοντας.

28, 2 Ἰφικράτης τοῖς Λακεδαιμονίων συμμάχοις ἀντι- 52 398
στρατοπεδεύων νύκτωρ τὴν δύναμιν μετημφίεσε, τοῖς μὲν στρατιώταις περιθεὶς τὴν τῶν οἰκετῶν ἐσθῆτα, τοῖς δὲ οἰκέταις τὴν τῶν στρατιωτῶν. οἱ μὲν δὴ στρατιωτικῶς ἠμφιεσμένοι πόρρω τῶν ὅπλων ἐβάδιζον τὴν τῶν ἐλευθέρων σχολὴν μιμούμενοι· οἱ δὲ οἰκετικῶς

Cap. 9. § 50. Cf. Front. strat. 1, 5, 24 et 2, 12, 4.
Cap. 9. § 52. Cf. Front. strat. 2, 1, 6.

3 ἐν Θράκῃ Oudendorp ad Front. strat. 1, 5, 24 coll. Polyaeno 3, 9, 4 ‖ 9 ἡσύχαζεν K ‖ 10 ως F] ἐς M ‖ 12 διεξελθὼν C ‖ 13 τοῦ del. K ‖ 21 μετημφίεσεν F] μετημφίασε H vulg. ut 1, 27, 2 et 8, 61 sed infra v. ἠμφιεσμένοι.

*κατεσκευασμένοι πλησίον τῶν ὅπλων ἦσαν ὅσα εἰκὸς διακονούμενοι. ταῦτα ὁρῶντες οἱ πολέμιοι, κατὰ ζῆλον τῶν ἐναντίων οἱ μὲν στρατιῶται ῥαθύμως ἔξω τοῦ στρατοπέδου βαδίζοντες ἐσχόλαζον, οἱ δὲ οἰκέται ταῖς ἀναγκαίαις ὑπηρεσίαις παρέμενον. ἐνταῦθα δὴ σημεῖον αἴρεται· οἱ δὲ Ἰφικράτειοι τὰ ὅπλα ταχέως ἀναλαβόντες, ἐπὶ τὸ στρατόπεδον τῶν ἐναντίων ἐλθόντες, τῶν μὲν οἰκετῶν τῶν ἐν τῇ διακονίᾳ φυγόντων, τῶν δὲ στρατιωτῶν ἀόπλων καταληφθέντων, τοὺς μὲν ἀπέκτειναν, τοὺς δὲ αἰχμαλώτους ἤγαγον.*

53 *Ἰφικράτης, ἀντιστρατοπεδευόντων τῶν πολεμίων καὶ κατὰ τὴν [αὐτὴν] ὥραν διὰ παντὸς ἀριστοποιουμένων, προσέταξε τοῖς αὑτοῦ στρατιώταις πρὸ τῆς ἕω προσενέγκασθαι τὸ ἄριστον. τοῦτο πράξας συνέβαλε τοῖς ἐναντίοις καὶ τὸν ἀκροβολισμὸν ἄχρι δείλης παρέτεινεν. ἐπεὶ δὲ ἀλλήλων ἐχωρίσθησαν, οἱ μὲν πολέμιοι πρὸς τὸ δεῖπνον ὥρμησαν· ὁ δὲ προηριστηκότας ἔχων τοὺς στρατιώτας προσπεσὼν δειπνοποιουμένοις οὐκ ὀλίγον ὄλεθρον αὐτῶν εἰργάσατο.*

3/92 54 *Ἰφικράτης περὶ Φλιοῦντα ὡδοιπόρει τῆς φάλαγγος διὰ τὰς δυσχωρίας μακρᾶς ἐκτεταμένης· οἱ πολέμιοι κατὰ τὴν οὐραγίαν ἐπικείμενοι πολλοὺς ἐτίτρωσκον καὶ πολλὰ ἥρπαζον. ὁ δὲ μετὰ τῶν παρὰ πλευρὰν ἀνδρῶν ἐπιστρέψας τῇ μὲν φάλαγγι παρήγγειλε θᾶττον*

---

Cap. 9. § 53. Cf. Front. strat. 2, 1, 5.
Cap. 9. § 54. Cf. Front. strat. 1, 6, 3.

---

1 *κατασκευασάμενοι* F ‖ 6 *αἱρεῖται* F ‖ *Ἰφικράτειοι* censor Ienensis; *Ἰφικρατιοι* F: cf. ad 2, 2, 9 ‖ 8 *οἰκετικῶν* F ‖ 9 *καταληφθέντων* M; *καταλειφθέντων* F ‖ 12 [*αὐτὴν*] K; *κατά τιν' ὥραν* Roth; *κατὰ τὴν ὥραν* F ‖ 13 *αὐτοῦ* F.

προχωρεῖν· τῶν δὲ ἀπὸ τῆς δεξιᾶς καὶ ἀπὸ τῆς εὐωνύμου πλευρᾶς ἀνδρῶν ἐπιλέγων τοὺς ἡγεμόνας καὶ τοὺς ἀρίστους μετ' αὐτοὺς συνέταττεν. τῆς δὲ οὐραγίας ἐγγὺς γενόμενος, προσπεσὼν τοῖς πολεμίοις κεκμηκόσιν ἐν τῇ διώξει καὶ τεταραγμένοις ἐν τῇ τῶν σκευοφόρων ἁρπαγῇ πολλοὺς μὲν αὐτῶν διέφθειρεν, πολλῷ δὲ πλείονας αἰχμαλώτους ἤγαγεν.

Ἰφικράτης ἐν Κερκύρᾳ Κρινίππου προσπλέοντος 55 87
ἐκ Σικελίας ἕνδεκα πληρώμασι τῶν πυρσωρῶν ἀγγειλάντων ὑφορμεῖν αὐτὸν νήσῳ τινὶ τῶν ἐρήμων, προστάξας πυρσὸν ἀνάπτειν φίλιον νύκτωρ ἐπιπλεύσας ἐκράτησε τῶν δέκα πληρωμάτων ἑνὸς ἐκφυγόντος.

Ἰφικράτης ἐν Ἄκῃ πυθόμενος δύο τῶν ἡγεμόνων 56 87
προδιδόναι καλέσας τοὺς ἀρίστους τῶν ἐπὶ τοῦ στρατοπέδου προσέταξεν, ὁπόταν τοὺς ἐναιτίους τῆς προδοσίας μεταπεμψάμενος ἐξετάζῃ τὸ πρᾶγμα, προλαβεῖν αὐτοὺς τὰ τούτων ὅπλα καὶ τὰ τῶν ὑπ' αὐτοῖς τεταγμένων λόχων. οἱ μὲν προλαβόντες κατέσχον τὰς πανοπλίας. Ἰφικράτης δὲ τὴν προδοσίαν ἐλέγξας τοὺς μὲν ἡγεμόνας ἐκόλασε θανάτῳ, τοὺς δὲ στρατιώτας γυμνοὺς ἐξήλασε τοῦ στρατοπέδου.

---

Cap. 9. § 55. Cf. Xenoph. Hellen. 6, 2, 33 sq. et Diod. 15, 47. — Schaefer, Demosth. I[1], p. 59 et not. 3.

---

1 ἀπὸ τῶν εὐωνύμων $F_1$, εὐωνύμου corr. $F_2$ ‖ 3 μετ' αὐτοῦ Cm; μετ' αὐτῶν R: cf. supra 3, 9, 49; Leo Tact. 20, 23 ὄπισθεν ἐν τῇ οὐραγίᾳ ἔτασσε; Front. 1, 6, 3 *retinuit* ‖ 4 γενομένης F ‖ 6 πολλοὺς δὲ F ‖ 8 προπλέοντος F ‖ 9 πυρσωρῶν Schneider ad Xenoph. Hellen. 6, 2, 33; πυρσούρων F ‖ 10 ὑφορμὴν F ‖ νήσῳ $F_2$; εἴσω $F_1$ ‖ 11 φίλιον] ἐφ' ἴλιον F ‖ 13 Ἄκῃ F] Νάκῃ MD; Θράκῃ coni. Maasv., sed cf. Diod. 15, 41 ‖ 15 ἐναιτίους W; ἐναντίους F; αἰτίους vulg.; ὑπαιτίους Gutschmid ‖ 16 παραλαβεῖν R ‖ 17 τὰ del. Roth, aut mox καὶ τὰ τῶν; καὶ τῶν F ‖ 18 παραλαβόντες R.

57 Ἰφικράτης δισχιλίων μισθοφόρων πρὸς τοὺς Λάκωνας αὐτομολησάντων ἀπόρρητα γράμματα ἔπεμψε πρὸς τοὺς ἡγεμόνας τῶν ἀποστάντων παρακαλῶν μεμνῆσθαι τοῦ συγκειμένου καιροῦ, καθ' ὃν καὶ τὴν ἐξ Ἀθηνῶν συμμαχίαν προσδέχοιτο εἰδὼς τὴν ἐπιστολὴν ἐμπεσουμένην τοῖς φύλαξι τῶν ὁδῶν. ἐπεὶ δὲ οἱ φύλακες ἐκόμισαν τὰ γράμματα τοῖς Λακεδαιμονίοις, οἱ μὲν ὥρμησαν συλλαμβάνειν τοὺς αὐτομόλους· οἱ δὲ ἀγαπητῶς ἐξέφυγον Ἀθηναίοις μὲν ἄπιστοι γενόμενοι, Λακεδαιμονίοις δὲ δόξαντες. e. 44, 1

10/89 58 Ἰφικράτης ἐν Χίῳ τοὺς Λακωνίζοντας ἐλέγξαι βουλόμενος ἐνίους τῶν τριηράρχων ἐκέλευσε νυκτὸς ἐκπλεύσαντας μεθ' ἡμέραν ἐπιπλεῦσαι κόσμῳ Λακωνικῷ. οἱ μὲν Λακωνίζοντες ὡς εἶδον, μετὰ πολλῆς χαρᾶς ἐπὶ τὸν λιμένα κατέδραμον· ὁ δὲ κυκλωσάμενος αὐτοὺς (καὶ) τοῖς ἀπὸ τῆς πόλεως προσελθοῦσι συνέλαβέ τε καὶ κολασθησομένους Ἀθηναίοις ἔπεμψεν. e. 40, 2

59 Ἰφικράτης ἐν ἀπορίᾳ χρημάτων τῶν στρατιωτῶν θορυβούντων καὶ κοινὴν ἐκκλησίαν αἰτουμένων ἄνδρας ἐμπείρους τῆς Περσίδος γλώττης στολὰς Περσικὰς ἐνδυσαμένους προσέταξε πληθούσης τῆς ἐκκλησίας ἐπιφανῆναι καὶ παρελθόντας ἀγγέλλειν βαρβαριστὶ ʻπλησίον οἱ τὰ χρήματα κομίζοντες, ἡμεῖς δὲ προεπέμφθημεν τοῦτο σημανοῦντες'. ταῦτα μηνύσαντες, οἱ στρατιῶται διέλυσαν τὴν ἐκκλησίαν.

---

Cap. 9. § 58. Cf. Front. strat. 4, 7, 23.

---

4 *καθ' ἣν* F ‖ 5 *Ἀθηναίων* H ‖ *προσδέχοιντο* H ‖ 12 *τριηράρχων* K, cf. ad 3, 9, 21 et 6, 9, 3; *τριηραρχῶν* FH ‖ 14 *οἱ μὲν οὖν* H ‖ 16 *καὶ τοῖς ... προσελθοῦσι* F] *καὶ τοῖς ... προελθοῦσι* P; *καὶ τοὺς ... προσελθόντας* H vulg.; *καὶ* om. V ‖ 21 *ἐνδυσαμένους* R et Patakis; *ἐνδύσασθαι* F ‖ *τε τῆς* K ‖ 22 *ἀγγέλλειν* F ‖ 24 *μηνυσάντων* Patakis, Hertlein: cf. 2, 3, 13.

3. 37, 4 Ἰφικράτης ἐκ τῆς Ὀδρυσιάδος λείαν πολλὴν περιήλασεν· ἐδίωκον οἱ Ὀδρύσαι πλήθει πολλῷ. ὁ δὲ ἱππεῖς ἔχων ὀλίγους ἔδωκεν αὐτοῖς καιομένας λαμπάδας καὶ προσελαύνειν ἐκέλευσε τοῖς ἐναντίοις. οἱ δ' ἵπποι τῶν Ὀδρυσῶν τῆς φλογὸς τὴν ὄψιν ἀσυνήθη μὴ φέροντες ἀναστρέψαντες ἔφυγον. 60

Ἰφικράτης ἐπιὼν πόλει τὸν ἀπὸ τῆς χώρας ποταμὸν, [ὃν] διὰ μέσης τῆς πόλεως ῥέοντα διαβῆναι ἀναγκαῖον ἦν, ἑσπέρας διέβη μετὰ τοῦ στρατεύματος, ἵνα τὸ ἐκ τῆς διαβάσεως τοῦ πλήθους θολερὸν διὰ νυκτὸς παροδεῦσαν λάθῃ τοὺς ἐν τῇ πόλει. καὶ δὴ λαθὼν μεθ' ἡμέραν ἐπέθετο μὴ προσδοκῶσιν. 61

54, 23 Ἰφικράτης ἐν Θρᾴκῃ πολλοὺς ἔλαβεν αἰχμαλώτους Ὀδρυσῶν. οἱ μὲν δὴ σφοδρῶς ἐπέκειντο βάλλοντες καὶ ἀκοντίζοντες· ὁ δὲ τοῖς πρωτοστάταις ἑκάστῳ αἰχμάλωτον γυμνὸν παρέστησεν, ἐξ ἱμάντος ὀπίσω τῶν χειρῶν δεδεμένων. οἱ δὲ Ὀδρύσαι τοὺς οἰκείους μὴ βουλόμενοι τιτρώσκειν τοῦ βάλλειν καὶ ἀκοντίζειν ἀπείχοντο. 62

Ἰφικράτης περὶ Φοινίκην καταπλέων ἑκατὸν τριακοντόροις, ἔνθα τεναγώδης αἰγιαλὸς ἦν, ἰδὼν τοὺς Φοίνικας παρὰ τὴν ἠϊόνα συνθέοντας παρήγγειλεν, ὅταν τὸ σημεῖον ἀναδειχθῇ, τοῖς μὲν κυβερνήταις ἄγκυραν ἀφιέναι κατὰ πρύμναν καὶ τὴν καταγωγὴν ἐν τάξει ποιεῖσθαι, τοῖς δὲ στρατιώταις ὁπλισαμένους 63

2 Ὀδρύσαι C, Dindorf; Ὀδρυσαῖοι F ‖ 6 ἔφυγον CK; ἔφευγον F ‖ 8 [ὃν] inser. R Hertlein ‖ 9 ἦν F] ὃν K ‖ 15 ἑκάστῳ Patakis, Hertlein coll. V; ἕκαστον F; ἕκαστος vulg. ‖ 17 δεδεμένων F; δεδεμένον p; τὼ χεῖρε δεδεμένον K ut 2, 15 ‖ Ὀδρύσαι C, Dindorf; Ὀδρυσαῖοι F ‖ 24 ἀφιέναι Roth; ἀφεῖναι F ‖ 25 ὁπλισαμένους Hertlein; ὡπλισαμένοις F; ὁπλισαμένοις vulg.

ἕκαστον κατὰ τὴν αὑτοῦ κώπην εἰς τὴν θάλασσαν αὐτὸν καθιέναι καὶ τὴν αὑτοῦ τάξιν διαφυλάττειν· ὡς δὲ ἤδη σύμμετρον ὑπέλαβεν εἶναι τὸ τῆς θαλάσσης βάθος, ἀνέτεινε τὸ σημεῖον τῆς ἐκβάσεως. αἱ τριακόντοροι μὲν ἐν τάξει κατήγοντο διὰ τῶν ἀγκυρῶν, οἱ δὲ ἄνδρες ἐν τάξει προβαλλόμενοι προῆγον. οἱ δὲ πολέμιοι καταπλαγέντες τὴν τάξιν αὐτῶν καὶ τὴν τόλμαν ἔφευγον. οἱ δὲ Ἰφικράτειοί τινας μὲν διώξαντες ἀπέκτειναν, τινὰς δὲ ἐζώγρησαν καὶ λείαν πολλὴν περιελάσαντες καὶ ταύτην ἐς τὰς ναῦς ἐμβαλόμενοι στρατόπεδον ἐπὶ τῆς γῆς κατεστήσαντο.

## 10. ΤΙΜΟΘΕΟΣ.

364 1 Ἐν Ἀττικῷ στρατοπέδῳ σπάνις ἦν νομίσματος. Τιμόθεος ἔπεισε τοὺς ἐμπόρους χρῆσθαι νομίσματι τῇ ἑαυτοῦ σφραγίδι, ἀπαλλασσομένους δὲ [ἀποδιδόναι] τὴν σφραγίδα καὶ τὸ ἀργύριον λαμβάνειν. ἐπίστευσαν οἱ ἔμποροι καὶ τὴν ἀγορὰν τοῖς στρατιώταις παρέσχον ἐπὶ τῇ σφραγίδι τοῦ στρατηγοῦ. ἀπαλλασσομένοις αὐτοῖς ἐν τῷ τέως εὐπορήσας χρημάτων Τιμόθεος τὴν τιμὴν διέλυσε τὴν ὡμολογημένην.

---

Cap. 10. Cf. Rehdantz, vitae Iphicratis, Chabriae, Timothei Atheniensium, Berol. 1844; J. p. 573—576.

Cap. 10. § 1. Cf. Aristot. oecon. 2, 24. — Boeckh, Staatshaush. d. Ath. I², p. 365 et 692.

---

1 ἕκαστος F ‖ αὐτοῦ F ‖ 2 αὐτὸν et αὐτοῦ F ‖ καθεῖναι K ‖ 5 τριακοντα τόροι $F_1$ ‖ 8 Ἰφικράτιοι F: cf. ad 2, 2, 9 ‖ 13 Τιμόθεος ἐν etc. FV ‖ 15 ἀπαλλασσομένους F, quod defendunt Rehdantz et Blume. Cum vero ex usu Polyaeni nihil significet nisi discedere, id quod et sequentia declarant, R, Patakis, Hertlein rectius inserunt [ἀποδιδόναι]; ἀλλασσομένους K ‖ 16 καὶ *del. K* ‖ 20 ὡμολογημένην F] ὁμολογουμένην vulg.

2 375 *Τιμόθεος ἀνήγετο τῷ στόλῳ παντί. πταρμὸς ἐγένετο· ὁ κυβερνήτης ἐπισχεῖν ἐκέλευσεν· οἱ ναῦται τῶν τριήρων ἐπιβαίνειν οὐκ ἐθάρρουν. Τιμόθεος μειδιάσας ‘ποῖον γάρ’, ἔφη, ‘γέγονεν οἰώνισμα, εἰ τοσούτων περιεστηκότων εἷς ἔπταρεν;’ οἱ ναῦται γελάσαντες ἀνήχθησαν.*

13,5 3 *Τιμόθεος παράγγελμα ἔδωκεν ἐκβοηθῆσαι τὴν ταχίστην· ὀλίγοι στρατιῶται προῆλθον· ὁ λοχαγὸς ἠγόρευε, χρῆναι καὶ τοὺς λοιποὺς ἀναμεῖναι. ὁ Τιμόθεος οὐκ ἀνέμενεν ὡς τοὺς μέλλοντας προθύμως μαχεῖσθαι τοῖς πολεμίοις ἔχων ἅπαντας, τοὺς δὲ βραδέως ἐξιόντας ἀχρήστους ἂν γενέσθαι καὶ παρόντας.*

4,14 4 375 *Ἀθηναῖοι καὶ Λακεδαιμόνιοι περὶ Λευκάδα ἐναυμάχουν Τιμοθέου στρατηγοῦντος Ἀθηναίων, Νικολόχου ναυαρχοῦντος Λακεδαιμονίων. ἦν ἑορτὴ Σκίρα. Τιμόθεος κατὰ ταύτην τὴν ἡμέραν μυρσίνῃ στεφανώσας τὰς τριήρεις ἦρε τὸ σημεῖον· ἀναχθείς, ναυμαχήσας ἐνίκησεν· οἱ δὲ στρατιῶται μετὰ ἐλπίδος ἀγαθῆς ἠγωνίσαντο [τὸ] θεῖον ἔχειν οἰόμενοι σύμμαχον.*

---

Cap. 10. § 2. Cf. Front. strat. 1, 12, 11.

---

9 *ἠγόρευσε* K ‖ 10 *ἀνέμεινεν* C ‖ 14 *Νικολόχου* Blume coll. 3, 10, 12 et Xenoph. Hellen. 5, 1, 6 et 5, 4, 65; *Νικομάχου* F ‖ 15 *ναυαρχοῦντος* K et Schneider ad Xenoph. Hellen. 5, 4, 65; *ναυμαχοῦντος* F ‖ *ἑορτὴ σκίρρα* M; *ἑορτῆς κεῖρα* F; *ἑορτῆς κειρὸς* D; ceterum cf. Schaefer, Demosth. I[1], p. 43, not. 5, qui cum Sievers et Rehdantz hunc festum eundem fuisse putat qui *Σκιροφόρια* dici solebat coll. schol. Aristoph. eccles. 18 et Harpocr. s. v. *σκίρον* ‖ 16 *μυρρίνῃ* H; *μυθρίνην* F; *μυρσίνην* D ‖ 17 *ἀναχθεὶς* M; *ἀχθεὶς* F ‖ 18 *οἱ γὰρ* K ‖ 19 [*τὸ*] Hertlein, cf. H *ὡς ἐν ταύτῃ τῇ ἡμέρᾳ τὸ θεῖον ἕξουσι σύμμαχον*: *τὴν θεὸν* R.

365 5 Τιμόθεος πόλιν περιστρατοπεδεύσας ἀφώριζε τὸν c. 4, 8
τόπον τοῖς στρατιώταις, ὅθεν δὴ προνομεύσουσι· τὸ δὲ λοιπὸν μέρος τῆς χώρας καὶ ὅσον ἦν ὄφελος αὐτῆς ἀπεδίδοτο. οὐκ ἐπέτρεπε δὲ οὔτε οἰκίαν οὔτε ἔπαυλιν καθαιρεῖν, οὐ μὴν οὐδὲ ἥμερον δένδρον ἐκκόπτειν, ἀλλ' αὐτοὺς τοὺς καρποὺς λαμβάνειν. καὶ τάδε οι στρατηγοῦντι περιῆν· εἰ μὲν κρατοίη, πλείους φόρους ἐκλέγειν, εἰ δὲ ὁ πόλεμος μηκύνοιτο, τροφὰς ἀφθόνους καὶ καταγωγὰς ἔχειν. τὸ δὲ τούτων μεῖζον, πολλὴν τὴν εὔνοιαν παρὰ τῶν πολεμίων ἐθήρευεν.

375 6 Τιμόθεος ναυμαχεῖν Λακεδαιμονίοις μέλλων αὐτὸς c. 57, 5
μὲν εἴκοσι τριήρων τὰ πληρώματα παρὰ πρύμναν ἔχων ἀνέπαυσε, τὰς δὲ ταχυναυτούσας εἴκοσι προσέταξε τοῖς τριηράρχοις ἀντιπαρεξάγειν ταῖς πολεμίαις ναυσὶ καὶ πυκνὰς ποιεῖσθαι [τὰς] κινήσεις καὶ τροπάς. οἱ μὲν δὴ πολέμιοι πονέσαντες εἰρεσίᾳ ἀσθενῶς τὰς κώπας ἀνέφερον· Τιμόθεος δὲ ἀκμαίοις πληρώμασιν ἐπαναχθεὶς ναυμαχῶν ἐνίκησεν.

364 7 Τιμόθεος τὴν Ὀλυνθίαν βουλόμενος παρελθεῖν δεδοικὼς τὸ ἱππικὸν τῶν Ὀλυνθίων ἔταξε τὸ στρατόπεδον εἰς ἑτερόμηκες πλινθίον τὰ μὲν σκευοφόρα καὶ

---

Cap. 10. § 5. Cf. Aristot. oecon. 2, 24. — Schaefer, Demosth. I$^1$, p. 87 et Boeckh, Staatsh. d. Athen. I$^2$, p. 365.

Cap. 10. § 6. Cf. Front. strat. 2, 5, 47. — De pugna navali ad Alyziam facta, ad quam pertinent huius capitis §§ 2, 4, 6, 12, 13, 16, 17 cf. Schaefer, Demosth. I$^1$, p. 43 et p. 44, not. 1.

---

1 τὸν τόπον F] τόπον H || 7 εἰ μὲν κρατοίη m; οἱ μὲν κρατοῦντες F; εἰ μὲν περιγένηται H || 12 κ' τριήρων F, unde ἐκ τρ. vulg. || 15 [τὰς] W coll. 1, 42, 2. 2, 2, 6. 2, 3, 14 || 17 ἀκμαίοις K; ἀκμαῖος F; ἀκμαίοις [τοῖς] R || 19 Ὀλυνθίαν Mp, Darm. marg.; Ὀλυμπίαν F || 21 εἰς om. F.

τὴν ἵππον εἰς τὸ μέσον λαβών, τὰς δὲ ἁμάξας πυκνὰς ἄγων καὶ συνηρτημένας, τοὺς δὲ ὁπλίτας τούτων ἔξωθεν περιβαλών, ὥστε τοῖς Ὀλυνθίοις ἱππεῦσιν ἀδύνατος ἦν ἡ ἱππασία.

8 364 Τιμόθεος περὶ Ἀμφίπολιν ἐστρατοπέδευεν. ἤγγειλέ τις ἑσπέρας ἀθροίζεσθαι τοὺς πολεμίους ἐπ' αὐτόν, καὶ ὡς πολλαπλάσιοι τὸ πλῆθος ὄντες τῆς ὑστεραίας ἐπιθήσοιντο. ὁ δὲ τοῖς μὲν στρατιώταις οὐ προεῖπε τῶν πολεμίων τὸ πλῆθος, ἵνα μὴ καταπλαγεῖεν· αὐτὸς δὲ ὡς ἐπιθησόμενος αὐτοῖς ὀλίγοις οὖσι καὶ ἀτάκτοις τὸ μὲν ἀχρεῖον τοῦ πλήθους προέπεμπε διὰ τῶν δυσπόρων, ἧπερ ἥκιστα οἱ πολέμιοι παραφυλάξειν ἔμελλον. αὐτὸς δὲ τὴν φάλαγγα ἐκίνησε τοὺς ψιλοὺς τελευταίους ἐπιτάξας, τὰς δὲ τριήρεις ἐν τῷ Στρυμόνι ποταμῷ πληρῶσαι οὐ δυνηθεὶς ἐνέπρησεν· καὶ ταῦτα πάντα μιᾷ νυκτὶ πράξας ἀσφαλῶς ἀνεχώρησεν.

9 365 Τιμόθεος ἐπολιόρκει Σάμον ξενολογήσας στρατιώτας ἑπτακισχιλίους· οἷς οὐκ ἔχων δοῦναι μισθόν, ἔγκαρπον ὁρῶν τὴν νῆσον, ἐξελὼν χωρίον ἐς προνομήν, τῶν ἄλλων καρποὺς ἀποδόμενος, ἀσφάλειαν τοῖς καρπολόγοις παρασχών, εὐπορήσας χρημάτων ἀπὸ τούτων, μέρος τῶν μισθῶν διανείμας, προθυμοτέροις χρησάμενος τοῖς στρατιώταις κατὰ κράτος εἷλε τὴν Σαμίων πόλιν.

10 3 Τιμόθεος πολιορκῶν Σάμον, ἐπεὶ πολλοὶ ξένοι

Cap. 10. § 8. Tempus concluditur ex schol. Aeschin. 2, 31.
Cap. 10. § 9. Cf. Aristot. oecon. 2, 24
Cap. 10. § 10. Cf. Aristot. oecon. 2, 24.

5 ἐστρατοπέδευσε M: cf. 2, 2, 2 ‖ 11 προύπεμψε K ‖ 14 Στρύμωνι F ‖ 20 καρπῶν F ‖ ἀποδιδόμενος vulg. ‖ 21 εὐπόρησε χρημάτων. ἀπὸ τούτων R.

εἰσπλέοντες συχνὰ τῶν ἐπιτηδείων ἀνήλισκον καὶ διὰ τοῦτο σπάνις ἦν, παρήγγειλε μὴ πωλεῖν ἄλευρον μηδὲ κοτύλην ἐλαίου ἢ οἴνου, ἀλλὰ σίτου [μὲν] μεδίμνου μὴ ἔλαττον, τῶν δὲ ὑγρῶν μετρητὴν τοὐλάχιστον, τὰς δὲ σιτουργοὺς μύλας μηδένα ἔχειν, ἢ τοὺς ἐν τοῖς λόχοις. οὕτω δὴ συνέβη, τοὺς μὲν ξένους οὐκ ἔχοντας τὴν ἀγορὰν τῶν ἐφ' ἡμέραν ἀναγκαίων, αὐτοῖς κομίζειν, τὴν δὲ παρασκευὴν τῶν σιτίων μόνους ἀναλίσκεσθαι τοὺς στρατιώτας.

11 Τιμόθεος ναῦς ἔχων τεσσαράκοντα βουλόμενος ἀπὸ τούτων πέντε προπέμψαι πλειόνων ἡμερῶν ἐχούσας ἐφόδια, μισθὸν οὐκ ἔχων δοῦναι, παράγγελμα ἔδωκεν, ἀνάγεσθαι τὰς ναῦς ἁπάσας τριῶν σιτία ἐχούσας· ἐπεὶ δὲ νήσῳ τινὶ προσωρμίσαντο, τοῖς τριηράρχοις ἐκέλευσεν ἐξ ἑκάστου πληρώματος αὐτῷ κομίσαι δύο σιτία. ταῦτα ταῖς πέντε ναυσὶ διαδούς, τὰς μὲν ἐξέπεμψεν πλεόνων ἡμερῶν ἐπισίτισμα ἐχούσας, αὐτὸς δὲ μετὰ τῶν τριάκοντα καὶ πέντε νεῶν εἰς τὸν ἴδιον ὅρμον ἐπανῆλθεν.

875 12 Τιμόθεος ναυμαχεῖν μέλλων περὶ Λευκάδα Νι-

Cap. 10. §. 12. Cf. Front. strat. 2, 5, 47.

1 *ἐπιτηδείων* RK: cf. Aristot. *τῶν ἐπιτηδείων ἐπεὶ σπάνις ἦν*; *πολιορκιῶν* F, quod ex praecedente *πολιορκῶν* corruptum esse apparet; *πολιορκητῶν* Ahlwardt ap. Blumium, *παρασκευῶν* Cas.; *πωλουμένων* Blume (cf. Thucyd. 7, 39) ‖ 2 *ἀλεύρων* [*χοίνικα*] R ‖ 3 *ἔλαιον ἢ οἶνον* F ‖ [*μὲν*] add. Cas. ‖ 5 *τοὺς ἐν λόχοις* m; *τοὺς* (*τοῖς* suprascr.) *ἐν τοῖς λόφοις* F; *τοὺς ἐν λόφοις* M; *ἢ κατὰ μίαν ἐν τοῖς λόχοις* R, sed cf. Aristot. *οἱ μὲν οὖν ταξίαρχοι καὶ λοχαγοὶ ἀγοράζοντες ἄθροα διεδίδοσαν τοῖς στρατιώταις* ‖ 7 *σὺν αὐτοῖς* K ex V *secum ipsi apportarent* ‖ 8 *μόνοις ἀναλίσκεσθαι τοῖς στρατιώταις* coni. K ‖ 13 *τριῶν* [*ἡμερῶν*] et 16 *δύο* [*ἡμερῶν*] K ‖ 14 *ἐπεὶ*] *ἐπὶ* F ‖ *προσωρμήσαντο* F ‖ 20 *Νικομάχῳ* K, cf. ad 3, 10, 4.

κολόχῳ τῷ Σπαρτιάτῃ τῶν μὲν πλειόνων νεῶν τὰ πληρώματα παρήγγειλεν ἐπὶ γῆς ἀναπαύεσθαι παρ' αὐτῇ τῇ θαλάσσῃ. ταῖς δὲ ἄριστα πλεούσαις εἴκοσιν ἀναχθεὶς προσέταξε τοῖς τριηράρχοις μὴ συνάπτειν ταῖς πολεμίαις τριήρεσιν ἐντὸς βέλους, ἐκκλίνειν δὲ καὶ φυγομαχεῖν ἑκουσίως, ἵνα κατακόπους ποιήσωσι τοὺς ἐναντίους ἐρέτας. ἐπεὶ δὲ οἱ μὲν ἐφυγομάχουν, οἱ δὲ ἐλέλυντο καύματι καὶ πόνῳ, Τιμόθεος τὸ ανακλητικὸν ἐσήμηνεν καὶ κατασχὼν ἐπὶ τὴν γῆν ἀναπαυσαμένους ἐρέτας ἐμβιβάσας, διὰ τάχους τοὺς πολεμίους πεπονηκότας διώξας πολλὰς αὐτῶν τριήρεις τὰς μὲν κατέδυσε, τὰς δὲ ἄπλους ἐποίησεν.

.57, 6 Τιμόθεος Λακεδαιμονίους καταναυμαχήσας φοβηθεὶς δέκα ναῦς Λακωνικάς, ἃς προέπεμψεν ὁ ναύαρχος ἐπὶ καταγωγῇ πλοίων σιταγωγῶν, μή ποτε ἀναχωροῦσι τοῖς Ἀθηναίοις ἐπίθειντο, παρήγγειλε τοῖς τριηράρχοις τὴν ἀρχαίαν τάξιν μὴ ζητεῖν, ἀλλὰ ἣν ἕκαστος ἐπὶ τοῦ παρόντος χώραν ἔχοι, ταύτην φυλάσσειν, ἵνα μὴ μεταγομένων τῶν σκαφῶν ἐπὶ τὰς ἑαυτῶν τάξεις ἐπιπλεύσαντες οἱ πολέμιοι προσβάλλωσι τῷ ναυτικῷ λελυμένῳ. τάξας δὲ τὰς ναῦς ἐν μηνοειδεῖ σχήματι τὰ μὲν ἔμβολα τῶν νεῶν καὶ τὸ περιφερὲς τοῦ σχήματος πρὸς τοὺς ἐναντίους ἐπέστρεψεν, τὰ ναυάγια δὲ καὶ τὰς αἰχμαλώτους τῶν νεῶν ἐς τὸ κοίλωμα τοῦ μηνίσκου συναγαγὼν ἀνέπλει κατὰ πρύμναν. 13 37

9 ἐσήμηνεν scripsi; ἐσήμαινεν F; ἐσήμανεν vulg. ‖ 16 ἐπίθειντο M; ἐπίθοιντο vulg.; ἐπείθοντο P D; ἐπείθηντο F ‖ 18 ἔχοι F] ἔχει M ‖ 20 προσβάλωσι K ‖ λελυμένων F ‖ 23 ἐπέτρεψεν F ‖ 24 τὰς K; τοὺς F: cf. ad 40, 19 ‖ μηνίσκου R, Blume; μηδικοῦ F; μηνοειδοῦς mp et Cas. addita tamen voce σχῆμα ‖ 25 ἀπέπλει vel ἀνέπλει Hertlein; ἔπλει F.

4 14 Τιμόθεος Χαλκιδεῦσι πολεμῶν μετὰ Περδίκκου Κύπριον χαλκὸν Μακεδονικῷ νομίσματι μίξας ἐπίσημον ἔκοψεν, ὥστε τὰς παλαιὰς πεντεδραχμίας ἔχειν ἀργυρίου τετάρτην μοῖραν, τὸ δὲ λοιπὸν χαλκοῦ φαύλου. πλείστης εὐπορήσας μισθοδοσίας τοὺς ἐμπόρους καὶ τοὺς ἀπὸ τῆς χώρας ἔπεισε, πρὸς χαλκὸν πιπράσκειν· ἀντιφορτιζόμενοι δὲ τὰ παρ' ἀλλήλων οὐδὲν τοῦ νομίσματος ἐφύλαττον, ἀλλὰ τοῦτο περιήει πάλιν εἰς τὴν μισθοφορὰν τὴν στρατιωτικήν.

4 15 Τιμόθεος ἐπολιόρκει Τορώνην. οἱ μὲν Τορωναῖοι μεγάλα ὕψη ἀντανέστησαν φορμῶν ψάμμου πληρουμένων. ὁ δὲ Τιμόθεος μηχανήμασι μακροτέροις ἐξ ἱστοῦ ἀκίδας περιθεὶς καὶ δρέπανα ἐπὶ τὰ ἄκρα τοῦ ἱστοῦ ἐμβαλὼν ταῖς ἀκίσι διερρήγνυε, τοῖς δὲ δρεπάνοις ἀνέτεμνε τοὺς φορμούς, ὥστε ῥεῖν τὴν ἄμμον. τοῦτο δρώμενον ἰδόντες Τορωναῖοι πρὸς ὁμολογίαν ἐτράποντο.

5 16 Τιμόθεος μετὰ Κερκυραίων καὶ τῶν ἄλλων συμ- e. 57, 7
μάχων πρὸς Λακεδαιμονίους ναυμαχῶν τὰς ἄριστα πλεούσας τῶν νεῶν προέταξε κελεύσας [τὰς ἄλλας] ἐν τῷ σχήματι τῆς παρατάξεως ἡσυχίαν ἔχειν. ἐπεὶ δὲ οἱ προτεταγμένοι διεναυμάχησαν, ἐπὶ πολὺ κεκμηκότων ἤδη τῶν πολεμίων, σημεῖον ἦρε τοῖς ἡσυχάζουσιν· οἱ δὲ ἀκμῆτες ἐμβαλόντες ἐτρέψαντο τοὺς κεκμηκότας.

Cap. 10. § 14. Cf. Aristot. oecon. 2, 24.
Cap. 10. § 16. Cf. Front. strat. 2, 5, 47.

1 περδικκοῦ F; Περδίκου vulg. ‖ 3 πεντεδραχμίας Blume; πέντε δραχμὰς F ‖ 4 τετάρτην μοίραν C; τετάρτη μοίρα F ‖ 5 εὐπορῆσαι F ‖ 7 ἀντιφροντιζόμενοι omisso δὲ F ‖ 11 ἀντανίστασαν K ‖ πληρούμενα R ‖ 13 ἱστοῦ Cas.; ἱστῶν F; ἴσου M ‖ 14 διερρήγνυε F; τὰς διφθέρας ῥηγνύων Dm; τὰς διφθέρας διερρήγνυε vulg. ‖ 19 ναυμαχῶν K; συμμαχῶν F ‖ 20 προσέταξεν F ‖ [τὰς ἄλλας] Blume ex V *iubens ut reliquae.*

e. 57, 8 Τιμόθεος περὶ Λευκάδα Λακεδαιμονίοις ναυμαχήσας ἐνίκησε. πολλῶν συντριβέντων σκαφῶν περιῆσαν δέκα νῆες τῶν πολεμίων ἀναυμάχητοι, ἃς ἐδεδοίκει. Τιμόθεος ἐπανιὼν ἐπὶ τὸν ναύσταθμον καὶ δὴ τὸ ναυτικὸν ἔταξεν ἐν μηνοειδεῖ σχήματι πρὸς τοὺς πολεμίους τὸ κυρτὸν, ἐντὸς τὰ ναυάγια συναγαγών· τὸν δὲ ἀπόπλουν ἐποιεῖτο προς τὴν γῆν κελεύσας ἐλαύνειν ἐπὶ πρύμναν, ὅπως ἀντίπρωροι τὰς πολεμίας δέκα ναῦς ῥᾳδίως ἀμύνοιντο. τοῦτο τὸ σχῆμα τῆς τάξεως οἱ ἀπὸ τῶν δέκα νεῶν φοβηθέντες οὐκ ἐπέθεντο. 17

## 11. ΧΑΒΡΙΑΣ

Χαβρίας τοῖς στρατιώταις παρήγγειλεν, 'ἐπειδὰν μέλλωμεν μάχεσθαι, μή τοι νομίζωμεν ὡς [θεοῖς] πολεμίοις συμβάλλοντες, ἀλλὰ ἀνθρώποις αἷμα καὶ σάρκας ἔχουσι καὶ τῆς αὐτῆς φύσεως ἡμῖν κεκοινωνηκόσιν.' 1

Χαβρίας περὶ Νάξον ναυμαχῶν, ἐνίκησε Βοηδρομιῶνος ἕκτῃ ἐπὶ δέκα ταύτην τὴν ἡμέραν ἐπιτήδειον τῇ ναυμαχίᾳ κρίνας, ὅτι ἦν μία τῶν μυστηρίων. οὕτω γέ τοι καὶ Θεμιστοκλῆς τοῖς Πέρσαις ἐναυμάχησε περὶ Σαλαμῖνα. ἀλλὰ οἱ μὲν περὶ Θεμιστοκλέα σύμμαχον 2 37(

Cap. 11. Cf. Rehdantz, vitae Iphicratis, Timothei, Chabriae etc., p. 52.

1 Ὁ Τιμόθεος F ‖ 2 περιήεσαν F ‖ 3 ἀναυμάχητοι vulg.; ναυμάχητοι F ‖ 6 ἐντὸς τοῦ κυρτοῦ Schneider ad Xenoph. Hellen. 5, 4, 66 (melius τοῦ κυρτοῦ ἐντὸς W coll. 2, 2, 3) ‖ 7 πρὸς MD; ἐς F ‖ 12 παρήγγελλεν K ‖ 13 [θεοῖς] Bursian ‖ 14 συμβάλοντες (sic) F; συμβάλλοντες MD; συμβαλοῦντες Heringa, Hertlein ‖ σάρκας F] σάρκα vulg. et Leo Tact. 20, 217 ‖ 16 Βοηδρομίονος F ‖ 17 ἐπὶ δέκα ταύτην Maasv.; ἐπεὶ δὲ κατ' αὐτὴν F: cf. Plut. Phocion 6 extr. ‖ 18 ὅτι ἐν μιᾷ τῶν μυστηργίων F; τῶν λθ' D et supra scr. in M pr. m.; τῶν θ' Meursius; τῶν μεγάλων K, Plut. l. c.; τῶν Ἀθήνησι μυστηρίων Porson.

*ἔσχον τὸν Ἴακχον, [οἱ δὲ περὶ Χαβρίαν] τὸ Ἅλαδε μύσται.*

3 *Χαβρίας ναῦς Λακωνικὰς κατασκόπους δώδεκα ἐφορμούσας, οὐ μὴν ἐπαναχθῆναι θαρρούσας ἐξεκαλέσατο οὕτω πως· αὐτὸς ἀνήχθη ναυσὶ δεκαδύο κατὰ δύο ζεύξας, ἔπειτα τὰ ἱστία τῶν δυοῖν ἐπὶ μιᾶς ἀράμενος. οἱ πολέμιοι καταφρονήσαντες ὡς πρὸς ἓξ τριήρεις αὐτοὶ δεκαδύο ἔχοντες ἐπανήχθησαν. Χαβρίας ἐπὶ πλέον αὐτῶν τοῦ πελάγους προελθόντων καθελὼν τὰ ἱστία, τὰ σκάφη διαζεύξας ἐπέτρεψε καὶ τὰς ἡμισείας τῶν πολεμίων ἔλαβεν αὐτάνδρους.* cf. e. 16, 1 57, 9

4 *Χαβρίας διὰ στενῶν τόπων ἀναχωρῶν ὀλίγους ἔχων πολλῶν πολεμίων ἐπικειμένων αὐτὸς τῆς πορείας ἡγούμενος τοὺς μάλιστα εὐρώστους οὐραγεῖν ἔταξεν, ὅπως [τοὺς] προσκειμένους ἀμύνοιντο. οὐδεὶς οὖν τῶν οὐραγούντων ἔφυγεν οὐ τολμῶν τὸν στρατηγὸν παρελθεῖν ὡς ἂν κωλυθεὶς ἢ καὶ κολασθείς. τῷ σχήματι τούτῳ τῆς πορείας ἀσφαλῶς διήγαγε τὸ στρατόπεδον.* e. 46, 5

360/59 5 *Χαβρίας Θαμῷ, Αἰγυπτίων βασιλεῖ, χρημάτων*

---

Cap. 11. § 5. Cf. Aristot. oecon. 2, 25.

---

1 [*οἱ δὲ περὶ Χαβρίαν*] add. Maasv. ‖ *τὸ Ἅλαδε* Sauppe; *γολλάδαι* F; *γολλάδα* M; *Ἅλαδε* C marg. et Meursius ‖ 4 *ἐπαναχθῆναι* K; *ἔτι ἀναχθῆναι* F ‖ 5 *αὐτὸς ἀνήχθη* Lennep ad Phalar. p. 17 a; *αὐτὰς ἀναχθῆναι* F ‖ 6 *ἔπειτα* Sauppe, quod probat Hertlein coll. 1, 31; *ἐπὶ* F; *καὶ* Cas.; *ἔτι* Maasv.; *ἐπῄει* R ‖ *τῶν δυοῖν* Pm; *τῶν νεῶν* F; *ταῖν δυοῖν* K ‖ *ἀράμενος* Cas. (cf. 1, 47, 1. 5, 9); *ἐρέμενος* F ‖ 15 [*τοὺς*] Hertlein; om. F ‖ 17 *παρελθὼν* F ‖ *ὡς ἂν κωλυθεὶς* K; *ὡς κωλυθεὶς* F; *κωλυθησόμενος* et *κολασθησόμενος* R, Patakis ‖ 20 *Θαμῷ*] *Θάκῳ* (*Θακῷ*) Gutschmid in Philol. XI, p. 148; *Ταχὼς* audit apud Corn. Nepotem, Diod., Plut., Aelian., Athenaeum; *Ταὼς* ap. *Aristot.* oecon. 2, 25 et 37; *Τεὼς* ap. Euseb. chron.

ἀποροῦντι συνεβούλευσε, τοὺς ἐν τῇ χώρᾳ κεκτημένους ἱκανὴν οὐσίαν κελεῦσαι παραχρῆμα εἰσενεγκεῖν ὅσον τις ἔχοι χρυσίον ἢ ἀργύριον· κομιδὴν δὲ αὐτοῖς ὧν διδόασι γενέσθαι [ἐκ] τῶν φόρων, οὓς κατ' ἔτος ἐτέλουν. οὕτω δὴ πολλὰ συνελέγη χρήματα οὐδενὸς ἀδικηθέντος, ἀλλὰ πάντων ὕστερον ὅσα ἔδωκαν ἀπολαβόντων.

13, 6 Χαβρίας εἰς Σελλασίαν τῆς Λακωνικῆς ἐμβαλών, 6 391?
νυκτὸς τὸν ποταμὸν διαβάς, λείαν πολλὴν λαβὼν τὴν μὲν ὑπὲρ τὸν ποταμὸν ἐς τὴν φιλίαν ἀπεπέμψατο· αὐτὸς δὲ τοὺς ἄλλους στρατιώτας φαγεῖν κελεύσας ἀνέμεινε μέχρι μεσούσης ἡμέρας τοῦτο προσδοκῶν, ὃ δὴ καὶ ἐγένετο. οἱ γὰρ Λακεδαιμόνιοι μαθόντες ἐξεβοήθησαν ὡς ἀφαιρησόμενοι τὴν λείαν ἐπὶ τοῦ ποταμοῦ καὶ σπουδῇ δραμόντες διακόσια στάδια κεκμηκότες, ἀσύντακτοι, διεσπαρμένοι πρὸς μάχην ἦσαν ἄχρηστοι. ὁ δὲ τοὺς αὐτοῦ στρατιώτας βεβρωκότας, ἀναπαυσαμένους, συντεταγμένους προσαγαγὼν ῥᾳδίως τοὺς πλείστους αὐτῶν διέφθειρεν.

Χαβρίας ἦν ἐν Αἰγύπτῳ, στρατηγῶν τῷ βασιλεῖ 7 360/59
τῶν Αἰγυπτίων. τοῦ Περσῶν βασιλέως ἐπιστρατεύσαντος πεζῇ δυνάμει καὶ ναυτικῇ, ὁ τῶν Αἰγυπτίων βασιλεὺς ναῦς πολλὰς ἔχων ἠπόρει πληρωμάτων συγ-

---

Cap. 11. § 6. Cf. Hertzberg, Agesilaus p. 339, not. 43 d.

---

3 ἔχοι F] ἔχει vulg. ‖ 4 γενέσθαι add. F pr. m. in marg. ‖ [ἐκ] add. K ‖ 5 συνελέγει F ‖ 6 ὅσα ἔδωκαν Hertlein; ὡς δέδωκαν F; ὡς ἔδωκαν M; ἃ ἔδωκαν K ‖ 8 Σελλασίαν Heringa et Cobet, var. lect. p. 290; ἑλλάδα F; Ἕλος Casaub., quod recepit Corais; Πελλάναν Rehdantz ‖ 15 καὶ om. M ‖ στάδια $F_2$ in marg.; στάμενα $F_1$ ‖ 17 αὐτοὺς F ‖ 18 προσαγαγὼν K: πρὸς διαγωγὴν F.

κεκροτημένων. Χαβρίας καταλέξας Αἰγυπτίων [τοὺς] νεωτάτους, ἱκανοὺς πληρῶσαι ναῦς διακοσίας, ἐξελὼν τὰς κώπας τῶν τριήρων, ξύλα μακρὰ παραβαλὼν ἐπὶ τὸν αἰγιαλὸν, ὥστε ἐφ' ἕνα καθῆσθαι, δοὺς αὐτοῖς τὰς κώπας καὶ κελευστὰς τῶν διγλώσσων ἐπιστήσας ὀλίγαις ἡμέραις ἐλαύνειν αὐτοὺς ἐδίδαξεν [καὶ τὰς ναῦς] ἐρετῶν συγκεκροτημένων ἐπλήρωσεν.

8 Χαβρίας ὁπότε νεοσύλλογον ἔχων δύναμιν (καὶ) μέλλοι παρατάττεσθαι, διὰ τοῦ κήρυκος ἐκέλευε τοὺς ἀρρώστως ἔχοντας χωρὶς τίθεσθαι τὰ ὅπλα. ὅσοι δὴ δειλοὶ καὶ ἀρρωστίαν προσποιούμενοι χωρὶς ἐτίθεντο τὰ ὅπλα, τούτοις ἐς μὲν τὴν μάχην οὐκ ἐχρῆτο, ἐς δὲ τὰς προκαταλήψεις τῶν ὀχυρῶν τόπων, ἵνα τὸ γοῦν πλῆθος ἐπιφαινόμενον αὐτῶν φόβον ἐνεργάζοιτο τοῖς πολεμίοις. καιροῦ δὲ παραστάντος ἐποίει ταχέως αὐτοὺς ἀπομίσθους.

B88 9 Χαβρίας προσπλεύσας πολεμίᾳ πόλει νυκτὸς τοὺς πελταστὰς ἀπεβίβασεν· αὐτὸς δὲ ἀρχομένης ἕω ἐπὶ τὸν λιμένα ἔπλει ἀπωτέρω τῆς πόλεως ὄντα. οἱ ἐκ τῆς πόλεως ἐξέδραμον κωλύσοντες ἀποβῆναι τοὺς ἐκ τῶν νεῶν· οἱ δὲ ἐκ τῆς ἐνέδρας πελτασταὶ ὄπισθεν ἐπιφανέντες τοὺς μὲν διέφθειραν αὐτῶν, τοὺς δὲ ζωγρείᾳ λαβόντες τῶν νεῶν ἐπιβάντες ἀνήχθησαν.

38 10 Χαβρίας ἀπὸ τῶν πελταστῶν δέκα τοὺς δρομικω-

---

Cap. 11. § 10 et 12. Cf. Front. strat. 1, 4, 14.

---

1 [τοὺς] D; om. F ‖ 5 κελεύσας F ‖ 6 ἐδίδαξεν p; ἐβάδιζεν F; ἐθίζων R ‖ [καὶ τὰς ναῦς] Wessel. ad Diod. 15, 92; R ‖ 8 ἔχων F; ἔχοι Cas. W ‖ (καὶ) seclusi ‖ 9 ἐκέλευε R, ἐκέλευσε F ‖ 10 δὴ F] δὲ vulg. ‖ 11 καὶ Hertlein; δι' F; δὲ R; del. K ‖ 15 ἐποίει RK; ποιεῖ F ‖ 16 προσπελάσας M ‖ 18 ἀπωτέρω τῆς πόλεως K ut 7, 20; ἀπό τε ῥώμης πόλεως F ‖ 19 πόλεως F; γῆς MD ‖ 20 ὄπισθεν vulg.; ὄπιθεν F.

τάτους ἐφ' ἑκάστην ναῦν ἀνεβιβάσατο καὶ νυκτὸς ἐς τὴν πολεμίαν ἀπεβίβασε καὶ λεηλατεῖν τὴν χώραν ἐκέλευσεν. οἱ δ' ἐκ τῆς πόλεως ἐκβοηθήσαντες ἐπικρατεῖν τῶν λεηλατούντων ἔμελλον· ὁ δὲ προϊδὼν κατὰ σπουδὴν ἐπὶ τὴν πόλιν ἔπλει. οἱ δὲ ἐκβοηθήσαντες τὸν ἐπίπλουν ἰδόντες ἐσπούδασαν, ἵνα μὴ καταλάβοι τὴν πόλιν. ὁ δὲ τὰς ναῦς τῇ χώρᾳ προσορμίσας τοὺς πελταστὰς καὶ τὴν λείαν ὅσην ἔλαβον ἀναλαβὼν καὶ δὴ ἀποπλεύσας ᾤχετο.

Χαβρίας ἐν Νάξῳ μέλλων ναυμαχεῖν πρὸς Πόλ- 11 37
λιν παρήγγειλε τοῖς τριηράρχοις, ἐὰν ἰσοπαλεῖς κατὰ τὸν κίνδυνον ὦσι, τὰ σημεῖα τῶν ἰδίων νεῶν λάθρα καθελόντας εἰδέναι τὰς ἐπισήμους πολεμίας οὔσας. ἐπεὶ δὲ τοῦτο ἐγένετο, οἱ μὲν τοῦ Πόλλιδος κυβερνῆται ταῖς ναυσὶ τῶν Ἀθηναίων ἀπαντῶντες διὰ τὸ μὴ ἔχειν αὐτὰς τὸ Ἀττικὸν σημεῖον ἀμφιγνοοῦντες παρέπλεον. οἱ δὲ τῶν Ἀθηναίων κατὰ τὸ παράγγελμα [ταῖς] ἐπισήμοις τῶν νεῶν ἔφθανον διδόντες διττὰς ἐμβολάς. τὸ τέχνασμα τοῦτο νίκην Ἀθηναίοις ἔδωκεν.

.57,10 Χαβρίας εἰς Αἴγιναν νυκτὸς καταπλεύσας τρια- 12 38
κοσίους ἄνδρας εἴς τινα τόπον ἐπιτήδειον ἀποβιβάσας αὐτὸς παρέπλει. οἱ μὲν ἐκ τῆς πόλεως ἐπεξελθόντες τοῖς ἀποβᾶσι παρετάσσοντο καὶ πολλοὺς αὐτῶν ἀνῄρουν, ὁ δὲ διὰ τάχους ἐς τὴν πόλιν εἰσέπλευσεν. οἱ δὲ πολῖται φοβηθέντες, μὴ τῆς πόλεως ἀποκλεισθῶσι,

---

1 ἀνεβιβάσατο Hertlein coll. 2, 11; παρεβιβάσατο F ‖ 7 τῇ χώρᾳ Patakis; τῆς χώρας F, cf. 3, 10, 11 ‖ 8 ἔλαβον K; ἔλαβεν F; ἤλαυνον Patakis ‖ 9 ὤχειτο F ‖ 10 Πόλιν F ‖ 11 ἰσοπαλὴς F ‖ 13 εἰδέναι F] διώκειν vel ἐμβάλλειν cum dativo R ‖ οὔσης F ‖ 16 αὐτὰς K; αὐτοὺς F ‖ 18 [ταῖς] K ‖ διδόντες K; διαδόντες F ‖ 20 Αἴγειναν F ‖ 22 οἱ μὲν οὖν τ. π. ὑπεξελθόντες H ‖ 23 αὐτῶν om. M ‖ 25 δὲ HFM; om. CK.

καταλιπόντες τὴν πρὸς τοὺς τριακοσίους μάχην ἀνεχώρησαν ἐπὶ τὴν πόλιν.

1/59 13 Χαβρίας πρὸς τὰς ἐπιβολὰς τῶν κυμάτων ὑπὲρ τὴν παρεξειρεσίαν ἑκατέρου τοίχου δέρρεις παρέβαλεν, καὶ κατηλώσας ἀρτίως τῷ καταστρώματι κατὰ τὸ ὕψος φράγμα κατελάμβανεν αὐτὸ πρὸς τὰς παρεξειρεσίας. τοῦτο δὲ ἐκώλυε τὴν ναῦν ὑποβρύχιον φέρεσθαι καὶ τοὺς ναύτας ὑπὸ τῶν κυμάτων βρέχεσθαι· καὶ τὰ ἐπιφερόμενα κύματα οὐχ ὁρῶντες διὰ τὴν τοῦ φράγματος πρόσθεσιν οὐκ ἐξανίσταντο διὰ τὸν φόβον οὐδὲ τὴν ναῦν ἔσφαλλον.

0/59 14 Χαβρίας πρὸς τοὺς πελαγίους πλοῦς καὶ τοὺς ἐν τῇ θαλάττῃ χειμῶνας κατεσκεύαζεν ἑκάστῃ τῶν νηῶν δισσὰ πηδάλια καὶ τοῖς μὲν ὑπάρχουσιν ἐν ταῖς εὐδίαις ἐχρῆτο, εἰ δὲ ἡ θάλασσα κοίλη γένοιτο, θάτερα διὰ τῆς παρεξειρεσίας κατὰ τὰς θρανίτιδας κώπας παρετίθει τοὺς αὐχένας ἔχοντα καὶ τοὺς οἴακας ὑπὲρ τοῦ καταστρώματος, ὥστε ἐξαιρομένης τῆς πρύμνης τούτοις τὴν ναῦν κατευθύνεσθαι.

391? 15 Χαβρίας, καταδραμὼν τὴν Λακωνικὴν καὶ λείαν e. 46, 6 πολλὴν ἁρπάσας, Σπαρτιατῶν ἐκβοηθησάντων, ὧν Ἀγησίλαος ἡγεῖτο, συναγαγὼν τοὺς στρατιώτας ἐπὶ

---

3 τὰς F; om. MD ‖ ὑπὲρ Maasv. et R; ὑπὸ F ‖ 4 παρέβαλεν scripsi cum Cas. (qui παρέβαλεν vel παρελάμβανεν) coll. Xenoph. Hellen. 1, 6, 19; 2, 1, 22; κατελάμβανεν F ‖ 5 κατηλώσας scripsi coll. Polux 1, 120 βύρσας προσηλοῦντες πρὸς τὰ τοιχίσματα τῶν νεῶν et C. I. A. II, p. 791, v. 31 παραβλήματα κατ[η]λῶσ[αι]; κατὰ μόνας F: ad rem cf. Cartault, la trière athénienne, p. 62 sq. ‖ ἀρτίως Maasv.; ἀρτίους F ‖ 6 (et 16) παρεξερεσίας F ‖ 9 καὶ [γὰρ] τὰ R ‖ 10 πράγματος F ‖ ἐπιπρόσθησιν vel προστέθησιν con. K ‖ 11 ἔσφαλλον F; ἔσφαλον MD ‖ 14 ἴσως ὑπαρχούσῃ Darm. marg. δ ‖ εὐδείαις F ‖ 15 ἐγένετο M ‖ 16 παρετήθει M; πατηθῇ F; παρήχθη aut παρετέθη R ‖ 18 ἐξαιρομένης Patakis ex V *sublata puppi*; ἐξαιρουμένης F ‖ 20 καταδραμὼν Hertlein, quod probat W; καταλαβὼν F.

λόφον ὑψηλὸν, τὰ σκευοφόρα καὶ τοὺς αἰχμαλώτους ἀγαγὼν ἐπὶ τὸ ὀχυρώτατον περιεστρατοπέδευσεν. οἱ δὲ Λάκωνες ἀπὸ πέντε σταδίων ἀντεστρατοπέδευσαν. Χαβρίας παρήγγειλεν ὡς πλεῖστα πυρὰ καῆναι διὰ νυκτὸς καὶ περὶ δευτέραν φυλακὴν παρήγγειλε τὰ μὲν ὑποζύγια καὶ τὰ βοσκήματα καταλιπεῖν, αὐτοὺς δὲ ἀναχωρεῖν κατὰ τὸ ὄπισθεν μέρος τοῦ λόφου. οἱ μὲν δὴ λαθόντες ἀνεχώρησαν· οἱ δὲ Λάκωνες τό τε πῦρ ὁρῶντες τῆς τε φωνῆς τῶν ὑποζυγίων ἀκούοντες μένειν τοὺς Ἀθηναίους νομίζοντες ὑπὸ τὴν ἕω διασκευασάμενοι πρὸς μάχην σύνθημα λαβόντες τῷ λόφῳ προσῆγον. ἐπεὶ δὲ ἐγγὺς γενόμενοι κενὸν τὸ στρατόπεδον εἶδον, ἀνεβόησεν Ἀγησίλαος 'ἄριστός γε στρατηγὸς Χαβρίας'.

## 12. ΦΩΚΙΩΝ.

Φωκίων Ἀθηναίους ὡρμηκότας στρατεύειν ἐπὶ 323
Βοιωτοὺς ἐκώλυεν· οἱ δὲ πολλῇ ὁρμῇ χρώμενοι τὸν πόλεμον ἐψηφίσαντο καὶ Φωκίωνα στρατηγόν. ὁ δὲ τὸν κήρυκα ἀνειπεῖν ἐκέλευσεν· 'ὅσοι Ἀθηναίων μέχρι ἑξήκοντα ἐτῶν ἀπὸ ἥβης πέντε ἡμερῶν σιτία λαβόντες εὐθὺς ἀπὸ τῆς ἐκκλησίας ἕπεσθέ μοι.' ὁ θόρυβος ἦν πολύς. οἱ πρεσβύτεροι καὶ μᾶλλον ἐβόων, ἀνεπήδων, ἠγανάκτουν. τότε δὴ Φωκίων 'οὐδὲν', ἔφη 'δεινὸν ὑπομενεῖτε· κἀγὼ γὰρ ὁ στρατηγὸς ὀγδοηκοστὸν ἔχων ἔτος μεθ' ὑμῶν ἔσομαι'. τοῦτο ἀκούσαντες Ἀθηναῖοι

---

Cap. 12. Cf. Plut. Phoc. 24.

---

4 *καίειν* K et legitur in H ‖ 5 *παρήγγειλε* om. H ‖ 7 *ὄπισθεν* F; *ὄπιθεν* H ‖ 10 *νομίσαντες* coni. K ‖ 13 *ἐβόησεν* H ‖ 21 *ὁ* om. K ‖ 22 *ἀνεπήδων* R et K; *ἀνεπήδουν* F: cf. 2, 2, 10. 4, 3, 11. 8, 16, 8. 8, 43 ‖ 25 *ἔτος* Plut.; *μέρος* F ‖ *ἔσομαι* Plut.; *κείσομαι* F; *ἐκεῖ ἔσομαι* Cas.; *ἀεὶ ἔσομαι* Rud. Schoell.; *νείσομαι* R.

τῆς ὁρμῆς τῆς ἐπὶ τὸν πόλεμον ἐπαύσαντο καὶ μετεβάλοντο.*)

## 13. ΧΑΡΗΣ.

1 Χάρης ἐν τῷ στρατοπέδῳ κατασκόπους ὑπονοήσας e. 7, 1
εἶναι φυλακὴν ἔξωθεν τοῦ χάρακος περιστήσας, προσέταξεν ἕκαστον ἐπιλαμβάνεσθαι τοῦ πλησίον καὶ μὴ πρότερον ἀφιέναι, πρὶν εἰπεῖν, ὅς τις εἴη καὶ τίνος τάξεως. οὕτω δὴ συνέβη τοὺς κατασκόπους ἁλῶναι μὴ δυναμένους εἰπεῖν μήτε τάγμα μήτε λόχον μήτε συσσίτιον μήτε σύνθημα.

2 Χάρης ἐν Θρᾴκῃ χειμῶνος ὄντος ὑπερβολῇ τοὺς στρατιώτας ὁρῶν φειδομένους τῶν ἱματίων καὶ πρὸς τὸ πράττειν ἃ χρὴ διακειμένους ὀκνηρῶς παρήγγειλεν αὐτοῖς ἀλλάττειν παρ' ἀλλήλων τὰ ἱμάτια. τούτου γὰρ γενομένου τῶν ἀλλοτρίων ἐσθήτων ἕκαστος οὐ φειδόμενος ἑτοιμότερος ἦν πράττειν τὰ κελευόμενα.

3 Χάρης ἀπῆγε στρατόπεδον ἐκ Θρᾴκης· ἐπέκειντο e. 46, 7
οἱ Θρᾷκες καὶ τὴν οὐραγίαν ἔθραυον. ὁ δὲ βουλόμενος ἀποσπάσαι τοὺς πολεμίους καὶ διελθεῖν ἀσφαλῶς, τόπον ὕποπτον συνιδών, ἀναβιβάσας τῶν σαλπιγκτῶν ἐπὶ τοὺς ἵππους καὶ συμπέμψας αὐτοῖς ὀλίγους τῶν ἱππέων ἐκέλευσε παριππευσαμένους τὴν ταχίστην γενο-

*) Alterum Phocionis strategema habet H (26, 2): Ὅτι Φωκίων ἐρωτηθείς, πότε συμβουλεύει πολεμεῖν Ἀθηναίοις, εἶπεν 'ὅταν ἴδω τοὺς μὲν νέους τὴν τάξιν βουλομένους φυλάττειν, τοὺς δὲ πλουσίους εἰσφέρειν τῇ πόλει, τοὺς δὲ ῥήτορας μὴ κλέπτειν τὰ δημόσια'; quae ex Plut. vita Phoc. 23 illata esse recte censuit W.

1 μετεβάλοντο F] μετεβάλλοντο MD ‖ 5 περιστήσας W coll. 5, 28, 2; ἐπιστήσας F; ἐπέστησε H ‖ 7 πρὸς ἀφιέναι F; ἀφιέναι H ‖ καὶ ποίας τάξεως καὶ τίνος κοντουβερνίου H ‖ 11 (ἐν) χειμῶνος ὑπερβολῇ mavult K ‖ 19 καὶ H; om. F ‖ 20 ἄποπτον et 22 περιιππευσαμένους K coll. 4, 8, 4.

μένους ὄπισθεν τῶν πολεμίων τὸ πολεμικὸν σημῆναι. οἱ μὲν ἐσήμηναν, οἱ δὲ προσκείμενοι Θρᾷκες ἐνέδραν εἶναι νομίσαντες τὴν τάξιν λύσαντες φεύγοντες ᾤχοντο. Χάρης δὲ ἀσφαλῆ τὴν ἀποχώρησιν ἐποιήσατο.

## 14. ΧΑΡΙΔΗΜΟΣ.

54, 9 Χαρίδημος Ἰλιέων λεηλατούντων αὐτοῦ τὴν πόλιν 359 οἰκέτην Ἰλιέα προελθόντα ἐπὶ λείαν συλλαβὼν μεγάλοις δώροις ἔπεισε προδοῦναι τὴν πόλιν. ἵνα δὲ πιστὸς φανείη τοῖς φυλάττουσι τὰς πύλας, ἔδωκεν αὐτῷ πολλὰ πρόβατα καὶ ἀνδράποδα δίς που καὶ τρὶς ἀγαγεῖν. οἱ δὲ φύλακες ταῦτα νειμάμενοι συνεχώρουν αὐτῷ πολλάκις ἐξιέναι νύκτωρ καὶ σὺν αὐτῷ ἄνδρας πλείονας τὴν λείαν περιελαύνοντας. Χαρίδημος τοὺς μὲν σὺν αὐτῷ συλλαβὼν ἔδησε· τὰ δὲ τούτων ἱμάτια περιβαλὼν ἰδίοις ἀνδράσιν ὡπλισμένοις ἔδωκεν αὐτοῖς τά τε ἄλλα τῆς λείας καὶ ἵππον ὡς αἰχμάλωτον. οἱ φύλακες, ἵνα δέξαιντο τὸν ἵππον, πᾶσαν τὴν πύλην ἀνέῳξαν. οἱ στρατιῶται τῷ ἵππῳ συνεισπεσόντες τούς τε φύλακας ἀπέκτειναν καὶ τὴν λοιπὴν δύναμιν δεξάμενοι τῆς πόλεως ἐκράτησαν, ὥστε, εἰ χρή τι καὶ παῖξαι, δεύτερον ἑάλω τὸ Ἴλιον πάλιν ἵππῳ καταστρατηγούμενον.

## 15. ΔΗΜΗΤΡΙΟΣ ΦΑΛΗΡΕΥΣ.

52, 4 Δημήτριος Φαληρεὺς συλλαμβάνεσθαι μέλλων ὑπὸ 292

Cap. 14. Cf. Aen. Tact. 24, 3 sq., Plut. Sertor. 1. — Schaefer, Demosth. I[1], p. 137 et not. 4; W. Dittenberger in satura philologa H. Sauppio oblata 1879, p. 52 sq.
Cap. 15. De tempore cf. Droysen II, 2, p. 317, not. 2.

1 ὄπισθεν F; ὄπιθεν H ‖ 2 ἐσήμαναν H ‖ 6 πόλιν F; χώραν R ‖ 23 Δημ. ὁ Φαληρεὺς vulgo; Φαληρεὺς om. F.

*τοῦ Θρᾳκῶν βασιλέως κατακρύψας αὐτὸν ἐς ἅμαξαν χορτοφόρον ἐς τὴν ὅμορον χώραν διεσώθη.*

## 16. ΦΙΛΟΚΛΗΣ.

266—263 *Φιλοκλῆς, Πτολεμαίου στρατηγὸς, Καύνῳ προσ-* e. 31, 5
*εστρατοπέδευσε καὶ χρήμασι διαφθείρας τοὺς σιτοφύλακας συνέθετο. οἱ μὲν ἐν τῇ πόλει παρήγγειλαν τοῖς στρατιώταις δώσειν [σῖτον]· οἱ δὲ τὰς φυλακας τῶν τειχῶν ἀπολιπόντες τὸν σῖτον ἐμετροῦντο. Φιλοκλῆς ἐν τούτῳ τῷ καιρῷ προσπεσὼν ἀφύλακτον ἔλαβε τὴν πόλιν.*

---

Cap. 16. Cf. Droysen III, 1, 272, not. 2. — De Philocle cf. Homolle, Bull. de corr. hellén. IV (1880), p. 327 sqq., qui Polyaeni Philoclem eundem esse putat, qui nominatur in inscriptione Deliaca: *Βασιλεὺς Σιδωνίων Φιλοκλῆς Ἀπολλοδώρου*; cf. Dittenberger, Syll. inscr. graec. I, 237, not. 1.

---

4 *Διοκλῆς* MD ‖ 6 *συνέθετο* Cas. ex V *insidias paravit; συνέθετο* F ‖ 7 *δώσειν* [*σῖτον*] scripsi cum R; *δόσιν* [*σίτον*] K ‖ 8 *ἐμέτρουν* H.

## Τάδε ἔνεστιν ἐν τῷ τετάρτῳ τῶν

## Πολυαίνου στρατηγημάτων·


Ἀρgαῖος . . . . . . . . . α
Φίλιππος . . . . . . . . κβ
Ἀλέξανδρος . . . . . . . λβ
Ἀντίπατρος . . . . . . . γ
Παρμενίων . . . . . . . α
Ἀντίγονος . . . . . . . . κα
Δημήτριος . . . . . . . ιβ
Εὐμένης . . . . . . . . ε
Σέλευκος . . . . . . . . ϛ
Περδίκκας . . . . . . . β
Κάσσανδρος . . . . . . . δ
Λυσίμαχος . . . . . . . γ
Κρατερὸς . . . . . . . . α
Πολυσπέρχων . . . . . . α
Ἀντίοχος Σελεύκου . . . . α
Ἀντίοχος Ἀντιόχου . . . . α
Ἀντίοχος Ἱέραξ . . . . . α
Φίλιππος Δημητρίου . . . β
Πτολεμαῖος . . . . . . . α
Ἄτταλος . . . . . . . . . α
Περσεὺς . . . . . . . . . α


Ἀντίγονος κα] leguntur infra strategemata viginti || Πολυπέρχων $F_1$, σ suprascr. $F_2$ || Ἄπαλος $F_1$.

# ΒΙΒΛΙΟΝ ΤΕΤΑΡΤΟΝ.

*Καὶ τόδε ὑμῖν τέταρτον βιβλίον, ἱερώτατοι βασιλεῖς Ἀντωνῖνε καὶ Οὐῆρε, προσφέρω τῶν Στρατηγημάτων· τοῦτο μὲν δὴ καὶ ἥδιον τῶν ἄλλων συγγράψας, ἐν ᾧ καταμάθοιτε ἂν τὰς ἀρετὰς τῶν ἡμετέρων προγόνων, οἳ τῆς Μακεδονίας ἐβασίλευσαν.*

## 1. ΑΡΓΑΙΟΣ.

—621 1 Ἀργαῖος βασιλεὺς Μακεδόνων, Ταυλαντίων Γάλαυρος· Ταυλάντιοι στρατεύουσιν ἐπὶ Μακεδόνας. Ἀργαῖος, ἦν γὰρ αὐτῷ χεὶρ ὀλίγη, κελεύει τὰς παρθένους τῶν Μακεδόνων, ἐπειδὰν οἱ πολέμιοι προσάγωσι τὴν φάλαγγα, αὐτοῖς ἐκ τοῦ ὄρους τῆς Ἐρεβοίας ἐπιφανῆναι. οἱ μὲν δὴ προσῆγον· αἱ δὲ ἐπεφάνησαν καὶ κατῄεσαν ἀπὸ τοῦ ὄρους παρθένοι πολλαὶ θύρσους ἀντὶ δοράτων πάλλουσαι καὶ στεφάνοις τὰ πρόσωπα σκιάζουσαι. Γάλαυρος ἐξεπλάγη ἄνδρας εἶναι τὰς παρθένους ἀπὸ μακροῦ νομίζων καὶ τὸ ἀνακλητικὸν ὑπεσήμηνεν· Ταυλάντιοι δὲ ἔφευγον τά τε ὅπλα ἀποβαλόντες καὶ τὰ σκευοφόρα καταλιπόντες. Ἀργαῖος ἀμαχεὶ

---

4 ἡδεῖον $F_1$; *separatim ab aliis* i. e. ἴδιον V ‖ 5 ἡμετέρων M; ὑμετέρων F: cf. praef. libri I ‖ 8 *Γάλαυρος* vulg. et corr. F ex *Γαύλαρος*; *Calandrus* schol. Pers. sat. 1, 99 ‖ 12 *αὐτοῖς* Hertlein; *αὐτὰς* F ‖ 16 *ταύλαρος* F ‖ 17 *ὑπεσήμηνεν* scripsi; *ὑπεσήμαινεν F: cf. 1, 41, 3. 1, 45, 2* ‖ 18 *ταλάντιοι* F.

κρατήσας ἱερὸν ἱδρύεται Διονύσῳ Ψευδάνορι καὶ τὰς παρθένους, ἃς πάλαι Κλώδωνας ἔκληζον οἱ Μακεδόνες, αὐτὸς κλήζειν ἔταξε διὰ τὴν μίμησιν τῶν ἀνδρῶν Μιμαλλόνας.

## 2. ΦΙΛΙΠΠΟΣ.

e. 3, 3 Φίλιππος ἐπὶ στρατοπέδου Δόκιμον Ταραντῖνον 1
λουτρῷ θερμῷ χρησάμενον τὴν ἡγεμονίαν ἀφείλετο, φήσας ʽἀγνοεῖν μοι δοκεῖς τὰ τῶν Μακεδόνων, παρ' οἷς οὐδὲ γυνὴ τεκοῦσα θερμῷ λούεται'.

Φίλιππος ἐν Χαιρωνείᾳ παραταssόμενος Ἀθηναίοις 2 338
εἴξας ἐνέκλινεν. στρατηγὸς Ἀθηναίων Στρατοκλῆς ἐκβοήσας ʽοὐ χρὴ ἀποστῆναι προσκειμένους, ἕως ἂν τοὺς πολεμίους κατακλείσωμεν ἐς Μακεδονίαν' οὐκ ἀνῆκε διώκων. Φίλιππος εἰπὼν ʽοὐκ ἐπίστανται νικᾶν Ἀθηναῖοι' ἐπὶ πόδα ἀνεχώρει συνεσπασμένην ἔχων τὴν φάλαγγα καὶ ἐντὸς ὅπλων πεφυλαγμένος. μετ' ὀλίγον ὑπερδεξίων τόπων λαβόμενος, παραθαρρύνας το πλῆθος, ἀναστρέψας εὐρώστως ἐμβάλλει τοῖς Ἀθηναίοις καὶ λαμπρῶς ἀγωνισάμενος ἐνίκησεν.

e. 3, 4 Φίλιππος ἐπὶ Θηβαίους ἐστράτευεν. Ἀέροπος καὶ 3 338
Δαμάσιππος ἡγεμόνες ἀπὸ πανδοκείου μισθωσάμενοι ψάλτριαν ἐς τὸ στρατόπεδον εἰσήγαγον. οὐ μὴν ἔλαθον

---

Cap. 2. De fontibus cf. J. p. 602—605.

---

3 κλήζειν vulg.; κλήσειν F ‖ 6 Δόκιμον Cas. K coll. 4, 6, 7; δόκιμον F vulg. ‖ 7 θερμῷ om. H ‖ 8 τὰ τῶν Μακεδόνων H; τὰ Μακεδόνων F ‖ 10 Χαιρωνίᾳ F ‖ 11 Στρατοκλῆς F ut Aeschin. adv. Ctes. § 143; Λυσικλῆς Diod. 16, 88; ceterum cf. 8, 40, ubi Polyaenus Theagenem illud exclamasse tradit ‖ 15 συνεσπασμένην F, cf. oppositum φάλαγγα διεσπασμένην 5, 44, 4; συνεσπειραμένην R et K ‖ 16 πεφυλαγμένους Patakis ‖ 17 ὀλίγων F.

*Φίλιππον, ἀλλὰ καταμαθὼν ἄμφω τὼ ἡγεμόνε τῶν ὅρων τῆς αὑτοῦ βασιλείας ἐξεκήρυξεν.*

–339 4 *Φίλιππος πρέσβεις ἔπεμψεν ἐς πολεμίων Θρᾳκῶν* c. 54, 10 *πόλιν. οἱ μὲν ἐκκλησίαν συνήγαγον καὶ τοὺς πρεσβευτὰς ἐκέλευον ἀγορεύειν, καὶ ἦν ἁπάντων σπουδὴ περὶ τὴν ἀκρόασιν ὧν ἀγγελοῦσι. Φίλιππος ἐν τῷ καιρῷ τούτῳ μὴ προσδοκῶσιν ἐπιθέμενος τῆς πόλεως ἐκράτησεν.*

5 *Φίλιππος ᾔτησε παρὰ τῶν πολεμίων Ἰλλυριῶν νεκροὺς ὑποσπόνδους. τῶν δὲ δόντων, ἡνίκα οἱ ἔσχατοι ἐκομίζοντο, σημήνας ἀφυλάκτοις ἐπῆλθεν.*

6 *Φίλιππος ἐν παλαίστρᾳ καὶ Μηνηγέτης ὁ παγκρατιαστὴς ἐκυλίοντο· οἱ στρατιῶται κύκλῳ περιστάντες κατεβόων τὴν μισθοφορὰν ἀπαιτοῦντες. οὐκ ἔχων ὁ Φίλιππος προσῆλθεν ἱδρῶτι ῥεόμενος, κεκονιμένος, προσμειδιάσας αὐτοῖς 'δίκαια', ἔφη, 'λέγετε, ὦ συστρατιῶται, ἀλλά τοι κἀγὼ διὰ τοῦτα νῦν ἐπὶ τὸν βάρβαρον ἀλείφομαι, ὅπως ὑμῖν πολλαπλασίως ἀποτίσαιμι τὰς χάριτας'. ταῦτα εἰπὼν καὶ ταῖν χεροῖν κροτῶν, διὰ μέσων δραμών, ἐς κολυμβήθραν ἐπέρριψεν ἑαυτόν, καὶ οἱ Μακεδόνες ἐγέλασαν. ὁ Φίλιππος μέχρι τοσούτου διαβαπτιζόμενος πρὸς τὸν παγκρατιαστὴν καὶ κατὰ τοῦ προσώπου ῥαινόμενος οὐκ ἀνῆκεν, ἔστ' ἂν οἱ στρατιῶται καμόντες ἀπερρύησαν. τοῦ στρατηγήματος τούτου καὶ αὐτὸς Φίλιππος παρὰ τοὺς πότους ἐμέ-*

---

1 *καταμαθὼν* Hertlein; *καὶ μαθὼν* F: cf. 3, 9, 19. 4, 3, 29 etc. ‖ 6 *ἀγγελοῦσι* P; *ἀγγέλουσιν* F; *ἀγγέλλουσι* MD ‖ 10 *δόντων* F] *διδόντων* vulg. ‖ 11 *σημήνας* F] *σημάνας* M ‖ 15 *προῆλθεν* Patakis ‖ *κεκονημένος* F ‖ 16 [*καὶ*] *προσμειδιάσας* K ‖ *συστρατιῶται* F] *στρατιῶται* M: cf. 4, 14. 8, 23, 15. 16. 22 ‖ 18 *πολλαπλασίας* R ‖ 20 *ἐπέρριψεν* K, Patakis; *ἀπέρριψεν* F ‖ *ἑαυτὸν* *F add. in marg. pr. m. ut videtur* ‖ 23 *ἀνῆκεν* Cas.; *ἀνῆγεν* F.

μνητο πολλάκις, ὡς ἀστείως διακρουσάμενος τοὺς ἀπαιτοῦντας.

.18, 3 Φίλιππος ἐν Χαιρωνείᾳ γιγνώσκων τοὺς μὲν Ἀθη- 7 33[8]
ναίους ὀξεῖς καὶ ἀγυμνάστους, τοὺς δὲ Μακεδόνας ἠσκηκότας καὶ γεγυμνασμένους, ἐπὶ πολὺ τὴν παράταξιν ἐκτείνας ταχέως παρέλυσε τοὺς Ἀθηναίους καὶ εὐχειρώτους ἐποίησε.

9. 49, 1 Φίλιππος ἐπὶ τὴν Ἀμφισσέων ἐστράτευεν· Ἀθη- 8 33[9]
ναῖοι καὶ Θηβαῖοι τὰ στενὰ προκατελάβοντο, καὶ ἦν ἡ δίοδος ἀμήχανος. ἐξαπατᾷ τοὺς πολεμίους Φίλιππος ἐπιστολὴν πεπλασμένην Ἀντιπάτρῳ πέμψας ἐς Μακεδονίαν, ὡς τὴν μὲν στρατείαν τὴν ἐπ' Ἀμφισσεῖς ἀναβάλλοιτο, σπεύδοι δὲ ἐς Θρᾴκην πεπυσμένος τοὺς ἐκεῖ νεωτερίζειν. ὁ γραμματοφόρος [διήει] διὰ τῶν στενῶν. οἱ στρατηγοί, Χάρης καὶ Πρόξενος, αἱροῦσιν αὐτὸν καὶ τὴν ἐπιστολὴν ἀναγνόντες πιστεύουσι τοῖς γεγραμμένοις καὶ τὴν φυλακὴν τῶν στενῶν ἀπολείπουσι. Φίλιππος δὲ λαβόμενος ἐρημίας ἀφυλάκτως διεξεπαίσατο καὶ τοὺς στρατηγοὺς ἀναστρέψαντας ἐνίκησε καὶ τῆς Ἀμφίσσης ἐκράτησεν.

e. 4, 4 Φίλιππος οὐκ ἐλάττω δι' ὁμιλίας ἢ διὰ μάχης 9
κατειργάζετο. καὶ νὴ Δία μεῖζον ἐφρόνει ἐφ' οἷς διὰ τῶν λόγων ἐκτᾶτο ἢ διὰ τῶν ὅπλων· τῶν μὲν γὰρ

Cap. 2. § 7. Cf. Front. strat. 2, 1, 9; Iustin. 9, 3, 9.

Cap. 2. § 8. Cf. Front. strat. 1, 4, 13. — Schaefer, Demosth. II, p. 514 sq.

Cap. 2. § 9. Cf. Di[illegible] 95, 3.

3 *Χερωνίᾳ* F ‖ 5 *τὸν χρ*[illegible] *τῆς παρατάξεως* H ‖ 6 *ἐκλύει* H ‖ 12 *ἀναβάλοιτο* F] *ἀναβάλλοιτο* C; *ἀνεβάλλετο* D ‖ 14 [*διήει*] K ‖ 18 *ἐρημίας* Seybold K; *ἠρεμίας* F ‖ *ἀφυλάκτως*] *sine periculo* V; *ἀσφαλῶς* Hertlein ‖ *διεξεπαίσατο* Hertlein: cf. 2, 2, 5. 4, 2, 14; *transiit* V; *διεπέμψατο* F.

κοινωνεῖν αὐτῷ τοὺς στρατιώτας, τῶν δὲ αὐτῷ μόνῳ μετεῖναι.

10 Φίλιππος ἤσκει τοὺς Μακεδόνας πρὸ τῶν κινδύνων, ἀναλαβόντας τὰ ὅπλα τριακόσια στάδια πολλάκις ὁδεύειν φέροντας ὁμοῦ κράνη, πέλτας, κνημῖδας, σαρίσας καὶ μετὰ τῶν ὅπλων ἐπισιτισμὸν καὶ ὅσα σκεύη καθημερινῆς διαίτης.

344 11 Φίλιππος ἀφικόμενος ἐς Λάρισαν, ἵνα τινὰς τῶν Ἀλευαδῶν ἔξω οἰκίας καθέλοι, νοσεῖν ὑπεκρίνατο, ὅπως ἐσιόντας αὐτοὺς ὡς ἐπισκεψομένους συλλάβῃ. Βοΐσκος ἐξήγγειλε τοῖς Ἀλευάδαις τὴν ἐπίθεσιν, καὶ διὰ τοῦτο τέλος οὐκ ἔσχεν ἡ πρᾶξις. c. 36, 5

344 12 Φίλιππος ἠξίωσε Σαρνουσίοις ἐκκλησιάζουσι διαλεχθῆναι. οἱ μὲν συνήεσαν· τοῖς δὲ στρατιώταις παρήγγελτο ἱμάντας ὑπὸ μάλης κομίζειν. ἐπεὶ δὲ ὁ Φίλιππος ἀνέτεινε τὴν δεξιὰν ὡς δημηγορήσων, τοῦτο ἦν ἄρα σημεῖον τοῖς στρατιώταις τοῦ δῆσαι πάντας τοὺς παρόντας. οὕτω Σαρνούσιοι δεθέντες ἐς Μακεδονίαν ἤχθησαν πλείους μυρίων.

—339 13 Φίλιππος διωκόμενος ὑπὸ Θρακῶν παρήγγειλεν, ἐπειδὰν ὁ σαλπιγκτὴς φεύγειν σημήνῃ, τοῖς μὲν οὐρα- c. 46, 8

Cap. 2. § 11. Cf. Schaefer, Demosth. II, p. 324, not. 6.
Cap. 2. § 12. Cf. Schaefer, Demosth. II, p. 323, not. 2; Droysen I, 1, p. 157.

1 αὐτῷ μόνῳ προσεῖναι τὸ κλέος H ‖ 3 πρὸ τῶν R; τρόπῳ F ‖ 4 ἀναλαβόντας vulg. ex V *assumptis armis*; ἀναλαμβάνοντας F ‖ ὁδεύειν Patakis ex V; ὁδεύοντας F ‖ 5 σαρίσσας vulg.; ceterum cf. Droysen I, 1, p. 167, not. 3 ‖ 8 Λάρισαν F] Λάρισσαν ceteri ‖ τινὰς τῶν Ἀλευαδῶν ἔξω οἰκίας A. Baumeister; τὰς τῶν Ἀλευάδων ἐξ οἰκίας FH; τοὺς ἐκ τῆς τῶν Ἀ. οἰκίας K ‖ 10 συλλάβῃ F] συλλάβοι vulg. ‖ 14 συνήεσαν K; συνίεσαν F ‖ 15 παρήγγελτο K; παρηγγέλετο F ‖ 17 τὸ σημεῖον M ‖ 18 οὕτω Σαρνούσιοι Massv.; οὕτω Σαρνούντιοι M; οὕτως ἀρούντιοι F.

*γοῦσι προβαλλομένοις μένειν, τοῖς δὲ ἄλλοις φεύγειν, ὅπως τοὺς μὲν πολεμίους ἐπιστήσειε διώκοντας, τοῖς δὲ οἰκείοις προλαβεῖν τῆς ὁδοῦ παράσχοι.*

e. 46, 9 14 *Φίλιππος τὰς παρόδους τῆς Βοιωτίας Βοιωτῶν φυλαττόντων — ἦν δὲ στενὸς ὄρους αὐχήν — οὐκ ἐπὶ τοῦτον ὥρμησεν, ἀλλὰ τήν τε χώραν πυρπολῶν καὶ τὰς πόλεις πορθῶν φανερὸς ἦν. Βοιωτοὶ δὲ οὐχ ὑπομένοντες ὁρᾶν τὰς πόλεις πορθουμένας κατέβησαν ἀπὸ τοῦ ὄρους. Φίλιππος ὑποστρέψας διὰ τοῦ ὄρους διεξεπαίσατο.*

. 54, 11 15 *Φίλιππος τοῖς Μεθωναίων τείχεσι κλίμακας προσήγαγεν καὶ δι' αὐτῶν πολλοὺς Μακεδόνας ἀνεβίβασε πολιορκητάς. ἐπεὶ δὲ ἀνέβησαν ἐπὶ τὰ τείχη, ἀφεῖλε τὰς κλίμακας, ὅπως ἐλπίδα τοῦ καταβῆναι μὴ ἔχοντες προθυμότερον τῶν τειχῶν κρατήσειαν.*

16 *Φίλιππος ἐνέβαλεν εἰς τὴν Ὀρβηλίων χώραν· ἡ δέ ἐστι φαραγγώδης καὶ δασεῖα. καταδυομένων τῶν βαρβάρων ἐς τὰ ἄλση καὶ τοὺς θάμνους, θηρευτικὰς κύνας πολλὰς ἐξήγαγεν, αἳ τοὺς πολεμίους ἐξιχνεύουσαι τοὺς πλείστους αὐτῶν ἐθήρευον.*

17 *Φίλιππος Ἀμφίπολιν ἀπαιτούμενος ὑπὸ Ἀθηναίων, ὁμοῦ δὲ καὶ Ἰλλυριοῖς πολεμῶν οὐκ ἀπέδωκεν, ἀλλ' ἀφῆκεν ἐλευθέραν· Ἀθηναῖοι δὲ ἠγάπησαν τὸ ἐλευθέραν ἀφεῖσθαι. Φίλιππος, ὁπότε τῶν Ἰλλυριῶν κρα-*

Cap. 2. § 14. Cf. Schaefer, Demosth. II, p. 529.
Cap. 2. § 16. De tempore cf. Schaefer, Demosth. II, p. 25.

1 *προβαλλομένοις* FH] *προβαλομένοις* Cas. ‖ 5 *αὐχὴν ὄρους* H ‖ 10 *διεξεπαίσατο* (*διεξεπέσατο* F) Wesseling ad Diod. 17, 28; *διεξιππεύσατο* vulg.: cf. 2, 2, 5. 5, 16, 5; *ἀνεχώρησεν* H ‖ 16 *Ὀρβηλίων* Wesseling ad Diod. 20, 19; *Ἀρβηλίων* F ‖ 20 *αὐτῶν* vulg.: *αὐτοὺς* F.

*τήσας μείζω δύναμιν ἐκτήσατο, τηνικαῦτα πάλιν Ἀμφίπολιν κατέσχεν Ἀθηναίων καταφρονήσας.*

356 18 *Φίλιππος ἐπολιόρκει Φαρκηδόνα πόλιν Θεσσαλι-* e. 54, 12
*κήν· Φαρκηδόνιοι παρέδωκαν τὴν πόλιν. ὡς δὲ εἰσῆλθον οἱ Φιλίππειοι μισθοφόροι, περιπταίουσιν ἐνέδρᾳ· πολλοὶ γὰρ ἀπὸ τῶν στεγῶν καὶ τῶν πύργων ἔβαλλον καὶ ἠκόντιζον. Φίλιππος προς τὴν ἐνέδραν ὀξέως ἀντεστρατήγησεν. Ἦν τὰ ὄπισθεν τῆς πόλεως ἔρημα τῶν πολιτῶν συνδραμόντων ἐπὶ τὴν ἐνέδραν. κατὰ ταῦτα τοὺς Μακεδόνας προσβάλλειν ἐκέλευσε καὶ προστιθέναι κλίμακας. ἀναβάντων δὲ ὑπὲρ τὸ τεῖχος, οἱ Φαρκηδόνιοι τοῦ βάλλειν τοὺς μισθοφόρους ἀποσχόμενοι σπουδῇ ἔθεον ἀμυνούμενοι τοὺς τειχοκρατοῦντας. οἱ δὲ, πρὶν ἥκειν εἰς χεῖρας, ἤδη τῆς πόλεως ἐκράτουν.*

356 19 *Φίλιππος ποθῶν κτήσασθαι Θεσσαλίαν αὐτὸς μὲν φανερῶς οὐκ ἐπολέμει Θεσσαλοῖς· Πελινναίων δὲ πολεμούντων Φαρσαλίοις καὶ Φεραίων Λαρισαίοις, τῶν δὲ ἄλλων ἐς τούτους διῃρημένων, ἀεὶ προσεβοήθει τοῖς καλοῦσι. νικῶν δὲ οὐκ ἀναστάτους ἐποίει τοὺς ἡττωμένους, ὅπλα οὐ παρῃρεῖτο, τείχη οὐ κατέβαλλε, τὰς στάσεις ἔτρεφε μᾶλλον ἢ ἔλυεν, τῶν ἀσθενεστέρων ἐπεμελεῖτο, τοὺς δυνατωτέρους καθῄρει, τοῖς δήμοις φίλος ἦν, τοὺς δημαγωγοὺς ἐθεράπευεν. τούτοις τοῖς στρατηγήμασι Φίλιππος ἐκράτησε Θεσσαλίας, οὐ τοῖς ὅπλοις.*

---

Cap. 2. § 18. Cf. Theopompi fr. 87 (Müller). — Schaefer, Demosth. II, p. 25, not. 4.

---

3 sq. *Φαρκηδόνα* Wesseling ad Diod. 18, 62, O. Müller, Dor. I, 23; *Φαλκιδόνα* et *Φαλκιδόνιοι* F (id. v. 12) ‖ 5 *Φιλίππιοι* F ‖ 8 *ἔρημα* p; *ἠρέμα* F ‖ 16 *Πελληναίων* F; corr. Cas. ‖ 20 *κατέβαλλε* Hertlein, Iahnii annal. 1867, p. 606; *κατέβαλε* L.

*Φίλιππος πολιορκῶν χρόνῳ μακρῷ Κάρας ἐχυρὸν* 20
*χωρίον, ἑλεῖν οὐχ οἷός τε ὤν, ἀποχωρῆσαι βουλόμενος ἀσφαλῶς καὶ τὰ ὄργανα τῆς πολιορκίας περισώσασθαι, νύκτα σκοτεινὴν παραφυλάξας ἐκέλευσε τοῖς μηχανοποιοῖς διαλύειν μὲν τὰ ὄργανα, μιμεῖσθαι δὲ κτύπον οἷος ἂν γένοιτο συμπηγνύντων. οἱ δὲ ἐν ταῖς Κάραις ἀκούσαντες τοῦ κτύπου τὰς πύλας ἔνδοθεν ἀσφαλέστερον ἀπέκλειον καὶ τοῖς μηχανήμασιν ἀντιμηχανήματα ηὐτρέπιζον. Φίλιππος δὲ περὶ ταῦτα ἀσχολουμένων διὰ νυκτὸς αὐτοῖς μηχανήμασιν ἀφανὴς ἦν.*

e. 30, 3 *Φίλιππος ἐπολιόρκει Βυζαντίους ἔχοντας οὐκ* 21
*ὀλίγην χεῖρα συμμάχων. τούτους ἀπολιπεῖν τὴν συμμαχίαν ἐτεχνάσατο πέμψας αὐτομόλους ἀγγέλλοντας, ὡς αἱ πόλεις αὐτῶν ὑπὸ Φιλίππου πολιορκοῖντο πέμψαντος ἄλλας δυνάμεις ἐκεῖ, καὶ οὐ μακρὰν ἁλώσεως αἱ πόλεις. οἱ μὲν ταῦτα ἤγγελλον· Φίλιππος δὲ φανερὸς ἦν διαπέμπων μέρη τῆς στρατιᾶς ἄλλο ἀλλαχοῦ εἰς δόκησιν, οὐκ ἐπὶ πρᾶξιν. οἱ σύμμαχοι ταῦτα ὁρῶντες καὶ ἀκούοντες ἀπολιπόντες Βυζαντίους ἐπὶ τὰς αὐτῶν πατρίδας ἐστέλλοντο.*

57, 11 *Φίλιππος τὴν Ἀβδηριτῶν καὶ Μαρωνιτῶν κατα-* 22
*δραμὼν ἐπανῄει καὶ ναῦς ἔχων πολλὰς καὶ στρατιὰν*

---

Cap. 2. § 20. Cf. Droysen, Zeitschr. f. Altertumsw. 1839, p. 717; Schaefer, Demosth. II, p. 486, not. 2.

Cap. 2. § 21. Front. strat. 1, 4, 13. — Schaefer, Demosth. II, p. 481, not. 2.

---

1 *Κάρας* F; *Καρδίαν* Blume; *Φερὰς* dubitanter W coll. Diod. 16, 37. 52. 20, 110 et Demosth. Olynth. 1, 13, sed cf. J. p. 604 ‖ 6 *κτύπον οἷος* vulg.; *κτυπούμενοι οἷς* F ‖ 7 *Κάρραις* F ‖ 9 *εὐτρέπιζον* F: cf. 5, 3, 7 (*ηὐξάμην*). 7, 12 (*ηὔξατο*) ‖ 14 *ἐτεχνάσατο* F ‖ *ἀγγέλοντας* F ‖ 15 *πέμψας* F, corr. vulg. ‖ 22 Ἀβδηρητῶν F ‖ *καταδραμὼν* ut 3, 11, 5 Hertlein; καταλαβὼν F ‖ 23 ἐπανίει F.

πεζὴν ἄγων· Χάρης περὶ Νέαν πόλιν ἐναυλόχει τριήρεις ἔχων εἴκοσι. Φίλιππος ἐπιλεξάμενος τῶν νεῶν τέσσαρας τὰς ἄριστα πλεούσας ἐπλήρωσεν ἐρετῶν ἀκμῇ καὶ τέχνῃ καὶ ῥώμῃ ἀρίστων, καὶ παράγγελμα ἔδωκε, προαναχθῆναι τοῦ στόλου παντὸς καὶ παραπλεῖν τὴν Νέαν πόλιν οὐ πολὺ τῆς γῆς ἀπέχοντας. οἱ μὲν παρέπλεον· ὁ δὲ Χάρης ὡς ἀναρπασόμενος τὰς τέσσαρας ναῦς ἐπανήχθη ταῖς εἴκοσιν. αἱ δὲ τέσσαρες, ἐλαφραὶ καὶ ἀρίστους ἐρέτας ἔχουσαι, ταχέως ἐς τὸ πέλαγος μετεωρίζονται. τῶν δὲ ἀμφὶ τὸν Χάρητα συντεταμένως διωκόντων ἔλαθεν ὁ Φίλιππος Νέαν πόλιν ἀσφαλῶς παραπλεύσας· Χάρης δὲ οὐδὲ τὰς τέσσαρας ναῦς κατέλαβεν.

## 3. ΑΛΕΞΑΝΔΡΟΣ.

1 Ἀλέξανδρος ἐστρατήγει πάντας ἀνθρώπους ἐς e. 4, 5
εὔνοιαν ὑπάγεσθαι καὶ δὴ καὶ ἔγνω πάντας ἀντὶ βροτῶν καὶ ἀνδρῶν καὶ φωτῶν καὶ μερόπων καὶ ἀνθρώπων Ἀλεξάνδρους καλεῖν.

2 Ἀλέξανδρος πολεμῶν προσέτασσε τοῖς στρατηγοῖς

Cap. 3. Cf. R. Petersdorff, Beiträge zur Geschichte Alexanders des Grossen, cap. II: Ueber die Quellen Polyaens für die Strategemata Alexanders (Pr. v. Flensburg 1872). — J. p. 603—617.

Cap. 3. § 2. Cf. Plut. vita Thesei 5 et apophthegm. reg. et imp. Alex. 10; Synesius p. 79 C (Petav.); idem tradit Arsenius, Viol. apophthegm. Alex. p. 98 (Walz.). — Cf. E. Rohde, Mus. Rhen. 38, p. 301 sqq.

1 *Νεάπολιν* HV constanter ‖ 3 *τὰς* H ut 3, 10, 12. 4, 7, 6; om. F ‖ *ἄριστα* HM; *ἀρίστας* F ‖ *ἀκμῇ*] *ἀλκῇ* H ‖ 5 *ἐπὶ τὴν Νεάπολιν* H ‖ 8 *ἐπανήχθη* H; *ἐπηνέχθη* F; *ἀπηνέχθη* D ‖ 10 *μετωρίζονται* F ‖ *συντεταμένως* K; *συντεταγμένως* F; *συντεταγμένων* Cas. ‖ 16 *ὑπάγεσθαι* vulg.; *ὑπεράγεσθαι* D; *ὑπεραγαγέσθαι* F; *ἐφέλκεσθαι* H ‖ *καὶ δὴ καὶ ἔγνω* Hertlein, Iahnii annal. 1867, p. 607 coll. 8, 38; *καὶ δὴ διέγνω* F ‖ 18 *ἀπεκάλει* H ‖ 19 *στρατηγοῖς* F *et Plut.; στρατιώταις* Arsenius.

ξυρεῖν τὰ τῶν Μακεδόνων γένεια, ἵνα μὴ παρέχοιεν πρόχειρον λαβὴν τοῖς ἐναντίοις.

e. 1 Ἀλέξανδρος πολιορκῶν Τύρον, βουλόμενος μέγα 3 332
χῶμα τοῖς τείχεσι τῶν Τυρίων περιβαλεῖν, πρῶτος αὐτὸς κόφινον λαβὼν χοῦ πληρώσας προσήνεγκεν. οἱ Μακεδόνες, ὡς εἶδον αὐτουργοῦντα τὸν βασιλέα, παραχρῆμα τὰς χλαμύδας ἀπορρίψαντες τὸ χῶμα διὰ τάχους ἤγειραν.

Ἀλέξανδρος Τύρῳ πολιορκίαν περιβαλὼν ἐπ' 4 332
Ἀραβίας ἐστέλλετο. Τύριοι τῆς ἀπουσίας αὐτοῦ καταφρονήσαντες, τῶν τειχῶν προελθόντες, τοῖς Μακεδόσι προσπεσόντες ἐκράτουν πολλαχῇ. Παρμενίων Ἀλέξανδρον ἀνακαλεῖται. Διὰ τάχους ἐπανελθὼν, Μακεδόνων τοὺς ἐγκλίναντας ἰδὼν τοῖς ἡττωμένοις οὐκ ἐβοήθησεν· ἐς δὲ τὴν πόλιν κενὴν ἀνδρῶν ὁρμήσας κατὰ κράτος αἱρεῖ τὴν Τύρον. Τύριοι τὴν πόλιν ἁλοῦσαν ἰδόντες αὐτίκα σφᾶς αὐτοὺς καὶ τὰ ὅπλα τοῖς Μακεδόσι προήκαντο.

). 18, 5 Ἀλέξανδρος Δαρείῳ παρατάσσεσθαι μέλλων παρ- 5
άγγελμα τοῖς Μακεδόσιν ἔδωκεν· ʽἢν ἐγγὺς γένησθε τῶν Περσῶν, εἰς γόνυ κλίναντες ταῖν χεροῖν διατρίβετε τὴν γῆν· ἢν δὲ ἡ σάλπιγξ ὑποσημήνῃ, τότε δὴ ανα-

---

Cap. 3. § 4. Cf. Arrian. 2, 20, 4 sq.; Curt. 4, 2, 24. 3, 1; Plut. Alex. 24 sq.

---

2 λαβὴν vulg.; λαβεῖν F ‖ 3 πολιορκεῖν F ‖ 4 περιβαλεῖν W coll. 4, 3, 4; μεταβαλεῖν F; καταβαλεῖν addito [πρὸς] post χῶμα K; παραβάλλειν R ‖ 5 χοῦ F] χοῦν HMD ‖ 7 τὸ χῶμα Heringa; τὰ χωρία F; τὰ χώματα K: cf. supra μέγα χῶμα et 4, 13 ‖ 9 πολιορκία M, unde W Τύρον πολιορκίᾳ ‖ 11 προσελθόντες F ‖ 13 ἀνακαλεῖται Mp; ἀνακαλεῖσθαι F ‖ 14 ἐγκλίναντας F] ἐγκλίνοντας vulg. ‖ ἡττωμένοις F] ἡττημένοις M ‖ 15 ἀνδρῶν om. M.

στάντες θυμῷ καὶ ῥύμῃ τοῖς πολεμίοις ἐμβάλλετε.’ οἱ μὲν δὴ Μακεδόνες οὕτως ἐποίησαν· οἱ δὲ Πέρσαι σχῆμα προσκυνήσεως ἰδόντες τὴν πρὸς τὸν πόλεμον ὁρμὴν ἐξέλυσαν καὶ ταῖς γνώμαις ἐγένοντο μαλακώτεροι. Δαρεῖος δὲ ἐκυδροῦτο καὶ φαιδρὸς ἦν ὡς ἀμαχεὶ κρατῶν. οἱ Μακεδόνες ὑπὸ τῷ συνθήματι τῆς σάλπιγγος ἀναπηδήσαντες ῥυμηδὸν ἐμβάλλουσι τοῖς πολεμίοις καὶ τὴν φάλαγγα ῥήξαντες ἐς φυγὴν ἐτρέψαντο.

331 6 Ἀλέξανδρος ἐν Ἀρβήλοις τὴν ὑστάτην μάχην Δα- e. 18, 6
ρείῳ παρετάσσετο. μοῖρα Περσῶν οὐκ ὀλίγη περιελθόντες τὰ σκευοφόρα τῶν Μακεδόνων διήρπαζον. ὁ Παρμενίων Ἀλεξάνδρῳ συνεβούλευε τοῖς σκευοφόροις βοηθεῖν. ὁ δὲ ‘οὐδὲν’, ἔφη, ‘παραλύειν χρὴ τῆς φάλαγγος, ἀλλὰ τοῖς πολεμίοις αὐτοῖς μάχεσθαι· ἡττηθέντες μὲν γὰρ οὐκέτι τῶν σκευοφόρων χρήζομεν, νικήσαντες δὲ καὶ τὰ ἡμέτερα καὶ τὰ τῶν πολεμίων ἕξομεν.’

324 7 Ἀλέξανδρος ἐκράτησε τῆς Ἀσίας. οἱ Μακεδόνες ἦσαν ἐπαχθεῖς αὐτῷ καὶ βαρεῖς καὶ πάντα σφίσιν αὐτοῖς ἐβιάζοντο παρ’ αὐτοῦ γίγνεσθαι. ὁ δὲ προσ-

---

Cap. 3. § 6. Cf. Curtius 4, 15, 7 et Plut. Alex. 32.
Cap. 3. § 7. Cf. Arrian. 7, 8 sqq.; Plut. Alex. 71; Curtius 10, 2, 8—30. 3. 4, 1—3; Diod. 17, 109; Iust. 12, 11.

---

1 ῥύμῃ R et Hercher, Hermes 9, p. 112 ut 1, 18: cf. infra v. 7 ῥυμηδὸν; ῥώμῃ F; μετὰ θύμου καὶ ἀνδρείας H ‖ ἐμβάλετε F ‖ 5 ἐκυδροῦτο K; ἐκυδριοῦτο F ‖ 6 ἀμαχεὶ F] ἀμαχὶ D; ἀμαχητὶ H ‖ 7 ἀναστάντες ῥοιξηδὸν H ‖ 8 τὴν φαλάγγαν F; τῇ φάλαγγι Freinsheim ad Curt. 4, 16 ‖ 20 σφίσιν Wyttenbach ad Plut. de sera num. vind. p. 41; φασὶν F; πᾶσιν Roth: cf. *Hertleini* coniecturam ad 1, 41, 2.

*ἔταξεν ὁπλισαμένους ἰδίᾳ στῆναι τοὺς Μακεδόνας, εἰς δὲ τοὐναντίον τοὺς Πέρσας. ἐπεὶ δὲ διέστησαν, 'ἐπιλέξασθε οἱ Μακεδόνες' ἔφη 'ὃν βούλεσθε τῶν ἡγεμόνων, ἐγὼ δὲ ἡγήσομαι τῶν Περσῶν. ἢν μὲν νικήσητε, ποιήσω πάντα, ὅσα ἂν κελεύητε, ἢν δὲ ἡττηθῆτε, μαθόντες ὅτι μηδὲν δύνασθε, τὴν ἡσυχίαν ἄγετε.' τὸ στρατήγημα ἐξέπληξε τοὺς Μακεδόνας καὶ τοῦ λοιποῦ πρὸς τὸν Ἀλέξανδρον ἐγένοντο μετριώτεροι.*

*Ἀλέξανδρος ἐν τῇ πρώτῃ παρατάξει πρὸς τοὺς* 8 334
*Πέρσας ὁρῶν ἐνδιδόντας ἤδη τοὺς Μακεδόνας παριππεύων ἀνεβόα· 'ἔτι ἅπαξ ἐπαγάγωμεν, ἄνδρες Μακεδόνες, ἔτι γενναίως ἅπαξ.' καὶ δὴ τῆς ἐμβολῆς εὐρώστου γενομένης ἐς φυγὴν ἐτράποντο οἱ βάρβαροι. παρὰ τοσοῦτον ἡ νίκη γενέσθαι τότε [λέγεται].*

*Ἀλέξανδρος ἦν ἐν Ἰνδοῖς καὶ τὸν Ὑδάσπην ποτα-* 9 326
*μὸν διαβαίνειν ἔμελλεν· Πῶρος Ἰνδῶν βασιλεὺς ἐπέκεινα τοῦ ποταμοῦ παρετάσσετο, καὶ διαβαίνειν ἀδύνατον ἦν. Ἀλέξανδρος ἄνω τοῦ ποταμοῦ τὴν δύναμιν ἀντιπαρεξῆγεν, καὶ ὁ Πῶρος ἄνω· πάλιν Ἀλέξανδρος τοῦ ποταμοῦ κάτω, καὶ ὁ Πῶρος ὁμοίως κάτω. τοῦτο ἐγίγνετο πολλάκις καὶ ἐπὶ πολλὰς ἡμέρας, ὥστε οἱ μὲν Ἰνδοὶ κατεγέλασαν τῆς δειλίας τῶν πολεμίων καὶ συμπαραθέοντες ἐπαύσαντο, ὡς οὐκ ἄν ποτε διαβῆναι τολμησάντων, οἳ τοσάκις οὐκ ἐθάρρησαν. Ἀλέξανδρος*

---

Cap. 3. § 9. Cf. Arrian. 5, 9 sqq.; Plut. Alex. 60; Curt. 8, 13; Front. strat. 1, 4, 9.

---

3 *οἱ*] cf. Xenoph. Cyrop. 6, 2, 35; *ὦ* K ‖ 6 *οὐδὲν* vulg. ‖ *δύνασθε* W; *νῦν δύνασθε* F; *αὐτοὶ δύνασθε* vulg. ‖ 14 *παρὰ τοσοῦτον* [*ἧκεν*] Roth ‖ [*λέγεται*] K ‖ 20 *ὁ Πῶρος* VRK; *τῷ Πώρῳ* F ‖ 21 *ἐγίγνετο* K coll. Arrian. 5, 10; *ἐγένετο* F ‖ *καὶ πολλάκις* vulg. ‖ 23 *διαβῆναι* F] *ἀποβῆναι* D vulg. ‖ 24 *τολμησάντων* Hertlein et Hercher, Hermes 9, p. 113; τολμησόντων 𝔉.

δὲ ὀξυτάτῳ δρόμῳ παρὰ τὰς ὄχθας ἀναδραμών, ἐπιβὰς πλοίων καὶ ζευγμάτων καὶ διφθερῶν χόρτου πεπληρωμένων διέβη τὸν ποταμὸν ἐξαπατήσας Ἰνδοὺς τῷ τῆς διαβάσεως ἀνελπίστῳ.

326 10 Ἀλέξανδρος κατέστρεφε τὴν Ἰνδῶν. τῶν δὲ στρα- e. 50, 1 τιωτῶν ἐφελκομένων λάφυρα Περσικὰ καὶ πλοῦτον ὑπέρογκον ἐπὶ τῶν ἁμαξῶν καὶ τὴν πρὸς Ἰνδοὺς μάχην οὐκ ἀναγκαίαν ἡγουμένων τοσαῦτα δὴ κεκτημένων, πρώτας ὑπέπρησε τὰς βασιλικὰς ἁμάξας, εἶτα τὰς τῶν ἄλλων. οἱ Μακεδόνες ἐλαφροὶ γενόμενοι καὶ ἐν χρείᾳ τοῦ πάλιν κτήσασθαι καταστάντες ἐπὶ τὸν πόλεμον ὥρμησαν προθυμότερον.

335 11 Ἀλέξανδρος Θρᾳκῶν παρεσκευασμένων καταγόμους e. 49, 2 ἁμάξας πολλὰς ἐπαφιέναι τοῖς Μακεδόσι παρήγγειλεν αὐτοῖς ἐκκλίνειν μὲν ὅσας δύναιντο, εἰ δὲ καταλαμβάνοιντο, καθιέντας αὐτοὺς πρὸς τὴν γῆν ὑπερτιθέναι τὰς ἀσπίδας, ὅπως συμβαίνοι φερομέναις ταῖς ἁμάξαις ὑπερπηδᾶν. τοῦτό τοι καὶ ἐν αὐτῇ τῇ πείρᾳ γενόμενον ἤλεγξε τοῖς Θρᾳξὶν ἄχρηστον τὴν τῶν ἁμαξῶν παρασκευήν.

335 12 Ἀλέξανδρος ἔλαβε Θήβας τῆς δυνάμεως ἱκανὴν ἀποκρύψας καὶ τάξας ἐπ' αὐτῆς Ἀντίπατρον· τὴν δὲ φανερὰν αὐτὸς ἦγεν ἐπὶ τοὺς ἐχυροὺς τῶν τόπων.

---

Cap. 3. § 10. Cf. Plut. Alex. 57; Curt. 6, 6, 14 sq.
Cap. 3. § 11. Cf. Arrian. 1, 1, 7 sqq.
Cap. 3. § 12. Cf. Diod. 17, 12; Arrian. 1, 7. — Droysen I, 1, p. 139, not. 1.

---

5 κατέστρεφε Blume et Patakis; κατέστρεψε F ‖ 8 δὴ Patakis; δὲ F; γε K ‖ 13 καταγόμους K; καταγνοὺς F ‖ 16 αὐτοὺς F ‖ 18 γενόμενον K; γινόμενον F ‖ 19 τὴν παρασκευὴν τῶν ἁμαξῶν vulg. ‖ 21 ἔλαβε Θήβας F] ἔλαθε Θηβαίους R ‖ 23 αὐτὸς MV; αὐτῆς PD; αὐτοῖς F.

Θηβαῖοι δὲ ἐπεξῆλθον καὶ πρὸς τὴν ὁρωμένην δύναμιν οὐκ ἀγεννῶς ἀντιπαρετάσσοντο. Ἀντίπατρος ἐν τῷ καιρῷ τῆς μάχης τὴν κεκρυμμένην δύναμιν ἀναστήσας, κύκλῳ περιελθών, ᾗ σαθρὸν καὶ ἀφύλακτον ἦν τὸ τεῖχος, ταύτῃ κατελάβετο τὴν πόλιν καὶ σημεῖον ἦρεν. Ἀλέξανδρος ἰδὼν ἀνεβόησεν, ὡς ἤδη τὰς Θήβας ἔχοι· Θηβαῖοι δὲ εὐρώστως μαχόμενοι, ὡς εἶδον ἐπιστραφέντες ἑαλωκυῖαν τὴν πόλιν, ἔφευγον.

13 Ἀλέξανδρος ἡμιθωράκια τοῖς (φεύγουσι) στρατιώταις ἀντὶ θωράκων ἔδωκεν, ἵνα μένοντες μὲν ἀσφάλειαν ἔχοιεν τῶν κατὰ πρόσωπον κρυπτομένων, φεύγοντες δὲ τὰ ὄπισθεν μέρη φυλάσσειν μὴ δύναιντο. οὐ τοίνυν ἔφευγεν οὐδεὶς γυμνωθῆναι δεδοικώς, ἀλλὰ πάντοτε ἐνίκων μένοντες.

14 Ἀλέξανδρος, ὁπότε παρὰ τῶν μάντεων ἤκουε καλὰ γεγονέναι τὰ ἱερὰ, περιφέρειν ἐκέλευε τὰ ἱερεῖα καὶ δεικνύειν τοῖς στρατιώταις, ἵνα μὴ μόνον ἀκούοντες, ἀλλὰ καὶ ὁρῶντες ἀγαθὰς ἔχοιεν περὶ τοῦ κινδύνου τὰς ἐλπίδας.

e. 8, 5 15 Ἀλέξανδρος διαβὰς ἐς τὴν Ἀσίαν Μέμνονα στρατηγοῦντα Πέρσαις ὕποπτον ἐποίησε προστάξας τοῖς Μακεδόσιν ἐξιοῦσιν ἐπὶ τὰς προνομὰς ἀπέχεσθαι τῶν τοῦ Μέμνονος χωρίων.

16 Ἀλέξανδρος Γράνικον διαβαίνων Πέρσας ἐξ ὑπερδεξίων ἐπιόντας (αὐτοὺς) αὐτὸς ἐπὶ δόρυ τοὺς Μακεδόνας ἀναγαγὼν ὑπερεκέρασεν· ἡ δὲ φάλαγξ προσπεσοῦσα τοὺς πολεμίους ἐτρέψατο.

---

7 ἔχει Cas. ‖ 8 ἔφυγον K ‖ 9 (φεύγουσι) del. Patakis; τοῖς [ἑαυτοῦ] στρατιώταις R cum V *suis militibus* ‖ 25 (αὐτοὺς) del. K ‖ δόρυ K; ὕδωρ F; τὸ ὕδωρ M ‖ 26 ἀναγαγὼν F; ἀγαγὼν M.

331 17 *Ἀλέξανδρος ἐν Ἀρβήλοις παρετάσσετο. Δαρεῖος τὸ μεταίχμιον τῆς συμβολῆς τριβόλοις κατέσπειρε. τοῦτο δὴ συνιδὼν ὁ Μακεδὼν τοῦ δεξιοῦ κέρως ἡγούμενος ἐπὶ δόρυ παρήγγειλεν ἀκολουθεῖν, ὅπως περιέλθοι τὸν τόπον τὸν κατεσπαρμένον ταῖς τριβόλοις· ὁ δὲ Πέρσης ἀντιπαράγειν πειρώμενος ἐπ' ἀσπίδα διέσπα συνεχῶς τὴν ἵππον. τοῖς διασπάσμασιν ἐμβαλὼν Ἀλέξανδρος, ὁμοίως δὲ καὶ Παρμενίων ἀπὸ τοῦ λαιοῦ, τὰς μὲν τριβόλους ἐξένευσαν, τοὺς δὲ πολεμίους φεύγειν ἠνάγκασαν.*

331 18 *Ἀλέξανδρος Τίγριν διαβὰς Περσῶν τὴν χώραν καταπιμπράντων ἔπεμψε τοὺς κατὰ κράτος διώξοντας, ἵν' ἀγαπητῶς αἱρούμενοι σώζεσθαι τὴν χώραν ἀκέραιον καταλίποιεν.*

330 19 *Ἀλέξανδρος ἐν Ὑρκανίᾳ πυθόμενος μοχθηρὰ περὶ* e. 6, 3
*αὐτοῦ λογοποιεῖν τοὺς Μακεδόνας καὶ τοὺς Ἕλληνας, συναγαγὼν τοὺς φίλους ἔφη βούλεσθαι γράμματα πέμπειν οἴκαδε δηλώσοντα, ὡς ἐπανήξοι μετὰ χρόνον ἐτῶν τριῶν· τὸ δὲ αὐτὸ καὶ τοὺς φίλους ἐκέλευε τοῖς οἰκείοις ἐπιστέλλειν. οἱ μὲν δὴ πάντες ἐνέγραψαν. ἐπεὶ δὲ οἱ γραμματοφόροι τρεῖς ἀπεῖχον σταθμούς, ἀνακαλεσάμενος αὐτοὺς λύσας τὰς ἐπιστολὰς ἔμαθε, τί φρονοῦντες ἕκαστοι διετέλουν.*

---

Cap. 3. § 17. Cf. Curt. 4, 13, 36. 15, 1 sq. — Droysen I, 1, p. 362, not. 1.

Cap. 3. § 18. Cf. Droysen I, 1, p. 329, not. 1.

Cap. 3. § 19. Cf. Curt. 7, 2, 36 sq.; Iust. 12, 5; Diod. 17, 80.

---

4 *περιέλθοι* F] *περιέλθῃ* MD ‖ 6 *συνεχῶς* Cas.; *συνέχων* F; *διέσπασεν ἔχων* Roth ‖ 17 *γράμματα* M; *πράγματα* F ‖ 20 *πάντες* M; *πάντας* F ‖ *ἔγραψαν* H ‖ 23 *ἕκαστοι* F] *ἕκαστος* M.

20 327 Ἀλέξανδρος χωρίῳ τῆς Ἰνδικῆς ἐχυρῷ προσεκάθητο· φοβηθέντες Ἰνδοὶ συνέθεντο μεθ' ὅπλων ἐξελθεῖν. οἱ μὲν ἐξελθόντες λόφον ἕτερον κατελάβοντο καὶ φυλακὰς καθίσταντο. Ἀλέξανδρος ἐπῆγε τὴν δύναμιν τῶν Ἰνδῶν ἐπιβοωμένων τὰς συνθήκας. ὁ δὲ περὶ ἐξόδου μὲν ὡμολόγει συντεθεῖσθαι, περὶ δὲ ἀφέσεως μηδὲν ὑπεσχῆσθαι.

21 326 Ἀλέξανδρος Πιττακοῦ, ὃς ἦν ἀδελφιδοῦς Πώρου, λοχῶντος κατὰ τὴν ὁδὸν, ᾗ στενὸς ἦν αὐλὼν, μῆκος μὲν ἱκανῶς ἐκτεταμένος, πλάτος δὲ συνεσταλμένος ἄχρι τεσσάρων σταδίων, ἡ δὲ ἔξοδος στενὴ παντάπασιν — ἐν τοιαύτῃ φύσει χωρίου τῆς ἵππου διφαλαγγίαν ποιήσας προῄει, παραγγείλας ἐφ' ἡνίαν καὶ παρὰ τὴν κίνησιν ἕκαστον ἕπεσθαι τῷ ἡγουμένῳ, καὶ γενομένων μὲν τῶν ἐναντίων κατὰ τὸ δεξιὸν, ἐπιστρέφειν ἐπὶ δόρυ καὶ τοῦ λοιποῦ ἐξ ἡνίας παρεμβάλλειν· ὅταν δὲ τῆς δεξιᾶς πορείας τὴν οὐραγίαν ἴδωσιν, ἐπάγειν ἐπὶ τοὺς πολεμίους. ταῦτα παραγγείλας ὀρθίαν αὐτὸς ἐποιεῖτο τὴν πορείαν, ὥστε γνώμονι [τὸ] σχῆμα παραπλήσιον ἦν. ὁπότ' οὖν οἱ τοῦ λαιοῦ μέρους τὴν δεξιὰν οὐραγίαν ἰδόντες ἀλαλάξαντες προσῆγον, ὁμοίως δὲ καὶ οἱ ἀπὸ τοῦ δεξιοῦ ἐφ' ηνίαν στρέφοντες ἐπῆγον τοῖς Ἰνδοῖς· οἱ δὲ συγκλεισθῆναι φοβηθέντες ὥρμησαν ὁμοῦ πάντες ἐπὶ τὴν στενὴν ἔξοδον, ὥστε οἱ μὲν ὑπὸ τῶν

---

Cap. 3. § 20. Cf. Diod. 17, 84; Plut. Alex. 59; Arrian 4, 27.
Cap. 3. § 21. Cf. Droysen I, 2, p. 126 et p. 127, not. 1.

---

4 καὶ om. M ‖ καὶ Ἀλέξανδρος vulg. ‖ 6 συντεθεῖσθαι K; συντίθεσθαι F ‖ 9 μήκους R ‖ 11 ἡ δὲ ἔξοδος Roth coll. v. 24; ἡ διέξοδος F; καὶ διέξοδος K ‖ 13 προσῄει F ‖ 17 πορείας] fort. μοίρας R ‖ 19 [τὸ] Hertlein, Iahnii annal. 1867, p. 607 coll. 4, 3, 22 ‖ 21 δὲ del. K ‖ οἱ D; om. F.

*Μακεδόνων ἀνῃροῦντο, οἱ δὲ πλείους ὑπ' ἀλλήλων καταπατούμενοι διεφθείροντο.*

326 22 *Ἀλέξανδρος ἐν τῇ πρὸς Πῶρον μάχῃ τὸ μὲν* c. 17, 3 *ἱππικὸν ἐπὶ τοῦ δεξιοῦ κέρως ἔταξεν ἐν μετώπῳ τὸ ἥμισυ, τὸ δὲ λοιπὸν ἐν ἐπικαμπίῳ, τὴν δὲ φάλαγγα καὶ τοὺς ἐλαφροὺς ἐπὶ τοῦ λαιοῦ κέρως ἔστησε καὶ ἀπὸ τούτων ἐπικάμπιον ἔταξε. Πῶρος δὲ πολλοὺς ἐλέφαντας ἀντιπαρατάξας αὐτὸς μὲν κατὰ τὸ λαιὸν ἐπὶ τοῦ ἡγουμένου ἐλέφαντος ἦν· τοὺς δὲ λοιποὺς ἐλέφαντας ἐκ διαστήματος πεντήκοντα ποδῶν μέχρι τοῦ δεξιοῦ κέρως ἔστησε· τὰ δὲ μέσα τῶν θηρίων ἀνδράσι πεζοῖς ἀνεπλήρωσεν, ὥστε ἦν τὸ σχῆμα τείχει μεγάλῳ παραπλήσιον, οἱ μὲν ἐλέφαντες ἐοικότες πύργοις, οἱ δὲ πεζοὶ μεσοπυργίοις. ἔνθα δὴ παραγγείλας Ἀλέξανδρος τοὺς πεζοὺς ἀντιπαράγειν τοῖς πολεμίοις, αὐτὸς τὴν ἵππον ἐπὶ δόρυ σφοδρότερον ἤλασεν βουλόμενος ὑπερκεράσαι τοὺς ἐναντίους. τοῦτο φυλασσόμενος Πῶρος ἀντιπαρῆγε. τῷ δὲ μὴ φθάνειν τὰ θηρία διέσπα κατὰ πολλὰ τὴν τάξιν. τῶν Μακεδόνων τοῖς διασπάσμασιν*

---

Cap. 3. § 22. Cf. Diodor. 17, 87; Curt. 8, 14. — Droysen I, 2, p. 141, not.

---

4 *μετώπῳ* HS; *τόπῳ* F ‖ *τὸ ἥμισυ* S; om. F vulg. ‖ 5 *ἐπικαμπίω* HS; *ἐπικαμπεὶ καμπίῳ* F ‖ 6 *ἐλαφροὺς* S; *ἐλέφαντας* FH vulg., et adnotarat iam Maiseroy, Cours de tactique I, 253 sq. nullos Alexandro in ipsa pugna fuisse elephantos ‖ 7 *ἐπικάμπιον* HS; *ἐπικαμπίων* F ‖ 8 *ἀντιπαράξας* S ‖ 11 *μέσα* F; *τὰ* S; *τὰ δὲ μέσα [διαστήματα]* Wescher suppl. ex litteris *τα* in cod. S ‖ 13 *ἐοικότες* FS; *ἐοίκασιν* M ‖ 15 *τὴν* S; *εἰς τὴν* F vulg. ‖ 16 *ἐλάσειν βουλόμενος ὑπερκεράσας τοὺς πολεμίους* S ‖ 17 *φυλάσσων ὁ Πῶρος* S contra usum Polyaeni ‖ 18 *ἀντιπαρῆγε* SM; *ἀντιπαρήγγειλε* F ‖ *τὸ δὲ* S ‖ *διέσπα κατὰ πολλὰ τὴν τάξιν. τῶν Μακ.* F vulg.; *διεσπάετο τὰ πολλὰ τῆς τάξεως, τῶν τε Μακεδόνων* etc. S ‖ 19 *διάσπασιν* S.

ἐμπιπτόντων ἠναγκάζετο κατὰ πρόσωπον ἐπιστρέφων ἀγωνίζεσθαι. ἐν τούτῳ φθάνουσιν οἱ περὶ τὸν Ἀλέξανδρον ἱππεῖς ἐκπεριελθόντες καὶ κατὰ νώτου συνελάσαντες τοὺς Ἰνδοὺς τελεωτάτην νίκην ἀνείλοντο (μεθ' ἣν βασιλεὺς Ἰνδικῆς Ἀλέξανδρος ἦν).

[Ἀλέξανδρος] Θεσσαλῶν τὰ Τέμπη φυλασσόντων 23 336 τῆς Ὄσσης τὰς ὀρθίους πέτρας ὑπορύξας καὶ προσπλάσας βαθμίδας μικράς, διὰ τούτων αὐτός τε καὶ οἱ Μακεδόνες ἀκροβατοῦντες ἀνέβησαν ἐπὶ τὰς κορυφὰς καὶ τὴν Ὄσσαν ὑπερβάντες Θεσσαλίαν εἶχον· Θεσσαλοὶ δὲ τὰ στενὰ τῶν Τεμπῶν ἐφύλασσον. ἔτι νῦν τοῖς διοδεύουσι τὰ Τέμπη πάρεστιν ὁρᾶν τὰς πέτρας τῆς Ὄσσης κλιμακηδὸν ᾠκοδομημένας· καλοῦσιν αὐτὰς την Ἀλεξάνδρου κλίμακα.

Ἀλέξανδρος ἐν μὲν τοῖς Μακεδόσιν ἢ ἐν τοῖς 24 Ἕλλησι δικάζων μέτριον καὶ δημοτικὸν ἔχειν τὸ δικαστήριον ἐδοκίμαζεν, ἐν δὲ τοῖς βαρβάροις λαμπρὸν καὶ στρατηγικόν, ἐκπλήσσων τοὺς βαρβάρους καὶ τῷ τοῦ δικαστηρίου σχήματι. ἐν γοῦν Βάκτροις καὶ Ὑρκανίοις καὶ Ἰνδοῖς δικάζων εἶχε τὴν σκηνὴν ὧδε πεποιημένην. ἡ σκηνὴ τὸ μέγεθος ἦν κλινῶν ἑκατόν· χρύσεοι

---

Cap. 3. § 23. Cf. Droysen I, 1, p. 107 et not. 2.
Cap. 3. § 24. Ex Phylarcho (coll. Aeliani var. hist. 9, 3 et Athen. 12, 55 pg. 539) haec excerpta esse censuerat W, sed cf. J. p. 616.

---

1 κατὰ πρόσωπον μένειν. οἱ δὲ περὶ etc. S ‖ 4 τελειοτάτην S; [καὶ] τελ. R ‖ 5 μεθ' ἣν βασιλευσιδίκης (ex Ἰνδικῆς corruptum) Ἀλέξανδρος ἦν S; Μεθ' ἣν βασιλεὺς Ἀλέξανδρος Ἰνδικῆς Θεσσαλῶν etc. F; Ἔτι ὁ βασιλεὺς Ἀλ. Θεσσαλῶν etc. D; ut glossema seclusi cum prioribus editoribus ‖ 7 ὄσης F ‖ 9 ἀνέβησαν Hertlein, Iahnii annal. 1867, p. 607; ἀνέπτησαν F ‖ 13 καλοῦσι δὲ vulg. ‖ 19 Βακτρίοις K ut 6, 21 ‖ Ὑρκανίοις F\ Ὑρκανοῖς M ‖ 20 πεποιημένην F; πεποικιλμένην PCD.

*κίονες ὑπετίθεντο αὐτῇ πεντήκοντα· ὑπερτείνοντες οὐρανίσκοι διάχρυσοι, ποικίλμασιν ἐκπεπονημένοι, τὸν ἄνω τόπον ἐσκέπαζον. Πέρσαι μὲν πρῶτοι πεντακόσιοι μηλοφόροι περὶ τὴν σκηνὴν ἐντὸς ἵσταντο πορφυραῖς καὶ μηλίναις ἐσθῆσιν ἐξησκημένοι. μετὰ δὲ τοὺς μηλοφόρους τοξόται τὸν ἴσον ἀριθμὸν ἔχοντες ταῖς ἐσθῆσι διήλλαττον· οἱ μὲν γὰρ αὐτῶν φλόγινα, οἱ δὲ κυάνεα, οἱ δὲ ὑσγινοβαφῆ περιεβέβληντο. τούτων προΐσταντο Μακεδόνες ἀργυράσπιδες πεντακόσιοι τῶν μεγίστων ἀνδρῶν. κατὰ δὲ τὸ μέσον τῆς σκηνῆς ὁ χρυσοῦς ἔκειτο θρόνος, ἐφ' οὗ προκαθήμενος ἐχρημάτιζεν· οἱ σωματοφύλακες ἐφεστήκεσαν ἑκατέρωθεν τοῦ βασιλέως δικάζοντος. ἐν κύκλῳ τῆς σκηνῆς τὸ τῶν ἐλεφάντων ἄγημα διεσκευασμένον ἐφεστήκει καὶ Μακεδόνες χίλιοι στολὰς Μακεδονικὰς ἔχοντες. ἐπὶ τούτοις πεντακόσιοι Σούσιοι πορφυροσχήμονες, καὶ μετὰ τούτους ἐν κύκλῳ πάντων Πέρσαι μύριοι (Περσῶν) οἱ κάλλιστοι καὶ μέγιστοι, κεκαλλωπισμένοι παντὶ κόσμῳ Περσικῷ, πάντες ἀκινάκας ἔχοντες. τοιόνδε ἦν Ἀλεξάνδρου τὸ δικαστήριον ἐν τοῖς βαρβάροις.*

330 aut 325 25 *Ἀλέξανδρος τὴν ἄνυδρον ὁδεύων αὐτός τε ὑπὸ* e. 1
*δίψους ἐπόνει καὶ οἱ Μακεδόνες. οἱ κατάσκοποι τῆς χώρας ἐν κοίλῃ πέτρᾳ σμικρὸν ὑδάτιον εὑρόντες, τοῦτο*

---

Cap. 3. § 25. Idem tradit Arsenius, Viol. apophthegm. Alex. pg. 98 (Walz). Cf. Arrian. 6, 26, 3; Front. strat. 1, 7, 7; Plut. Alex. 42; Curtius 7, 5, 10—13.

---

1 *ὑπετίθοντο* F ‖ 4 *ἐντὸς* MPD, Aelian. et Athen. l. c.; *ἐν τοῖς* F; *ἐκτὸς* K ‖ 8 *περιβέβληντο* F: probat Pierson 154 ‖ 12 *ἐφεστήκεσαν* Athenaeus; *ἀφεστήκεσαν* F; *περιεστώτων* Aelian. ‖ 14 *διεσκευασμένον* Pierson 218, Koen. 157, Aelian., Athenaeus; *διεσκεδασμένον* F ‖ 17 (*Περσῶν*) inclusi; *πασῶν* M; *πάντων* vulg.

βαλόντες ἐπὶ κράνος Ἀλεξάνδρῳ κομίζουσιν. ὁ δὲ τῇ στρατιᾷ δείξας, ὡς εὐθυμεῖν χρὴ φανέντος ὕδατος, αὐτὸς μὴ πιὼν ἐξέχεε τὸ κράνος πάντων ὁρώντων. οἱ Μακεδόνες ἀλαλάξαντες ἐκέλευον αὐτὸν ἡγεῖσθαι τῆς ὁδοῦ, πρὸς τὸ δίψος εὐρώστως ἀντέχοντες διὰ τὴν τοῦ βασιλέως ἐγκράτειαν.

Ἀλέξανδρος ἐπὶ ποταμὸν τὸν Τίγριν φθάσαι Δα- 26 33
ρεῖον ἠπείγετο. Πανικὸν ἀπὸ τῆς οὐραγίας διῆξε τὴν στρατιὰν πᾶσαν. ὁ βασιλεὺς ἐκέλευσε τῷ σαλπιγκτῇ ὑποσημῆναι σημεῖον ἀφοβίας, τοῖς δὲ πρωτοστάταις τῶν πεζῶν θέσθαι τὰ ὅπλα πρὸ τῶν ποδῶν καὶ τοῦτο φράζειν τοῖς μετ' αὐτούς. καὶ δὴ πάντες ἐφεξῆς τοῦτο ποιήσαντες ἔμαθον τὴν αἰτίαν τοῦ φόβου. τὸ μὲν Πανικὸν ἐλέλυτο, οἱ στρατιῶται δὲ ἀράμενοι τὰ ὅπλα προήεσαν.

Ἀλέξανδρος ἐν Ἀρβήλοις Δαρεῖον ἐνίκησεν. Φρα- 27 31
σαόρτης, Δαρείου συγγενής, πολλὴν χεῖρα Περσικὴν ἔχων ἐφύλασσε τὰς Σουσίδας πύλας· αἱ δὲ ἄρα εἰσὶν ὄρη στενὰ καὶ ὑψηλά. τούτοις προσβάλλοντας τοὺς Μακεδόνας εὐκόλως ἀπεκρούοντο οἱ βάρβαροι σφενδόνας, βέλη, πέτρους ἀφιέντες· ὥστε ἀνακαλέσας αὐτοὺς Ἀλέξανδρος ἀπὸ τριάκοντα σταδίων χάρακα ἐβάλλετο·

---

Cap. 3. § 26. Cf. Curt. 4, 12, 14 sqq.
Cap 3. § 27. Cf. Plut. Alex. 37; Curt. 5, 3, 16; Diod. 17, 68; Arrian. 3, 18 sqq.

---

1 βαλόντες K; βάλλοντες F; ἐμβαλόντας ἐς κράνος Arrian. ‖ ἐπὶ κράνους K ‖ 4 αὐτὸν F ‖ 7 φθάσας vulg. ‖ 13 αἰτίαν] ἀτοπίαν vel οὐδενίαν R ‖ 15 προήεσαν K; προΐεσαν F ‖ 16 Δαρεῖον post ἐνίκησεν perperam iteratum in F ‖ Φρασαόρτης] Ἀριοβαρζάνης Diod., Curtius: cf. Arrian. 3, 18 ‖ 18 *Susidas pylas* Curtius; Σουσιάδας πέτρας Diod.; Περσίδες πύλαι Arrian. ‖ 22 τριάκοντα] Curtius *triginta;* Diod. σταδ. τριακοσίους ‖ ἐβάλλετο F] ἐβάλετο vulg.

*ἦν δὲ λόγιον Ἀπόλλωνος, ὡς ἄρα ξένος λύκος ἡγεμὼν αὐτῷ τῆς ὁδοῦ τῆς κατὰ Περσῶν γένοιτο. πρόσεισι δὴ τῷ Ἀλεξάνδρῳ βουκόλος θηρείαν ἔχων στολήν, ὁμολογῶν ὅτι Λύκιος ἦν, καὶ ὡς κύκλῳ τῶν ὀρῶν ἀτραπὸς εἴη τῷ συνηρεφεῖ τῆς ὕλης ἀποκεκρυμμένη, αὐτῷ δὲ μόνῳ γιγνώσκοιτο διὰ τὴν νομὴν τῶν βοῶν. ἀναμνησθεὶς Ἀλέξανδρος τοῦ μαντείου πιστεύει τῷ βουκόλῳ. τὴν μὲν δὴ πᾶσαν στρατιὰν ἐκέλευσεν ἐν στρατοπέδῳ μένειν καὶ πολλὰ πυρὰ ἀνακαίειν, ἐφελκομένους τὴν τῶν Περσῶν ὄψιν. Φιλώτᾳ δὲ καὶ Ἡφαιστίωνι παράγγελμα δοὺς ἀπόρρητον, ὁπόταν κατὰ κορυφῆς τῶν ὀρῶν ἴδωσι τοὺς Μακεδόνας ἐκφανέντας, αὐτοὺς κάτωθεν προσβάλλειν, αὐτὸς τοὺς ὑπασπιστὰς ἄγων καὶ μίαν ὁπλιτῶν φάλαγγα καὶ τὸ Σκυθικὸν τοξικον ὅσον ἦν διὰ τῆς ἀτραποῦ τῆς λεπτῆς ὀγδοήκοντα στάδια προελθὼν ηὐλίσατο πυκαζόμενος ὕλῃ δασυτάτῃ. μέσης δὲ νυκτὸς περιελθὼν ἐπέστη τοῖς πολεμίοις καθεύδουσιν· ἀρχομένης δὲ ἡμέρας αἱ σάλπιγγες ἐσήμαινον ἀπὸ τῆς κορυφῆς τῶν ὀρῶν· Ἡφαιστίων δὲ καὶ Φιλώτας τοὺς ἐκ τοῦ χάρακος Μακεδόνας προσῆγον. οἱ Πέρσαι μέσοι τῶν ἄνωθεν πολεμίων καὶ τῶν κάτωθεν ἀποληφθέντες οἱ μὲν ἐκτείνοντο, οἱ δὲ κατεκρημνίζοντο, οἱ δὲ ἐζωγρεύοντο.*

28 *Ἀλέξανδρος ὥρᾳ θέρους ἦγε τὴν στρατιὰν παρὰ* c. 30, 2
*ποταμὸν προσκειμένων πολεμίων. ὁρῶν δὲ τοὺς στρατιώτας διψῶντας καὶ ἀφορῶντας εἰς τὸ ῥεῦμα τοῦ ποταμοῦ, ἵνα μὴ πίνοντες διαλύσειαν τὰς τάξεις μηδὲ*

---

1 *λύκιος* R ‖ 2 *γενήσοιτο* K ‖ 5 *ἀποκεκρυμένης* F ‖ 6 *διὰ τὴν τῶν βοῶν νομὴν* vulg. ‖ 8 *ἐν* om. F ‖ 12 *ἐκφανέντας* F] *φανέντας* M; usitatius Polyaeno *ἐπιφανέντας* ‖ 13 *προσβαλεῖν* vulg. ‖ 14 *φάλαγγαν* F ‖ 22 *ἀποληφθέντες* K; *ἀπολειφθέντες* F.

τὸ τῆς ὁδοιπορίας τάχος διακόψειαν, τὸν κήρυκα ἐκέλευσεν ἀνειπεῖν ‘ἀπεχώμεθα τοῦ ποταμοῦ· θανατῶδες ἔχει τὸ ὕδωρ.’ οἱ μὲν φοβηθέντες ἀπέσχοντο καὶ τὴν ὁδὸν ἐπετάχυνον· Ἀλέξανδρος δὲ διανύσας καὶ στρατοπεδεύσας αὐτὸς μετὰ τῶν ἡγεμόνων ἀπὸ τοῦ ποταμοῦ φανερῶς ἔπιεν. γελάσαντες οἱ στρατιῶται καὶ τὴν αἰτίαν τῆς ἀπάτης νοήσαντες ἀδεῶς ὑδρεύσαντο ἐκ τοῦ ποταμοῦ πάντες.

55, 1 Ἀλέξανδρος ἐνέβαλεν εἰς τὴν Σογδιανῶν χώραν. 29
ἡ δέ ἐστι πᾶσα τραχεῖα καὶ δύσβατος· πέτρα δὲ κατὰ μέσην ἀνατείνει (ὀρνίθων) τοῖς πτηνοῖς [μόνοις] βάσιμος· ἐν κύκλῳ δὲ ὕλη δασεῖα καὶ πυκνὴ τοὺς ἀβάτους κρημνοὺς ἀβατωτέρους εἰργάζετο. τὴν πέτραν Ἀριομάζης μετὰ πολλῆς χειρὸς καὶ καρτερᾶς Σογδιανῶν κατελάβετο πηγὰς ὕδατος ἔχων ἔνδον καὶ παρασκευὴν σιτίων ἄφθονον. Ἀλέξανδρος περιιππασάμενος καὶ καταμαθὼν τὰς φύσεις τῆς πέτρας ἐκέλευσε τριακοσίους λογάδας νεανίας, οἷς ἦν ἄσκησις καὶ τέχνη κρημνοβατεῖν, ἀόπλους κατόπιν τῆς πέτρας διὰ πυκνῆς ὕλης ἀνέρπειν καὶ λεπτοῖς κάλοις ἀνιμᾶν ἀλλήλους· ἐπειδὰν δὲ τῶν κορυφῶν κρατήσωσιν, ζώνας λευκάς, ἃς εἶχον, λυσαμένους κοντοῖς εὐμήκεσι περιάψαι καὶ τούτους

Cap. 3. § 29. Cf. Curt. 7, 11, 1 sqq.; Arrian. 4, 18, 4 sqq.

1 ἐκέλευσεν F] ἐκέλευεν vulg.; διήγγειλεν H ‖ 2 ἀνειπεῖν K, quod probavit Hertlein: cf. 4, 7, 6. 5, 5, 2. 7, 6, 3 et ad 7, 6, 10; εἰπεῖν F ‖ 4 ἐπετάχυνον F] ἀπετάχυνον M; ἐτάχυνον vulg.; ἐπετάχυναν K ‖ 11 (ὀρνίθων) delendum censet Hercher, Hermes 9, p. 112, quod probo coll. Arrian. οἱ δὲ βαρβαρίζοντες πτηνοὺς ἐκέλευον ζητεῖν στρατιώτας Ἀλέξανδρον ‖ [μόνοις] K ‖ 13 κρημνοὺς Maasv.; καρποὺς F ‖ Ἀριομάζης] Ἀριαμάζης Strabo; *Arimazes* Curtius ‖ 16 περιιππασάμενος vulg.; περιππευσάμενος F: cf. 4, 6, 6. 4, 4, 2. 2, 3, 14 ‖ 21 κρατήσουσι F.

*ὑπὲρ τὴν ὕλην ἀνατείνειν, ὥστε ἀθρόας καὶ λαμπρὰς τὰς ζώνας ἐπὶ πλεῖστον τιναssομένας καὶ τοῖς ἄνω βαρβάροις καὶ τοῖς κάτω Μακεδόσιν ὁρᾶσθαι. οἱ μὲν δὴ κρημνοβάται σὺν πολλῷ πόνῳ κατὰ κορυφὴν [γενόμενοι] ἀνίσχοντος ἡλίου τὰς ζώνας ἀνέσεισαν· οἱ δὲ Μακεδόνες μέγα καὶ λαμπρὸν κάτωθεν ἠλάλαξαν· ὁ δὲ Ἀριομάζης ἐκπλαγεὶς, ὡς πάσης τῆς στρατιᾶς ἀναβαινούσης καὶ ὡς ἤδη κατὰ κορυφῆς ἑαλωκὼς, αὐτόν τε καὶ τὴν πέτραν παρέδωκεν Ἀλεξάνδρῳ θειοτέραν αὐτοῦ τὴν δύναμιν καὶ τὴν τύχην ἡγούμενος.*

26 30 *Ἀλέξανδρος Καθαίους, μοῖραν Ἰνδῶν ἐξ ἀπονοίας ἀντιστᾶσαν ἡβηδὸν ἔκτεινε καὶ πόλιν αὐτῶν Σάγγαλα τὴν καρτερωτάτην κατέσκαψεν. διῆκε τοὺς Ἰνδοὺς φήμη πονηρὰ ὡς Ἀλεξάνδρου φονικῶς καὶ βαρβαρικῶς πολεμοῦντος. ὁ δὲ μεταβάλλειν τὴν δόξαν βουλόμενος ἄλλην πόλιν (διὰ) τῆς Ἰνδικῆς ἑλὼν, ὁμήρους λαβὼν, σπεισάμενος ἐπὶ τρίτην πόλιν ἦλθεν εὐμεγέθη καὶ πολυάνθρωπον, τάξας πρὸ τῆς φάλαγγος τοὺς ὁμήρους, γέροντας, παῖδας, γυναῖκας. οἱ δὲ τοὺς ὁμοφύλους γνωρίσαντες καὶ τὰ ἔργα τῆς Ἀλεξάνδρου φιλανθρωπίας ὁρῶντες ἀνοίγουσί τε τὰς πύλας καὶ μετὰ ἱκετηριῶν αὐτὸν ἐδέξαντο. αὐτίκα ἡ φήμη διαδραμοῦσα ἔπεισεν Ἰνδοὺς ἑκόντας Ἀλέξανδρον δέχεσθαι.*

---

Cap. 3. § 30. Cf. Curt. 9, 1, 15 sqq.; Arrian. 5, 22 et 24; Diod. 17, 91.

---

4 [*γενόμενοι*] Cas. ‖ 8 *ἀναβάσης* R ‖ *τῆς κορυφῆς ἑαλωκυίας* R ‖ 10 *αὐτὸς* F ‖ *τύχην* F] *τέχνην* vulg. ‖ 11 *Καθαίους* M; *Καλθαίους* F vulg. ‖ 12 *τὴν πόλιν* M ‖ *Σάγγαλα* Cas.; *Σαλγαλα* F ‖ 13 *διῆκε* R; *διῆλθε* Hertlein coll. Soph. Ai. v. 999; *ἵνα* $F_1$; *εἷλε* $F_2$ marg. ‖ 16 (*διὰ*) inclusit K; in *τινὰ* correx. Cas. R ‖ *Ἰνδικῆς* M ut 1, 1, 2. 1, 3, 4. 4, 3, 20. 22; *Ἰνδίας* F vulg. ‖ 22 *αὐτίκα καὶ ἡ φήμη* M.

55,2 *Ἀλέξανδρος τὴν Κοσσαίων χώραν ἑώρα τραχεῖάν* 31 324
*τε καὶ ὄρη ὑψηλὰ καὶ ἀπρόσιτα καὶ πλῆθος ἐν τοῖς ὄρεσιν ἀνδρῶν δοκίμων· οὐ τοίνυν ἑλεῖν ἐλπίς. ἧκέ τις ἀγγέλλων „Ἡφαιστίων ἐν Βαβυλῶνι τέθνηκεν". ὁ δὲ κοινὸν πένθος ἐπαγγείλας ἐπὶ τὴν Ἡφαιστίωνος ταφὴν ἠπείγετο· οἱ σκοποὶ τῶν Κοσσαίων, ἀναζευγνύντας ὡς εἶδον [αὐτοὺς], αὐτοὶ διεσπάρησαν. Ἀλέξανδρος νύκτωρ ἱππέας πέμψας τὴν ἐς τὰ ὄρη πάροδον ἀφύλακτον κατελάβετο καὶ τῆς οδοιπορίας ἀποκλίνας, ἐπιφανεὶς τοῖς ἱππεῦσι σὺν αὐτοῖς τὴν Κοσσαίων χώραν ἐχειρώσατο. τοῦτο τὸ ἔργον τῆς ἐπὶ Ἡφαιστίωνι λύπης παρηγόρημα φασὶν Ἀλεξάνδρῳ γενέσθαι.*

*Ἀλέξανδρος ἐν τοῖς Περσῶν βασιλείοις ἀνέγνω* 32
*τὸ βασιλέως ἄριστον καὶ δεῖπνον ἐν κίονι χαλκῷ γεγραμμένον, ὅπου καὶ οἱ ἄλλοι νόμοι, οὓς ἔγραψε Κῦρος. εἶχε δὲ οὕτως·*

*πυραμίνων ἀλεύρων καθαρῶν τετρακόσιαι ἀρτάβαι — ἡ δὲ ἀρτάβη ἡ Μηδικὴ μέδιμνός ἐστιν Ἀττικός —· τῶν δὲ δευτέρων ἀλεύρων μετὰ τὰ καθαρὰ τριακόσιαι ἀρτάβαι· καὶ τῶν τρίτων τριακόσιαι ἄλλαι ἀρτάβαι. Πυραμίνων μὲν ἀλεύρων τῶν πάντων ἀρτάβαι εἰς τὸ δεῖπνον χίλιαι. κριθαμίνων δὲ ἀλεύρων τῶν κάρτα καθαρῶν διακόσιαι ἀρτάβαι. τῶν δὲ δευτέρων τετρακόσιαι· [καὶ τῶν τρίτων τετρακόσιαι·] τὸ σύμπαν δὲ*

---

Cap. 3. § 32. Cf. Athen. 4, p. 145. — The Classical Journal, vol. 30, p. 370—374, Remarks on a Passage of Polyaenus.

---

2 *ὑψηλὰ* [*ἔχουσαν*] Patakis; *habere* V ‖ 3 *ἑλεῖν* [*ἦν*] Sittl ‖ 4 *ἀγγέλων* F ‖ 6 *σκοσσαίων* F ‖ *ἀναζευγνύντας* p; *ἀναζευγνύντες* F ‖ 7 [*αὐτοὺς*] *αὐτοὶ* Cas.; *αὐτοῖς* D ‖ 10 *κοσσιαίων* F ‖ 17 *πυραμηνῶν* F, et sic infra ‖ *τετρακόσιαι ἀρτάβαι* K; *τετρακοσίας ἀρτάβας* F vulg. ‖ 22 *κριθαμηνῶν* F, et sic infra ‖ 24 [*καὶ τῶν τρίτων τετρακόσιαι*] *atque itidem de tertia* quadringentae V ex coniectura, ut numerum millenarium expleret; om. F.

*τῶν κριθαμίνων ἀλεύρων χίλια ἀρτάβαι. χόνδρου δὲ ἐξ ὀλυρῶν πεποιημένου διακόσιαι ἀρτάβαι. παιπάλης ἐξ ἀλφίτων πεποιημένης ὡς εἰς κυκεῶνας δέκα ἀρτάβαι. καρδάμου κεκομμένου σεσησμένου λεπτοῦ* ** [*ἀρτάβαι*]. *πτισάνης δέκα ἀρτάβαι· σινήπυος σπέρματος τρίτον ἀρτάβης.*

*πρόβατα, οἱ ἄρσενες τετρακόσιοι· βόες ἑκατόν· ἵπποι τριάκοντα· χῆνες σιτευτοὶ τετρακόσιοι· τρυγόνες τριακόσιαι· ὀρνίθια παντοδαπὰ μικρὰ ἑξακόσια· ἄρνες τριακόσιοι· νεοσσοὶ χηνῶν ἑκατόν· δορκάδες τριάκοντα.*

*γάλακτος αὐθημερινοῦ δέκα μάριες — μάρις δὲ ἐστὶ δέκα χόες Ἀττικοί —· ὀξυγάλακτος ἡδυσμένου δέκα μάριες. σκορόδων τάλαντον σταθμῷ· κρομύων ἡμιτάλαντον σταθμῷ τῶν δριμέων. φύλλου ἀρτάβη. ὀποῦ σιλφίου δύο μναῖ· κυμίνου ἀρτάβη· σιλφίου τάλαντον σταθμῷ. μύρου ἐκ μήλων γλυκέων τέταρτον μέρος ἀρτάβης· κυκεῶνος ἐκ σιδίων ὀξέων ἀρτάβη, μύρου ἐκ κυμίνου τέταρτον μέρος ἀρτάβης. σταφίδος μελαίνης τρία τάλαντα σταθμῷ· ἀνήθου ἄνθους τρεῖς μναῖ σταθμῷ· μελανθίου τρίτον μέρος ἀρτάβης· διαρίνου σπέρμα δύο*

---

3 *ἐξ ἀλφίτων* Patakis et Malina thes. 2; *ἐν ἀλφίτῳ* F vulg.; *ἐπ' ἀλφίτῳ* Roth ‖ *ὡς* del. K ‖ 4 *σεσησμένου* vulg.; *σεσημμένου* F ‖ 5 *σινήπυος* F] *σινήπιος* vulg. ‖ 12 *δὲ* M; om. F vulg.: cf. supra p. 181, 18 ‖ 17 *μύρου* W; *ἱεροῦ* F vulg.: notum esse *μύρα πίνειν* et *μυροποιοὺς* regis Persarum commemorari apud Athen. 13, 608 A adnotat W ‖ *γλυκέων* K; *γλυκέως* M; *γλυκέος* F ‖ 18 *κυκεῶνος* Dm; *κοκκεῶνος* FV ‖ *ἐκ σιδίων* M; *ἐκίδων* F vulg. ‖ *μύρου* W; *κηροῦ* F ‖ 19 *μελαίνης* D; *μελίνης* F; *μελεύης* M; *μελιτίνης* coni. W ‖ 20 *ἀνήθου* V; *κνήθου* F; *κνήκου* Cas. K: cf. infra p. 183, 7. 19 ‖ *μναῖ* Roth; *μνᾶς* F vulg. ‖ 21 *μελανθίου* K; *μελάνθρυνον* F ‖ *διαρίνου* Heringa coll. Hesychio '*διάρινον σινηπι*'; *διάρρινος* F; *διὰ ῥινὸς* M.

καπέζιες· σησάμων καθαρῶν δέκα ἀρτάβαι. γλεύκους ἐξ οἴνου πέντε μάριες. ῥαφανίδων ἐψανῶν, γογγυλίδων ἐσκευασμένων ἐν ἅλμῃ πέντε μάριες· καππάρεως ἐσκευασμένης ἐν ἅλμῃ, ἐξ ἧς τὰς ἀβυρτάκας ποιοῦσι, πέντε μάριες· ἁλῶν δέκα ἀρτάβαι. Αἰθιοπικοῦ κυμίνου ἓξ καπέζιες — ἡ δὲ καπέζις ἐστὶ χοῖνιξ Ἀττική —· ἀνήθου αὔου τριάκοντα μνᾶς ἕλκον. σελίνου σπέρματος τέσσαρες καπέζιες. ἐλαίου σησαμίνου δέκα μάριες· ἐλαίου ἀπὸ γάλακτος πέντε μάριες· ἐλαίου ἀπὸ τερμίνθων πέντε μάριες· ἐλαίου ἀκανθίνου πέντε μάριες· ἐλαίου ἀπὸ ἀμυγδάλων τῶν γλυκέων τρεῖς μάριες. ἀμυγδάλων αὔων τῶν γλυκέων τρεῖς ἀρτάβαι. οἴνου πεντακόσιαι μάριες.

ὅταν δὲ ᾖ ἐν Βαβυλῶνι ἢ ἐν Σούσοις, τὸν μὲν ἡμίσεα ἐκ τῶν φοινίκων οἶνον παρέχει, τὸν δὲ ἡμίσεα ἀμπέλινον. ξύλων διακόσιαι ἅμαξαι· ὕλης ἑκατὸν ἅμαξαι· τοῦ ὕοντος μέλιτος ἑκατὸν παλάθαι τετράγωνοι ἀνὰ δέκα μνᾶς ἕλκουσαι. ὅταν ἐν τῇ Μηδικῇ ᾖ, ταῦτα διαδίδωσιν. κνήκου σπέρματος τρεῖς ἀρτάβαι. κρόκου δύο μνᾶς ἕλκοντος σταθμῷ. ταῦτα μὲν εἰς πότον τε καὶ ἄριστον ἀναλίσκεται.

---

1 καπετίες F: cf. Hultsch, Metrologie², p. 478 (§ 45, 3); Oppert, Journal Asiatique 1874, tom. IV, p. 459 confert Neopersarum vocem *kapic'ch* et Arabum *gafiz*, de Lagarde, Armenische Studien (Abh. d. Gött. Ges. d. W. XXII, p. 74) Armeniorum *kapic'*, unde Polyaeni καπέτις in καπέζις corrigendum esse censent ‖ σησάμων K; σισάμων F ‖ δέκα] δύο Dm ‖ 2 αἰψανῶν F ‖ 4 τὰς ἀβυρτάκας M; τοὺς ἀβυρτακας F; τοὺς ἀβυρτάκους D ‖ 6 καπετειαις $F_1$, καπέτιες $F_2$ ‖ 8 καπιτιες F ‖ σησαμίνου K; σισαμίνου F ‖ 9 τερμίνδων p; τερκλίνθων F; *olei terchinthini* V ‖ 10 ἀκανθίνου F vulg. ut Ctesias apud Athen 2, 74, p. 67; ἀπὸ Ἀκανθίου M ‖ 14 ᾖ vulg.; ἢ F ‖ 19 διαδίδωσιν C. L. Roth, ut infra p. 184, 1. 9. 11; διδωσι F ‖ κνήκου K; κνίκου F ‖ 21 πότον Rud. Schoell; τόπον F; δεῖπνον M; τὸ δεῖπνον W.

*διαδίδωσι δὲ πυραμίνων ἀλεύρων τῶν καθαρῶν πεντακοσίας ἀρτάβας· κριθαμίνων δὲ καθαρῶν ἀλεύρων χιλίας ἀρτάβας· καὶ τῶν δευτέρων χιλίας ἀρτάβας. σεμιδάλεως πεντακοσίας ἀρτάβας· χόνδρου τοῦ ἐκ τῶν ὀλυρῶν πεντακοσίας μάριας· κριθὰς τοῖς κτήνεσι δισμυρίας ἀρτάβας· ἀχύρων μυρίας ἁμάξας· κάρφους πεντακισχιλίας ἁμάξας. ἐλαίου σησαμίνου διακοσίας μάριας· ὄξους ἑκατὸν μάριας· καρδάμου κεκομμένου λεπτοῦ τριάκοντα ἀρτάβας. ταῦτα μὲν πάντα διαδίδωσι ταῖς στρατιαῖς ὅσα εἴρηται. βασιλεὺς δὲ σὺν τῷ ἀρίστῳ καὶ τῷ δείπνῳ καὶ οἷς διαδίδωσι τοσαῦτα ἀναλίσκει τῆς ἡμέρας.*

*ταύτην τοῦ δείπνου τὴν παρασκευὴν οἱ μὲν ἄλλοι* e. 3, 5
*Μακεδόνες ἀναγνόντες ἐθαύμασαν ὡς εὐδαίμονα· Ἀλέξανδρος δὲ κατεγέλασεν ὡς κακοδαίμονος καὶ μακρᾶς ἀσχολίας ἐχούσης, ὥστε καὶ τὸν κίονα, ἐν ᾧ ταῦτα ἐγέγραπτο, καθελεῖν προσέταξεν εἰπὼν πρὸς τοὺς φίλους· ‘οὐδαμῶς συμφέρει τοῖς βασιλεῦσιν οὕτως ἀσώτως δειπνεῖν διδάσκεσθαι· ἀνάγκη γὰρ τῇ πολλῇ ἀσωτίᾳ καὶ τρυφῇ πολλὴν ἀνανδρίαν ἕπεσθαι· ὁρᾶτε δὲ καὶ τοὺς τηλικούτων δείπνων πιμπλαμένους ἐν ταῖς μάχαις ταχέως ἡττωμένους.’*

## 4. ΑΝΤΙΠΑΤΡΟΣ.

331 1 *Ἀντίπατρος ἐν τῇ Τετραχωριτῶν στρατεύων ἔταξε*

---

Cap. 4. § 1. De tempore cf. Droysen I, 1, p. 392 sqq. et not. 2 in p. 394.

---

1 *διαδίδωσι δὲ* M; *δὲ δι' ἃ δίδωσι* F; *δὲ διὰ δόσιν* D || 3 *δευτέρων* Maasv.; *δὲ ἑτέρων* F; *ἑτέρων* D || 5 *κριθὰς* bis scr. in F || 7 *σισαμίνου* F || 10 *τοῖς στρατιώταις* coni. W || 12 *ἀναλίσκει διαδίσωσι* F; illud del. K, Patakis, Malina || 15 *μακρὰν* F || 20 *ἀνανδρίαν καὶ μαλακίαν* H || 24 *Τετραχωριτῶν* M; *Τετραχωρητῶν* F sed infra p. 185, 4 *Τετραχωρῖται.*

τὸν χόρτον τῶν ἵππων ἐμπρῆσαι τὸν περὶ τῇ σκηνῇ. οἱ μὲν ἐνέπρησαν, ὁ δὲ σαλπιγκτὴς ἐσήμηνεν· οἱ δὲ Μακεδόνες περὶ τὴν σκηνὴν ἠθροίζοντο μετέωρα ἔχοντες τὰ δόρατα. ταῦτα ἰδόντες οἱ Τετραχωρῖται καταπλαγέντες ἐξέλιπον τὸ χωρίον· ἀμαχεὶ δὲ Ἀντίπατρος ἐκράτησεν.

Ἀντίπατρος τὸν Σπερχειὸν διαβῆναι ἐβούλετο. 2 323
Θετταλῶν δὲ ἱππέων κωλυόντων διαβαίνειν, ὁ μὲν τὴν δύναμιν ἀπήγαγεν εἰς τὴν αὐτοῦ στρατοπεδείαν καὶ παρήγγειλε τοῖς Μακεδόσι μένειν ἐν τοῖς ὅπλοις καὶ τὰ σκευοφόρα μὴ λύειν. οἱ Θετταλοὶ δὲ εἰς τὴν Λαμίαν ἀφιππεύσαντες ἠριστοποιοῦντο κατὰ τὰς οἰκίας. Ἀντίπατρος [ἐπανῆλθε πρὸς] τὸν ποταμὸν καὶ φθάσας διεβίβασε τὴν δύναμιν, πρὶν ἐκβοηθῆσαι Θετταλούς, καὶ κατελάβετο τὴν Λαμίαν προσπεσών.

Ἀντίπατρος ἐν Θετταλίᾳ βουλόμενος φαντασίαν 3 323
τοῖς πολεμίοις παρασχεῖν ἱππέων πολλῶν συναγαγὼν ὄνους πολλοὺς καὶ ἡμιόνους συνέταξεν εἰς ἴλας, καὶ ἀνεβίβασεν ἄνδρας ὅπλισιν ἱππικὴν ἔχοντας· προέταξε δὲ ἑκάστης ἴλης τὸν πρῶτον ζυγὸν ἀληθινῶν ἱππέων. τούτους ὁρῶντες οἱ πολέμιοι καὶ τοὺς ἑπομένους ἱππεῖς εἶναι νομίσαντες καταπλαγέντες ἔφευγον. τούτῳ τῷ στρατηγήματι καὶ Ἀγησίλαος ἐχρήσατο πρὸς Ἀερο-

---

Cap. 4. § 2. Cf. Kallenberg, Philol. 36, p. 504.
Cap. 4. § 3. De fonte cf. J. p. 577 sq.

---

2 ἐσήμηνεν F] ἐσήμαινεν vulg. ‖ 9 ἐπήγαγεν M; ἀνήγαγεν Roth ‖ αὐτοῦ Cas.; αὐτὴν F ‖ 13 [ἐπανῆλθε πρὸς] suppl. W ‖ 18 ἴλας vulg. et ubique scribendum censet Hertlein; εἴλας F passim ‖ 19 ὅπλησιν F ‖ προέταξε Patakis; προσέταξε F ‖ 20 ἑκάστης εἴλης coni. W coll. 2, 1, 30. 7, 6, 6; ἑκάστῃ εἴλῃ F ‖ 23 Ἀγησίλαος] cf. 52, 17 sqq., Eumenis simile strategema non traditur a Polyaeno.

*που ἐν Μακεδονίᾳ καὶ Εὐμένης πρὸς Ἀντίγονον ἐν Ἀσίᾳ.*

## 5. ΠΑΡΜΕΝΙΩΝ.

333/32 *Παρμενίων μετὰ τὴν ἐν Ἰσσῷ μάχην ὑπὸ Ἀλεξάνδρου πεμφθεὶς εἰς Δαμασκὸν ἐπὶ τὴν ἀποσκευὴν τῶν Περσῶν συνῆψε τοῖς σκευοφόροις. ἐπεὶ δὲ οἱ βάρβαροι φοβηθέντες ἔφυγον, ἐννοήσας Παρμενίων, ὅτι μὴ δύναται διασῶσαι τοσαύτην ἀποσκευήν, τῶν κομιζόντων βαρβάρων φυγόντων, τρεῖς ἴλας ἱππέων πέμψας πρὸς αὐτοὺς ἐκήρυξεν ‘ὃς ἂν μὴ ταῖς ἑαυτοῦ χερσὶ λάβηται τῶν ἰδίων ὑποζυγίων, φονευθήσεται’. τοῦτο τὸ κήρυγμα οἱ βάρβαροι δείσαντες αὖθις προσῆλθον τοῖς ὑποζυγίοις καὶ τὴν ἀποσκευὴν διεκόμισαν.*

## 6. ΑΝΤΙΓΟΝΟΣ.

244 1 *Ἀντίγονος ἐκράτησε Κορίνθου τοιῷδε στρατηγήματι. Ἀλέξανδρος ὁ κατέχων Ἀκροκόρινθον ἐτελεύτησεν· ἦν αὐτῷ γυνὴ Νίκαια ἡλικίας ἅλις ἔχουσα. ταύτην Ἀντίγονος τῷ υἱῷ Δημητρίῳ μνηστεύεται· ἡ δὲ ἀσμένη μειρακίῳ καὶ βασιλεῖ πρὸς γάμον αὑτὴν ἐπέδωκεν. ἦν θυσίᾳ μεγαλοπρεπής· πανήγυρις Ἑλληνική· Ἀμοιβεὺς κιθαρῳδεῖν ἔμελλε· πολλὴ σπουδὴ περὶ τὴν θέαν ἦν· τὴν Νίκαιαν αὐτὴν ἐν φορείῳ βασιλικῶς*

---

Cap. 6. De fontibus cf. J. p. 618—627.
Cap. 6. § 1. Cf. Plut. Arat. 17. — Cf. Droysen III, 1, p. 412 et not. 1, qui haec ad Phylarchum refert.

---

6 *Περσῶν* Freinsheim ad Curt. 3, 13, 9; *πεζῶν* F ‖ 7 *ἔφυγον* F] *ἔφευγον* vulg. ‖ 12 *αὖθις* Hertlein; *αὐτοὶ* F; *αὐτοὶ* aut deleri aut in *αὐτίκα* mutari vult K ‖ 19 *καὶ βασιλεῖ* R censor Ienensis Patakis; *βασιλεῖ καὶ* F; *καὶ* del. K ‖ 22 *φεραίῳ* F ‖ *βασιλικῶς* Plut. et V; *βασιλικῷ* F: cf. 4, 8, 2.

κεκοσμημένῳ, τρυφῶσαν καὶ θρυπτομένην, δορυφόροι παρέπεμπον. ἐς δὲ τὸ θέατρον ἐσιούσης, μακρὰν χαίρειν τῷ κιθαρῳδῷ καὶ τῷ γάμῳ φράσας Ἀντίγονος ὥρμησεν ἐπὶ τὸν Ἀκροκόρινθον καὶ τῶν φυλάκων περὶ τὴν πανήγυριν ἀσχολουμένων καὶ θέαν κατειληφότων ῥᾳδίως κατέσχε τὸ χωρίον καὶ τῆς Κορίνθου πάσης ἐκράτησε στρατηγήματι τῷ γάμῳ χρησάμενος.

e. 1 Ἀντίγονος ταῖς πρεσβείαις χρηματίζων προεδιδάσκετο ἐκ τῶν ὑπομνημάτων, τίνες εἶεν ὡς αὐτὸν οἱ καὶ πάλαι πρεσβεύσαντες καὶ μετὰ τίνων καὶ ὑπὲρ οἵων πραγμάτων. ἐν δὲ ταῖς ἐντεύξεσιν ἀπομεμνημένος ἑκάστου πρὸς τοὺς πρεσβεύοντας πάντας ἐξεπτόησεν ὡς μνήμην ἔχων ὑπερβάλλουσαν. 2

Ἀντίγονος Μέγαρα πολιορκῶν τοὺς ἐλέφαντας 3 266-
ἐπῆγεν. οἱ Μεγαρεῖς σύας καταλείφοντες ὑγρᾷ πίσσῃ καὶ ὑφάπτοντες ἠφίεσαν· αἱ δὲ ὑπὸ τοῦ πυρὸς καιόμεναι κεκραγυῖαι πολλῷ δρόμῳ εἰς τοὺς ἐλέφαντας

---

Cap. 6. § 2. Ad Antigonum Demetrii filium referunt Droysen II, 1, p. 315 et Kallenberg, Philol. 36, p. 227; sed cf. J. p. 627.

Cap. 6. § 3. Ex Phylarcho coll. Aeliano de nat. animal. 11, 14 et Athen. 13, 85 p. 606. — De tempore cf. praeter Droysen. III, 1, 236 sq. Le Bas, le siége de Mégare, Paris 1842 et v. Wilamowitz-Möllendorff, Antigonos von Karystos, p. 226, not. 50.

---

2 μακρὰν W coll. 5, 36; μακρὰ F ‖ 8 προεδιδάσκετο Patakis et Hertlein; προεδίδασκεν F ‖ 9 εἶεν om. vulg. cf. 5, 2, 4. 5, 2, 15 ‖ οἱ καὶ F] καὶ οἱ MCD; εἰ καὶ K addito [οἱ πρεσβεύοντες] post εἶεν ‖ 12 ἑκάστου [ῥηθέντος] πρὸς τοὺς πρεσβεύσαντας R ‖ πάντας H, om. F ‖ ἐξεπτόησεν (= ἐξέπληξεν) vel ἐξεπτοίησεν R et Hertlein (cf. ad 1, 3, 4); ἐξεποίησεν F; ἐξέπλησσεν Cas., quod confirmari videtur lectione H ἵνα ἀπομνημονεύων ταῦτα πάντας ἐκπλήσσῃ ὡς πολυμνήμων et Leonis Tact. 20, 219 ἵνα ἐν ταῖς ἐρωτήσεσι καὶ συντυχίαις ἐκπλήσσῃς αὐτοὺς ὡς πάνυ μνημονικὸς καὶ πολύπειρος ‖ 13 μνήμη F ‖ 14 μέγα F ‖ 15 ἐπῆγεν FS vulg.; ἐπήγαγεν M.

ἐνέπιπτον· οἱ δὲ οἰστρῶντες καὶ ταρασσόμενοι ἄλλος ἄλλῃ διέφευγον. Ἀντίγονος τοῦ λοιποῦ προσέταξε τοῖς Ἰνδοῖς τρέφειν ὗς μετὰ τῶν ἐλεφάντων, ἵνα τὴν ὄψιν αὐτῶν καὶ τὴν κραυγὴν τὰ θηρία φέρειν ἐθίζοιτο.

321 4 Ἀντίγονος Ἀντίπατρον κινδυνεύοντα βληθῆναι ὑπὸ Μακεδόνων ἔσωσε. τοῦ στρατοπέδου μέσος ἦν ποταμὸς ὀξὺς τὸ ῥεῦμα γέφυραν ἔχων· ἔνθεν οἱ Μακεδόνες ἐσκήνουν· ἐκεῖθεν Ἀντίγονος ἔχων ἱππέας ὁμοφρονοῦντας. οἱ μὲν μετὰ πολλοῦ θορύβου καὶ μεγάλης βοῆς ᾔτουν χρήματα βαλεῖν ἀπειλοῦντες, εἰ μὴ λάβοιεν· Ἀντίπατρος δὲ μὴ ἔχων δοῦναι ἦν ἐν ἀμηχάνῳ. Ἀντίγονος ἔφη πρὸς αὐτὸν ‘ἀλλ’ ἔγωγέ σοι δώσω καιρὸν ἀφόδου’. ταῦτα εἰπών, ἐν αὐτῇ τῇ πανοπλίᾳ διαδραμὼν τὴν γέφυραν, μέσας τεμὼν τὰς φάλαγγας ἑκάστῳ προσῄει ἐοικὼς δημηγορήσοντι. οἱ Μακεδόνες ὡς ἀνδρὶ τῶν ἐπιφανῶν ἐξεχώρουν καὶ παρίεσαν καὶ πάντες εἵποντο ἀκουσόμενοι [ὧν] προλέγειν μέλλει. ἐπεὶ δὲ περιέστη τὸ πλῆθος, μακρὰ ἐδημηγόρησεν ἀπολογούμενος ὑπὲρ Ἀντιπάτρου, ἐπαγγελλόμενος, παρακαλῶν, διαλλάσσων. ἐν δὲ τῷ καιρῷ τῆς μακρᾶς δημηγορίας Ἀντίπατρος μετὰ τῶν ἱππέων τὴν γέφυραν παρελθὼν ἐξέφυγε τοὺς ἀπὸ τῶν στρατιωτῶν λίθους.

---

Cap. 6. § 4. Cf. Diod. 18, 39, 3. — Kallenberg, Philol. 36, p. 528.

---

2 *διέφυγον* C. Müller ‖ 5 *βληθῆναι* corr. Hardtius in cod. *δ*; *κληθῆναι* p; *κλιθῆναι* F; *lapidaretur* (*καταλευσθῆναι*) V Cas. K: cf. infra v. 10 ‖ 8 *Ἀντίγονος* V; *Ἀντίπατρος* F ‖ 10 *βαλεῖν* M; *καλεῖν* F ‖ 16 *παρίεσαν* K; *παρήεσαν* F ‖ 17 *ὧν προλέγειν* MC; *edicere* V; *ὧν λέγειν* vulg.; *ὧν* om. F ‖ 18 *περίεστι* F ‖ 19 *ἐπαγγελόμενος* F ‖ 22 *παρελθὼν* Cas.; *προελθὼν* F.

13, 7 *Ἀντίγονος ὁ πρῶτος, [εἰ μὲν δύναμιν εἶχε] αὐτὸς ἰσχυροτέραν, τῷ πολέμῳ σχολαίτερον ἐχρῆτο· εἰ δὲ ἀσθενεστέραν, φιλοκινδύνους τὰς ἐπιθέσεις ἐποιεῖτο τοῦ ζῆν ἀγεννῶς τὸ θνήσκειν ἀνδρείως αἱρετώτερον ἡγούμενος.* 5

*Ἀντίγονος ὅτε περὶ Καππαδοκίαν ἐχείμαζεν, ἀπέστησαν αὐτοῦ Μακεδόνες ὁπλῖται τρισχίλιοι. οὗτοι καταλαβόμενοι λόφους καρτεροὺς Λυκαονίαν ἐπόρθουν, ἤδη δὲ καὶ Φρυγίαν. Ἀντίγονος κτεῖναι μὲν τοσούτους ὠμὸν ἡγεῖτο· ἐδεδοίκει δέ, μὴ προσθοῖντο τοῖς πολεμίοις, ὧν Ἀλκέτας ἦρχεν. τοιοῦτό τι οὖν ἐμηχανήσατο. καθῆκε πρὸς αὐτοὺς Λεωνίδαν τῶν ἰδίων ἡγεμόνων [ὡς ἐπὶ] κοινοπραγίᾳ τῆς ἀποστάσεως δή· οἱ δὲ ἄσμενοι τὸν ἄνδρα ἐδέξαντο καὶ στρατηγὸν εἵλοντο. Λεωνίδας πρῶτον μὲν ἔπεισεν αὐτοὺς προστίθεσθαι μηδενί, ὥστε γε τοῦτο πρῶτον Ἀντιγόνῳ κατώρθωτο· ἔπειτα δὲ κατήγαγεν αὐτοὺς ἀπὸ τῶν λόφων ἐς χωρίον ἱππάσιμον, ἀφίππους ὄντας. ἐνταῦθα προσιππασάμενος Ἀντίγονος Ὀλκίαν καὶ δύο τῆς ἀποστάσεως ἐξάρχους συνέλαβεν. οἱ μὲν ὑπὲρ σωτηρίας αὐτῶν ἱκέτευον. ὁ δὲ ἀφήσειν τούτους ὑπέσχετο, εἰ μετὰ ἡσυχίας εἰς* 6 320/1

1 *εἰ μὲν δύναμιν εἶχε*] W addidit ex H *ὅτι Ἀντίγονος εἰ μὲν εἶχεν μείζονα δύναμιν*; post *πρῶτος* lacuna iu F; *ἔχων χεῖρα* post *ἰσχυροτέραν* add. vulg. Roth, qui codicis folium circumcisum sive ambustum fuisse statuens has notavit lacunas: v. 1 * * *αὐτὸς ἰσχ.*, 3 * * *βιαίου κινδύνου*, 6 *Ἀντίγονος* * * *οἷς περὶ*, 9 *Φρυγίαν* * * (deest verbum). *Ἀντίγονος*, 11 *ἦρχεν* * * *οὐ πρὸς ὁτιοῦν*, 13 * * *κοινοπραγία*; p. 190, 3 * * *ὡς*, 7 *ἐδίωκε* * * *τοῦ ζῆν*, 14 * * *κατέλαβε* ‖ 3 *φιλοκινδύνους* H (*εἰ δὲ ἀσθενεστέραν νέους καὶ φιλοκινδύνους τὰς ἐπιθέσεις προετρέπετο*); *βιαίου κινδύνου* F; *μετὰ κινδύνου* R ‖ 6 *ὅτε* Rud. Schoell; *οἷς* F; *οὗτος* Cas. ‖ 11 *Ἀλκέτας* Cas.; *Λακέτας* F ‖ *τοιοῦτό τι ουν* vulg.; *οὐπροσοτιοῦν* F ‖ 13 [*ὡς ἐπὶ*] Sittl; [*ἐπὶ*] vulg. ‖ 20 *αὐτῶν* F.

*Μακεδονίαν ἐπανέλθοιεν. ἐπὶ τούτοις ἐσπείσαντο καὶ ἀνεχώρησαν. Ἀντίγονος Λεωνίδαν τῶν ἀνδρῶν ἡγήσασθαι μέχρι Μακεδονίας [ἐκέλευσεν] ὡς ἀσφαλῶς αὐτοὺς εἰς τὴν οἰκείαν παραπέμψοντα.*

319 7 *Ἀντίγονος Ἄτταλον, Ἀλκέταν, Δόκιμον, στρατηγοὺς Μακεδόνων οὐκ ἀδόξους, ἐν αὐλῶνι Πισιδικῷ στρατοπεδεύοντας ἐδίωκε κρύβδην. τῶν δ' ἐλεφάντων κλαγξάντων καὶ φρυαξαμένων ᾔσθοντο, ὡς Ἀντίγονος προσάγοι· μόνῳ γὰρ τούτῳ παρασκευὴ τοιούτων θηρίων ἦν. Ἀλκέτας τὸ πελταστικὸν ἀναλαβὼν τὴν διὰ τῶν ὀρῶν τραχεῖαν καὶ δύσβατον οὖσαν ἠπείγετο καταλαβέσθαι. Ἀντίγονος Ἀλκέταν μὲν οὐκ ἐδίωξε· λοξώσας δὲ τὴν στρατιὰν ὑπὸ τοὺς τῶν ὀρῶν λαγόνας ἔσπευσεν ἐπὶ τὸ στρατόπεδον [καὶ] κατέλαβε τῶν πολεμίων τοὺς μὲν ἄρτι ὁπλιζομένους, τοὺς δὲ ἀόπλους, ταρασσομένους δὲ πάντας· ὥστε φόνου μὲν ἀπεχόμενος, σωτηρίαν δὲ ὑποσχόμενος χωρὶς μάχης ἐνίκησεν.*

318 8 *Ἀντιγόνου νῆες ἑκατὸν τριάκοντα, ὧν ἦν ναύαρχος* e. 57, 1ī *Νικάνωρ, ἐναυμάχησαν πρὸς τὸ Πολυσπέρχοντος ναυτικόν, οὗ Κλεῖτος ἐναυάρχει. Ἑλλήσποντος, ἔνθα ἡ*

Cap. 6. § 7. Ex Hieronymo Cardiano coll. Diod. 18, 44 sq. — Cf. Kallenberg, Philol. 36, p. 644.

Cap. 6. § 8. Ex Hieronymo Cardiano coll. Diod. 18, 72. — Droysen II, 1, p. 231, not. 1 et 2.

1 *ἐσπείσατο καὶ ἀνεχώρησεν Ἀντίγονος* F, corr. vulg. ‖ 3 [*ἐκέλευσεν*] Cas. ‖ 5 *Ἀλκίταν* F ‖ 6 *αὐλῶνι* Cas.; *αὐλῶ* F ‖ 7 *κρύβδην* K ex V *clam; τοῦ ζῆν* F ‖ 8 *φρυαξαμένων* K ut 1, 46; *φριξαμένων* F; *φριμαξαμένων* P ‖ 9 *προσάγοι* F] *προσάγει* M vulg. ‖ 13 *τοὺς* F; *τὰς* vulg.: cf. Lobeck ad Soph. Ai. 667 ‖ *ἔσπευσεν* F] *ἔσπευδεν* vulg. ‖ 14 [*καὶ*] *κατέλαβε* W ex V *eosque obruit; κατέλαβε δὲ* vulg. *κατελαβεν τὰς* F ‖ 18 *Ἀντίγονος νῆας ἔχων ..... ἐναυμάχησε* D; *Ἀντ. ναῦς ἔχων ... ναυμαχήσας* H ‖ 19 *Πολυσπέρχοντος* H et C marg.; *Πολυν χοστος* F.

μάχῃ. Νικάνωρ τῶν ναυτῶν ὑπ' ἀπειρίας πρὸς ἐναντίον κῦμα βιαζομένων ἀπέβαλε ναῦς ἑβδομήκοντα. τῶν πολεμίων λαμπρῶς νικησάντων παρῆν Ἀντίγονος ἑσπέρας καὶ τὴν ἧτταν οὐκ ἔδεισεν· ἀλλὰ τοὺς μὲν ἐπὶ τῶν λοιπῶν νεῶν ἑξήκοντα ἑτοίμους εἶναι πρὸς ναυμαχίαν αὖθις νυκτὸς ἐκέλευσε· τῶν δὲ ὑπασπιστῶν τοὺς ἀλκιμωτάτους ἐπιστήσας τοῖς σκάφεσι προσέταξεν ἀπειλεῖν ὡς ἀποκτενοῦσι τοὺς μὴ χωροῦντας ἐς μάχην. Βυζάντιον δὲ φίλην ἔχων, ἐγγὺς οὖσαν, ἐντεῦθεν ὑπηρεσίαν ναυτικὴν διὰ τάχους ἐκέλευσε [ἐπιπλεῦσαι], πελταστὰς καὶ ψιλοὺς καὶ τοξότας χιλίους παρὰ τὰς ναῦς τῶν πολεμίων ὁρμούσας ἀπὸ γῆς ἀκοντίζειν καὶ τοξεύειν ἔταξεν. ταῦτα μὲν ἐν νυκτὶ μιᾷ διετέτακτο. ἀρχομένης δὲ ἕω οἱ μὲν ἀπὸ γῆς ἐτόξευον καὶ ἠκόντιζον· οἱ πολέμιοι δὲ, οἱ μὲν ἔτι καθεύδοντες, οἱ δὲ ἄρτι ἀφυπνίζοντες, ἀφυλάκτως ἐτιτρώσκοντο. ἄλλοι μὲν ἀνέσπων τὰ πρυμνήσια, ἄλλοι δὲ ἀνεῖλκον τὰς ἀποβάθρας, ἄλλοι δὲ ἀγκύρας ἀνιμῶντο· πάντων δὲ βοὴ καὶ τάραχος ἦν. Ἀντίγονος ἐσήμηνε καὶ ταῖς ἑξήκοντα ναυσὶν ἐπιπλεῦσαι καὶ μετὰ θυμοῦ καὶ ῥοθίου ποιεῖσθαι τὰς ἐμβολάς. αὐτίκα δὴ συνέβαινε, τῶν μὲν ἀπὸ γῆς βαλλόντων, [τῶν δὲ ἐπιπλεόντων,] κρατεῖν μὲν [τοὺς ἡττημένους, ἡττᾶσθαι δὲ] τοὺς νενικηκότας.

---

1 τῶν ναυτῶν $F_2$ MC; τῶν αὐτῶν $F_1$; τῶν αὐτοῦ vulg. ‖ 3 τῶν δὲ M ‖ 6 αὖθις] αὐτῆς coni. K; εὐθὺς Patakis ‖ 10 [ἐπιπλεῦσαι] suppl. W; [ἥκειν] K; ἐκάλεσε pro ἐκέλευσε Cas.; παρὰ γὰρ τῶν Βυζαντίων μεταπεμψάμενος ναῦς ὑπηρετικὰς Diod. l. l. ‖ 11 χιλίους οὓς Cas. K ‖ 22 βαλλόντων M; βαλόντων F ‖ [τῶν δὲ ἐπιπλεόντων] K; τῶν μὲν ἔξωθεν, τῶν δὲ ἀπὸ τῶν νεῶν ἐπιθεμένων H ‖ 23 [τοὺς ἡττημένους, ἡττᾶσθαι δὲ] suppl. W coll. 4, 13. 5, 21. 5, 22, 1 etc.; κρατεῖσθαι omisso μὲν K.

318 9 Ἀντίγονος μετὰ τὴν νίκην τῆς ἐν Ἑλλησπόντῳ ναυμαχίας πλεῖν τὰς ναῦς ἐπὶ Φοινίκης ἔταξε, τοὺς μὲν ναύτας ἐστεφανωμένους, τὰς δὲ πρύμνας κεκοσμημένας λαφύροις καὶ ἀκροστολίοις αἰχμαλώτων τριήρων· τοῖς δὲ κυβερνήταις ἐνετείλατο κατὰ τὸ πέλαγος παραπλεῖν πᾶσι μὲν ὅρμοις, πάσαις δὲ πόλεσι προσπελάζοντας, ὅπως ἡ νίκη διαβόητος ἀνὰ πᾶσαν τὴν Ἀσίαν γένοιτο. Φοίνισσαι νῆες ὁρμοῦσαι Κιλικίας ὑπὸ τῷ Ῥωσίῳ λιμένι χρήματα Εὐμένους ἄγουσαι Σωσιγένην ναύαρχον εἶχον. ὁ μὲν Σωσιγένης ἐπὶ ὀρθίου πάγου διέτριβεν ἀποσκοπῶν τὴν τοῦ πελάγους κίνησιν. οἱ δὲ ἀπὸ τῶν Φοινισσῶν νεῶν, ὡς εἶδον τὰς νικώσας λαμπρῶς κεκοσμημένας, ἁρπάσαντες τὰ χρήματα ἐσεπήδησαν ἐς τὰς Ἀντιγόνου τριήρεις· αἱ δὲ αὐτίκα ἀνήγοντο πολλὰ χρήματα καὶ συμμάχους [ἄγουσαι]. Σωσιγένης δὲ ὁ ναύαρχος τὸ πέλαγος ἀπεσκόπει.

317 10 Ἀντίγονος καὶ Εὐμένης παρετάξαντο· ἀγχώμαλος ἡ νίκη· Εὐμένης κήρυκα περὶ νεκρῶν ἀναιρέσεως ἔπεμψεν. Ἀντίγονος πλείονας ὄντας τοὺς οἰκείους νεκροὺς λαθεῖν βουλόμενος ἐπὶ τοσοῦτον κατέσχε τὸν κήρυκα, ἐφ᾽ ὅσον αὐτῶν πάντων τὰ σώματα ἐκαυ- cf. e. 34, 1

---

Cap. 6. § 9. Cf. Droysen II, 1, 157 sq.

Cap. 6. § 10. Ex Hieronymo Cardiano coll. Diod. 19, 32. — Ad §§ 10. 11. 12. 13 (et ad cap. 8, § 4), quos inter se cohaerere apparet, cf. praeter Droysen. II, 1, p. 285 sq. Kallenberg, Philol. 36, p. 654 sq., ubi Polyaeni, Plutarchi, Diodori, Nepotis narrationes comparantur.

---

6 προσπελάζοντας M; προσπελάζοντος F ‖ 8 νέες F ‖ 10 ὀρθίου πάγου M; ὀρθίου μάγου F; Ὀρθιουμάγου vulg.; Ὀρθόπαγος Plut. Sulla 17 ‖ 15 [ἄγουσαι] Cas. ‖ 19 πλείονας vulg.; πλέονας F hoc uno loco ‖ 20 κάτεσχε vulg., cf. 1, 30, 5. 4, 6, 17. 5, 2, 7. 8; παρέσχε F; παρακατέσχε W ex Diod. παρακατασχὼν τὸν κήρυκα.

σεν. ἐπεὶ δὲ πέρας ἔσχεν ἡ ταφὴ, τότε τὸν κήρυκα ἀπέπεμψε συγχωρῶν τὴν ἀναίρεσιν.

11 317 Ἀντίγονος ἐν Γαδαμάρτοις τῆς Μηδίας προσεχείμαζεν. Εὐμένης προκατελάβετο τὴν ὁδὸν ἄχρι σταδίων χιλίων διατάξας τὴν δύναμιν πανταχοῦ. ἦν δὲ ἡ μὲν ὁδὸς παρὰ τὰς ὑπωρείας· τὸ δὲ κάτω πεδίον ὁμαλὸν, ἄνυδρον, ἀοίκητον, οὐ βοτάνην ἔχον, οὐ δένδρον, οὐ φυτὸν, ἀσφαλτῶδες δὲ καὶ πλῆθον ἁλμυρίδος· οὐκ ἄρα ἦν διαβατὸν οὔτε ζώοις οὔτε ἀνθρώποις. Ἀντίγονος τὰς κατὰ τὴν ὁδὸν φυλακὰς ἐκκλῖναι στρατηγῶν μέσον ἔγνω τὸ πεδίον τεμέσθαι. προσέταξε δὴ ῥάψασθαι μυρίους ἀσκοὺς καὶ πλῆσαι τούτους ὕδατος καὶ σιτία δέκα ἡμερῶν πέψαντας ἔχειν καὶ κριθὰς τοῖς ἵπποις καὶ χιλὸν αὐτάρκη. τὰ μὲν ηὐτρέπιστο· ὁ δὲ διὰ τῆς ἀοικήτου μέσης ἦγε τὴν στρατιὰν τῇ νυκτὶ [πυρὰ] καίειν οὐκ ἐπιτρέπων, ἵνα μὴ τοῖς φυλάττουσι τὰς ὑπωρείας κατάδηλον γένηται. καὶ μὴν μέχρι τέλους ἔλαθον ἄν, εἰ ἐπείσθησαν τῷ Ἀντιγόνου παραγγέλματι. ὀλίγοι δὲ αὐτῶν παγετώδους νυκτος γενομένης πῦρ ἀνέκαυσαν, ὥστε τὴν φλόγα ἰδόντες οἱ πολέμιοι συνῆκαν καὶ τὸ πεδίον ἐκβαινόντων προσβαλόντες κατὰ τὴν οὐραγίαν ἔστιν οὓς τῶν ὑστάτων ἀπέκτειναν. ὅσον δὲ ἐπὶ τῷ Ἀντιγόνου στρατηγήματι ἀβλαβεῖς ἐσώθησαν [ἂν] πάντες.

Cap. 6. § 11. Ex Hieronymo Cardiano coll. Diod. 19, 37. — Cf. Corn. Nep. Eumen. 8 et Plut. Eumen. 15 sq.

3 *Γαδαμάρτοις*] cf. Droysen II, 1, p. 287, not. 2 et J. p. 622 || *Μηδίας* F, Diod., ut 4, 6, 14; *Μηδείας* M vulg. || 8 *πλῆθον* K; *πλῆθος* F; *μεστὸν ἁλμυρίδος* Plut. Eumen. 16 || 11 *μέσων* F || *τεμέσθαι* K; *ἐπεμεσθαι* F; *ἕπεσθαι* M vulg.: cf. 4, 6, 4 || *προσέταξε* (corr. *προέταξε*) *δὴ ῥάψασθαι προσέταξεν μυρίους* (sic) F || 13 *πέψαντας* Cas.; *πέμψαντας* F || 16 [*πυρὰ*] K || 17 *κατάδηλος* K || 24 [*ἂν*] Sittl.

316 12 Ἀντίγονος ἐν παρατάξει ὄρους ὑπτίαν λαγονα περιλαβὼν, ὡς εἶδεν Εὐμένους ἀνὰ τὸ πεδίον ἔκταξιν οὐκ ἰσχυρὰν, τοῖς ὀπισθοφυλακοῦσιν ἐπιπέμψας ἱππικὰ στίφη πολὺ μέρος τῆς ἀποσκευῆς αὐτοῦ κατέσυρεν. e. 50, 2

316 13 Ἀντίγονος περὶ τὴν Γαβιηνὴν συνέβαλλεν Εὐμένει μάχην. ἦν πεδίον λεπτόγεων καὶ ψαμμῶδες· ἐν τούτῳ συνιόντων μεγάλων στρατευμάτων αἴρεται νεφελώδης κόνις ἐπισκοτοῦσα καὶ φιλίοις καὶ πολεμίοις. ἡ μάχη μὲν ἐν χερσὶν ἦν. Ἀντίγονος δὲ τῶν Εὐμενείων στρατιωτῶν εἰδὼς ἑπομένην τὴν ἀποσκευὴν, ἐν ᾗ γυναῖκες ἦσαν αὐτῶν καὶ τέκνα καὶ παλλακαὶ καὶ οἰκέται καὶ χρυσὸς καὶ ἄργυρος καὶ ὅσα ἄλλα ἐκτήσαντο ἀπὸ τῆς μετὰ Ἀλεξάνδρου στρατείας, ἐκέλευσεν ἐπιλέκτους ἴλας περιελάσαι τὴν ἀποσκευὴν ἐς τὴν ἑαυτῶν στρατοπεδείαν. οἱ μὲν περιήλασαν ἀσχολουμένων τῶν πολεμίων περὶ τὴν μάχην καὶ τῆς κόνεως ἐπισκοτούσης. ἐπεὶ δὲ πέρας ἔσχεν ἡ μάχη [καὶ] πεντακισχίλιοι μὲν ἔπεσον Ἀντιγόνου, τριακόσιοι δὲ Εὐμένους, μέγα δὴ φρονοῦντες ἐπὶ τῇ νίκῃ διελύθησαν. ἐπεὶ δὲ τὴν ἀποσκευὴν εἶδον ἡρπασμένην καὶ τοὺς οἰκείους ἀπολωλότας, ἀθυμία καὶ θρῆνος ἦν τῶν νενικηκότων, ὥστε οἱ πλεῖστοι διὰ τὸν ἔρωτα τῶν οἰκείων ἐπρεσβεύοντο παρὰ Ἀντίγονον ἀξιοῦντες αὐτῷ προστίθεσθαι. Ἀντίγονος τὴν ἀποσκευὴν τῶν Εὐμενείων στρατιωτῶν e. 50, 3

---

Cap. 6. § 13. Ex Hieronymo Cardiano coll. Diod. 19, 42 sq. — Cf. Plut. Eumen. 16 sq.

---

2 περιβαλὼν K ‖ 6 συνέβαλλεν F] συνέβαλε vulg. ‖ 11 ἑπομένην K; ἀπομένην M; ἀπομένειν F vulg. contra stilum Polyaeni ‖ 13 ἄλλα ὅσα F: cf. ad 1, 1, 1 ‖ 15 ἑαυτῶν F corr.] αὐτῶν $F_1$ M; ἑαυτοῦ vulg. ‖ 18 [καὶ] K.

*ἁρπάσας, ἐπειδὴ βαρέως ἔφερον ἀπολέσαντες τὰ φίλτατα, ἐκήρυξεν προῖκα ἀποδώσειν τὰ ἡρπασμένα. οἱ δὲ πρὸς τὸ κήρυγμα αὐτίκα μετεβάλοντο, οὐ μόνον οἱ Μακεδόνες, ἀλλὰ καὶ μύριοι Περσῶν, ὧν ἦρχε Πευκέστης· καὶ γὰρ οὗτος τοὺς Μακεδόνας ἰδὼν ἀντιγονίζοντας ὡς τούτους ἐνέκλινεν. τέλος δὲ τοσαύτη μεταβολὴ γνώμης καὶ τύχης ἐγένετο, ὥστε οἱ ἀργυράσπιδες συλλαβόντες Εὐμένη δεσμώτην παρέδωκαν, Ἀντίγονος δὲ ἁπάσης τῆς Ἀσίας βασιλεὺς ἀνηγορεύθη.*

*Ἀντίγονος Πίθωνα σατράπην Μηδίας πυθόμενος* 14 31 *ξενολογεῖν καὶ χρήματα συλλέγειν, ἀποστῆναι βεβουλευμένον ἀπιστεῖν τοῖς ἀγγέλλουσι προσεποιήσατο φάσκων 'οὐκ ἂν ἐγὼ πιστεύσαιμι ταῦτα Πίθωνα πράττειν, ᾧ πεντακισχιλίους Μακεδόνας ὁπλίτας καὶ Θρᾷκας χιλίους φύλακας τῆς σατραπείας πέμψαι παρεσκεύακα'. ταῦτα Πίθων ἀκούσας πιστεύει τῇ φιλανθρωπίᾳ καὶ διὰ τάχους ἧκε ληψόμενος τὴν ἐπικουρίαν. Ἀντίγονος δὲ ἐς τὸ κοινὸν τῶν Μακεδόνων ἐσαγαγὼν Πίθωνα ἑλὼν τιμωρησάμενος ἀπέκτεινεν.*

*Ἀντίγονος τοὺς ἀργυράσπιδας, οἳ τὸν Εὐμένη* 15 31 *δεσμώτην αὐτῷ παρέδωκαν, ἐτίμησε δωρεαῖς· τὸ δὲ ἄπιστον αὐτῶν φυλαττόμενος χιλίους μὲν αὐτῶν ἔδωκε*

---

Cap. 6. § 14. Ex Hieronymo Cardiano coll. Diod. 19, 46. — Cf. Droysen II, 2, p. 306, not. 1 et J. p. 624.

Cap. 6. § 15. Ex Hieronymo Cardiano coll. Diod. 19, 48. — Cf. Plut. Eumen. 19.

---

1 *ἐπεὶ δὲ* F ‖ 2 *ἐκήρυξαν* F ‖ *προῖκαν* F ‖ 3 *μετεβάλλοντο* F ‖ 5 *ἀντιγωνίζοντας* F corr. ex *ἀνταγώνιζοντας* ‖ 10 *Πίθωνα* F, et sic infra; *Pithon* Curtius Iustin.; *Πύθων* vulg. Diod. ‖ 12 *απιστεῖν* $P_2$ marg.: cf. Diod. 19, 46 *προσποιηθεὶς δὲ ἀπιστεῖν τοῖς διαβάλλουσι*; *πίστιν* F ‖ *ἀγγέλουσι* F ‖ 13 *οὐκ* om. F ‖ 15 *χιλίους* K; *καὶ χιλίους* F ‖ *πέμψαι* K; *πέμψας* F; *συμπέμψας* D; *συμπέμψαι* vulg. ‖ 19 [*καὶ*] *ἑλὼν* K.

*Μακεδόνων ἀνῃροῦντο, οἱ δὲ πλείους ὑπ' ἀλλήλων καταπατούμενοι διεφθείροντο.*

326 22 *Ἀλέξανδρος ἐν τῇ πρὸς Πῶρον μάχῃ τὸ μὲν* c. 17, 3 *ἱππικὸν ἐπὶ τοῦ δεξιοῦ κέρως ἔταξεν ἐν μετώπῳ τὸ ἥμισυ, τὸ δὲ λοιπὸν ἐν ἐπικαμπίῳ, τὴν δὲ φάλαγγα καὶ τοὺς ἐλαφροὺς ἐπὶ τοῦ λαιοῦ κέρως ἔστησε καὶ ἀπὸ τούτων ἐπικάμπιον ἔταξε. Πῶρος δὲ πολλοὺς ἐλέφαντας ἀντιπαρατάξας αὐτὸς μὲν κατὰ τὸ λαιὸν ἐπὶ τοῦ ἡγουμένου ἐλέφαντος ἦν· τοὺς δὲ λοιποὺς ἐλέφαντας ἐκ διαστήματος πεντήκοντα ποδῶν μέχρι τοῦ δεξιοῦ κέρως ἔστησε· τὰ δὲ μέσα τῶν θηρίων ἀνδράσι πεζοῖς ἀνεπλήρωσεν, ὥστε ἦν τὸ σχῆμα τείχει μεγάλῳ παραπλήσιον, οἱ μὲν ἐλέφαντες ἐοικότες πύργοις, οἱ δὲ πεζοὶ μεσοπυργίοις. ἔνθα δὴ παραγγείλας Ἀλέξανδρος τοὺς πεζοὺς ἀντιπαράγειν τοῖς πολεμίοις, αὐτὸς τὴν ἵππον ἐπὶ δόρυ σφοδρότερον ἤλασεν βουλόμενος ὑπερκεράσαι τοὺς ἐναντίους. τοῦτο φυλασσόμενος Πῶρος ἀντιπαρῆγε. τῷ δὲ μὴ φθάνειν τὰ θηρία διέσπα κατὰ πολλὰ τὴν τάξιν. τῶν Μακεδόνων τοῖς διασπάσμασιν*

---

Cap. 3. § 22. Cf. Diodor. 17, 87; Curt. 8, 14. — Droysen I, 2, p. 141, not.

---

4 *μετώπῳ* HS; *τόπῳ* F ‖ *τὸ ἥμισυ* S; om. F vulg. ‖ 5 *ἐπικαμπίω* HS; *ἐπικαμπεῖ καμπίῳ* F ‖ 6 *ἐλαφροὺς* S; *ἐλέφαντας* FH vulg., et adnotarat iam Maiseroy, Cours de tactique I, 253 sq. nullos Alexandro in ipsa pugna fuisse elephantos ‖ 7 *ἐπικάμπιον* HS; *ἐπικαμπίων* F ‖ 8 *ἀντιπαράξας* S ‖ 11 *μέσα* F; *τὰ* S; *τὰ δὲ μέσα [διαστήματα]* Wescher suppl. ex litteris *τα* in cod. S ‖ 13 *ἐοικότες* FS; *ἐοίκασιν* M ‖ 15 *τὴν* S; *εἰς τὴν* F vulg. ‖ 16 *ἐλάσειν βουλόμενος ὑπερκεράσας τοὺς πολεμίους* S ‖ 17 *φυλάσσων ὁ Πῶρος* S contra usum Polyaeni ‖ 18 *ἀντιπαρῆγε* SM; *ἀντιπαρήγγειλε* F ‖ *τὸ δὲ* S ‖ *διέσπα κατὰ πολλὰ τὴν τάξιν. τῶν Μακ.* F vulg.; *διεσπάετο τὰ πολλὰ τῆς τάξεως, τῶν τε Μακεδόνων* etc. S ‖ 19 *διάσπασιν* S.

ἐμπιπτόντων ἠναγκάζετο κατὰ πρόσωπον ἐπιστρέφων ἀγωνίζεσθαι. ἐν τούτῳ φθάνουσιν οἱ περὶ τὸν Ἀλέξανδρον ἱππεῖς ἐκπεριελθόντες καὶ κατὰ νώτου συνελάσαντες τοὺς Ἰνδοὺς τελεωτάτην νίκην ἀνείλοντο (μεθ᾽ ἣν βασιλεὺς Ἰνδικῆς Ἀλέξανδρος ἦν).

[Ἀλέξανδρος] Θεσσαλῶν τὰ Τέμπη φυλασσόντων 23 33
τῆς Ὄσσης τὰς ὀρθίους πέτρας ὑπορύξας καὶ προσπλάσας βαθμίδας μικράς, διὰ τούτων αὐτός τε καὶ οἱ Μακεδόνες ἀκροβατοῦντες ἀνέβησαν ἐπὶ τὰς κορυφὰς καὶ τὴν Ὄσσαν ὑπερβάντες Θεσσαλίαν εἶχον· Θεσσαλοὶ δὲ τὰ στενὰ τῶν Τεμπῶν ἐφύλασσον. ἔτι νῦν τοῖς διοδεύουσι τὰ Τέμπη πάρεστιν ὁρᾶν τὰς πέτρας τῆς Ὄσσης κλιμακηδὸν ᾠκοδομημένας· καλοῦσιν αὐτὰς την Ἀλεξάνδρου κλίμακα.

Ἀλέξανδρος ἐν μὲν τοῖς Μακεδόσιν ἢ ἐν τοῖς 24
Ἕλλησι δικάζων μέτριον καὶ δημοτικὸν ἔχειν τὸ δικαστήριον ἐδοκίμαζεν, ἐν δὲ τοῖς βαρβάροις λαμπρὸν καὶ στρατηγικόν, ἐκπλήσσων τοὺς βαρβάρους καὶ τῷ τοῦ δικαστηρίου σχήματι. ἐν γοῦν Βάκτροις καὶ Ὑρκανίοις καὶ Ἰνδοῖς δικάζων εἶχε τὴν σκηνὴν ὧδε πεποιημένην. ἡ σκηνὴ τὸ μέγεθος ἦν κλινῶν ἑκατόν· χρύσεοι

---

Cap. 3. § 23. Cf. Droysen I, 1, p. 107 et not. 2.

Cap. 3. § 24. Ex Phylarcho (coll. Aeliani var. hist. 9, 3 et Athen. 12, 55 pg. 539) haec excerpta esse censuerat W, sed cf. J. p. 616.

---

1 *κατὰ πρόσωπον μένειν. οἱ δὲ περὶ* etc. S ‖ 4 *τελειοτάτην* S; [*καὶ*] *τελ.* R ‖ 5 *μεθ᾽ ἣν βασιλευσιδίκης* (ex *Ἰνδικῆς* corruptum) *Ἀλέξανδρος ἦν* S; *Μεθ᾽ ἣν βασιλεὺς Ἀλέξανδρος Ἰνδικῆς Θεσσαλῶν* etc. F; *Ἔτι ὁ βασιλεὺς Ἀλ. Θεσσαλῶν* etc. D; ut glossema seclusi cum prioribus editoribus ‖ 7 *ὅσης* F ‖ 9 *ἀνέβησαν* Hertlein, Iahnii annal. 1867, p. 607; *ἀνέπτησαν* F ‖ 13 *καλοῦσι δὲ* vulg. ‖ 19 *Βακτρίοις* K ut 6, 21 ‖ *Ὑρκανίοις* F | *Ὑρκανοῖς* M ‖ 20 *πεποιημένην* F; *πεποικιλμένην* PCD.

κίονες ὑπετίθεντο αὐτῇ πεντήκοντα· ὑπερτείνοντες οὐρανίσκοι διάχρυσοι, ποικίλμασιν ἐκπεπονημένοι, τὸν ἄνω τόπον ἐσκέπαζον. Πέρσαι μὲν πρῶτοι πεντακόσιοι μηλοφόροι περὶ τὴν σκηνὴν ἐντὸς ἵσταντο πορφυραῖς καὶ μηλίναις ἐσθῆσιν ἐξησκημένοι. μετὰ δὲ τοὺς μηλοφόρους τοξόται τὸν ἴσον ἀριθμὸν ἔχοντες ταῖς ἐσθῆσι διήλλαττον· οἱ μὲν γὰρ αὐτῶν φλόγινα, οἱ δὲ κυάνεα, οἱ δὲ ὑσγινοβαφῆ περιεβέβληντο. τούτων προΐσταντο Μακεδόνες ἀργυράσπιδες πεντακόσιοι τῶν μεγίστων ἀνδρῶν. κατὰ δὲ τὸ μέσον τῆς σκηνῆς ὁ χρυσοῦς ἔκειτο θρόνος, ἐφ' οὗ προκαθήμενος ἐχρημάτιζεν· οἱ σωματοφύλακες ἐφεστήκεσαν ἑκατέρωθεν τοῦ βασιλέως δικάζοντος. ἐν κύκλῳ τῆς σκηνῆς τὸ τῶν ἐλεφάντων ἄγημα διεσκευασμένον ἐφεστήκει καὶ Μακεδόνες χίλιοι στολὰς Μακεδονικὰς ἔχοντες. ἐπὶ τούτοις πεντακόσιοι Σούσιοι πορφυροσχήμονες, καὶ μετὰ τούτους ἐν κύκλῳ πάντων Πέρσαι μύριοι (Περσῶν) οἱ κάλλιστοι καὶ μέγιστοι, κεκαλλωπισμένοι παντὶ κόσμῳ Περσικῷ, πάντες ἀκινάκας ἔχοντες. τοιόνδε ἦν Ἀλεξάνδρου τὸ δικαστήριον ἐν τοῖς βαρβάροις.

330 aut 325 25 Ἀλέξανδρος τὴν ἄνυδρον ὁδεύων αὐτός τε ὑπὸ δίψους ἐπόνει καὶ οἱ Μακεδόνες. οἱ κατάσκοποι τῆς χώρας ἐν κοίλῃ πέτρᾳ σμικρὸν ὑδάτιον εὑρόντες, τοῦτο e. 1

---

Cap. 3. § 25. Idem tradit Arsenius, Viol. apophthegm. Alex. pg. 98 (Walz). Cf. Arrian. 6, 26, 3; Front. strat. 1, 7, 7; Plut. Alex. 42; Curtius 7, 5, 10—13.

---

1 ὑπετίθοντο F ‖ 4 ἐντὸς MPD, Aelian. et Athen. l. c.; ἐν τοῖς F; ἐκτὸς K ‖ 8 περιβέβληντο F: probat Pierson 154 ‖ 12 ἐφεστήκεσαν Athenaeus; ἀφεστήκεσαν F; περιεστώτων Aelian. ‖ 14 διεσκευασμένον Pierson 218, Koen. 157, Aelian., Athenaeus; διεσκεδασμένον F ‖ 17 (Περσῶν) inclusi; πασῶν M; πάντων vulg.

*βαλόντες ἐπὶ κράνος Ἀλεξάνδρῳ κομίζουσιν. ὁ δὲ τῇ στρατιᾷ δείξας, ὡς εὐθυμεῖν χρὴ φανέντος ὕδατος, αὐτὸς μὴ πιὼν ἐξέχεε τὸ κράνος πάντων ὁρώντων. οἱ Μακεδόνες ἀλαλάξαντες ἐκέλευον αὐτὸν ἡγεῖσθαι τῆς ὁδοῦ, πρὸς τὸ δίψος εὐρώστως ἀντέχοντες διὰ τὴν τοῦ βασιλέως ἐγκράτειαν.*

*Ἀλέξανδρος ἐπὶ ποταμὸν τὸν Τίγριν φθάσαι Δα-* 26 33
*ρεῖον ἠπείγετο. Πανικὸν ἀπὸ τῆς οὐραγίας διῇξε τὴν στρατιὰν πᾶσαν. ὁ βασιλεὺς ἐκέλευσε τῷ σαλπιγκτῇ ὑποσημῆναι σημεῖον ἀφοβίας, τοῖς δὲ πρωτοστάταις τῶν πεζῶν θέσθαι τὰ ὅπλα πρὸ τῶν ποδῶν καὶ τοῦτο φράζειν τοῖς μετ' αὐτούς. καὶ δὴ πάντες ἐφεξῆς τοῦτο ποιήσαντες ἔμαθον τὴν αἰτίαν τοῦ φόβου. τὸ μὲν Πανικὸν ἐλέλυτο, οἱ στρατιῶται δὲ ἀράμενοι τὰ ὅπλα προήεσαν.*

*Ἀλέξανδρος ἐν Ἀρβήλοις Δαρεῖον ἐνίκησεν. Φρα-* 27 31
*σαόρτης, Δαρείου συγγενής, πολλὴν χεῖρα Περσικὴν ἔχων ἐφύλασσε τὰς Σουσίδας πύλας· αἱ δὲ ἄρα εἰσὶν ὄρη στενὰ καὶ ὑψηλά. τούτοις προσβάλλοντας τοὺς Μακεδόνας εὐκόλως ἀπεκρούοντο οἱ βάρβαροι σφενδόνας, βέλη, πέτρους ἀφιέντες· ὥστε ἀνακαλέσας αὐτοὺς Ἀλέξανδρος ἀπὸ τριάκοντα σταδίων χάρακα ἐβάλλετο·*

---

Cap. 3. § 26. Cf. Curt. 4, 12, 14 sqq.
Cap 3. § 27. Cf. Plut. Alex. 37; Curt. 5, 3, 16; Diod. 17, 68; Arriau. 3, 18 sqq.

---

1 *βαλόντες* K; *βάλλοντες* F; *ἐμβαλόντας ἐς κράνος* Arrian. || *ἐπὶ κράνους* K || 4 *αὐτὸν* F || 7 *φθάσας* vulg. || 13 *αἰτίαν*] *ἀτοπίαν* vel *οὐδενίαν* R || 15 *προήεσαν* K; *προΐεσαν* F || 16 *Δαρεῖον* post *ἐνίκησεν* perperam iteratum in F || *Φρασαόρτης*] *Ἀριοβαρζάνης* Diod., Curtius: cf. Arrian. 3, 18 || 18 *Susidas pylas* Curtius; *Σουσιάδας πέτρας* Diod.; *Περσίδες πύλαι* Arrian. || 22 *τριάκοντα*] Curtius *triginta;* Diod. *σταδ. τριακοσίους* || *ἐβάλλετο* F] *ἐβάλετο* vulg.

ἦν δὲ λόγιον Ἀπόλλωνος, ὡς ἄρα ξένος λύκος ἡγεμὼν αὐτῷ τῆς ὁδοῦ τῆς κατὰ Περσῶν γένοιτο. πρόσεισι δὴ τῷ Ἀλεξάνδρῳ βουκόλος θηρείαν ἔχων στολήν, ὁμολογῶν ὅτι Λύκιος ἦν, καὶ ὡς κύκλῳ τῶν ὀρῶν ἀτραπὸς εἴη τῷ συνηρεφεῖ τῆς ὕλης ἀποκεκρυμμένη, αὐτῷ δὲ μόνῳ γιγνώσκοιτο διὰ τὴν νομὴν τῶν βοῶν. ἀναμνησθεὶς Ἀλέξανδρος τοῦ μαντείου πιστεύει τῷ βουκόλῳ. τὴν μὲν δὴ πᾶσαν στρατιὰν ἐκέλευσεν ἐν στρατοπέδῳ μένειν καὶ πολλὰ πυρὰ ἀνακαίειν, ἐφελκομένους τὴν τῶν Περσῶν ὄψιν. Φιλώτᾳ δὲ καὶ Ἡφαιστίωνι παράγγελμα δοὺς ἀπόρρητον, ὁπόταν κατὰ κορυφῆς τῶν ὀρῶν ἴδωσι τοὺς Μακεδόνας ἐκφανέντας, αὐτοὺς κάτωθεν προσβάλλειν, αὐτὸς τοὺς ὑπασπιστὰς ἄγων καὶ μίαν ὁπλιτῶν φάλαγγα καὶ τὸ Σκυθικὸν τοξικον ὅσον ἦν διὰ τῆς ἀτραποῦ τῆς λεπτῆς ὀγδοήκοντα στάδια προελθὼν ηὐλίσατο πυκαζόμενος ὕλῃ δασυτάτῃ. μέσης δὲ νυκτὸς περιελθὼν ἐπέστη τοῖς πολεμίοις καθεύδουσιν· ἀρχομένης δὲ ἡμέρας αἱ σάλπιγγες ἐσήμαινον ἀπὸ τῆς κορυφῆς τῶν ὀρῶν· Ἡφαιστίων δὲ καὶ Φιλώτας τοὺς ἐκ τοῦ χάρακος Μακεδόνας προσῆγον. οἱ Πέρσαι μέσοι τῶν ἄνωθεν πολεμίων καὶ τῶν κάτωθεν ἀποληφθέντες οἱ μὲν ἐκτείνοντο, οἱ δὲ κατεκρημνίζοντο, οἱ δὲ ἐζωγρεύοντο.

28 Ἀλέξανδρος ὥρᾳ θέρους ἦγε τὴν στρατιὰν παρὰ c. 30, 2
ποταμὸν προσκειμένων πολεμίων. ὁρῶν δὲ τοὺς στρατιώτας διψῶντας καὶ ἀφορῶντας εἰς τὸ ῥεῦμα τοῦ ποταμοῦ, ἵνα μὴ πίνοντες διαλύσειαν τὰς τάξεις μηδὲ

---

1 λύκιος R ‖ 2 γενήσοιτο K ‖ 5 ἀποκεκρυμμένης F ‖ 6 διὰ τὴν τῶν βοῶν νομὴν vulg. ‖ 8 ἐν om. F ‖ 12 ἐκφανέντας F] φανέντας M; usitatius Polyaeno ἐπιφανέντας ‖ 13 προσβαλεῖν vulg. ‖ 14 φάλαγγαν F ‖ 22 ἀποληφθέντες K; ἀπολειφθέντες F.

τὸ τῆς ὁδοιπορίας τάχος διακόψειαν, τὸν κήρυκα ἐκέλευσεν ἀνειπεῖν 'ἀπεχώμεθα τοῦ ποταμοῦ· θανατῶδες ἔχει τὸ ὕδωρ.' οἱ μὲν φοβηθέντες ἀπέσχοντο καὶ τὴν ὁδὸν ἐπετάχυνον· Ἀλέξανδρος δὲ διανύσας καὶ στρατοπεδεύσας αὐτὸς μετὰ τῶν ἡγεμόνων ἀπὸ τοῦ ποταμοῦ φανερῶς ἔπιεν. γελάσαντες οἱ στρατιῶται καὶ τὴν αἰτίαν τῆς ἀπάτης νοήσαντες ἀδεῶς ὑδρεύσαντο ἐκ τοῦ ποταμοῦ πάντες.

e. 55, 1 Ἀλέξανδρος ἐνέβαλεν εἰς τὴν Σογδιανῶν χώραν. 29
ἡ δέ ἐστι πᾶσα τραχεῖα καὶ δύσβατος· πέτρα δὲ κατὰ μέσην ἀνατείνει (ὀρνίθων) τοῖς πτηνοῖς [μόνοις] βάσιμος· ἐν κύκλῳ δὲ ὕλη δασεῖα καὶ πυκνὴ τοὺς ἀβάτους κρημνοὺς ἀβατωτέρους εἰργάζετο. τὴν πέτραν Ἀριομάζης μετὰ πολλῆς χειρὸς καὶ καρτερᾶς Σογδιανῶν κατελάβετο πηγὰς ὕδατος ἔχων ἔνδον καὶ παρασκευὴν σιτίων ἄφθονον. Ἀλέξανδρος περιιππασάμενος καὶ καταμαθὼν τὰς φύσεις τῆς πέτρας ἐκέλευσε τριακοσίους λογάδας νεανίας, οἷς ἦν ἄσκησις καὶ τέχνη κρημνοβατεῖν, ἀόπλους κατόπιν τῆς πέτρας διὰ πυκνῆς ὕλης ἀνέρπειν καὶ λεπτοῖς κάλοις ἀνιμᾶν ἀλλήλους· ἐπειδὰν δὲ τῶν κορυφῶν κρατήσωσιν, ζώνας λευκάς, ἃς εἶχον, λυσαμένους κοντοῖς εὐμήκεσι περιάψαι καὶ τούτους

---

Cap. 3. § 29. Cf. Curt. 7, 11, 1 sqq.; Arrian. 4, 18, 4 sqq.

---

1 *ἐκέλευσεν* F] *ἐκέλευεν* vulg.; *διήγγειλεν* H ‖ 2 *ἀνειπεῖν* K, quod probavit Hertlein: cf. 4, 7, 6. 5, 5, 2. 7, 6, 3 et ad 7, 6, 10; *εἰπεῖν* F ‖ 4 *ἐπετάχυνον* F] *ἀπετάχυνον* M; *ἐτάχυνον* vulg.; *ἐπετάχυναν* K ‖ 11 (*ὀρνίθων*) delendum censet Hercher, Hermes 9, p. 112, quod probo coll. Arrian. *οἱ δὲ βαρβαρίζοντες πτηνοὺς ἐκέλευον ζητεῖν στρατιώτας Ἀλέξανδρον* ‖ [*μόνοις*] K ‖ 13 *κρημνοὺς* Maasv.; *καρποὺς* F ‖ *Ἀριομάζης*] *Ἀριαμάζης* Strabo; *Arimazes* Curtius ‖ 16 *περιιππασάμενος* vulg.; *περιππευσάμενος* F: cf. 4, 6, 6. 4, 4, 2. 2, 3, 14 ‖ 21 *κρατήσουσι* F.

ὑπὲρ τὴν ὕλην ἀνατείνειν, ὥστε ἀθρόας καὶ λαμπρὰς τὰς ζώνας ἐπὶ πλεῖστον τινασσομένας καὶ τοῖς ἄνω βαρβάροις καὶ τοῖς κάτω Μακεδόσιν ὁρᾶσθαι. οἱ μὲν δὴ κρημνοβάται σὺν πολλῷ πόνῳ κατὰ κορυφὴν [γενόμενοι] ἀνίσχοντος ἡλίου τὰς ζώνας ἀνέσεισαν· οἱ δὲ Μακεδόνες μέγα καὶ λαμπρὸν κάτωθεν ἠλάλαξαν· ὁ δὲ Ἀριομάζης ἐκπλαγεὶς, ὡς πάσης τῆς στρατιᾶς ἀναβαινούσης καὶ ὡς ἤδη κατὰ κορυφῆς ἑαλωκὼς, αὐτόν τε καὶ τὴν πέτραν παρέδωκεν Ἀλεξάνδρῳ θειοτέραν αὐτοῦ τὴν δύναμιν καὶ τὴν τύχην ἡγούμενος.

326 30 Ἀλέξανδρος Καθαίους, μοῖραν Ἰνδῶν ἐξ ἀπονοίας ἀντιστᾶσαν ἡβηδὸν ἔκτεινε καὶ πόλιν αὐτῶν Σάγγαλα τὴν καρτερωτάτην κατέσκαψεν. διῆκε τοὺς Ἰνδοὺς φήμη πονηρὰ ὡς Ἀλεξάνδρου φονικῶς καὶ βαρβαρικῶς πολεμοῦντος. ὁ δὲ μεταβάλλειν τὴν δόξαν βουλόμενος ἄλλην πόλιν (διὰ) τῆς Ἰνδικῆς ἑλὼν, ὁμήρους λαβὼν, σπεισάμενος ἐπὶ τρίτην πόλιν ἦλθεν εὐμεγέθη καὶ πολυάνθρωπον, τάξας πρὸ τῆς φάλαγγος τοὺς ὁμήρους, γέροντας, παῖδας, γυναῖκας. οἱ δὲ τοὺς ὁμοφύλους γνωρίσαντες καὶ τὰ ἔργα τῆς Ἀλεξάνδρου φιλανθρωπίας ὁρῶντες ἀνοίγουσί τε τὰς πύλας καὶ μετὰ ἱκετηριῶν αὐτὸν ἐδέξαντο. αὐτίκα ἡ φήμη διαδραμοῦσα ἔπεισεν Ἰνδοὺς ἑκόντας Ἀλέξανδρον δέχεσθαι.

---

Cap. 3. § 30. Cf. Curt. 9, 1, 15 sqq.; Arrian. 5, 22 et 24; Diod. 17, 91.

---

4 [γενόμενοι] Cas. ‖ 8 ἀναβάσης R ‖ τῆς κορυφῆς ἑαλωκυίας R ‖ 10 αὐτὸς F ‖ τύχην F] τέχνην vulg. ‖ 11 Καθαίους M; Καλθαίους F vulg. ‖ 12 τὴν πόλιν M ‖ Σάγγαλα Cas.; Σαλγαλα F ‖ 13 διῆκε R; διῆλθε Hertlein coll. Soph. Ai. v. 999; ἵνα $F_1$; εἷλε $F_2$ marg. ‖ 16 (διὰ) inclusit K; in τινὰ correx. Cas. R ‖ Ἰνδικῆς M ut 1, 1, 2. 1, 3, 4. 4, 3, 20. 22; Ἰνδίας F vulg. ‖ 22 αὐτίκα καὶ ἡ φήμη M.

e. 55, 2 *Ἀλέξανδρος τὴν Κοσσαίων χώραν ἑώρα τραχεῖάν* 31
*τε καὶ ὄρη ὑψηλὰ καὶ ἀπρόσιτα καὶ πλῆθος ἐν τοῖς ὄρεσιν ἀνδρῶν δοκίμων· οὐ τοίνυν ἑλεῖν ἐλπίς. ἧκέ τις ἀγγέλλων "Ἡφαιστίων ἐν Βαβυλῶνι τέθνηκεν". ὁ δὲ κοινὸν πένθος ἐπαγγείλας ἐπὶ τὴν Ἡφαιστίωνος ταφὴν ἠπείγετο· οἱ σκοποὶ τῶν Κοσσαίων, ἀναζευγνύντας ὡς εἶδον [αὐτοὺς], αὐτοὶ διεσπάρησαν. Ἀλέξανδρος νύκτωρ ἱππέας πέμψας τὴν ἐς τὰ ὄρη πάροδον ἀφύλακτον κατελάβετο καὶ τῆς οδοιπορίας ἀποκλίνας, ἐπιφανεὶς τοῖς ἱππεῦσι σὺν αὐτοῖς τὴν Κοσσαίων χώραν ἐχειρώσατο. τοῦτο τὸ ἔργον τῆς ἐπὶ Ἡφαιστίωνι λύπης παρηγόρημα φασὶν Ἀλεξάνδρῳ γενέσθαι.*

*Ἀλέξανδρος ἐν τοῖς Περσῶν βασιλείοις ἀνέγνω* 32
*τὸ βασιλέως ἄριστον καὶ δεῖπνον ἐν κίονι χαλκῷ γεγραμμένον, ὅπου καὶ οἱ ἄλλοι νόμοι, οὓς ἔγραψε Κῦρος. εἶχε δὲ οὕτως·*

*πυραμίνων ἀλεύρων καθαρῶν τετρακόσιαι ἀρτάβαι — ἡ δὲ ἀρτάβη ἡ Μηδικὴ μέδιμνός ἐστιν Ἀττικός —· τῶν δὲ δευτέρων ἀλεύρων μετὰ τὰ καθαρὰ τριακόσιαι ἀρτάβαι· καὶ τῶν τρίτων τριακόσιαι ἄλλαι ἀρτάβαι. Πυραμίνων μὲν ἀλεύρων τῶν πάντων ἀρτάβαι εἰς τὸ δεῖπνον χίλιαι. κριθαμίνων δὲ ἀλεύρων τῶν κάρτα καθαρῶν διακόσιαι ἀρτάβαι. τῶν δὲ δευτέρων τετρακόσιαι· [καὶ τῶν τρίτων τετρακόσιαι·] τὸ σύμπαν δὲ*

---

Cap. 3. § 32. Cf. Athen. 4, p. 145. — The Classical Journal, vol. 30, p. 370—374, Remarks on a Passage of Polyaenus.

---

2 *ὑψηλὰ* [*ἔχουσαν*] Patakis; *habere* V ‖ 3 *ἑλεῖν* [*ἦν*] Sittl ‖ 4 *ἀγγέλων* F ‖ 6 *σκοσσαίων* F ‖ *ἀναζευγνύντας* p; *ἀναζευγνύντες* F ‖ 7 [*αὐτοὺς*] *αὐτοὶ* Cas.; *αὐτοῖς* D ‖ 10 *κοσσιαίων* F ‖ 17 *πυραμηνῶν* F, et sic infra ‖ *τετρακόσιαι ἀρτάβαι* K; *τετρακοσίας ἀρτάβας* F vulg. ‖ 22 *κριθαμηνῶν* F, et sic infra ‖ 24 [*καὶ τῶν τρίτων τετρακόσιαι*] *atque itidem de tertia quadringentae* V ex coniectura, ut numerum millenarium expleret; om. F.

*τῶν κριθαμίνων ἀλεύρων χίλια ἀρτάβαι. χόνδρου δὲ ἐξ ὀλυρῶν πεποιημένου διακόσιαι ἀρτάβαι. παιπάλης ἐξ ἀλφίτων πεποιημένης ὡς εἰς κυκεῶνας δέκα ἀρτάβαι. καρδάμου κεκομμένου σεσησμένου λεπτοῦ* * * *[ἀρτάβαι]. πτισάνης δέκα ἀρτάβαι· σινήπυος σπέρματος τρίτον ἀρτάβης.*

*πρόβατα, οἱ ἄρσενες τετρακόσιοι· βόες ἑκατόν· ἵπποι τριάκοντα· χῆνες σιτευτοὶ τετρακόσιοι· τρυγόνες τριακόσιαι· ὀρνίθια παντοδαπὰ μικρὰ ἑξακόσια· ἄρνες τριακόσιοι· νεοσσοὶ χηνῶν ἑκατόν· δορκάδες τριάκοντα.*

*γάλακτος αὐθημερινοῦ δέκα μάριες — μάρις δὲ ἐστὶ δέκα χόες Ἀττικοί —· ὀξυγάλακτος ἡδυσμένου δέκα μάριες. σκορόδων τάλαντον σταθμῷ· κρομύων ἡμιτάλαντον σταθμῷ τῶν δριμέων. φύλλου ἀρτάβη. ὀποῦ σιλφίου δύο μναῖ· κυμίνου ἀρτάβη· σιλφίου τάλαντον σταθμῷ. μύρου ἐκ μήλων γλυκέων τέταρτον μέρος ἀρτάβης· κυκεῶνος ἐκ σιδίων ὀξέων ἀρτάβη, μύρου ἐκ κυμίνου τέταρτον μέρος ἀρτάβης. σταφίδος μελαίνης τρία τάλαντα σταθμῷ· ἀνήθου ἄνθους τρεῖς μναῖ σταθμῷ· μελανθίου τρίτον μέρος ἀρτάβης· διαρίνου σπέρμα δύο*

---

3 *ἐξ ἀλφίτων* Patakis et Malina thes. 2; *ἐν ἀλφίτῳ* F vulg.; *ἐπ' ἀλφίτῳ* Roth ‖ *ὡς* del. K ‖ 4 *σεσησμένου* vulg.; *σεσημμένου* F ‖ 5 *σινήπυος* F] *σινήπιος* vulg. ‖ 12 *δὲ* M; om. F vulg.: cf. supra p. 181, 18 ‖ 17 *μύρου* W; *ἱεροῦ* F vulg.: notum esse *μύρα πίνειν* et *μυροποιοὺς* regis Persarum commemorari apud Athen. 13, 608 A adnotat W ‖ *γλυκέων* K; *γλυκέως* M; *γλυκέος* F ‖ 18 *κυκεῶνος* Dm; *κοκκεῶνος* FV ‖ *ἐκ σιδίων* M; *ἐκίδων* F vulg. ‖ *μύρου* W; *κηροῦ* F ‖ 19 *μελαίνης* D; *μελίνης* F; *μελεύης* M; *μελιτίνης* coni. W ‖ 20 *ἀνήθου* V; *κνήθου* F; *κνήκου* Cas. K: cf. infra p. 183, 7. 19 ‖ *μναῖ* Roth; *μνᾶς* F vulg. ‖ 21 *μελανθίου* K; *μελάνθρυον* F ‖ *διαρίνου* Heringa coll. Hesychio '*διάρινον τὸ σινηπί*'; *διὰρρινὸς* F; *διὰ ῥινὸς* M.

*καπέζιες· σησάμων καθαρῶν δέκα ἀρτάβαι. γλεύκους ἐξ οἴνου πέντε μάριες. ῥαφανίδων ἐψανῶν, γογγυλίδων ἐσκευασμένων ἐν ἅλμῃ πέντε μάριες· καππάρεως ἐσκευασμένης ἐν ἅλμῃ, ἐξ ἧς τὰς ἀβυρτάκας ποιοῦσι, πέντε μάριες· ἁλῶν δέκα ἀρτάβαι. Αἰθιοπικοῦ κυμίνου ἓξ καπέζιες — ἡ δὲ καπέζις ἐστὶ χοῖνιξ Ἀττική —· ἀνήθου αὔου τριάκοντα μνᾶς ἕλκον. σελίνου σπέρματος τέσσαρες καπέζιες. ἐλαίου σησαμίνου δέκα μάριες· ἐλαίου ἀπὸ γάλακτος πέντε μάριες· ἐλαίου ἀπὸ τερμίνθων πέντε μάριες· ἐλαίου ἀκανθίνου πέντε μάριες· ἐλαίου ἀπὸ ἀμυγδάλων τῶν γλυκέων τρεῖς μάριες. ἀμυγδάλων αὔων τῶν γλυκέων τρεῖς ἀρτάβαι. οἴνου πεντακόσιαι μάριες.*

*ὅταν δὲ ᾖ ἐν Βαβυλῶνι ἢ ἐν Σούσοις, τὸν μὲν ἡμίσεα ἐκ τῶν φοινίκων οἶνον παρέχει, τὸν δὲ ἡμίσεα ἀμπέλινον. ξύλων διακόσιαι ἅμαξαι· ὕλης ἑκατὸν ἅμαξαι· τοῦ ὕοντος μέλιτος ἑκατὸν παλάθαι τετράγωνοι ἀνὰ δέκα μνᾶς ἕλκουσαι. ὅταν ἐν τῇ Μηδικῇ ᾖ, ταῦτα διαδίδωσιν. κνήκου σπέρματος τρεῖς ἀρτάβαι. κρόκου δύο μνᾶς ἕλκοντος σταθμῷ. ταῦτα μὲν εἰς πότον τε καὶ ἄριστον ἀναλίσκεται.*

---

1 *καπετίες* F: cf. Hultsch, Metrologie², p. 478 (§ 45, 3); Oppert, Journal Asiatique 1874, tom. IV, p. 459 confert Neopersarum vocem *kapic'ch* et Arabum *gafiz*, de Lagarde, Armenische Studien (Abh. d. Gött. Ges. d. W. XXII, p. 74) Armeniorum *kapic'*, unde Polyaeni *καπέτις* in *καπέζις* corrigendum esse censent ‖ *σησάμων* K; *σισάμων* F ‖ *δέκα*] *δύο* Dm ‖ 2 *αἰψανῶν* F ‖ 4 *τὰς ἀβυρτάκας* M; *τοὺς ἀβυρτακας* F; *τοὺς ἀβυρτάκους* D ‖ 6 *καπετειαις* $F_1$, *καπέτιες* $F_2$ ‖ 8 *καπιτιες* F ‖ *σησαμίνου* K; *σισαμίνου* F ‖ 9 *τερμίνδων* p; *τερκλίνθων* F; *olei terchinthini* V ‖ 10 *ἀκανθίνου* F vulg. ut Ctesias apud Athen 2, 74, p. 67; *ἀπὸ Ἀκανθίου* M ‖ 14 *ᾖ* vulg.; *ἢ* F ‖ 19 *διαδίδωσιν* C. L. Roth, ut infra p. 184, 1. 9. 11; *διδωσι* F ‖ *κνήκου* K; *κνίκου* F ‖ 21 *πότον* Rud. Schoell; *τόπον* F; *δεῖπνον* M; *τὸ δεῖπνον* W.

*διαδίδωσι δὲ πυραμίνων ἀλεύρων τῶν καθαρῶν πεντακοσίας ἀρτάβας· κριθαμίνων δὲ καθαρῶν ἀλεύρων χιλίας ἀρτάβας· καὶ τῶν δευτέρων χιλίας ἀρτάβας. σεμιδάλεως πεντακοσίας ἀρτάβας· χόνδρου τοῦ ἐκ τῶν ὀλυρῶν πεντακοσίας μάριας· κριθὰς τοῖς κτήνεσι δισμυρίας ἀρτάβας· ἀχύρων μυρίας ἁμάξας· κάρφους πεντακισχιλίας ἁμάξας. ἐλαίου σησαμίνου διακοσίας μάριας· ὄξους ἑκατὸν μάριας· καρδάμου κεκομμένου λεπτοῦ τριάκοντα ἀρτάβας. ταῦτα μὲν πάντα διαδίδωσι ταῖς στρατιαῖς ὅσα εἴρηται. βασιλεὺς δὲ σὺν τῷ ἀρίστῳ καὶ τῷ δείπνῳ καὶ οἷς διαδίδωσι τοσαῦτα ἀναλίσκει τῆς ἡμέρας.*

*ταύτην τοῦ δείπνου τὴν παρασκευὴν οἱ μὲν ἄλλοι* e. 3, 5 *Μακεδόνες ἀναγνόντες ἐθαύμασαν ὡς εὐδαίμονα· Ἀλέξανδρος δὲ κατεγέλασεν ὡς κακοδαίμονος καὶ μακρᾶς ἀσχολίας ἐχούσης, ὥστε καὶ τὸν κίονα, ἐν ᾧ ταῦτα ἐγέγραπτο, καθελεῖν προσέταξεν εἰπὼν πρὸς τοὺς φίλους· ‘οὐδαμῶς συμφέρει τοῖς βασιλεῦσιν οὕτως ἀσώτως δειπνεῖν διδάσκεσθαι· ἀνάγκη γὰρ τῇ πολλῇ ἀσωτίᾳ καὶ τρυφῇ πολλὴν ἀνανδρίαν ἕπεσθαι· ὁρᾶτε δὲ καὶ τοὺς τηλικούτων δείπνων πιμπλαμένους ἐν ταῖς μάχαις ταχέως ἡττωμένους.’*

## 4. ΑΝΤΙΠΑΤΡΟΣ.

331 1 *Ἀντίπατρος ἐν τῇ Τετραχωριτῶν στρατεύων ἔταξε*

---

Cap. 4. § 1. De tempore cf. Droysen I, 1, p. 392 sqq. et not. 2 in p. 394.

---

1 *διαδίδωσι δὲ* M; *δὲ δι' ἃ δίδωσι* F; *δὲ διὰ δόσιν* D || 3 *δευτέρων* Maasv.; *δὲ ἑτέρων* F; *ἑτέρων* D || 5 *κριθὰς* bis scr. in F || 7 *σισαμίνου* F || 10 *τοῖς στρατιώταις* coni. W || 12 *ἀναλίσκει διαδίσωσι* F; illud del. K, Patakis, Malina || 15 *μακρὰν* F || 20 *ἀνανδρίαν καὶ μαλακίαν* H || 24 *Τετραχωριτῶν* M; *Τετραχωρητῶν* F sed infra p. 185, 4 *Τετραχωρῖται*.

τὸν χόρτον τῶν ἵππων ἐμπρῆσαι τὸν περὶ τῇ σκηνῇ. οἱ μὲν ἐνέπρησαν, ὁ δὲ σαλπιγκτὴς ἐσήμηνεν· οἱ δὲ Μακεδόνες περὶ τὴν σκηνὴν ἠθροίζοντο μετέωρα ἔχοντες τὰ δόρατα. ταῦτα ἰδόντες οἱ Τετραχωρῖται καταπλαγέντες ἐξέλιπον τὸ χωρίον· ἀμαχεὶ δὲ Ἀντίπατρος ἐκράτησεν.

Ἀντίπατρος τὸν Σπερχειὸν διαβῆναι ἐβούλετο. 2 323
Θετταλῶν δὲ ἱππέων κωλυόντων διαβαίνειν, ὁ μὲν τὴν δύναμιν ἀπήγαγεν εἰς τὴν αὐτοῦ στρατοπεδείαν καὶ παρήγγειλε τοῖς Μακεδόσι μένειν ἐν τοῖς ὅπλοις καὶ τὰ σκευοφόρα μὴ λύειν. οἱ Θετταλοὶ δὲ εἰς τὴν Λαμίαν ἀφιππεύσαντες ἠριστοποιοῦντο κατὰ τὰς οἰκίας. Ἀντίπατρος [ἐπανῆλθε πρὸς] τὸν ποταμὸν καὶ φθάσας διεβίβασε τὴν δύναμιν, πρὶν ἐκβοηθῆσαι Θετταλούς, καὶ κατελάβετο τὴν Λαμίαν προσπεσών.

Ἀντίπατρος ἐν Θετταλίᾳ βουλόμενος φαντασίαν 3 323
τοῖς πολεμίοις παρασχεῖν ἱππέων πολλῶν συναγαγὼν ὄνους πολλοὺς καὶ ἡμιόνους συνέταξεν εἰς ἴλας, καὶ ἀνεβίβασεν ἄνδρας ὅπλισιν ἱππικὴν ἔχοντας· προέταξε δὲ ἑκάστης ἴλης τὸν πρῶτον ζυγὸν ἀληθινῶν ἱππέων. τούτους ὁρῶντες οἱ πολέμιοι καὶ τοὺς ἑπομένους ἱππεῖς εἶναι νομίσαντες καταπλαγέντες ἔφευγον. τούτῳ τῷ στρατηγήματι καὶ Ἀγησίλαος ἐχρήσατο πρὸς Ἀέρο-

Cap. 4. § 2. Cf. Kallenberg, Philol. 36, p. 504.
Cap. 4. § 3. De fonte cf. J. p. 577 sq.

2 ἐσήμηνεν F] ἐσήμαινεν vulg. ‖ 9 ἐπήγαγεν M; ἀνήγαγεν Roth ‖ αὐτοῦ Cas.; αὐτὴν F ‖ 13 [ἐπανῆλθε πρὸς] suppl. W ‖ 18 ἴλας vulg. et ubique scribendum censet Hertlein; εἴλας F passim ‖ 19 ὅπλησιν F ‖ προέταξε Patakis; προσέταξε F ‖ 20 ἑκάστης εἴλης coni. W coll. 2, 1, 30. 7, 6, 6; ἑκάστῃ εἴλῃ F ‖ 23 Ἀγησίλαος] cf. 52, 17 sqq., Eumenis simile strategema non traditur a Polyaeno.

*που ἐν Μακεδονίᾳ καὶ Εὐμένης πρὸς Ἀντίγονον ἐν Ἀσίᾳ.*

## 5. ΠΑΡΜΕΝΙΩΝ.

333/32 *Παρμενίων μετὰ τὴν ἐν Ἰσσῷ μάχην ὑπὸ Ἀλεξάνδρου πεμφθεὶς εἰς Δαμασκὸν ἐπὶ τὴν ἀποσκευὴν τῶν Περσῶν συνῆψε τοῖς σκευοφόροις. ἐπεὶ δὲ οἱ βάρβαροι φοβηθέντες ἔφυγον, ἐννοήσας Παρμενίων, ὅτι μὴ δύναται διασῶσαι τοσαύτην ἀποσκευήν, τῶν κομιζόντων βαρβάρων φυγόντων, τρεῖς ἴλας ἱππέων πέμψας πρὸς αὐτοὺς ἐκήρυξεν 'ὃς ἂν μὴ ταῖς ἑαυτοῦ χερσὶ λάβηται τῶν ἰδίων ὑποζυγίων, φονευθήσεται'. τοῦτο τὸ κήρυγμα οἱ βάρβαροι δείσαντες αὖθις προσῆλθον τοῖς ὑποζυγίοις καὶ τὴν ἀποσκευὴν διεκόμισαν.*

## 6. ΑΝΤΙΓΟΝΟΣ.

244 1 *Ἀντίγονος ἐκράτησε Κορίνθου τοιῷδε στρατηγήματι. Ἀλέξανδρος ὁ κατέχων Ἀκροκόρινθον ἐτελεύτησεν· ἦν αὐτῷ γυνὴ Νίκαια ἡλικίας ἅλις ἔχουσα. ταύτην Ἀντίγονος τῷ υἱῷ Δημητρίῳ μνηστεύεται· ἡ δὲ ἀσμένη μειρακίῳ καὶ βασιλεῖ πρὸς γάμον αὑτὴν ἐπέδωκεν. ἦν θυσία μεγαλοπρεπής· πανήγυρις Ἑλληνική· Ἀμοιβεὺς κιθαρῳδεῖν ἔμελλε· πολλὴ σπουδὴ περὶ τὴν θέαν ἦν· τὴν Νίκαιαν αὐτὴν ἐν φορείῳ βασιλικῶς*

---

Cap. 6. De fontibus cf. J. p. 618—627.
Cap. 6. § 1. Cf. Plut. Arat. 17. — Cf. Droysen III, 1, p. 412 et not. 1, qui haec ad Phylarchum refert.

---

6 *Περσῶν* Freinsheim ad Curt. 3, 13, 9; *πεζῶν* F ‖ 7 *ἔφυγον* F] *ἔφευγον* vulg. ‖ 12 *αὖθις* Hertlein; *αὐτοὶ* F; *αὐτοὶ* aut deleri aut in *αὐτίκα* mutari vult K ‖ 19 *καὶ βασιλεῖ* R censor Ienensis Patakis; *βασιλεῖ καὶ* F; *καὶ* del. K ‖ 22 *φεραίῳ* F ‖ *βασιλικῶς* Plut. et V; *βασιλικῷ* F: cf. 4, 8, 2.

κεκοσμημένῳ, τρυφῶσαν καὶ θρυπτομένην, δορυφόροι παρέπεμπον. ἐς δὲ τὸ θέατρον ἐσιούσης, μακρὰν χαίρειν τῷ κιθαρῳδῷ καὶ τῷ γάμῳ φράσας Ἀντίγονος ὥρμησεν ἐπὶ τὸν Ἀκροκόρινθον καὶ τῶν φυλάκων περὶ τὴν πανήγυριν ἀσχολουμένων καὶ θέαν κατειληφότων ῥᾳδίως κατέσχε τὸ χωρίον καὶ τῆς Κορίνθου πάσης ἐκράτησε στρατηγήματι τῷ γάμῳ χρησάμενος.

e. 1 Ἀντίγονος ταῖς πρεσβείαις χρηματίζων προεδιδάσκετο ἐκ τῶν ὑπομνημάτων, τίνες εἶεν ὡς αὐτὸν οἱ καὶ πάλαι πρεσβεύσαντες καὶ μετὰ τίνων καὶ ὑπὲρ οἵων πραγμάτων. ἐν δὲ ταῖς ἐντεύξεσιν ἀπομεμνημένος ἑκάστου πρὸς τοὺς πρεσβεύοντας πάντας ἐξεπτόησεν ὡς μνήμην ἔχων ὑπερβάλλουσαν. 2

Ἀντίγονος Μέγαρα πολιορκῶν τοὺς ἐλέφαντας 3 266-
ἐπῆγεν. οἱ Μεγαρεῖς σύας καταλείφοντες ὑγρᾷ πίσσῃ καὶ ὑφάπτοντες ἠφίεσαν· αἱ δὲ ὑπὸ τοῦ πυρὸς καιόμεναι κεκραγυῖαι πολλῷ δρόμῳ εἰς τοὺς ἐλέφαντας

---

Cap. 6. § 2. Ad Antigonum Demetrii filium referunt Droysen II, 1, p. 315 et Kallenberg, Philol. 36, p. 227; sed cf. J. p. 627.

Cap. 6. § 3. Ex Phylarcho coll. Aeliano de nat. animal. 11, 14 et Athen. 13, 85 p. 606. — De tempore cf. praeter Droysen. III, 1, 236 sq. Le Bas, le siége de Mégare, Paris 1842 et v. Wilamowitz-Möllendorff, Antigonos von Karystos, p. 226, not. 50.

---

2 μακρὰν W coll. 5, 36; μακρὰ F ‖ 8 προεδιδάσκετο Patakis et Hertlein; προεδίδασκεν F ‖ 9 εἶεν om. vulg. cf. 5, 2, 4. 5, 2, 15 ‖ οἱ καὶ F] καὶ οἱ MCD; εἰ καὶ K addito [οἱ πρεσβεύοντες] post εἶεν ‖ 12 ἑκάστου [ῥηθέντος] πρὸς τοὺς πρεσβεύσαντας R ‖ πάντας H, om. F ‖ ἐξεπτόησεν (= ἐξέπληξεν) vel ἐξεπτοίησεν R et Hertlein (cf. ad 1, 3, 4); ἐξεποίησεν F; ἐξέπλησσεν Cas., quod confirmari videtur lectione H ἵνα ἀπομνημονεύων ταῦτα πάντας ἐκπλήσσῃ ὡς πολυμνήμων et Leonis Tact. 20, 219 ἵνα ἐν ταῖς ἐρωτήσεσι καὶ συντυχίαις ἐκπλήσσῃς αὐτοὺς ὡς πάνυ μνημονικὸς καὶ πολύπειρος ‖ 13 μνήμη F ‖ 14 μέγα F ‖ 15 ἐπῆγεν FS vulg.; ἐπήγαγεν M.

*ἐνέπιπτον· οἱ δὲ οἰστρῶντες καὶ ταρασσόμενοι ἄλλος ἄλλῃ διέφευγον. Ἀντίγονος τοῦ λοιποῦ προσέταξε τοῖς Ἰνδοῖς τρέφειν ὗς μετὰ τῶν ἐλεφάντων, ἵνα τὴν ὄψιν αὐτῶν καὶ τὴν κραυγὴν τὰ θηρία φέρειν ἐθίζοιτο.*

321 4 *Ἀντίγονος Ἀντίπατρον κινδυνεύοντα βληθῆναι ὑπὸ Μακεδόνων ἔσωσε. τοῦ στρατοπέδου μέσος ἦν ποταμὸς ὀξὺς τὸ ῥεῦμα γέφυραν ἔχων· ἔνθεν οἱ Μακεδόνες ἐσκήνουν· ἐκεῖθεν Ἀντίγονος ἔχων ἱππέας ὁμοφρονοῦντας. οἱ μὲν μετὰ πολλοῦ θορύβου καὶ μεγάλης βοῆς ᾔτουν χρήματα βαλεῖν ἀπειλοῦντες, εἰ μὴ λάβοιεν· Ἀντίπατρος δὲ μὴ ἔχων δοῦναι ἦν ἐν ἀμηχάνῳ. Ἀντίγονος ἔφη πρὸς αὐτὸν 'ἀλλ' ἔγωγέ σοι δώσω καιρὸν ἀφόδου'. ταῦτα εἰπών, ἐν αὐτῇ τῇ πανοπλίᾳ διαδραμὼν τὴν γέφυραν, μέσας τεμὼν τὰς φάλαγγας ἑκάστῳ προσῄει ἐοικὼς δημηγορήσοντι. οἱ Μακεδόνες ὡς ἀνδρὶ τῶν ἐπιφανῶν ἐξεχώρουν καὶ παρίεσαν καὶ πάντες εἵποντο ἀκουσόμενοι [ὧν] προλέγειν μέλλει. ἐπεὶ δὲ περιέστη τὸ πλῆθος, μακρὰ ἐδημηγόρησεν ἀπολογούμενος ὑπὲρ Ἀντιπάτρου, ἐπαγγελλόμενος, παρακαλῶν, διαλλάσσων. ἐν δὲ τῷ καιρῷ τῆς μακρᾶς δημηγορίας Ἀντίπατρος μετὰ τῶν ἱππέων τὴν γέφυραν παρελθὼν ἐξέφυγε τοὺς ἀπὸ τῶν στρατιωτῶν λίθους.*

---

Cap. 6. § 4. Cf. Diod. 18, 39, 3. — Kallenberg, Philol. 36, p. 528.

---

2 *διέφυγον* C. Müller ‖ 5 *βληθῆναι* corr. Hardtius in cod. *δ*; *κληθῆναι* p; *κλιθῆναι* F; *lapidaretur* (*καταλευσθῆναι*) V Cas. K: cf. infra v. 10 ‖ 8 *Ἀντίγονος* V; *Ἀντίπατρος* F ‖ 10 *βαλεῖν* M; *καλεῖν* F ‖ 16 *παρίεσαν* K; *παρήεσαν* F ‖ 17 *ὧν προλέγειν* MC; *edicere* V; *ὧν λέγειν* vulg.; *ὧν* om. F ‖ 18 *περίεστι* F ‖ 19 *ἐπαγγελόμενος* F ‖ 22 *παρελθὼν* Cas.; *προελθὼν* F.

s. 13, 7 Ἀντίγονος ὁ πρῶτος, [εἰ μὲν δύναμιν εἶχε] αὐτὸς 5
ἰσχυροτέραν, τῷ πολέμῳ σχολαίτερον ἐχρῆτο· εἰ δὲ ἀσθενεστέραν, φιλοκινδύνους τὰς ἐπιθέσεις ἐποιεῖτο τοῦ ζῆν ἀγεννῶς τὸ θνήσκειν ἀνδρείως αἱρετώτερον ἡγούμενος.

Ἀντίγονος ὅτε περὶ Καππαδοκίαν ἐχείμαζεν, ἀπέστη- 6 320/1
σαν αὐτοῦ Μακεδόνες ὁπλῖται τρισχίλιοι. οὗτοι καταλαβόμενοι λόφους καρτεροὺς Λυκαονίαν ἐπόρθουν, ἤδη δὲ καὶ Φρυγίαν. Ἀντίγονος κτεῖναι μὲν τοσούτους ὠμὸν ἡγεῖτο· ἐδεδοίκει δέ, μὴ προσθοῖντο τοῖς πολεμίοις, ὧν Ἀλκέτας ἦρχεν. τοιοῦτό τι οὖν ἐμηχανήσατο. καθῆκε πρὸς αὐτοὺς Λεωνίδαν τῶν ἰδίων ἡγεμόνων [ὡς ἐπὶ] κοινοπραγίᾳ τῆς ἀποστάσεως δή· οἱ δὲ ἄσμενοι τὸν ἄνδρα ἐδέξαντο καὶ στρατηγὸν εἵλοντο. Λεωνίδας πρῶτον μὲν ἔπεισεν αὐτοὺς προστίθεσθαι μηδενί, ὥστε γε τοῦτο πρῶτον Ἀντιγόνῳ κατώρθωτο· ἔπειτα δὲ κατήγαγεν αὐτοὺς ἀπὸ τῶν λόφων ἐς χωρίον ἱππάσιμον, ἀφίππους ὄντας. ἐνταῦθα προσιππασάμενος Ἀντίγονος Ὁλκίαν καὶ δύο τῆς ἀποστάσεως ἐξάρχους συνέλαβεν. οἱ μὲν ὑπὲρ σωτηρίας αὐτῶν ἱκέτευον. ὁ δὲ ἀφήσειν τούτους ὑπέσχετο, εἰ μετὰ ἡσυχίας εἰς

1 εἰ μὲν δύναμιν εἶχε] W addidit ex H ὅτι Ἀντίγονος εἰ μὲν εἶχεν μείζονα δύναμιν; post πρῶτος lacuna in F; ἔχων χεῖρα post ἰσχυροτέραν add. vulg. Roth, qui codicis folium circumcisum sive ambustum fuisse statuens has notavit lacunas: v. 1 * * αὐτὸς ἰσχ., 3 * * βιαίου κινδύνου, 6 Ἀντίγονος * * οἷς περί, 9 Φρυγίαν * * (deest verbum). Ἀντίγονος, 11 ἦρχεν * * οὐ πρὸς ὁτιοῦν, 13 * * κοινοπραγία; p. 190, 3 * * ὡς, 7 ἐδίωκε * * τοῦ ζῆν, 14 * * κατέλαβε ‖ 3 φιλοκινδύνους H (εἰ δὲ ἀσθενεστέραν νέους καὶ φιλοκινδύνους τὰς ἐπιθέσεις προετρέπετο); βιαίου κινδύνου F; μετὰ κινδύνου R ‖ 6 ὅτε Rud. Schoell; οἷς F; οὗτος Cas. ‖ 11 Ἀλκέτας Cas.; Λακέτας F ‖ τοιοῦτό τι ουν vulg.; οὐπροσοτιοῦν F ‖ 13 [ὡς ἐπὶ] Sittl; [ἐπὶ] vulg. ‖ 20 αὐτῶν F.

*Μακεδονίαν ἐπανέλθοιεν. ἐπὶ τούτοις ἐσπείσαντο καὶ ἀνεχώρησαν. Ἀντίγονος Λεωνίδαν τῶν ἀνδρῶν ἡγήσασθαι μέχρι Μακεδονίας [ἐκέλευσεν] ὡς ἀσφαλῶς αὐτοὺς εἰς τὴν οἰκείαν παραπέμψοντα.*

819 7 *Ἀντίγονος Ἄτταλον, Ἀλκέταν, Δόκιμον, στρατηγοὺς Μακεδόνων οὐκ ἀδόξους, ἐν αὐλῶνι Πισιδικῷ στρατοπεδεύοντας ἐδίωκε κρύβδην. τῶν δ' ἐλεφάντων κλαγξάντων καὶ φρυαξαμένων ᾔσθοντο, ὡς Ἀντίγονος προσάγοι· μόνῳ γὰρ τούτῳ παρασκευὴ τοιούτων θηρίων ἦν. Ἀλκέτας τὸ πελταστικὸν ἀναλαβὼν τὴν διὰ τῶν ὀρῶν τραχεῖαν καὶ δύσβατον οὖσαν ἠπείγετο καταλαβέσθαι. Ἀντίγονος Ἀλκέταν μὲν οὐκ ἐδίωξε· λοξώσας δὲ τὴν στρατιὰν ὑπὸ τοὺς τῶν ὀρῶν λαγόνας ἔσπευσεν ἐπὶ τὸ στρατόπεδον [καὶ] κατέλαβε τῶν πολεμίων τοὺς μὲν ἄρτι ὁπλιζομένους, τοὺς δὲ ἀόπλους, ταρασσομένους δὲ πάντας· ὥστε φόνου μὲν ἀπεχόμενος, σωτηρίαν δὲ ὑποσχόμενος χωρὶς μάχης ἐνίκησεν.*

818 8 *Ἀντιγόνου νῆες ἑκατὸν τριάκοντα, ὧν ἦν ναύαρχος* c. 57, 1[illegible] *Νικάνωρ, ἐναυμάχησαν πρὸς τὸ Πολυσπέρχοντος ναυτικόν, οὗ Κλεῖτος ἐναυάρχει. Ἑλλήσποντος, ἔνθα ἡ*

Cap. 6. § 7. Ex Hieronymo Cardiano coll. Diod. 18, 44 sq. — Cf. Kallenberg, Philol. 36, p. 644.

Cap. 6. § 8. Ex Hieronymo Cardiano coll. Diod. 18, 72. — Droysen II, 1, p. 231, not. 1 et 2.

1 *ἐσπείσατο καὶ ἀνεχώρησεν Ἀντίγονος* F, corr. vulg. ‖ 3 [*ἐκέλευσεν*] Cas. ‖ 5 *Ἀλκίταν* F ‖ 6 *αὐλῶνι* Cas.; *αὐλῶ* F ‖ 7 *κρύβδην* K ex V *clam; τοῦ ζῆν* F ‖ 8 *φρυαξαμένων* K ut 1, 46; *φριξαμένων* F; *φριμαξαμένων* P ‖ 9 *προσάγοι* F] *προσάγει* M vulg. ‖ 13 *τοὺς* F; *τὰς* vulg.: cf. Lobeck ad Soph. Ai. 667 ‖ *ἔσπευσεν* F] *ἔσπευδεν* vulg. ‖ 14 [*καὶ*] *κατέλαβε* W ex V *eosque obruit; κατέλαβε δὲ* vulg. *κατελαβεν τὰς* F ‖ 18 *Ἀντίγονος νῆας ἔχων ..... ἐναυμάχησε* D; *Ἀντ. ναῦς ἔχων ... ναυμαχήσας* H ‖ 19 *Πολυσπέρχοντος* H et C marg.; *Πολυν χοστος* F.

*μάχῃ. Νικάνωρ τῶν ναυτῶν ὑπ' ἀπειρίας πρὸς ἐναντίον κῦμα βιαζομένων ἀπέβαλε ναῦς ἑβδομήκοντα. τῶν πολεμίων λαμπρῶς νικησάντων παρῆν Ἀντίγονος ἑσπέρας καὶ τὴν ἧτταν οὐκ ἔδεισεν· ἀλλὰ τοὺς μὲν ἐπὶ τῶν λοιπῶν νεῶν ἑξήκοντα ἑτοίμους εἶναι πρὸς ναυμαχίαν αὖθις νυκτὸς ἐκέλευσε· τῶν δὲ ὑπασπιστῶν τοὺς ἀλκιμωτάτους ἐπιστήσας τοῖς σκάφεσι προσέταξεν ἀπειλεῖν ὡς ἀποκτενοῦσι τοὺς μὴ χωροῦντας ἐς μάχην. Βυζάντιον δὲ φίλην ἔχων, ἐγγὺς οὖσαν, ἐντεῦθεν ὑπηρεσίαν ναυτικὴν διὰ τάχους ἐκέλευσε [ἐπιπλεῦσαι], πελταστὰς καὶ ψιλοὺς καὶ τοξότας χιλίους παρὰ τὰς ναῦς τῶν πολεμίων ὁρμούσας ἀπὸ γῆς ἀκοντίζειν καὶ τοξεύειν ἔταξεν. ταῦτα μὲν ἐν νυκτὶ μιᾷ διετέτακτο. ἀρχομένης δὲ ἕω οἱ μὲν ἀπὸ γῆς ἐτόξευον καὶ ἠκόντιζον· οἱ πολέμιοι δὲ, οἱ μὲν ἔτι καθεύδοντες, οἱ δὲ ἄρτι ἀφυπνίζοντες, ἀφυλάκτως ἐτιτρώσκοντο. ἄλλοι μὲν ἀνέσπων τὰ πρυμνήσια, ἄλλοι δὲ ἀνεῖλκον τὰς ἀποβάθρας, ἄλλοι δὲ ἀγκύρας ἀνιμῶντο· πάντων δὲ βοὴ καὶ τάραχος ἦν. Ἀντίγονος ἐσήμηνε καὶ ταῖς ἑξήκοντα ναυσὶν ἐπιπλεῦσαι καὶ μετὰ θυμοῦ καὶ ῥοθίου ποιεῖσθαι τὰς ἐμβολάς. αὐτίκα δὴ συνέβαινε, τῶν μὲν ἀπὸ γῆς βαλλόντων, [τῶν δὲ ἐπιπλεόντων,] κρατεῖν μὲν [τοὺς ἡττημένους, ἡττᾶσθαι δὲ] τοὺς νενικηκότας.*

---

1 *τῶν ναυτῶν* $F_2$ MC; *τῶν αὐτῶν* $F_1$; *τῶν αὐτοῦ* vulg. ‖ 3 *τῶν δὲ* M ‖ 6 *αὖθις*] *αὐτῆς* coni. K; *εὐθὺς* Patakis ‖ 10 [*ἐπιπλεῦσαι*] suppl. W; [*ἥκειν*] K; *ἐκάλεσε* pro *ἐκέλευσε* Cas.; *παρὰ γὰρ τῶν Βυζαντίων μεταπεμψάμενος ναῦς ὑπηρετικὰς* Diod. l. l. ‖ 11 *χιλίους οὓς* Cas. K ‖ 22 *βαλλόντων* M; *βαλόντων* F ‖ [*τῶν δὲ ἐπιπλεόντων*] K; *τῶν μὲν ἔξωθεν, τῶν δὲ ἀπὸ τῶν νεῶν ἐπιθεμένων* H ‖ 23 [*τοὺς ἡττημένους, ἡττᾶσθαι δὲ*] suppl. W coll. 4, 13. 5, 21. 5, 22, 1 etc.; *κρατεῖσθαι* omisso *μὲν* K.

318 9 *Ἀντίγονος μετὰ τὴν νίκην τῆς ἐν Ἑλλησπόντῳ ναυμαχίας πλεῖν τὰς ναῦς ἐπὶ Φοινίκης ἔταξε, τοὺς μὲν ναύτας ἐστεφανωμένους, τὰς δὲ πρύμνας κεκοσμημένας λαφύροις καὶ ἀκροστολίοις αἰχμαλώτων τριήρων· τοῖς δὲ κυβερνήταις ἐνετείλατο κατὰ τὸ πέλαγος παραπλεῖν πᾶσι μὲν ὅρμοις, πάσαις δὲ πόλεσι προσπελάζοντας, ὅπως ἡ νίκη διαβόητος ἀνὰ πᾶσαν τὴν Ἀσίαν γένοιτο. Φοίνισσαι νῆες ὁρμοῦσαι Κιλικίας ὑπὸ τῷ Ῥωσίῳ λιμένι χρήματα Εὐμένους ἄγουσαι Σωσιγένην ναύαρχον εἶχον. ὁ μὲν Σωσιγένης ἐπὶ ὀρθίου πάγου διέτριβεν ἀποσκοπῶν τὴν τοῦ πελάγους κίνησιν. οἱ δὲ ἀπὸ τῶν Φοινισσῶν νεῶν, ὡς εἶδον τὰς νικώσας λαμπρῶς κεκοσμημένας, ἁρπάσαντες τὰ χρήματα ἐσεπήδησαν ἐς τὰς Ἀντιγόνου τριήρεις· αἱ δὲ αὐτίκα ἀνήγοντο πολλὰ χρήματα καὶ συμμάχους [ἄγουσαι]. Σωσιγένης δὲ ὁ ναύαρχος τὸ πέλαγος ἀπεσκόπει.*

317 10 *Ἀντίγονος καὶ Εὐμένης παρετάξαντο· ἀγχώμαλος* cf. c. 34, 1 *ἡ νίκη· Εὐμένης κήρυκα περὶ νεκρῶν ἀναιρέσεως ἔπεμψεν. Ἀντίγονος πλείονας ὄντας τοὺς οἰκείους νεκροὺς λαθεῖν βουλόμενος ἐπὶ τοσοῦτον κατέσχε τὸν κήρυκα, ἐφ' ὅσον αὐτῶν πάντων τὰ σώματα ἔκαυ-*

---

Cap. 6. § 9. Cf. Droysen II, 1, 157 sq.

Cap. 6. § 10. Ex Hieronymo Cardiano coll. Diod. 19, 32. — Ad §§ 10. 11. 12. 13 (et ad cap. 8, § 4), quos inter se cohaerere apparet, cf. praeter Droysen. II, 1, p. 285 sq. Kallenberg, Philol. 36, p. 654 sq., ubi Polyaeni, Plutarchi, Diodori, Nepotis narrationes comparantur.

---

6 *προσπελάζοντας* M; *προσπελάζοντος* F ‖ 8 *νέες* F ‖ 10 *ὀρθίου πάγου* M; *ὀρθίου μάγου* F; *Ὀρθιουμάγου* vulg.; *Ὀρθόπαγος* Plut. Sulla 17 ‖ 15 [*ἄγουσαι*] Cas. ‖ 19 *πλείονας* vulg.; *πλέονας* F hoc uno loco ‖ 20 *κάτεσχε* vulg., cf. 1, 30, 5. 4, 6, 17. 5, 2, 7. 8; *παρέσχε* F; *παρακατέσχε* W ex Diod. *παρακατασχὼν τὸν κήρυκα.*

σεν. ἐπεὶ δὲ πέρας ἔσχεν ἡ ταφή, τότε τὸν κήρυκα ἀπέπεμψε συγχωρῶν τὴν ἀναίρεσιν.

11 317 Ἀντίγονος ἐν Γαδαμάρτοις τῆς Μηδίας προσεχείμαζεν. Εὐμένης προκατελάβετο τὴν ὁδὸν ἄχρι σταδίων χιλίων διατάξας τὴν δύναμιν πανταχοῦ. ἦν δὲ ἡ μὲν ὁδὸς παρὰ τὰς ὑπωρείας· τὸ δὲ κάτω πεδίον ὁμαλόν, ἄνυδρον, ἀοίκητον, οὐ βοτάνην ἔχον, οὐ δένδρον, οὐ φυτόν, ἀσφαλτῶδες δὲ καὶ πλῆθον ἁλμυρίδος· οὐκ ἄρα ἦν διαβατὸν οὔτε ζώοις οὔτε ἀνθρώποις. Ἀντίγονος τὰς κατὰ τὴν ὁδὸν φυλακὰς ἐκκλῖναι στρατηγῶν μέσον ἔγνω τὸ πεδίον τεμέσθαι. προσέταξε δὴ ῥάψασθαι μυρίους ἀσκοὺς καὶ πλῆσαι τούτους ὕδατος καὶ σιτία δέκα ἡμερῶν πέψαντας ἔχειν καὶ κριθὰς τοῖς ἵπποις καὶ χιλὸν αὐτάρκη. τὰ μὲν ηὐτρέπιστο· ὁ δὲ διὰ τῆς ἀοικήτου μέσης ἦγε τὴν στρατιὰν τῇ νυκτὶ [πυρὰ] καίειν οὐκ ἐπιτρέπων, ἵνα μὴ τοῖς φυλάττουσι τὰς ὑπωρείας κατάδηλον γένηται. καὶ μὴν μέχρι τέλους ἔλαθον ἄν, εἰ ἐπείσθησαν τῷ Ἀντιγόνου παραγγέλματι. ὀλίγοι δὲ αὐτῶν παγετώδους νυκτὸς γενομένης πῦρ ἀνέκαυσαν, ὥστε τὴν φλόγα ἰδόντες οἱ πολέμιοι συνῆκαν καὶ τὸ πεδίον ἐκβαινόντων προσβαλόντες κατὰ τὴν οὐραγίαν ἔστιν οὓς τῶν ὑστάτων ἀπέκτειναν. ὅσον δὲ ἐπὶ τῷ Ἀντιγόνου στρατηγήματι ἀβλαβεῖς ἐσώθησαν [ἂν] πάντες.

Cap. 6. § 11. Ex Hieronymo Cardiano coll. Diod. 19, 37. — Cf. Corn. Nep. Eumen. 8 et Plut. Eumen. 15 sq.

3 *Γαδαμάρτοις*] cf. Droysen II, 1, p. 287, not. 2 et J. p. 622 ‖ *Μηδίας* F, Diod., ut 4, 6, 14; *Μηδείας* M vulg. ‖ 8 *πλῆθον* K; *πλῆθος* F; *μεστὸν ἁλμυρίδος* Plut. Eumen. 16 ‖ 11 *μέσων* F ‖ *τεμέσθαι* K; *ἐπεμεσθαι* F; *ἕπεσθαι* M vulg.: cf. 4, 6, 4 ‖ *προσέταξε* (corr. *προέταξε*) *δὴ ῥάψασθαι προσέταξεν μυρίους* (sic) F ‖ 13 *πέψαντας* Cas.; *πέμψαντας* F ‖ 16 [*πυρὰ*] K ‖ 17 *κατάδηλος* K ‖ 24 [*ἂν*] Sittl.

16 12 Ἀντίγονος ἐν παρατάξει ὄρους ὑπτίαν λαγονα περιλαβών, ὡς εἶδεν Εὐμένους ἀνὰ τὸ πεδίον ἔκταξιν οὐκ ἐχυρὰν, τοῖς ὀπισθοφυλακοῦσιν ἐπιπέμψας ἱππικὰ στίφη πολὺ μέρος τῆς ἀποσκευῆς αὐτοῦ κατέσυρεν. e. 5

16 13 Ἀντίγονος περὶ τὴν Γαβιηνὴν συνέβαλλεν Εὐμένει μάχην. ἦν πεδίον λεπτόγεων καὶ ψαμμῶδες· ἐν τούτῳ συνιόντων μεγάλων στρατευμάτων αἴρεται νεφελώδης κόνις ἐπισκοτοῦσα καὶ φιλίοις καὶ πολεμίοις. ἡ μάχη μὲν ἐν χερσὶν ἦν. Ἀντίγονος δὲ τῶν Εὐμενείων στρατιωτῶν εἰδὼς ἑπομένην τὴν ἀποσκευὴν, ἐν ᾗ γυναῖκες ἦσαν αὐτῶν καὶ τέκνα καὶ παλλακαὶ καὶ οἰκέται καὶ χρυσὸς καὶ ἄργυρος καὶ ὅσα ἄλλα ἐκτήσαντο ἀπὸ τῆς μετὰ Ἀλεξάνδρου στρατείας, ἐκέλευσεν ἐπιλέκτους ἴλας περιελάσαι τὴν ἀποσκευὴν ἐς τὴν ἑαυτῶν στρατοπεδείαν. οἱ μὲν περιήλασαν ἀσχολουμένων τῶν πολεμίων περὶ τὴν μάχην καὶ τῆς κόνεως ἐπισκοτούσης. ἐπεὶ δὲ πέρας ἔσχεν ἡ μάχη [καὶ] πεντακισχίλιοι μὲν ἔπεσον Ἀντιγόνου, τριακόσιοι δὲ Εὐμένους, μέγα δὴ φρονοῦντες ἐπὶ τῇ νίκῃ διελύθησαν. ἐπεὶ δὲ τὴν ἀποσκευὴν εἶδον ἡρπασμένην καὶ τοὺς οἰκείους ἀπολωλότας, ἀθυμία καὶ θρῆνος ἦν τῶν νενικηκότων, ὥστε οἱ πλεῖστοι διὰ τὸν ἔρωτα τῶν οἰκείων ἐπρεσβεύοντο παρὰ Ἀντίγονον ἀξιοῦντες αὐτῷ προστίθεσθαι. Ἀντίγονος τὴν ἀποσκευὴν τῶν Εὐμενείων στρατιωτῶν e. 5

---

Cap. 6. § 13. Ex Hieronymo Cardiano coll. Diod. 19, 42 sq. — Cf. Plut. Eumen. 16 sq.

---

2 περιβαλὼν K ‖ 6 συνέβαλλεν F] συνέβαλε vulg. ‖ 11 ἑπομένην K; ἀπομένην M; ἀπομένειν F vulg. contra stilum Polyaeni ‖ 13 ἄλλα ὅσα F: cf. ad 1, 1, 1 ‖ 15 ἑαυτῶν F corr.] αὐτῶν F, M; ἑαυτοῦ vulg. ‖ 18 [καὶ] K.

ἁρπάσας, ἐπειδὴ βαρέως ἔφερον ἀπολέσαντες τὰ φίλτατα, ἐκήρυξεν προῖκα ἀποδώσειν τὰ ἡρπασμένα. οἱ δὲ πρὸς τὸ κήρυγμα αὐτίκα μετεβάλοντο, οὐ μόνον οἱ Μακεδόνες, ἀλλὰ καὶ μύριοι Περσῶν, ὧν ἦρχε Πευκέστης· καὶ γὰρ οὗτος τοὺς Μακεδόνας ἰδὼν ἀντιγονίζοντας ὡς τούτους ἐνέκλινεν. τέλος δὲ τοσαύτη μεταβολὴ γνώμης καὶ τύχης ἐγένετο, ὥστε οἱ ἀργυράσπιδες συλλαβόντες Εὐμένη δεσμώτην παρέδωκαν, Ἀντίγονος δὲ ἁπάσης τῆς Ἀσίας βασιλεὺς ἀνηγορεύθη.

Ἀντίγονος Πίθωνα σατράπην Μηδίας πυθόμενος 14 31
ξενολογεῖν καὶ χρήματα συλλέγειν, ἀποστῆναι βεβουλευμένον ἀπιστεῖν τοῖς ἀγγέλλουσι προσεποιήσατο φάσκων 'οὐκ ἂν ἐγὼ πιστεύσαιμι ταῦτα Πίθωνα πράττειν, ᾧ πεντακισχιλίους Μακεδόνας ὁπλίτας καὶ Θρᾷκας χιλίους φύλακας τῆς σατραπείας πέμψαι παρεσκευάκα'. ταῦτα Πίθων ἀκούσας πιστεύει τῇ φιλανθρωπίᾳ καὶ διὰ τάχους ἧκε ληψόμενος τὴν ἐπικουρίαν. Ἀντίγονος δὲ ἐς τὸ κοινὸν τῶν Μακεδόνων ἐσαγαγὼν Πίθωνα ἑλὼν τιμωρησάμενος ἀπέκτεινεν.

Ἀντίγονος τοὺς ἀργυράσπιδας, οἳ τὸν Εὐμένη 15 31
δεσμώτην αὐτῷ παρέδωκαν, ἐτίμησε δωρεαῖς· τὸ δὲ ἄπιστον αὐτῶν φυλαττόμενος χιλίους μὲν αὐτῶν ἔδωκε

---

Cap. 6. § 14. Ex Hieronymo Cardiano coll. Diod. 19, 46. — Cf. Droysen II, 2, p. 306, not. 1 et J. p. 624.

Cap. 6. § 15. Ex Hieronymo Cardiano coll. Diod. 19, 48. — Cf. Plut. Eumen. 19.

---

1 ἐπεὶ δὲ F ‖ 2 ἐκήρυξαν F ‖ προῖκαν F ‖ 3 μετεβάλλοντο F ‖ 5 ἀντιγωνίζοντας F corr. ex ἀνταγώνιζοντας ‖ 10 Πίθωνα F, et sic infra; *Pithon* Curtius Iustin.; Πύθων vulg. Diod. ‖ 12 απιστεῖν $P_2$ marg.: cf. Diod. 19, 46 προσποιηθεὶς δὲ ἀπιστεῖν τοῖς διαβάλλουσι; πίστιν F ‖ ἀγγέλουσι F ‖ 13 οὐκ om. F ‖ 15 χιλίους K; καὶ χιλίους F ‖ πέμψαι K; πέμψας F; συμπέμψας D; συμπέμψαι vulg. ‖ 19 [καὶ] ἑλὼν K.

*συμμάχους εἶναι Σιβυρτίῳ τῷ σατράπῃ τῆς Ἀραχωσίας, τοὺς δὲ ἄλλους εἰς ἄλλα χωρία φρουροὺς διέπεμψεν ἐχυρὰ καὶ δύσβατα, ἵνα φρουρὰν αὐτὴν τὴν χώραν ἔχοιεν. διὸ ταχέως ἀφανεῖς πάντες ἐγένοντο.*

15 16 *Ἀντίγονος ἐπολιόρκει Ῥόδον ἐπιστήσας τῇ πολιορκίᾳ τὸν υἱὸν Δημήτριον, κηρύξας αὐτομόλοις Ῥοδίοις εἶναι πᾶσαν ἀσφάλειαν· ὁπόσοι δὲ περὶ Συρίαν, Φοινίκην, Κιλικίαν, Παμφυλίαν ἦσαν ἔμποροι καὶ θαλασσουργοὶ Ῥόδιοι, καὶ τούτοις ἐκήρυξεν ἀσφάλειαν τῆς θαλάσσης ἐπὶ τῷ μὴ καταίρειν εἰς Ῥόδον, ἵνα βοηθείας ἐρήμην Ῥόδον ἐξέλοι, τῶν παρὰ Πτολεμαίου συμμάχων οὐχ ἱκανῶν ὄντων ἀντισχεῖν Δημητρίῳ πολιορκοῦντι.*

17 17 *Ἀντίγονος μισθοφόρους ἐμισθώσατο Γαλάτας,* e. 43, 1 *ὧν Κιδήριος ἦρχε, συνθέμενος [ἑνὶ] ἑκάστῳ δώσειν χρυσοῦν Μακεδονικόν, ὅμηρα δοὺς τοῦ μισθοῦ ἄνδρας καὶ παῖδας τῶν εὐγενῶν. ἡ μάχη πρὸς Ἀντίπατρον ἐγένετο· ἐπεὶ δὲ ἐγένετο, οἱ Γαλάται τὸν μισθὸν ἀπῄτουν. Ἀντίγονος ἑκάστῳ θυρεαφόρῳ τὸν μισθὸν ἀπεδίδου. οἱ Γαλάται καὶ τοῖς ἀόπλοις καὶ ταῖς γυναιξὶ καὶ τοῖς παισὶν ἀπῄτουν· τοῦτο γὰρ εἶναι 'τῶν Γαλατῶν ἑνὶ ἑκάστῳ'. ἦν οὖν, εἰ μὲν οἱ μάχιμοι λαμβάνοιεν, τριάκοντα τάλαντα· εἰ δὲ μετὰ τῶν ἀπομάχων, ἑκατόν. ἀφίσταται δὴ τὸ Γαλατικὸν καὶ τοὺς ὁμήρους ἀποκτενεῖν ἠπείλει. Ἀντίγονος δείσας περὶ τοῖς ὁμη-*

---

1 *Σιβυρτίῳ* Diod. et Plut.; *Σιγυρτίῳ* F ‖ *Arabiae* V ‖ 3 *αὐτὴν* Hertlein, Iahnii annal. 1867, p. 607; *αὐτοὶ* F; [*κατὰ*] *τὴν χώραν* W ‖ 6 *αὐτομόλοις* R; *αὐτοὶς* F ‖ 9 *τούτους* F ‖ 15 *Κιδήριος* F; *Βιδόριος* C; *Βιδήριος* vulg. ‖ [*ἑνὶ*] inserui (*unicuique* V); *ἓν ἑκάστῳ* Patakis cf. 1, 30, 6. 8, 66 ‖ 18 *ἐγένετο* F] seclusit K et W malit abesse, cum in MD verba *ἐγένετο· ἐπεὶ δὲ* desint ‖ 22 *ἑνὶ* Heringa R (*unicuique* V); *ἓν* F; *ἕν* vulg.; del. K ‖ 24 *δὴ* F] *δὲ* M vulg. ‖ 25 *ἀποκτενεὶν* K; *ἀποκτείνειν* F ‖ *ἀπειλεῖ* W.

ρεύουσι πρεσβευτὴν ἔπεμψεν, ὅσα αἰτοῦσι δώσειν ὑπισχνούμενος, εἰ πέμψειαν τοὺς ληψομένους τὸ χρυσίον. οἱ δὲ περιχαρεῖς τῷ πλήθει τῶν χρημάτων τοὺς ἀρίστους Γαλατῶν οἷα δὴ χρυσοφόρους ἔπεμψαν. Ἀντίγονος κατασχὼν τοὺς ἥκοντας οὐκ ἄλλως ἔφη τοῖς Γαλάταις τοὺς ἄνδρας ἀποδώσειν, εἰ μὴ τοὺς αὐτοῦ ἀπολάβοι πάλιν. οἱ Γαλάται σπουδάζοντες ἀνασώσασθαι τοὺς αὐτῶν, ἀποδόντες τοὺς ὁμήρους τότε τοὺς ἰδίους ἀπολαμβάνουσι καὶ σὺν αὐτοῖς τὰ τριάκοντα τάλαντα.

Ἀντίγονος Κασσάνδρειαν ἐπολιόρκει βουλόμενος 18 27
ἐξελεῖν Ἀπολλόδωρον τὸν Κασσανδρέων τύραννον. δέκα μηνῶν χρόνος ἦν τῇ πολιορκίᾳ. αὐτὸς μὲν ἀνεχώρησεν· Ἀμεινίαν δὲ τὸν ἀρχιπειρατὴν καθῆκε συνθησόμενον φιλίαν πρὸς Ἀπολλόδωρον. ὁ δὲ κήρυκα πέμψας πραΰνεῖν Ἀντίγονον ἐπηγγέλλετο καὶ σιτία πολλὰ καὶ οἶνον πέμψειν, ὥστ' ἐδόκει πιστὸς Ἀμεινίας. οἱ δὲ ἀμφὶ τὸν τύραννον τῇ τε Ἀμεινίου φιλίᾳ πιστεύοντες καὶ τῆς ἀπουσίας τῆς Ἀντιγόνου καταφρονοῦντες οὐκ ἀκριβῶς ἐφύλαττον τὰ τείχη. τῷ δὲ Ἀμεινίᾳ κλίμακες ἰσομήκεις τοῖς τείχεσιν ἐπεποίηντο, καὶ ὑπὸ τὴν καλουμένην Βῶλον, ἀπέχουσαν οὐ πρόσω τῶν τειχῶν, ἀπεκρύπτοντο στρατιῶται δισχίλιοι καὶ μετὰ τούτων Αἰτωλοὶ πειραταὶ δέκα, ὧν Μελάτας ἡγεῖτο. οὗτοι κατὰ τὴν πρώτην αὐγὴν τῆς ἡμέρας ἀραιοὺς τοὺς ἐπὶ τῶν τειχῶν φρουροὺς ἰδόντες προσέρπουσι τοῖς μεσοπυργίοις καὶ προσθέμενοι τὰς κλίμακας αἴρουσι σύνθημα.

---

6 τοὺς αὐτοῦ Cas.; τοὺς ὁμήρους RW; τούτους F || 8 αὐτῶν F || 16 πραΰνεῖν K; πραΰνειν F || ἐπηγγέλετο F || 17 πέμψειν F| πέμπειν M marg. vulg. || 22 ἀπεκρύπτοντο Dm; ἀπέκρυπτον F || 24 Μελάτας F; Μελώτας vulg.; Μελάντας vel Μέλτας? W.

Ἀμεινίας μετὰ τῶν δισχιλίων στρατιωτῶν ἀναβὰς διὰ τῶν κλιμάκων ἐκράτησε τῶν τειχῶν, ὥστε οἱ μὲν ἔνδον ἦσαν, Ἀντίγονος δὲ αὐτίκα παρῆν· καὶ τὴν Κασσάνδρειαν κατασχὼν τὴν Ἀπολλοδώρου τυραννίδα κατέλυσεν.

19 Ἀντίγονος ἐλάττονας ἔχων στρατιώτας ἀντεστρατοπεδεύετο τοῖς περὶ Εὐμένη πολεμίοις. ἐπικηρυκευομένων δὲ συνεχῶς προσυνέταξεν, ἐπειδὰν ὁ κῆρυξ ἀφίκηται, στρατιώτην ἐσδραμεῖν πνευστιῶντα, κεκονιμένον, ἀγγέλλοντα ‘οἱ σύμμαχοι πάρεισιν’. Ἀντίγονος μὲν ἀκούσας περιχαρὴς ἀνεπήδησε· τοὺς κήρυκας ἀποπεμψάμενος καὶ τῆς ὑστεραίας τὸ μῆκος τῆς φάλαγγος διπλάσιον ἐκτείνας τοῦ χάρακος ἐξήγαγεν. οἱ δὲ πολέμιοι παρὰ τῶν κηρύκων ἀκούσαντες τὴν παρουσίαν τῶν συμμάχων τὴν μὲν ἔκτασιν τοῦ μήκους τῆς φάλαγγος ὁρῶντες, τὸ δὲ βάθος εὐκαταφρόνητον ἔχοντος, μάχην συνάψαι φοβηθέντες φυγόντες ᾤχοντο.

33 20 Ἀντίγονος τὰς Ἀθήνας βουλόμενος λαβεῖν εἰρήνην e. 13, 8 ἐσπείσατο τῷ τοῦ φθινοπώρου καιρῷ. Ἀθηναῖοι τὸν σῖτον κατασπείραντες ὀλίγον ἐφύλαξαν τὸν ἀποχρήσοντα μέχρι τῆς τῶν καρπῶν ἀκμῆς. ἐπεὶ δὲ ἤκμαζον οἱ καρποί, Ἀντίγονος μετὰ τοῦ στρατεύματος ἐς τὴν Ἀττικὴν ἐνέβαλεν. οἱ δὲ τοῦ σίτου τὸν μὲν καταναλωκότες, τὸν δὲ κωλυόμενοι θερίζειν Ἀντίγονον εἴσω

---

Cap. 6. § 20. Cf. Front. strat. 3, 4, 2. — Droysen III, 1, p. 244, not. 3.

---

8 *προσυνέταξεν* F] *προσέταξεν* vulg. ‖ 9 *ἐσδραμεῖν* Hertlein; *ἐκδραμεῖν* F vulg.; *ἐνδραμεῖν* Patakis ‖ *κεκονιμένον* $F_1$, Hemsterhuis ad Lucian. ed. Bipont. 1, 416 coll. Polyaen. 4, 2, 6; *κεκονιαμένον* corr. $F_2$; *κεκονισμένον* W ‖ 10 *ἀγγέλοντα* F ‖ 11 *περιχαρεὶς* F ‖ 16 *ἔχοντος* Gronov. ad Liv. 22, 45; *ἔχοντες* F; [*ὃν, συνιδεῖν οὐκ*] *ἔχοντες* K ‖ 20 *ἀποχωρήσοντα* $F_1$, corr. $F_2$.

τοῦ ἄστεος ἐξεδέξαντο καὶ ὑπήκουσαν ἅπασιν αὐτοῦ τοῖς προστάγμασιν.

## 7. ΔΗΜΗΤΡΙΟΣ.

Δημήτριος χρήματα οὐκ ἔχων διπλασίους συνέλεξε στρατιώτας· καὶ δὴ θαυμάζοντός τινος, πόθεν ἡ μισθοφορὰ τοσούτοις, ὅπου μηδὲ τοῖς ἐλάττοσιν, 'ὅτι', ἔφη, 'βαρύτεροι ὄντες ἀσθενεστέρους τοὺς ἀντιπάλους ἕξομεν καὶ τῆς τούτων χώρας κρατήσομεν, καὶ φόρους οἴσουσιν ἄλλοι, [ἄλλοι] καὶ στεφάνους πέμψουσι τὸ πλῆθος τῶν στρατιωτῶν δεδιότες ἤδη.' 1

e. 57, 13 Δημήτριος μέλλων ἐπὶ τὴν Εὐρώπην πλεῖν βουλόμενος λαθεῖν, ὅποι ἀποβαίνειν μέλλοι, τῶν κυβερνητῶν ἑκάστῳ βιβλίον ἔδωκεν ἐσφραγισμένον προστάξας 'εἰ μὲν ὁμοῦ πλέοιμεν, ἐᾶτε μένειν τὰς σφραγίδας, εἰ δὲ διασπασθείημεν, ἀνοίξαντες τὰ γραμματεῖα ποιεῖσθε τὸν πλοῦν εἰς τὸν γεγραμμένον τόπον'. 2 30

e. 31, 7 Δημήτριος ἀδοκήτως προσπεσεῖν τῇ Σικυῶνι βουλόμενος ἀνεχώρησεν εἰς Κεγχρέας κἀκεῖ διέτριβεν ἡμέραις πλείοσι προσέχων ἡδοναῖς καὶ τρυφαῖς. ὁπηνίκα δὲ πόρρω τῆς ὑπονοίας ἐγένοντο Σικυώνιοι, τὸ μὲν 3 30

---

Cap. 7. De fontibus cf. J. p. 627—634.

Cap. 7. § 2. Cf. Droysen II, 2, p. 221; Schmidt, de expeditionibus a Demetrio Polior. in Graeciam susceptis, Pyritz 1875, p. 5; Schubert, Iahnii annal., Suppl. 9, p. 725; Moerschbacher, quibus fontibus Plut. in vita Demetr. describenda usus sit, 1876, p. 31.

Cap. 7. § 3. Cf. Diod. 20, 102, 2.

---

1 ἐξεδέξαντο F] ἐδέξαντο M; εἰσεδέξαντο Hertlein: cf. 3, 9, 45 ‖ 4 οὐκ ἔχων p; οὐχ ἑλὼν F ‖ 8 τούτων Cas.; τούτου F ‖ 9 ἄλλοι, [ἄλλοι] W; ἀλλὰ K ‖ 10 ἤδη delendum censuit R ‖ 12 λαθεῖν H; μαθεῖν F ‖ ὅποι F] ὅπου HM: ἀποβαίνειν ἐς, ἐπὶ cum accus. 3, 4, 4. 5, 8, 1; cf. 6, 9, 4.

ξενικὸν μετὰ Διοδώρου νυκτὸς ἔταξε προσβαλεῖν κατὰ τὰς ἐπὶ Πελλήνην πόλιν πύλας, τὸ δὲ ναυτικὸν τοῖς λιμέσιν ἐπιφαίνεσθαι, τὸ δὲ ὁπλιτικὸν αὐτὸς ἤγαγεν ἐπὶ τὴν πόλιν, ὥστε πανταχόθεν τὰς προσβολὰς ποιησάμενος τῆς πόλεως ἐκράτησεν.

301 4 Δημήτριος Διοδώρῳ φρουράρχῳ τὴν Ἔφεσον παραδοὺς ἔπλευσεν ἐπὶ Καρίας. ὁ δὲ Λυσιμάχῳ συνέθετο προδώσειν τὴν πόλιν ἐπὶ πεντήκοντα ταλάντοις. πυθόμενος Δημήτριος, ἀναλαβὼν τὰς ἡμιολίας, τὰς μὲν ὑπὸ τὴν χώραν ἐκέλευσεν ὑφορμῆσαι· αὐτὸς δὲ ἐπὶ μιᾶς πλέων καὶ Νικάνορα προσλαβὼν ἔπλει πρὸς τὸν λιμένα τῆς Ἐφέσου. ὁ μὲν Δημήτριος ἐν κοίλῃ νηὶ κατεκέκρυπτο· φανερῶς δὲ ὁ Νικάνωρ ἐκάλει τὸν Διόδωρον ὡς διαλεξόμενος αὐτῷ περὶ τῶν στρατιωτῶν, ὅπως ἀσφαλῶς αὐτοῖς ἀπελθεῖν ἐπιτρέψειεν. ὁ δὲ ὑπολαβὼν ἥκειν τὸν Νικάνορα μόνον ἐπιβὰς ἐπικώπου κέλητος ἕτοιμος ἦν ποιεῖσθαι τὰς συνθήκας. ὡς δὲ ἐγγὺς ἦν, ἐκ νεὼς κοίλης ἀναπηδήσας Δημήτριος τὸν μὲν κέλητα κατέδυσεν αὐτοῖς ἀνδράσι, τοὺς δ' ἀπονηξαμένους συνέλαβε, τὴν δ' Ἔφεσον κατέσχε τὸν προδιδόντα φθάσας.

295 5 Δημήτριος Αἴγιναν καὶ Σαλαμῖνα λαβὼν ἐν τῇ Ἀττικῇ στρατοπεδεύων, ἔπεμψε πρὸς τοὺς ἐν Πειραιεῖ, αἰτῶν ὅπλα χιλίοις ἀνδράσιν ὡς ἥκων σύμμαχος αὐτοῖς κατὰ τοῦ τυράννου Λαχάρους. οἱ μὲν πιστεύσαντες ἔπεμψαν· ὁ δὲ λαβὼν καὶ ὁπλισάμενος αὐτοὺς ἐπολιόρκησε τοὺς πέμψαντας.

---

2 Πελλήνην Wessel. ad Diod. 20, 102; Παλήνην F ‖ 3 ὁπλητικὸν F ‖ 11 Νικάνωρα F ‖ 19 κατέδησεν $F_1$ ‖ 22 σαλμίναν, corr. σαλμίνα F ‖ 23 στρατοπεδεύων Heringa; στράτοπεδον F ‖ πειραεῖ F ‖ 24 ἥκων mp; ἧκον F ‖ σύμμαχος F] σύμμαχοι vulg.

e. 57, 14 Δημήτριος τοῦ Πειραιῶς ἐκράτησεν οὐχὶ παντὶ 6 τῷ ναυτικῷ κατάρας, ἀλλὰ τὰς μὲν πλείστας τριήρεις ὑπὸ τῷ Σουνίῳ ναυλοχεῖν κελεύσας, εἴκοσι δὲ τὰς ἄριστα πλεούσας ἐπιλεξάμενος προσέταξε ῥοθίῳ τῇ εἰρεσίᾳ πλεῖν οὐκ ἐπὶ τὸ ἄστυ, ἀλλ' ὡς ἐπὶ τὴν Σαλαμῖνα. Δημήτριος ὁ Φαληρεύς, Ἀθηναίων στρατηγῶν, ἐτύγχανε μὲν κασσανδρίζων· ἀπὸ δὲ τῆς ἀκροπόλεως κατιδὼν τὰς εἴκοσι νέας ἐπὶ Σαλαμῖνος πλεούσας, ἐνόμισεν εἶναι Πτολεμαϊκὰς ἐπὶ Κορίνθου πορευομένας. οἱ δὲ ἐπὶ τῶν εἴκοσι ἐπιστρέψαντες εὐθὺ τοῦ Πειραιῶς κατέσχον, παραχρῆμα δὲ καὶ Σουνιόθεν ὁ στόλος ἅπας ἐπικατήγετο· ὥστε πολὺ πλῆθος ἐκβάντες κατελάβοντο τοὺς πύργους καὶ τὸν λιμένα. κήρυκες δὲ ἀνεβόων· 'Δημήτριος τὰς Ἀθήνας ἐλευθεροῖ' καὶ Ἀθηναῖοι τὸ κήρυγμα τῆς ἐλευθερίας ἀκροώμενοι Δημήτριον προσεδέξαντο.

e. 57, 15 Δημήτριος ἐπολιόρκει Σαλαμῖνα τὴν ἐν Κύπρῳ 7 τριήρεσιν ἑκατὸν ἑβδομήκοντα· Πτολεμαίου στρατηγὸς Μενέλεως ἑξήκοντα ναυσὶν ἐφρούρει τὴν πόλιν, καὶ αὐτὸς δὲ Πτολεμαῖος προσεδοκᾶτο ναυσὶ τεσσαράκοντα

Cap. 7. § 6. Cf. Plut. Demetr. 8; Diod. 20, 45, 2. — Droysen II, 2, p. 115; Schubert, Iahnii annal., Suppl. 9, p. 698 sqq.
Cap. 7. § 7. Cf. Plut. Demetr. 16; Diod. 20, 50 et 51. — J. p. 631.

1 παντὶ in P rec. manu ex πάντων corr.; πάντων F vulg. || 4 ἀρίστας F || 7 κασανδρίζων F || 9 Πτολεμαϊκὰς W coll. Plut. Demetr. 8 ἁπάντων ὡς Πτολεμαϊκὰς τὰς ναῦς ὑποδέχεσθαι παρασκευαζομένων; πολεμικὰς F vulg. || 10 εὐθὺ F] *recta ad Piraeum connitentes* V; εὐθὺς vulg. || 11 τοῦ vulg.; τῶν F || Σουνιόθεν M; συνϊόθεν F || 15 ἀκροώμενοι Hertlein (cf. Iahnii annal. 1861, p. 253); ἐρώμενοι F V; ὁρώμενοι vulg. W coll. 5, 2, 5 || Δημήτριον οὐ προσεδέξαντο F || 18 ἑκατὸν ἑβδομήκοντα F V et H (ρō) coll. Diod. 20, 48 sq.; ἑκατὸν ὀγδοήκοντα P D et Plut. Dem. 16 || 19 Μενέλαος H, Diodorus, Plut.: cf. 1, 13.

καὶ ἑκατὸν ἐπιπλευσεῖσθαι. Δημήτριος πρὸς διακοσίας ὁμοῦ τριήρεις ἀξιόμαχος οὐκ ὢν τῆς Σαλαμῖνος ἄκραν ὑπερέχουσαν περιπλεύσας ὑπὸ κρημνῷ λιμενίζοντι ναυλοχῶν ἐκρύπτετο. ἐπεὶ δ' ὁ Πτολεμαῖος τοὺς ὄπισθεν τοῦ κρημνοῦ μὴ προορώμενος κατῆρεν ἐς θῖνα εὔορμον, ἀναπεπταμένον καὶ περὶ ἔκβασιν ἦν, ἐπιστρέψαντες οἱ περὶ τὸν Δημήτριον ἐξεφάνησαν· καὶ παραχρῆμα ταῖς Αἰγυπτίαις ναυσὶν ἄρτι προσορμιζομέναις ἐμβάλλουσιν, ὥστε ὀξύτατον γενέσθαι τῆς νίκης τὸ τάχος. Πτολεμαῖος μὲν παραχρῆμα ἔφυγε· Μενέλεως δὲ ἀπὸ Σαλαμῖνος ἀναχθεὶς ὡς προσβοηθήσων καὶ αὐτὸς Πτολεμαίῳ φεύγοντι συνέφευγεν.

303 8 Δημήτριος ἐς Κόρινθον προδιδομένην νύκτωρ c. 29, 5
προῆλθε τῶν προδιδόντων τὰς κατὰ κορυφὴν πύλας ἀνοιξάντων. δεδιὼς τοὺς ἐν τῇ πόλει, μὴ μαθόντες ἐπιθοῖντο, περιέσπασεν αὐτοὺς πολλὴν στρατιὰν προσβαλὼν ταῖς πύλαις ταῖς κατὰ τὸ Λέχαιον. οἱ μὲν δὴ μεγάλα ἠλάλαξαν, οἱ δὲ Κορίνθιοι πρὸς τὴν βοὴν συνέδραμον ἅπαντες. οἱ προδιδόντες τὰς κατὰ κορυφὴν πύλας ἀνοίξαντες τοὺς πολεμίους ἐδέξαντο· Δημήτριος δὲ ᾑρήκει Κόρινθον, Κορινθίων τὰς ἐπὶ Λέχαιον πύλας φυλαττόντων.

295 9 Δημήτριος ἐπεστράτευε Λακεδαιμονίοις· ἦν μέσον c. 22,
ἀμφοτέρων ὄρος Ἀρκαδικὸν Λύρκειον. οἱ Μακεδόνες

---

Cap. 7. § 8. Cf. Diod. 20, 103, 1.
Cap. 7. § 9. Cf. Droysen II, 2, p. 257 et J. p. 633.

---

4 ὄπισθεν vulg.; ὄπιθεν F || 12 συνέφυγεν vulg. || 14 προῆλθε FH; προσῆλθε K || κατὰ F] μετὰ vulg. || 15 μαθόντες H; λαθόντες F vulg. || 17 Λαίχμιον F; corr. vulg. || 19 προδιδόντες F] προδόντες MP || 21 Λέχαιον coni. Hertlein coll. 4, 7, 3; Λεχαίου F || 24 Λύρκειον scripsi: cf. J. p. 632; Λυκαῖον F.

οὐκ ἀδεῶς εἶχον ἄπειροι τοῦ ὄρους ὄντες. βορέας ἐπίφορος ἔπνευσεν εἰς τοὺς πολεμίους. Δημήτριος πῦρ ἐμβαλὼν ἀνῆψε τὴν ὕλην· ἡ δὲ φλὸξ μετὰ τοῦ πνεύματος καὶ τοῦ καπνοῦ τοῖς Λακεδαιμονίοις ἐμπεσοῦσα πάντας ἀπέστρεφεν. οἱ δὲ ἀμφὶ Δημήτριον ἐπεξελθόντες θυμῷ καὶ σιδήρῳ Λακεδαιμονίους ἐνίκησαν.

Δημήτριος ἀνεχώρει διὰ στενῆς ὁδοῦ· Σπαρτιᾶται 10
κατὰ τὴν οὐραγίαν προσβαλόντες πολλοὺς ἐτίτρωσκον. ὁ δὲ πλῆθος αμαξῶν σωρεύσας κατὰ τὸ στενώτατον τῆς δυσχωρίας πῦρ ἐνῆκεν. οἱ μὲν πολέμιοι τὴν πυρκαϊὰν ὑπερβαίνειν οὐκ ἠδύναντο· ἐφ' ὅσον δὲ συνέβαινε καταφλέγεσθαι τὰς ἁμάξας, Δημήτριος προλαβὼν ἐξέφυγε τοὺς διώκοντας.

Δημήτριος κήρυκα πρὸς Βοιωτοὺς πέμψας πόλε- 11
μον ἐπήγγειλεν. ὁ μὲν κῆρυξ ἐν Ὀρχομενῷ τοῖς Βοιωτάρχαις τοῦ πολέμου τὴν ἐπιστολὴν ἀπέδωκε· Δημήτριος δὲ ἐν Χαιρωνείᾳ τῇ ὑστεραίᾳ ἐστρατοπέδευσε. κατεπλάγησαν οἱ Βοιωτοὶ πόλεμον ἀγγελλόμενον ὁμοῦ καὶ παρόντα.

c. 48, 6 Δημήτριος Λύκον ποταμὸν ὀξύτατον ἐπεραιοῦτο 12
πεζοῖς μὲν οὐ διαβατὸν, ἱππεῦσι δέ. τῶν ἱππέων ὅσοι μεγίστους καὶ στερνοβριθεῖς ἵππους εἶχον, ἐς τετραφαλαγγίαν ἀντίους ἔστησε τῷ ῥεύματι· τούτοις τὸ

---

Cap. 7. § 11. De tempore inter se discrepant Droysen II, 2, p. 257 sq. et Willamowitz (Philol. Untersuchungen, fasc. 4, p. 202), cf. J. p. 633.

---

3 ὕλην M; πύλην F ‖ 16 ἐπήγγελλεν K ‖ 17 ἀπέδωκε Hertlein; ἀνέδωκε F; ἔδωκε M ‖ 18 χερωνείᾳ F ‖ 19 ἀγγελόμενον F ‖ 23 στερνοβριθεῖς p; στενοβριθεῖς F; εὐρώστους H ‖ 24 ἀντίους F; αὐτοὺς M; ἀντίαν P; ἀντέστησε vulg.

*ὀξὺ τοῦ ποταμοῦ περικλώμενον ῥᾴονα τὴν διάβασιν τοῖς πεζοῖς παρέσχεν.*

## 8. ΕΥΜΕΝΗΣ.

1 *Εὐμένης ὑπὸ Γαλατῶν ἐδιώκετο τοῦ σώματος ἀρρώστως ἔχων, κομιζόμενος ἐν φορείῳ. βραδεῖαν δὲ τὴν φυγὴν ποιούμενος καὶ ἤδη καταλαμβανόμενος, ἰδὼν ἐν τῇ παρόδῳ γεώλοφον προσέταξε τοῖς κομίζουσιν ἐπὶ τοῦτον θεῖναι τὸ φορεῖον. οἱ βάρβαροι πλησίον ὄντες καὶ νομίσαντες οὐκ ἄν ποτε τοῦτο ποιῆσαι τὸν Εὐμένη μὴ οὐχὶ μεγάλην ἔχοντα βοήθειαν ἐγγὺς ἀποκεκρυμμένην τοῦ διώκειν ἀπέστησαν.*

319 2 *Εὐμένης ἤδη συνιεὶς τῶν ἀργυρασπίδων ἀρχομένων νεωτερίζειν, ἀλλὰ μὴν [καὶ] Ἀντιγένους καὶ Τευτάμου, οἳ στρατηγοὶ τούτων ἦσαν, ὑπερηφάνως πρὸς αὐτὸν διακειμένων καὶ βαδίζειν ἐπὶ τὴν σκηνὴν αὐτοῦ κατοκνούντων, συγκαλέσας τοὺς ἡγεμόνας ἐνύπνιον ἔφη τοῦτο δεύτερον ἑωρακέναι διαπειλούμενον, εἰ μὴ πεισθείημεν, κοινὸν ἅπασιν ἔσεσθαι κίνδυνον. ἦν δὲ Ἀλέξανδρος ὁ βασιλεὺς ἐν μέσῳ στρατοπέδῳ προκαθήμενος ἐν σκηνῇ, σκῆπτρον ἔχων, χρηματίζων ἅπασι· καὶ δὴ προσέταξε τοῖς ἡγεμόσι, μηδὲν τῶν κοινῶν καὶ βασιλικῶν διοικεῖν ἔξω τῆς βασιλικῆς σκηνῆς καὶ καλεῖν ταύτην μόνην Ἀλεξάνδρου σκηνήν.'*

---

Cap. 8. De fontibus cf. J. p. 634 sq.
Cap. 8. § 2. Ex Hieronymo Cardiano coll. Diod. 18, 60. — Cf. Corn. Nep. Eum. 7; Plut. Eum. 13.

---

4 *Εὐμενὴς* F, et sic semper ‖ 13 *ἀλλὰ μὴν* [*καὶ*] W coll. 1, 40, 6. 2, 1, 3. 11. infra p. 205, 8; *ἀλλὰ μὴν* F; *μάλιστα δὲ* vulg. ‖ 14 *Τευτάμου* p ut Plut. et Diod.; *Τευταμάτου* F vulg. ‖ 18 *εἰ μὴ* Vm; *εἰ μὲν* F; *εἰ μὲν πεισθείημεν* [*κοινὴν σωτηρίαν, εἰ δὲ μὴ*] Casaub. ‖ 20 *καθήμενος* M ‖ *χρηματίζον* F.

προσεκύνησαν οἱ Μακεδόνες τὸν Ἀλέξανδρον καὶ συνεβούλευσαν ἐκ τῶν βασιλικῶν χρημάτων σκηνὴν κατασκευάσαι βασιλικὴν καὶ θρόνον χρυσοῦν βασιλικῶς κεκοσμημένον· ἐπὶ δὲ τούτου χρυσοῦν στέφανον ἔχοντα διάδημα βασιλικὸν καὶ παρὰ τὸν θρόνον ὅπλα καὶ μέσον σκῆπτρον καὶ πρὸ τοῦ θρόνου τράπεζαν χρυσῆν· ἐπὶ δὲ ταύτης ἐσχαρίδα καὶ λιβανωτίδα χρυσῆν καὶ λιβανωτὸν καὶ θυμιάματα εὐώδη· ἀλλὰ μὴν καὶ δίφρους ἀργυροῦς ἐν τῇ σκηνῇ, ἐφ' ὧν οἱ πάντες ἡγεμόνες βουλεύοιντο περὶ τῶν κοινῶν πραγμάτων. ταῦτα μὲν δὴ κατεσκευάσαντο. Εὐμένης δὲ τὴν αὐτοῦ σκηνὴν ἤγειρε παρὰ τὴν Ἀλεξάνδρου καὶ οἱ ἄλλοι ἡγεμόνες ἐφεξῆς. οὕτω δὴ συνέβαινεν τὸν Εὐμένη εἰσιόντα πάντας ἐκείνους ἡγεμόνας ὑποδέχεσθαι, μεθ' ὧν Ἀντιγένης καὶ Τεύταμος, οἱ στρατηγοὶ τῶν ἀργυρασπίδων, ἐβάδιζον, τῷ μὲν ἔργῳ πρὸς Εὐμένη, τῇ δὲ τιμῇ πρὸς Ἀλέξανδρον.

Εὐμένης ἐν τῇ Περσίδι τοὺς στρατιώτας ὁρῶν 3 317
ὑπὸ Πευκέστου δημαγωγουμένους οἴνῳ καὶ διανομαῖς δεδοικώς, μὴ περισπάσῃ πᾶσαν τὴν ἡγεμονίαν, ἐπιστολὴν προήνεγκεν ὡς παρὰ Ὀρόντου τοῦ σατράπου τῆς Ἀρμενίας γεγραμμένην Συρίοις γράμμασι δηλοῦσαν, ὡς Ὀλυμπιὰς ἐξ Ἠπείρου κατελθοῦσα τὸν υἱὸν ἄγουσα τὸν Ἀλεξάνδρου κυρίως Μακεδονίας ἔχει [τὴν

Cap. 8. § 3. Ex Hieronymo Cardiano coll. Diod. 19, 23.

3 *καί* P; om. F ‖ 9 *ἐν* W; *καὶ ἐν* F; *εἶναι ἐν* vulg. ‖ 11 *αὐτοῦ* F ‖ 14 *ἐκείνους τοὺς ἡγεμόνας* K ‖ *Ἀρτιγένης* F ‖ 15 *Τεύταμος* p; *Τευτάμης* C; *Τευταμάτης* F vulg. ‖ 24 *κυρίως* W ex Diod. 19, 23; *βιαίως* F; *βεβαίως* K ‖ [*τὴν βασιλείαν ἀναιρεθέντος*] W ex Diod.; *ἴσως τεθνηκότος* p; *ἀναιρεθέντος* post *Κασσάνδρου* add. vulg.

βασιλείαν ἀναιρεθέντος] Κασσάνδρου. Μακεδονες ταῦτα ἀκούσαντες Πευκέστου μὲν ἐπελάθοντο, τὴν δὲ Ἀλεξάνδρου μητέρα καὶ τὸν υἱὸν μετὰ πολλῆς ἡδονῆς καὶ χαρᾶς ἀνηγόρευον.

17/16 4 Εὐμένης ἐν τῇ Περσίδι τὴν δύναμιν ἀφῆκε κατὰ e. 15,5 κώμας χειμάσουσαν· Ἀντίγονος τοῦτο πυθόμενος ἐπήρχετο. Εὐμένης — πέμψας [γὰρ Πευκέστης] ἤγγειλεν αὐτῷ — τοὺς ἡγεμόνας ἐκέλευσε νύκτωρ μετὰ τῶν ἰδίων παίδων πῦρ ἐν ἀγγείοις ἔχοντας τὰ μετέωρα τῆς χώρας καὶ ἄποπτα περιιππεύσαντας ἐπὶ στάδια ἑβδομήκοντα, διαστάντας ἀπ' ἀλλήλων ὅσον πήχεις εἴκοσιν, ὕλην ἱκανὴν καῦσαι· τὰ δὲ πυρὰ καίειν πρώτης μὲν φυλακῆς δαψιλῆ, δευτέρας δὲ ἐλάττω, τρίτης δὲ μικρὰ παντάπασιν, ὡς τὴν μίμησιν ἀληθινῇ στρατοπεδείᾳ προσεοικέναι. ταῦτα ὁρῶντες οἱ περὶ τὸν Ἀντίγονον ἐνόμισαν συνῆχθαι τῷ Εὐμένει τὴν δύναμιν ἅπασαν καὶ μὴ θαρρήσαντες ἐπελθεῖν ἄλλην ὁδὸν ἐτράποντο τὴν οὐ κατεχομένην ὑπὸ τῶν πολεμίων.

320? 5 Εὐμένης τοὺς στρατιώτας ἁρπάσαι βουλομένους τὴν ἀποσκευὴν τῶν πολεμίων ἀπέτρεπεν, ὡς οὐ συμ-

---

Cap. 8. § 4. Ex Hieronymo Cardiano coll. Diod. 19, 38. — Corn. Nep. Eumen. 8 sq.: cf. quae supra ad cap. 6, § 10 adnotavimus.

Cap. 8. § 5. Cf. Plut. Eum. 9.

---

6 *χειμάσουσαν* F] *χειμάσασαν* H; *χειμάζουσαν* vulg. ‖ 7 *Εὐμένης πεμψας ἤγγειλεν αὐτῷ* F; *Πευκέστης πέμψας ἤγγειλεν Εὐμένει* vulg.; inserui [*γὰρ Πευκέστης*] ‖ 11 *ὅσον*] *ὡς ἂν* Dindorf ‖ 12 *καῦσαι ... καίειν*] non sollicitanda in Polyaeno; *κόψαι* Heringa; *κομίσαι* Schneidewin; *ποιεῖν* pro *καίειν* Diod. et V *ignes facerent* ‖ 14 *ὡς* F vulg., quod probat Hertlein; *ὥστε* W ex Diod. *ὥστε δοκεῖν εἶναι ἀληθινὴν στρατοπεδείαν* ‖ *ἀληθινεὶ* F ‖ 19 *βουλόμενος* F ‖ 20 *συμφέρον* Hertlein coll. *ὡς προσῆκον, ὡς δέον* Polyaeni; *συμφέροι* F; *συμφέρει* vulg.

*φέρον. ἐπεὶ δ' οὐκ ἔπειθεν, αὐτὸς πέμψας ὡς τοὺς πολεμίους, προεῖπεν αὐτοῖς τὴν ἀποσκευὴν φυλάττειν. ἰδόντες οἱ στρατιῶται φυλακὰς ἀσφαλεστέρας ἀπέσχοντο.*

## 9. ΣΕΛΕΥΚΟΣ.

*Σέλευκος Ἀντιγόνῳ παρετάσσετο. ἦν ἴση τῆς* 1 311? *μάχης ἡ κρίσις. ἐπεὶ δὲ νὺξ προσῄει, ἔδοξεν ἀμφοῖν ἐς τὴν ὑστεραίαν ὑπερβαλέσθαι. οἱ μὲν Ἀντιγόνου στρατοπεδεύουσιν ἀφοπλισάμενοι· Σέλευκος δὲ προσέταξε τοῖς αὐτοῦ στρατιώταις ἐνόπλοις δειπνῆσαι καὶ κοιμηθῆναι τὸ σχῆμα τῆς τάξεως φυλάσσοντας. ὄρθρος ἦν βαθύς. οἱ μὲν Σελεύκειοι προσῆλθον ὡπλισμένοι καὶ συντεταγμένοι· οἱ δὲ Ἀντιγόνειοι καταληφθέντες ἄοπλοι καὶ ἀσύντακτοι ταχέως τοῖς πολεμίοις τὸ νῖκος ἔδωκαν.*

*Σέλευκος ἀντεστρατοπέδευε Δημητρίῳ· ἀλλ' ὁ μὲν* 2 286 *μέγα φρονῶν, Σέλευκος, ἀπεγνωκὼς τῶν πραγμάτων δὲ Δημήτριος. νὺξ ἦν· ἔδοξε νυκτομαχῆσαι Δημητρίῳ ὡς ἐξ ἀπονοίας τι κατεργασομένῳ. προθύμως ὑπήκουον οἱ στρατιῶται τὸ παράλογον τῆς ἐπιθέσεως ἐφόδιον ὑστάτης ἐλπίδος ἔχοντες. οἱ μὲν δὴ ἀνακινούμενοι ὡπλίζοντο· Αἰτωλοὶ δὲ πελτασταὶ Δημητρίου*

---

Cap. 9. § 2. Cf. Plut. Demetr. 49. — Cf. Moerschbacher, p. 31.

---

6 *προσῄει* M; *προῄει* F; *προΐει* vulg. ‖ 7 *ἐς* F; *δεῖν* m; *δεῖν εἰς* vulg.: cf. 1, 43, 2 ‖ *ὑπερβαλλέσθαι* F; *ὑπερβαλέσθαι* P vulg.; *ὑπερβάλλεσθαι* M ‖ 8 *ἀμφοπλισάμενοι* F ‖ 9 *ἐν ὅπλοις* Cas. K, at Polyaenus constanter *ἐν τοῖς ὅπλοις* ‖ 11 *προσῆλθον* F] *προῆλθον* Patakis ‖ 12 *καταλειφθέντες* F ‖ 16 *μέγα φρονῶν* F] *μεγαλοφρονῶν* M ut 3, 9, 28 ‖ 17 *δὲ* ante *Δημ.* collocavit W; post *Δημ.* habent MD, ante *τῶν* vulg.; om. F ‖ 18 *ἐξ ἀπονοίας* Cas.; *ἐξ ἐπινοίας* F; *ἐξαπιναίως* vulg. ‖ *κατεργασαμένῳ* F ‖ *ὑπήκουσαν* K ‖ 19 *τὸ παράλογον τὸ τῆς ἐπιθέσεως* F ‖ 20 *ἀνακοινούμενοι* K.

νεανίαι δύο ἐντυχόντες προφυλακῇ Σελεύκου τὴν ταχίστην ἄγειν αὐτοὺς ἠξίωσαν ὡς βασιλέα. ἐπεὶ δὲ ἦλθον, ἤγγειλαν τῆς νυκτομαχίας τὴν παρασκευήν. Σέλευκος δείσας, μὴ τῆς ὁπλίσεως τῶν στρατιωτῶν ὀξυτέρα τῶν πολεμίων ἡ ἔφοδος γένοιτο, προσέταξε τοῖς μὲν σαλπιγκταῖς τὸ πολεμικὸν σημαίνειν, τοῖς δὲ στρατιώταις ὁπλιζομένοις ἀλαλάξαι μέγιστον, ἕκαστον δὲ ἀνὰ τὴν κλισίαν πῦρ ἐμβαλεῖν τοῖς παροῦσι φρυγάνοις. ὁρῶν Δημήτριος περιλαμπομένην πυρὶ τὴν στρατιάν, ταῖς σάλπιγξι περιηχουμένην, ἀλαλαγμὸν ἐγείρουσαν, ὡς ἀντιπαρεσκευασμένῃ οὐκ ἐθάρρησεν ἐπιθέσθαι.

286 3 Σέλευκος τῶν Δημητρίου στρατιωτῶν ἀθύμως διακειμένων τοὺς ἀνδρωδεστάτους τῶν ὑπασπιστῶν ἐπιλεξάμενος καὶ προτάξας ἐλέφαντας ὀκτώ, διὰ στενῆς ἀτραποῦ παρὰ πλευρὸν τῶν πολεμίων βαδίζων, ἀπορρίψας τὸ κράνος ἀνεβόα ‘μέχρι ποῦ μαίνεσθε λῃστάρχῳ λιμώσσοντι παραμένοντες, δυνάμενοι πλουτοῦντι βασιλεῖ μισθοφορεῖν καὶ βασιλείας μετέχειν οὐκ ἐλπιζομένης, ἀλλὰ παρούσης;’ τούτων ἀκούσαντες οἱ πλεῖστοι τὰ δόρατα καὶ ξίφη ῥίψαντες ἀνέσεισαν τὰς χεῖρας προστεθειμένοι Σελεύκῳ.

282/81 4 Σέλευκος τὴν Σάρδεων ἄκραν ἐπολιόρκει, τοὺς ἐν αὐτῇ θησαυροὺς Θεοδότου φυλάσσοντος. τοῦτον θη-

---

Cap. 9. § 3. Cf. Plut. Demetr. 49.

---

1 *δύο νεανίαι* vulg. || *ἐντυχόντες* F] *τυχόντες* MD || 2 *αὐτοὺς* F || 7 *ὡπλιζομένους* F || 11 *ἀντιπαρεσκευασμένῃ* Hertlein; *ἀντιπαρεσκευασμένην* F vulg. || *ἐθάρρησαν* F || 14 *προτάξας* R (*praeposuit* V); *προστάξας* F || 20 *προστεθειμένοι* F] *προστιθέμενοι* Hertlein || 22 *ἐπολιόρκει* RW ex V *oppugnabat; ἐπόρθει* F, quod defendit Hertlein coll. Herod. 1, 162; Diod. 15, 4; *ἐπόθει* Hemsterh. ad Lucian. 3, 358 (Bip.): cf. 4, 16. 18, 1.

σαυροφύλακα Λυσίμαχος ἔταξε. μὴ δυνάμενος τὴν ἄκραν ἐχυρὰν οὖσαν ἑλεῖν ἐκήρυξε τάλαντα ἑκατὸν δώσειν τῷ κτείναντι Θεόδοτον. ἦν οὖν καὶ τῶν στρατιωτῶν πολλοῖς ἐπιθυμία τῶν ἑκατὸν ταλάντων καὶ τῷ Θεοδότῳ πρὸς τοὺς στρατιώτας ὑποψία καὶ φόβος. ὁ μὲν οὖν οὐδὲ προῄει· [οἱ] πολλοὶ δὲ ἠγανάκτουν ἀπιστούμενοι. τοιαύτης ταραχῆς οὔσης φθάσας Θεόδοτος πυλίδα νύκτωρ ἀνοίξας εἰσαγαγὼν Σέλευκον ἐξέδωκεν αὐτῷ τοὺς θησαυρούς.

c. 22, 4 Σέλευκος Δημητρίου στρατοπεδεύοντος ὑπὸ τοῖς 5 28
λόφοις Ταύρου δεδοικώς, μὴ λαθὼν ἐπὶ Συρίας ἀναχωρήσῃ, ἔπεμψε Λυσίαν μετὰ πολλῶν Μακεδόνων ἐπὶ τὰ ὄρη τὰ ὑπερκείμενα τῶν Ἀμανίδων πυλῶν, ᾗ τὴν πορείαν ἔμελλε ποιεῖσθαι, προστάξας πυρὰ καῦσαι πολλά. Δημήτριος προκατειλημμένους ὁρῶν τοὺς τόπους τῆς πορείας ταύτης ἀπετράπετο.

Σέλευκος ἐς Κιλικίαν φυγὼν ἐκ τῆς μάχης τῆς 6 24
πρὸς τοὺς βαρβάρους, ἵνα μηδὲ οἱ φίλοι μάθοιεν, ὅτι μετ᾽ ὀλίγων τυγχάνοι φεύγων, Ἁμακτυόνος τοῦ ἡγεμόνος τῆς βασιλικῆς ἴλης ὁπλοφόρος εἶναι προσεποιήσατο, ἐσθῆτα λαβὼν ἁρμόζουσαν ὁπλοφόρου σχήματι. ἐπεὶ δὲ πολὺ πλῆθος συνῆλθεν ἱππέων καὶ πεζῶν, τότε τὴν βασιλικὴν στολὴν ἀναλαβὼν ἑαυτὸν τοῖς στρατιώταις ἔδειξεν.

---

Cap. 9. § 5. Cf. Plut. Demetr. 49.
Cap. 9. § 6. De tempore cf. Droysen III, 1, p. 397.

---

6 *προίει* F ‖ [οἱ] K et Patakis; *vulgus* V ‖ 15 *προκατειλημμένος* F ‖ 16 *ἀπετράποντο* F ‖ 17 *φεύγων* Cas. ‖ 19 *τυγχάνοι* F] *τυγχάνει* vulg. ‖ ἀμακτυόνος F; *Ἀμακτιόνος* vel *Ἀμακτίονος* vulg. ‖ 20 *ἴλης* Maasv.; *εἴλης* W; ἤδη F.

## 10. ΠΕΡΔΙΚΚΑΣ.

5—359 1 *Περδίκκας Ἰλλυριῶν καὶ Μακεδόνων πολεμούντων,* e. 14, 1[?] *ἐπειδὴ πολλοὶ Μακεδόνες ἡλίσκοντο ζωγρείᾳ, καὶ οἱ λοιποὶ λύτρων ἐλπίδι πρὸς τὰς μάχας ἦσαν ἀτολμότεροι, ἐπεκηρυκεύσατο περὶ λύτρων ἐντειλάμενος τῷ κήρυκι ἐπανελθόντι ἀγγεῖλαι, ὡς ἄρα λύτρα Ἰλλυριοὶ μὴ προσίοιντο, ἀλλὰ ψηφίσαιντο τοὺς αἰχμαλώτους κτιννύειν. οἱ δὴ Μακεδόνες ἀπογνόντες τῆς διὰ τῶν λύτρων σωτηρίας εὐτολμότεροι πρὸς τὰς μάχας ἐγένοντο, ὡς ἐν μόνῳ τῷ νικᾶν ἔχοντες τὸ σώζεσθαι.*

364 2 *Περδίκκας Χαλκιδεῦσι πολεμῶν ἀργυροῦ νομίσματος ἀπορούμενος χαλκόκρατον κασσίτερον ἐχάραξε καὶ οὕτως ἦν μισθοφορα τοῖς στρατιώταις. οἱ μὲν ἔμποροι τὸ βασίλειον νόμισμα ἐλάμβανον· ἐπεὶ δὲ ἦν ἀρχεῖον ὑπὲρ τοὺς ὅρους, ἀντεφόρτιζον καρποὺς τοὺς ἐπιχωρίους.*

## 11. ΚΑΣΣΑΝΔΡΟΣ.

318 1 *Κάσσανδρος ὁμοῦ μὲν ἐπολιόρκει Σαλαμῖνα, ὁμοῦ* e. 4, 6 *δὲ καὶ Ἀθηναίοις ἐναυμάχησε. νικήσας τῇ ναυμαχίᾳ, ὅσους μετ' Ἀθηναίων εἷλε Σαλαμινίους ἄνευ λύτρων ἀφῆκε· πυθόμενοι δὲ οἱ τὴν Σαλαμῖνα οἰκοῦντες προσ-*

---

Cap. 10. §. 2. Cf. supra 3, 10, 14. — Cf. Schaefer, Demosth. II, p. 13 sq. et not. 5; J. p. 637.

Cap. 11. De fontibus cf. J. p. 638 sq.

---

1 *Περδικᾶς* $F_1$ ‖ 3 *ζωγρείᾳ* Cas. R; *ζωγρεῖν* F ‖ 5 *ἐπεκηρυκεύσαντο* F ‖ 7 *προσιοῖντο* F; *προσοῖντο* Roth: cf. H *ἀγγεῖλαι, ὡς οἱ πολέμιοι λύτρα μὴ προσίενται, ἀλλ' ἐψηφίσαντο* etc. ‖ *ψηφίσαιντο* ex H; *ψηφίσι* F; *ψηφίσειαν* K ‖ 8 *ἀπογνόντες τὴν ἐκ τῶν λύτρων σωτηρίαν* H ‖ 13 *οὗτος* K ‖ 15 *ἀντεφόρτιζον* Cas. (cf. 3, 10, 14); *ἀντεφρόντιζεν* F; *ἀντεφόρτιζεν* C ‖ 19 *ἐναυμάχει* K *cum V navali praelio confligebat* ‖ 20 *εἷλε* vulg.; *εἰς* F; *ἐζώγρησε* H.

εχώρησαν Κασσάνδρῳ πιστεύσαντες αὐτοῦ τῇ φιλανθρωπίᾳ.

Κάσσανδρος Νικάνορα φρουροῦντα τὴν Μουνυ- 2 318
χίαν καὶ πρὸς αὐτὸν κακοήθως ἔχοντα τέχνῃ συνέλαβεν. ἀποπλεῖν τῆς Ἀττικῆς προσεποιήσατο. μέλλοντι δὲ αὐτῷ τοῦ σκάφους ἐπιβαίνειν προσελθὼν γραμματοφόρος ἀπέδωκε γράμματα παρὰ τῶν ἐν Μακεδονίᾳ φίλων, ὡς Μακεδόνων αὐτὸν καλούντων ἐς τὴν βασιλείαν διὰ τὴν πρὸς Πολυσπέρχοντα ὀργήν. ταῦτα ἀναγνοὺς Κάσσανδρος φαιδρὸς καὶ περιχαρὴς ἐγένετο καὶ τὸν Νικάνορα παραπέμποντα ἐπισπασάμενος εὐηγγελίσατο, καὶ ‘νῦν’, ἔφη, ‘ἄλλων ἡμῖν περὶ (τῶν) πραγμάτων ἐστὶ βουλευτέον, καὶ κοινῇ γνώμῃ τὴν ἀρχὴν διατάξωμεν’. ταῦτα λέγων ἡσυχῇ παρήγαγεν αὐτὸν εἴς τινα τῶν πλησίον οἰκιῶν, ὡς μόνῳ περὶ μεγάλων ἀπορρήτων διαλεξόμενος. ἦν δ’ ἐπὶ τῆς οἰκίας ἀποκεκρυμμένος λόχος ὑπασπιστῶν, οἳ συλλαβόντες Νικάνορα ἐφρούρουν. Κάσσανδρος δὲ παραχρῆμα συνήγαγεν ἐκκλησίαν καὶ τοῖς βουλομένοις κατηγορῆσαι Νικάνορος ἐπέτρεψεν. παρὰ δὲ τὸν καιρὸν τῆς κατηγορίας τὴν Μουνυχίαν ἀνεχειρώσατο. Νικάνορος ἀδεῶς πολλὰ δράσαντος παρανόμως θάνατον ἐπὶ τῆς ἐκκλησίας κατεψηφίσαντο.

---

Cap. 11. § 2. Cf. Diod. 18, 75. — Droysen II, 1, p. 235 et not. 3.

---

7 ἀπέδωκε Hertlein; ἐπέδωκε F ‖ παρὰ p V *ab amicis*; περὶ F ‖ 11 ἐνηγκαλίσατο Valcken. ad Eurip. Hippol. p. 319 a ‖ 12 ἄλλων F] ἄλλως P a. man. et V *aliter* ‖ τῶν secl. R ‖ 16 διαλεξόμενος p; διαλεγόμενος F ‖ 18 δὲ Hertlein; δὴ F ‖ 21 ἀνεχείρωσατο scripsi; ἐχειρώσατο K; ἀνωχυρώσατο F; ὀχυρώσατο alii ‖ 22 ἀδεῶς F] δὲ ὡς K ‖ θάνατον τὸν ἐπὶ F; θάνατον οἱ vulg.; cf. 5, 3, 2.

316 3 *Κάσσανδρος Ὀλυμπιάδα καθείρξας ἐς Πύδναν τῆς Μακεδονίας ἐπολιόρκει πολέμῳ. Πολυσπέρχων νύκτωρ ἔπεμψε πεντήρη πλησίον ὑφορμοῦσαν, ἧς ἐπιβῆναι τὴν Ὀλυμπιάδα προὔτρεπε διὰ γραμμάτων. ὁ γραμματοφόρος ἁλοὺς, ἀχθεὶς παρὰ Κάσσανδρον ὡμολόγει τὴν πρᾶξιν, ἐφ' ἣν ἐστέλλετο. ὁ δὲ τὴν μὲν ἐπιστολὴν ἐσφραγισμένην τῇ σφραγίδι τῇ Πολυσπέρχοντος ἐκέλευσεν αὐτὸν εἰσκομίσαι, μὴ μέντοι προσειπεῖν, ὡς Κάσσανδρος ταῦτα ἔγνω. καὶ ὁ μὲν εἰσεκόμισε, Κάσσανδρος δὲ τὴν πεντήρη συλλαβὼν ἐποίησεν ἀφανῆ. Ὀλυμπιὰς πιστεύσασα τῇ σφραγίδι τῇ Πολυσπέρχοντος καὶ τοῖς γράμμασι, τῆς πόλεως προελθοῦσα νύκτωρ, οὐχ εὑροῦσα τὴν πεντήρη, ὡς δὴ καὶ Πολυσπέρχοντος ἐξαπατῶντος ἠθύμησε καὶ παρέδωκεν ἑαυτὴν καὶ τὸ ἄστυ τὸ Πυδναίων Κασσάνδρῳ.*

314 4 *Κάσσανδρος ἀπὸ τῆς Ἰλλυρίδος ἐπανιὼν, ἀποσχὼν* e. 31, 6
*ὁδὸν ἡμέρας Ἐπιδάμνου, τὴν δύναμιν ἀποκρύψας, ἱππέας καὶ πεζοὺς πέμψας ἐνέπρησε κώμας ὑψηλὰς κειμένας ἐπὶ τῶν ὁρίων Ἰλλυρίδος καὶ Ἀτιντανίδος, αἳ καταφανεῖς ἦσαν τοῖς Ἐπιδαμνίοις. οἱ μὲν δὴ νομίσαντες ἀπεληλυθέναι Κάσσανδρον προελθόντες τῆς πόλεως ταῖς γεωργίαις προσεῖχον· ὁ δὲ τὴν κεκρυμμένην δύναμιν ἀναστήσας ἀπὸ μὲν τῶν ἔξω τῆς πόλεως*

---

Cap. 11. § 3 Cf. Diod. 19, 50; Iustin. 14, 6, 5. — Droysen II, 1, 246 et not. 2.
Cap. 11. § 4. Cf. Iustin. 15, 2.

---

3 *πεντήρη* scripsi (coll. Diod. et infra vv. 10, 13, ubi $F_1$ *πεντήρη*, corr. $F_2$ in *πεντηκοντήρη*); *πεντηκοντήρη* F ‖ 6 *πρᾶξιν* vulg.; *τάξιν* F ‖ 11 *πιστεύσας* F ‖ 13 *εὐροῦσαν* F ‖ 16 *ἀποσχὼν* H et V *cum abesset; ἐπισχὼν* F; *ἀπέχων* K ‖ 17 *ἀποκρύψας* HM; *ἀπογράψας* F; *ὑπογράψας* D, unde K *ὑποκρύψας* ‖ 18 *ἐνέπρησεν ὕλας κειμένας* H ‖ 20 *καταφανεὶς ἦσαν* H; *καταφρονήσασαν* F; *καταφανεῖς οὖσας* Hertlein.

*ἔλαβεν οὐκ ἐλάττους ἀνδρῶν δισχιλίων, καὶ τὰς πύλας δὲ τῆς πόλεως ἀνεῳγμένας εὑρὼν ἐπεισελθὼν τὴν Ἐπίδαμνον κατέσχεν.*

## 12. ΛΥΣΙΜΑΧΟΣ.

*Λυσίμαχος, Αὐταριατῶν τὰς ἀποσκευὰς ἀπολεσάν-* 1 302
*των ἐν τῇ πρὸς Δημήτριον μάχῃ περὶ Λάμψακον, φοβηθεὶς, μή τι νεωτερίσωσιν οἱ βάρβαροι πάντα ὅσα εἶχον ἀπολέσαντες, προαγαγὼν αὐτοὺς ἔξω τοῦ χάρακος ὡς ἐπὶ σιτομετρίαν, σύνθημα δοὺς ἀπέκτεινεν ἅπαντας. ἦσαν ἄνδρες πεντακισχίλιοι.*

*Λυσίμαχος Ἀμφιπόλεως κρατήσας Ἀνδραγάθου* 2 288
*προδόντος πολλὰ καὶ μεγάλα χαρισάμενος αὐτῷ, μείζονα δὲ ὑποσχόμενος, ἐὰν εἰς τὴν Ἀσίαν αὐτῷ συναποδημήσῃ, ἐπειδὴ πρὸς ταῖς Θρᾳκίαις πύλαις ἐγένετο, οὐ μόνον πάντα ὅσα ἐτύγχανεν ἔχων ἀφείλετο, ἀλλὰ καὶ αὐτὸν βασανίσας ἀπέκτεινεν.*

*Λυσίμαχος Ἀρίστωνα τὸν Αὐτολέοντος πρὸς Παί-* 3 284
*ονας ἐπὶ τὴν πατρῴαν βασιλείαν κατῆγεν, ἵνα γνωρίσαντες τὸ βασιλικὸν μειράκιον προσοῖντο φιλοφρόνως αὐτόν. ἐπεὶ δὲ τὸν Ἀρίστωνα ἔλουον τὸ βασιλικὸν λουτρὸν ἐπὶ τοῦ Ἀστίβου ποταμοῦ καὶ τὴν τράπεζαν*

---

Cap. 12. § 1. Cf. Droysen II, 2, p. 212 sq.
Cap. 12. § 2. Cf. Droysen II, 2, p. 297 sq.; v. Will.-Möllendorff, Antigonos v. Karystos, p. 245 et not. 2.
Cap. 12. § 3. Cf. Droysen II, 2, p. 323 et not. 1.

---

1 *τὰς δὲ πύλας* omisso *καὶ* H: cf. 2, 6. 4, 7, 7. 5, 44, 4. 5, 47 ‖ 6 *Λάμψακα* F ‖ 14 *ἐγένοντο* M ‖ 15 *ἔχων* F] *αὐτῷ χαρισάμενος* Cas. K ‖ 17 *Αὐτολέοντος* F et Plut. Pyrrh. 9; *Αὐδολέων* Diod. 20, 19; Tzetz. Chil. 6, 472, nummi: cf. Eckhel. T. 2, p. 60; *Αὐδωλέων* C. I. A., II, 312; nummi Mus. Brit. Macedon. 427 ‖ 20 *ἔλουον* Cas.; *ἔλουσαν* R; *ἔλουεν* F ‖ 21 *Ἀστίβου* F] in Aristibo V; *Ἀστυκοῦ* vulg; *Ἀρίσβου* Maasv. coll. Strab. 9, p. 590, sed cf. Tomaschek, Zeitschr. f. österr. Gymn. 18 (1867), p. 60.

τὴν βασιλικὴν παρέθηκαν κατὰ τὸ πάτριον ἔθος, Λυσίμαχος ἐσήμηνεν ἐξοπλίσασθαι. Ἀρίστων μὲν φυγὼν ἀφιππάσατο ἐς τὴν Δαρδανέων, Λυσίμαχος δὲ Παιονίαν κατέσχεν.

## 13. ΚΡΑΤΕΡΟΣ.

332 Κρατερὸς Τυρίων ἐπιθεμένων τοῖς ἐργαζομένοις τὸ χῶμα Μακεδόσι τροπῆς αὐτῶν γενομένης ὑποχωρεῖν παρήγγειλεν. ἐπεὶ δὲ οἱ Τύριοι σφοδρῶς ἐπὶ μακρὸν διώξαντες ἔκαμον, ἐσήμηνεν ἀναστρέψαντας ἐμβαλεῖν τοῖς Τυρίοις. αὐτίκα δὴ οἱ μὲν διώκοντες ἔφευγον, οἱ δὲ φεύγοντες ἐδίωκον.

## 14. ΠΟΛΥΣΠΕΡΧΩΝ.

318 Πολυσπέρχων, τὰ ὅρια φυλασσόντων Πελοποννησίων, e. 14, 1 τοὺς αὐτοῦ στρατιώτας προὔτρεψε πρὸς τὸν κίνδυνον. πῖλον Ἀρκαδικὸν ἐπιθέμενος καὶ τρίβωνα διπλοῦν ἐμπορπησάμενος καὶ βακτηρίαν λαβὼν ἔφη πρὸς αὐτούς· 'πρὸς οὓς μὲν κινδυνεύειν μέλλομεν, ὦ συστρατιῶται, τοιοῦτοι τυγχάνουσιν ὄντες.' ταῦτα δὲ ἀποθέμενος καὶ τὴν πανοπλίαν ἀναλαβὼν· 'οἱ δὲ μέλλοντες πρὸς αὐτοὺς πολεμεῖν τοιοῦτοι, μέχρι νῦν πολλοὺς καὶ μεγάλους ἀγῶνας νενικηκότες.' ἀκούσαντες οἱ στρατιῶται ἠξίωσαν μηκέτι μέλλειν, ἀλλ' εὐθὺς ἄγειν ἐπὶ τὴν μάχην.

---

Cap. 13 et 14. Cf. J. p. 639.

---

1 *κατὰ* F] *παρὰ* vulg. ‖ 2 *φυγῇ* Cas.; *φυγεῖν δ*; *ἴσως φυγὴν* Darm. marg. *δ* ‖ 3 *Δαρδανέων* p; *Σαρδανέων* F; *Σαρδιέων* vulg. ‖ 7 *τροπῆς* Maasv.; *πρὸ τῆς* F ‖ 14 *αὐτοὺς* F ‖ *προὔτρεπε* *CK* ‖ 15 *ἐπιθέμενοι* F ‖ 19 *ἀναλαβὼν* H; *armatura recepta* V; *λαβὼν F vulg.: cf.* 4, 9, 6. 4, 17 extr.

## 15. ΑΝΤΙΟΧΟΣ ΣΕΛΕΥΚΟΥ.

c. 31, 8 *Ἀντίοχος βουλόμενος κρατῆσαι Δαμασκοῦ, ἣν* 266—2 *ἐφύλασσε Δίων Πτολεμαίου στρατηγὸς, ἐπήγγειλε τῇ στρατιᾷ καὶ τῇ χώρᾳ πάσῃ Περσικὴν ἑορτὴν θαλιάζειν προστάξας ἅπασι τοῖς ὑπάρχοις ἀμφιλαφῆ κομίζειν εὐωχίας παρασκευήν. ἐφ' ᾗ πανταχοῦ πανηγυρίζοντος Ἀντιόχου μετὰ πάντων, καὶ ὁ Δίων πυνθανόμενος τὴν τρυφὴν τῆς ἑορτῆς ἐχάλασε τὸ σφοδρὸν τῆς φυλακῆς. Ἀντίοχος δὲ προστάξας ἄπυρα σιτία τεσσάρων ἡμερῶν κομίζειν ἤγαγε τὴν στρατιὰν διά τε ἐρημίας καὶ ἀτραπῶν παρακρήμνων καὶ ἀπροσδοκήτως ἐπιφανεὶς αἱρεῖ Δαμασκὸν, Δίωνος οὐ δυνηθέντος ἀντισχεῖν Ἀντιόχῳ παρόντι.*

## 16. ΑΝΤΙΟΧΟΣ ΑΝΤΙΟΧΟΥ.

c. 4, 7 *Ἀντίοχος ἐπολιόρκει Κύψελα, Θρᾷτταν πόλιν,* 262—2 *ἔχων σὺν αὐτῷ Θρακῶν εὐπατρίδας πολλοὺς, ὧν ἡγοῦντο Τήρης καὶ Δρομιχαίτης. τούτους κοσμήσας στρεπτοῖς χρυσοῖς καὶ ὅπλοις ἀργυροπάστοις προῆλθεν ἐπὶ τὴν μάχην. οἱ δὲ ἀπὸ τῶν Κυψέλων ἰδόντες τοὺς ὁμοφύλους καὶ ὁμογλώσσους πολλῷ χρυσῷ καὶ ἀργύρῳ κεκοσμημένους, μακαρίσαντες αὐτοὺς τῆς μετ' Ἀντιόχου*

---

Cap. 16. Cf. Droysen III, 1, p. 316 et not. 1.

---

3 *Δίων* H; *Δίνων* F, sed infra v. 12 recte *Δίωνος* ‖ 4 *Περσικὴν* H; *καὶ Περσικὴν* F ‖ 7 *καὶ* seclusit K ‖ *ὁ Δίων*] *ὁδὸν* F ‖ 11 *παρακρημνὸν* F, unde scripsi *παρακρήμνων*; *περικρήμνων* vulg.; *κρημνωδῶν* H ‖ *ἀπροσδοκήτων* F, corr. vulg.; *ἀπροσδοκήτοις* Hertlein ‖ *ἐπιφανεὶς* H; *ἐκφανεὶς* F vulg. ‖ 15 *ἐπολιόρκει* H; *oppugnabat* V; *ἐπόρθει* F vulg.: cf. ad 4, 9, 4 ‖ 17 *Τήρης* Droysen l. l.; *Τίρις* F ‖ 18 *ἀργυροπάστοις* Koen. 454 ut *χρυσοπάστοις* 8, 43; *ἀργυροπάρτοις* F.

στρατείας, τὰ ὅπλα καταβαλόντες Ἀντιόχῳ προσέθεντο καὶ ἦσαν ἀντὶ πολεμίων σύμμαχοι.

## 17. ΑΝΤΙΟΧΟΣ ΙΕΡΑΞ.

235 Ἀντίοχος Σελεύκου τοῦ ἀδελφοῦ ἀποστὰς ἔφυγεν e. 9, 2
εἰς τὴν Μέσην τῶν ποταμῶν, ὅθεν καὶ τοὺς μὲν Ἀρμενίων ὅρους διελθόντα φίλος ὢν Ἀρσάμης ὑπεδέξατο. στρατηγοὶ Σελεύκου Ἀχαιὸς καὶ Ἀνδρόμαχος μετὰ πολλῆς δυνάμεως ἐδίωκον. πολλὴ μὲν αὐτῶν ἐγένετο ἡ παράταξις. τέλος [δὲ] τρωθεὶς Ἀντίοχος ὑποφεύγει ἐς τὴν ὑπερκειμένην ὑπώρειαν τῆς στρατιᾶς ἐν ὁμαλεῖ στρατοπεδευούσης ὑπὸ ταῖς λαγόσι τοῦ ὄρους· φήμην διέδωκεν, ὡς Ἀντίοχος ἐν τῇ μάχῃ πεπτώκοι. τῆς δὲ στρατιᾶς οὐκ ὀλίγον μέρος νύκτωρ ἐκέλευσε καταλαβέσθαι τὰς ὑπωρείας. μεθ' ἡμέραν πρεσβευτὰς ἔπεμψαν οἱ Ἀντιόχου στρατιῶται, Φιλέταιρον ἡγεμόνα Κρῆτα, Διονύσιον Λυσιμαχέα, ὑπόσπονδον Ἀντιόχου τὸ σῶμα αἰτούμενοι καὶ σφᾶς αὐτοὺς καὶ τὰ ὅπλα παραδιδόντες. Ἀνδρόμαχος οὐδέπω μὲν ἔφη τὸ Ἀντιόχου σῶμα εὑρῆσθαι, ζητεῖσθαι δὲ πεπτωκὸς [ἢ] εἴσω ἐν τοῖς δεσμίοις· πέμψειν δὲ τοὺς παραληψομένους τά τε ὅπλα καὶ τοὺς στρατιώτας. ἧκον ἄνδρες τετρακισχίλιοι οὐ πρὸς μάχην

---

Cap. 17. Cf. Droysen III, 2, 11 et not. 2.

---

5 *ὅθεν* Blume; *ὥστε* F; *ὅτε* vulg.; *itaque* V ‖ 6 *Ἀρσάμης* H nummi; *Ἀρσάβης* F vulg. ‖ 9 *τέλος* [*δὲ*] K; *τέλος* F ‖ 10 *ἐν ὁμαλεῖ* W coll. 1, 39, 2; *ην ὁμαλει* F; *ἢ ἢν ὁμαλὴ* K ‖ 11 *στρατοπεδευούσης* m; *exercitu castra metante* V; *στρατοπεδεύουσιν* F ‖ *φήμην δὲ* vulg. ‖ 12 *πεπτώκει* vulg. ‖ 16 *καὶ Διονύσιον* vulg. ‖ 17 *παραδιδόντας* F ‖ 19 *πεπτωκὸς* vulg.; *πεπτωκὼς* F; om. V; *ἐν τοῖς πεπτωκόσι* Koen. 213; *σῶμα πεπτωκὸς εὑρῆσθαι, ζητεῖσθαι δὲ* etc. K ‖ *εἴσω* F; [*ἢ*] *εἴσω* Bursian; *ἢ ζῶν R* ‖ *δεσμίοις* R Koen. 213 K; *δεσμοῖς* F.

*ἐσκευασμένοι, ἀλλὰ πρὸς παράληψιν αἰχμαλώτων ἐσταλμένοι. ἐπεὶ δὲ ὑπὸ ταῖς λαγόσι τοῦ ὄρους ἐγένοντο, οἱ τὰς ὑπωρείας προκαταλαβόντες ἄνωθεν ἐπιχυθέντες πολὺν αὐτῶν φόνον εἰργάσαντο. Ἀντίοχος δὲ σχῆμα τὸ βασίλειον ἀναλαβὼν ἐπεφάνη δείξας αὐτὸν καὶ ζῶντα καὶ νικῶντα.*

### 18. (17.) ΦΙΛΙΠΠΟΣ ΔΗΜΗΤΡΙΟΥ.

e. 54, 14 *Φίλιππος Ῥοδίων πόλιν ἐν τῇ Περαίᾳ Πρινασσὸν* 1 205
*ἐπολιόρκει· τῶν δὲ τειχῶν καρτερῶν ὄντων ἐπεχείρησεν ὑπορύττειν. πέτρας δὲ στερεωτάτης ἐν τῇ διώρυχι φανείσης καὶ τοῖς μεταλλευτικοῖς ὀργάνοις μηδαμῶς εἰκούσης ἐκέλευσε Φίλιππος μεθ' ἡμέραν μὲν ἐπὶ τὴν διωρυχὴν καταβαίνειν ὡς ἐργαζομένους δὴ καὶ προκαλύμματα ὑπερέτεινεν ὡς βουλόμενος λανθάνειν· τὰ δὲ ἦν ἄρα φανερὰ τοῖς πολεμίοις ἀπὸ τῶν τειχῶν ὁρῶσι. νύκτωρ δὲ ἐκέλευσε τοὺς στρατιώτας ἀπὸ σταδίων ὀκτὼ ἢ δέκα ἔκ τινος βαθείας φάραγγος ἀνακομίζοντας χοῦν μεταβάλλειν πρὸ τοῦ στόματος τῶν ὀρυγμάτων· ἐπεὶ δὲ πολὺς χοῦς ἐγήγερτο σωρηδὸν, μεθ' ἡμέραν οἱ ἀπὸ τῶν τειχῶν ἰδόντες τοῦτο, ἐκεῖνο ἐπίστευσαν, ὡς ἡ πόλις κάτωθεν ὑπορώρυκται. οὗτος ὁ φόβος ἔπεισεν αὐτοὺς παραδοῦναι Φιλίππῳ τὴν*

---

Cap. 18. § 1. Cf. Polyb. 16, 11. Front. strat. 3, 8, 1. — J. p. 640 sq.

---

3 *οἱ* om. F ‖ 8 *Πρινασσὸν* Ortelius coll. Stephan. Byz. s. v. et Polyb.; *Παρνασσὸν* F ‖ 9 *ἐπολιόρκει* H; *ἐπόρθει* F: cf. ad 4, 9, 4 ‖ 13 *ὡς* F] *τοῖς* vulg. ‖ *ἐργαζομένους* W; *ἐργαζομένοις* R; *ὀργιζομένους* F; *ὑπορυττομένοις* vulg. ‖ 18 *καταβάλλειν* K; *χῶμα ἐκχέειν* H; *χοῦν παρέβαλε παρὰ τὰ στόμια τῶν ὀρυγμάτων* Polyb. l. l. ‖ 20 *ἰδόντες* F] *ὁρῶντες* M ‖ *τοῦτο, ἐκεῖνο* Blume; *τοῦτο ἐκεῖνο* cum V *id ipsum* K ‖ 21 *ὑπωρώρυκται* F; *ὑπορώρυκτο* K.

*πόλιν. ὕστερον δὲ τὴν ἀπάτην μαθόντες πολλὰ τὴν αὑτῶν ἄνοιαν κατωδύραντο.*

205 2 *Φίλιππος Δημητρίου πολεμῶν Ἀττάλῳ βασιλεῖ καὶ Ῥοδίοις ἀποδρᾶναι κατὰ θάλατταν βουλευσάμενος αὐτόμολον Αἰγύπτιον ἔπεμψεν, ὃς ἤγγειλε τοῖς πολεμίοις ὅτι παρασκευάζοιτο διαναυμαχεῖν τῆς ὑστεραίας· καὶ διὰ νυκτὸς πυρὰ πολλὰ ἔκαυσεν ὡς τῆς στρατιᾶς μενούσης. τῶν δὲ ἀμφὶ τὸν Ἄτταλον τὰ πρὸς τὴν ναυμαχίαν παρασκευαζομένων καὶ τὴν κατὰ τὸν ἔκπλουν φυλακὴν διαλυσάντων Φίλιππος λαθὼν ἀπέπλευσεν.*

## 19. (18.) ΠΤΟΛΕΜΑΙΟΣ.

321 *Πτολεμαῖος, Περδίκκου κατὰ Μέμφιν διαβαίνον-* e. 15, 6
*τος τὸν ποταμὸν καὶ ἤδη συχνῶν διαβεβηκότων, συναγαγὼν ἐκ τῆς χώρας αἰπόλια, συφόρβια, βουκόλια πλεῖστα ὅσα, προσέταξεν ἑκάστου ζώου φρυγάνων φορτία ἐκδῆσαι, ὅπως ἐπισυρόμενον κονιορτὸν ἐγείροι πλεῖστον. τὰ μὲν δὴ ὑπὸ τῶν νομέων, πρὸς δὲ τούτοις καὶ ἱππέων ἐλαυνόμενα κονιορτὸν ἀνέστησε μέγιστον· αὐτὸς δὲ ἀναλαβὼν τῶν ἱππέων τοὺς λοιποὺς τοῖς πολεμίοις προσῆγεν. οἱ δὲ ἀπὸ τοῦ κονιορτοῦ πολὺ πλῆθος ἐπιέναι νομίσαντες αὐτίκα ἔφυγον· καὶ οἱ πλεῖστοι μὲν ἐν τῷ ποταμῷ διεφθάρησαν, πολλοὶ δὲ καὶ ζῶντες ἑάλωσαν.*

---

Cap. 19. Cf. Front. strat. 4, 7, 20. — J. p. 641.

---

2 *αὑτῶν* F ‖ *κατωδύραντο* F] *κατωδύροντο* W ‖ 16 *ἐπισυρόμενον* F] *ἐπισυρόμενος* M; *ἐπισυρόμενα* K ex V *attracta* ‖ 18 *ἐλαυνόμενα* vulg.; *ἐλαυνομένων* F ‖ 19 *τοὺς* om. F ‖ 20 *ἀπὸ μὲν τοῦ $F_2$* // *21 ἔφυγον* H; *ἔφευγον* F vulg. ‖ *οἱ* del. K.

## 20. (19.) ΑΤΤΑΛΟΣ.

*Ἄτταλος, Γαλάταις μεγάλην δύναμιν ἔχουσι παρατάττεσθαι μέλλων, ὁρῶν τοὺς στρατιώτας καταπεπληγότας, εὐθύμους ποιῆσαι βουλόμενος πρὸς τὸν κίνδυνον τῆς μάχης, ἱερεῖα παρεσκεύασε, Σουδίνου Χαλδαίου μάντεως θυσίαν βραβεύοντος. ὁ μὲν εὐξάμενος καὶ σπείσας ἀνέτεμε τὸ ἱερεῖον· ὁ δὲ βασιλεὺς κηκίδα τρίψας ἐπέγραψεν ἐπὶ τὴν χεῖρα τὴν δεξιὰν 'βασιλέως νίκη' ποιησάμενος τὴν ἐπιγραφὴν οὐκ ἀπὸ τῶν ἀριστερῶν ἐπὶ δεξιά, ἀλλ' ἔμπαλιν ἀπὸ τῶν δεξιῶν ἐπὶ τὰ ἀριστερά· καὶ τῶν σπλάγχνων ἐξαιρουμένων ὑπέσχε τὴν χεῖρα, τῆς κηκίδος εἰς θερμὸν καὶ ἀραιὸν λοβὸν ἀπομαξάμενος τὴν ἐπιγραφήν. ὁ μάντις ἐπεξιὼν τοὺς λοβοὺς καὶ τὴν χολήν, πύλας τε δὴ καὶ τράπεζαν καὶ ὅσα ἄλλα σημεῖα κατανοῶν ἀνέστρεψε τὸν λοβὸν τὸν ἔχοντα τὴν ἐπιγραφήν, δι' ἧς ἐδηλοῦτο βασιλέως νίκη. αὐτός τε οὖν ὑπερχαρὴς ἐγένετο καὶ τῷ πλήθει τῶν στρατιωτῶν ἔδειξε τὸ σημεῖον· οἱ δὲ ἐλθόντες καὶ ἀναγνόντες θάρσους ἐνεπλήσθησαν καὶ πάντες ἀνεβόησαν κελεύοντες ἄγειν ἐπὶ τοὺς βαρβάρους καὶ προθύμως ἀγωνισάμενοι τοὺς Γαλάτας ἐνίκησαν.* 239—23

---

Cap. 20. Cf. Front. strat. 1, 11, 15. — J. p. 641.

---

4 *πρὸς τὸν κίνδυνον* W coll. 1, 32, 2. 3, 9, 4. 21. 4, 10, 1. 5, 12, 1. 8, 23, 22; *πρὸ τοῦ κινδύνου* F ‖ 5 *ἱερεῖα* F; *victimam* V: cf. infra v. 7 ‖ 6 *ματαίως* F ‖ [*τὴν*] *θυσίαν* K ‖ *βραβεύοντος* Gronovius; *βραδεύοντος* F; *πράττοντος* vulg. ‖ 7 *κικίδα* (et v. 12 *κικίδος*) F ‖ 11 *ὑπέσχε* K ex V *supposuit; ὑπέσχετο* F; *manum suppositurus* Front. ‖ 12 [*μετὰ*] *τῆς κηκίδος* R ‖ *λοβὸν* W; *τόπον* F; *τὸ ἧπαρ* K ‖ 13 *ἀπομαξάμενον* R Patakis ‖ *ἐπεξιὼν* F] *ἐπιδιεξιὼν* vulg. ‖ 14 *λωβοὺς* (et *λωβὸν* v. 15) F ‖ 18 *εἰσελθόντες* M ‖ 21 *Γαλάτας* Heringa 128; *πολίτας Γαλάτας* dittogr. F; *πλείστους Γαλάτας* vulg. (*Gallorum multitudinem* V); *πολλοὺς Γαλάτας* R.

*πόλιν. ὕστερον δὲ τὴν ἀπάτην μαθόντες πολλὰ τὴν αὑτῶν ἄνοιαν κατωδύραντο.*

205 2 *Φίλιππος Δημητρίου πολεμῶν Ἀττάλῳ βασιλεῖ καὶ Ῥοδίοις ἀποδρᾶναι κατὰ θάλατταν βουλευσάμενος αὐτόμολον Αἰγύπτιον ἔπεμψεν, ὃς ἤγγειλε τοῖς πολεμίοις ὅτι παρασκευάζοιτο διαναυμαχεῖν τῆς ὑστεραίας· καὶ διὰ νυκτὸς πυρὰ πολλὰ ἔκαυσεν ὡς τῆς στρατιᾶς μενούσης. τῶν δὲ ἀμφὶ τὸν Ἄτταλον τὰ πρὸς τὴν ναυμαχίαν παρασκευαζομένων καὶ τὴν κατὰ τὸν ἔκπλουν φυλακὴν διαλυσάντων Φίλιππος λαθὼν ἀπέπλευσεν.*

## 19. (18.) ΠΤΟΛΕΜΑΙΟΣ.

321 *Πτολεμαῖος, Περδίκκου κατὰ Μέμφιν διαβαίνον-* e. 15, 6 *τος τὸν ποταμὸν καὶ ἤδη συχνῶν διαβεβηκότων, συναγαγὼν ἐκ τῆς χώρας αἰπόλια, συφόρβια, βουκόλια πλεῖστα ὅσα, προσέταξεν ἑκάστου ζώου φρυγάνων φορτία ἐκδῆσαι, ὅπως ἐπισυρόμενον κονιορτὸν ἐγείροι πλεῖστον. τὰ μὲν δὴ ὑπὸ τῶν νομέων, πρὸς δὲ τούτοις καὶ ἱππέων ἐλαυνόμενα κονιορτὸν ἀνέστησε μέγιστον· αὐτὸς δὲ ἀναλαβὼν τῶν ἱππέων τοὺς λοιποὺς τοῖς πολεμίοις προσῆγεν. οἱ δὲ ἀπὸ τοῦ κονιορτοῦ πολὺ πλῆθος ἐπιέναι νομίσαντες αὐτίκα ἔφυγον· καὶ οἱ πλεῖστοι μὲν ἐν τῷ ποταμῷ διεφθάρησαν, πολλοὶ δὲ καὶ ζῶντες ἑάλωσαν.*

---

Cap. 19. Cf. Front. strat. 4, 7, 20. — J. p. 641.

---

2 *αὑτῶν* F ‖ *κατωδύραντο* F] *κατωδύροντο* W ‖ 16 *ἐπισυρόμενον* F] *ἐπισυρόμενος* M; *ἐπισυρόμενα* K ex V *attracta* ‖ 18 *ἐλαυνόμενα* vulg.; *ἐλαυνομένων* F ‖ 19 *τοὺς* om. F ‖ 20 *ἀπὸ μὲν τοῦ* $F_2$ ‖ 21 *ἔφυγον* H; *ἔφευγον* F vulg. ‖ *οἱ* del. K.

### 20. (19.) ΑΤΤΑΛΟΣ.

*Ἄτταλος, Γαλάταις μεγάλην δύναμιν ἔχουσι παρα-* 239—23 *τάττεσθαι μέλλων, ὁρῶν τοὺς στρατιώτας καταπεπληγότας, εὐθύμους ποιῆσαι βουλόμενος πρὸς τὸν κίνδυνον τῆς μάχης, ἱερεῖα παρεσκεύασε, Σουδίνου Χαλδαίου μάντεως θυσίαν βραβεύοντος. ὁ μὲν εὐξάμενος καὶ σπείσας ἀνέτεμε τὸ ἱερεῖον· ὁ δὲ βασιλεὺς κηκίδα τρίψας ἐπέγραψεν ἐπὶ τὴν χεῖρα τὴν δεξιὰν 'βασιλέως νίκη' ποιησάμενος τὴν ἐπιγραφὴν οὐκ ἀπὸ τῶν ἀριστερῶν ἐπὶ δεξιά, ἀλλ' ἔμπαλιν ἀπὸ τῶν δεξιῶν ἐπὶ τὰ ἀριστερά· καὶ τῶν σπλάγχνων ἐξαιρουμένων ὑπέσχε τὴν χεῖρα, τῆς κηκίδος εἰς θερμὸν καὶ ἀραιὸν λοβὸν ἀπομαξάμενος τὴν ἐπιγραφήν. ὁ μάντις ἐπεξιὼν τοὺς λοβοὺς καὶ τὴν χολήν, πύλας τε δὴ καὶ τράπεζαν καὶ ὅσα ἄλλα σημεῖα κατανοῶν ἀνέστρεψε τὸν λοβὸν τὸν ἔχοντα τὴν ἐπιγραφήν, δι' ἧς ἐδηλοῦτο βασιλέως νίκη. αὐτός τε οὖν ὑπερχαρὴς ἐγένετο καὶ τῷ πλήθει τῶν στρατιωτῶν ἔδειξε τὸ σημεῖον· οἱ δὲ ἐλθόντες καὶ ἀναγνόντες θάρσους ἐνεπλήσθησαν καὶ πάντες ἀνεβόησαν κελεύοντες ἄγειν ἐπὶ τοὺς βαρβάρους καὶ προθύμως ἀγωνισάμενοι τοὺς Γαλάτας ἐνίκησαν.*

---

Cap. 20. Cf. Front. strat. 1, 11, 15. — J. p. 641.

---

4 *πρὸς τὸν κίνδυνον* W coll. 1, 32, 2. 3, 9, 4. 21. 4, 10, 1. 5, 12, 1. 8, 23, 22; *πρὸ τοῦ κινδύνου* F ‖ 5 *ἱερεῖα* F; *victimam* V: cf. infra v. 7 ‖ 6 *ματαίως* F ‖ [*τὴν*] *θυσίαν* K ‖ *βραβεύοντος* Gronovius; *βραδεύοντος* F; *πράττοντος* vulg. ‖ 7 *κικίδα* (et v. 12 *κικίδος*) F ‖ 11 *ὑπέσχε* K ex V *supposuit*; *ὑπέσχετο* F; *manum suppositurus* Front. ‖ 12 [*μετὰ*] *τῆς κηκίδος* R ‖ *λοβὸν* W; *τόπον* F; *τὸ ἧπαρ* K ‖ 13 *ἀπομαξάμενον* R Patakis ‖ *ἐπεξιὼν* F] *ἐπιδιεξιὼν* vulg. ‖ 14 *λωβοὺς* (et *λωβὸν* v. 15) F ‖ 18 *εἰσελθόντες* M ‖ 21 *Γαλάτας* Heringa 128; *πολίτας Γαλάτας* dittogr. F; *πλείστους Γαλάτας* vulg. (*Gallorum multitudinem* V); πολλοὺς Γαλάτας R.

## 21. (20.) ΠΕΡΣΕΥΣ ΦΙΛΙΠΠΟΥ.

c. 169 *Περσεὺς Ῥωμαίων ἐλέφαντας ἀγόντων τοὺς μὲν ἐκ Λιβύης, τοὺς δὲ Ἰνδοὺς παρὰ Ἀντιόχου Συρίας βασιλέως, ἵνα μὴ καινὸν καὶ φοβερὸν τοῖς ἵπποις τὸ θηρίον φανείη, προσέταξε τοῖς χειροτέχναις εἴδωλα ξύλινα κατασκευάζειν ἐλεφάντων ἰδέαν καὶ χρόαν ἔχοντα. ἐπεὶ δὲ ἡ κλαγγὴ τοῦ θηρίου μάλιστα δεινή, προσέταξεν εἰς τὸ ξύλινον εἴδωλον ἐμβαίνειν ἄνδρα αὐλὸν ἔχοντα, ὃς διὰ τοῦ στόματος τὸν αὐλὸν ἰθύνων ὀξὺν καὶ ἀπηνῆ φθόγγον προΐηται. οὕτως ἔμαθον οἱ Μακεδόνων ἵπποι καταφρονεῖν τῆς ἐλεφάντων κλαγγῆς καὶ ὄψεως.*

---

Cap. 21. (20.) Cf. Zonar. 9, 22; Ampelius 16. — E. Schulze, de excerptis Constantinianis quaestiones criticae (Bonn. 1866), p. 12 sq. non recte haec ex Polybio sumpta esse opinatur.

---

1 *Φιλίππου* om. vulg. ‖ 10 *προΐηται* W; *προίεται* F; *προιείη* vulg. ‖ 11 *κλαγγῆς καὶ ὄψεως* F] *κλαγγῆς* vulg.; *κραυγῆς* P.

## *Τάδε ἔνεστιν ἐν τῷ πέμπτῳ τῶν*

# *Πολυαίνου στρατηγημάτων.*


*Φάλαρις* . . . . . . . . . δ
*Διονύσιος* . . . . . . . . κβ
*Ἀγαθοκλῆς* . . . . . . . . η
*Ἱππαρῖνος* . . . . . . . . α
*Θεοκλῆς* . . . . . . . . β
*Ἱπποκράτης* . . . . . . . α
*Δαφναῖος* . . . . . . . . α
*Λεπτίνης* . . . . . . . . β
*Ἄννων* . . . . . . . . . α
*Ἰμίλκων* . . . . . . . . ε
*Γέσκων* . . . . . . . . . α
*Τιμολέων* . . . . . . . . γ
*Ἀρίστων* . . . . . . . . α
*Θρασυμήδης* . . . . . . . β
*Μεγακλῆς* . . . . . . . . α
*Παμμένης* . . . . . . . . ε
*Ἡρακλείδης* . . . . . . . β
*Ἀγαθόστρατος* . . . . . . α
*Λύκος* . . . . . . . . . α
*Μενεκράτης* . . . . . . . α
*Ἀθηνόδωρος* . . . . . . . α
*Διότιμος* . . . . . . . . δ
*Τύννιχος* . . . . . . . . α
*Κλείταρχος* . . . . . . . α
*Τίμαρχος* . . . . . . . . α
*Εὐδόκιμος* . . . . . . . . α
*Πανσίστρατος* . . . . . . α
*Θέογνις* . . . . . . . . . β
*Διοκλῆς* . . . . . . . . . α
*Χίλεος* . . . . . . . . . α
*Κύψελος* . . . . . . . . α
*Τελεσίνικος* . . . . . . . β
*Πομπίσκος* . . . . . . . ς
*Νίκων* . . . . . . . . . α
*Νέαρχος* . . . . . . . . α
*Δωρόθεος* . . . . . . . . α
*Σωσίστρατος* . . . . . . α
*Διόγνητος* . . . . . . . . α
*Ἀρχέβιος* . . . . . . . . α
*Ἀριστοκράτης* . . . . . . β
*Ἀριστόμαχος* . . . . . . . α
*Χαριμένης* . . . . . . . α
*Καλλιάδης* . . . . . . . α
*Μέμνων* . . . . . . . . ε
*Φιλόμηλος* . . . . . . . . α
*Δημοκλῆς* . . . . . . . . α
*Παναίτιος* . . . . . . . . α
*Πυραίχμης* . . . . . . . ?
*Σάτυρος* . . . . . . . . ?


---

*Διονύσιος κβ* vulg.; *Διονύσιος κα* F, cum 5, 2, 7 et 8 in cod. unum strategema efficiant ‖ *Τιμολέων β* $F_1$ ‖ *Θρασυμίδης α* $F_1$ ‖ *Ἡρακλείδης α* $F_1$ ‖ *Διότιμος γ* $F_1$ ‖ *Κλήταρχος* $F_1$ ‖ *Πεισίστρατος* $F_1$ ‖ *Εὐδόνιμος* $F_1$ ‖ *Θεόγνης* F ‖ *Χέλιος* F: cf. ad 5, 30 ‖ inde a *Κύψελος* numeros a $F_1$ omissos add. $F_2$ ‖ *Νέαρχος Κρῆς* et *Δωρόθεος Λευκάδιος* $F_2$ ‖ *Ἀριστοκράτης β*] *α* in ras. F ‖ *Ἀριστόμαχος α* om. F ‖ *Φιλόμηλος* $F_1$; *Φιλόμηδος* $F_2$ ‖ ad *Πυραίχμης* et *Σάτυρος* $F_2$ adscr. *οὐκ ἔχει*.

# ΒΙΒΛΙΟΝ ΠΕΜΠΤΟΝ.

*Καὶ τόδε ὑμῖν πέμπτον βιβλίον, ἱερώτατοι βασιλεῖς Ἀντωνῖνε καὶ Οὐῆρε, προσφέρω τῶν Στρατηγημάτων οὐχ οὕτως ἐμαυτὸν ἄξιον ἐπαίνου ἡγούμενος ἐπὶ τῷ συγγράφειν, ὡς ὑμᾶς ἐπὶ τῷ σπουδάζειν ἀναγιγνώσκειν τοσαῦτα συγγράμματα, τοσαύτης ἀρχῆς προεστηκότας· νυνί γε μὴν μάλιστα, ὁπότε μὴ μόνον τὰ δίκαια τῆς εἰρήνης πρυτανεύετε, ἀλλὰ καὶ τὰ ἔργα τοῦ πολέμου διατάσσετε, καὶ τοῦτο ἄρα στρατήγημα νίκης ἡγούμενοι, εἰ δι' ὧν ἐνίκησαν οἱ παλαιοὶ στρατηγοί, ταῦτα καταμανθάνοιτε. βασιλεῦσι γὰρ πόλεμον ἐκτάσσουσι προσήκειν ὑπολαμβάνετε κατανοεῖν ἔργων ἀγώνισμα. λόγων μὲν γὰρ σπουδὴ τοῖς ἄγουσι σχολὴν χρῆμα ὠφέλιμον· ἔργων δὲ ἐπιστήμη τοῖς ὅπλων ἄρχουσιν ἀρίστη διδάσκαλος ὧν χρὴ δρᾶν κατὰ ζῆλον τῶν πάλαι κρατησάντων. ὅπως οὖν ζηλώσετε τὰς τῶν ἀρχαίων ἀρετὰς καὶ νίκας, αὐτὰ δείξει τὰ στρατηγήματα.*

### 1. ΦΑΛΑΡΙΣ.

570 1 *Φάλαρις Ἀκραγαντῖνος τελώνης τῶν πολιτῶν κατασκευάσαι βουλομένων Διὸς Πολιέως νεὼν ἀπὸ διακοσίων*

---

5 *τοιαῦτα* Patakis; *haec* V ‖ 7 *πρυτανεύεται* F, corr. M vulg. ‖ 8 *διατάσσεται* F, corr. M vulg. ‖ 11 *ὑπολαμβάνεται* F, corr. M vulg. ‖ 14 *ὧν*] *ὡς* Patakis ‖ 15 *στρατηγησάντων* CK ‖ *ζηλώσητε* F ‖ 19 *ἀπὸ διακοσίων* (i. e. *σ'*) *ταλάντων* Cas.; *ἀποσταλέντων F; ἀπὸ τ' ταλάντων* Cobet.

ταλάντων ἐπὶ τῆς ἄκρας ὡς πετρώδους καὶ στερεωτάτης, καὶ ἄλλως ὁσίως ἂν ἔχον ἐν ὑψηλοτάτῳ τὸν θεὸν ἱδρύσασθαι, αὐτὸς ὑπέσχετο, τοῦ ἔργου ἐπιστάτης ἂν γένηται, καὶ τοὺς ἀρίστους τεχνίτας ἕξειν καὶ τὴν ὕλην λυσιτελῶς παρέξειν καὶ τῶν χρημάτων ἀσφαλεῖς ἐγγυητὰς δώσειν. ἐπίστευσεν ὁ δῆμος, ὡς διὰ τὸν τελωνικὸν βίον ἐμπειρίαν τῶν τοιούτων ἔχοντι. λαβὼν δὴ τὰ κοινὰ χρήματα πολλοὺς μὲν μισθοῦται ξένους, πολλοὺς δὲ ὠνεῖται δεσμώτας, πολλὴν δὲ ὕλην ἐς τὴν ἄκραν ἀνακομίζει λίθων, ξύλων, σιδήρου. ἤδη δὲ τῶν θεμελίων ὀρυσσομένων καθῆκε τὸν κηρύξοντα 'ὃς ἂν μηνύσῃ τοὺς κλέψαντας τοῦ ἐν τῇ ἄκρᾳ λίθου καὶ σιδήρου, λήψεται ἀργύριον τόσον'. ἠγανάκτησεν ὁ δῆμος, ὡς τῆς ὕλης κλεπτομένης. ὁ δὲ 'οὐκοῦν', ἔφη, 'συγχωρήσατέ μοι περιφράξαι τὴν ἀκρόπολιν'. συνεχώρησεν ἡ πόλις περιφράξαι καὶ περίβολον ἐγεῖραι. λύσας τοὺς δεσμώτας, τοῖς λίθοις καὶ τοῖς πελέκεσι καὶ ταῖς ἀξίναις ὁπλίσας, Θεσμοφορίων ὄντων ἐπιθέμενος, τοὺς πλείστους τῶν ἀνδρῶν ἀποκτείνας, γυναικῶν καὶ παίδων κύριος καταστὰς ἐτύραννησε τῆς Ἀκραγαντίνων πόλεως.

Φάλαρις Ἀκραγαντίνων τὰ ὅπλα παρελέσθαι βου- 2 570-
λόμενος ἀγῶνα γυμνικὸν λαμπρότατον ἔξω τῆς πόλεως ποιήσειν ἐπήγγειλε. τῶν δὲ πολιτῶν ἁπάντων ἐπὶ τὴν θέαν προελθόντων τὰς πύλας κλείσας προσέταξε τοῖς δορυφόροις τὰ ὅπλα τῶν οἰκιῶν ἐκφέρειν.

---

2 ὁσίως ἂν ἔχον Hertlein Fuchs; ὁσίαν ἀνίσχων F; ὅσιον ὂν [ὕψιστον] R; ἀνῆκον K ‖ 3 ἱδρύσασθαι M; ἰδιώσασθαι F ‖ ὑπεσχειτο F ‖ 4 γένηται K Patakis; γενέσθαι F ‖ 10 ἀνακομίζειν F ‖ 11 κηρύξοντα Hertlein; μηνύσαντα F; μηνύσοντα vulg. \\ ὃς ἂν μηνύσῃ K; ὅσα μὴ νύσει F ‖ 12 τοῦ K; τῶν F.

-554 3 *Φάλαρις πολιορκούντων Ἀκραγαντίνων Σικανοὺς οὐ δυνάμενος ἑλεῖν αὐτοὺς πολὺν σῖτον παρεσκευασμένους, διελύσατο τὸν πόλεμον· ἀλλὰ καὶ τὸν ἀπὸ τοῦ στρατοπέδου σῖτον αὐτοῖς παρακατέθετο συνθέμενος ἀπολήψεσθαι τὸν θερίζεσθαι μέλλοντα. ἀσμένως ἐδέξαντο οἱ Σικανοί. ὁ δὲ Φάλαρις τοὺς σιτοφύλακας αὐτῶν ἔπεισεν ἀργυρίῳ διαφθείρας τὰς ὀροφὰς τῶν οἰκημάτων διελεῖν, ὅπως ὁ σῖτος ὑόμενος κατασαπείη· τὸν δὲ θερισθέντα κατὰ συνθήκας αὐτὸς ἀπέλαβεν. ἀναγκαίως οὖν τὸν μὲν ἀπὸ τῆς χώρας τῷ Φαλάριδι ἀποδόντες, τὸν δὲ ἐν τῇ πόλει διεφθαρμένον εὑρόντες ὑπήκουσαν αὐτῷ διὰ τὴν σιτοδείαν.*

-554 4 *Φάλαρις πρὸς Τεῦτον ἄρχοντα Οὐέσσης, ἥπερ εὐδαιμονεστάτη καὶ μεγίστη Σικανῶν πόλις, ἔπεμψε τοὺς μνηστευσομένους αὐτῷ τὴν ἐκείνου θυγατέρα. ὑποσχομένου δὲ στρατιώτας ἀγενείους ἐπὶ τῶν ζευγῶν καθίσας ἔπεμψε στολὰς γυναικῶν ἔχοντας ὡς θεραπαινίδας δῶρα τῇ κόρῃ κομιζούσας. ἐπεὶ δὲ κατελάβοντο τὴν οἰκίαν, οἱ μὲν τὰς μαχαίρας ἐσπάσαντο, Φάλαρις δ' εὐθὺς ἐπιφανεὶς τὴν Οὐέσσαν ἐχειρώσατο.*

## 2. ΔΙΟΝΥΣΙΟΣ.

396 1 *Διονύσιον Σικελίας τύραννον ὥρμησαν οἱ μι-*

---

Cap. 1. § 3. Cf. Front. strat. 3, 4, 6.
Cap. 2. De fontibus cf. J. p. 496—504.
Cap. 2. § 1. Cf. Diod. 14, 78. — Holm II, p. 436, not. ad p. 122.

---

2 *ἑλεῖν* Hertlein; *ἀνελεῖν* F; *ἂν ἑλεῖν* Patakis ‖ 6 *Σικανοὶ* vulg.; *Σικυώνιοι* F ‖ 7 *ἔπεισεν* RK; *ἐποίησεν* F ‖ 8 *οἰκημάτων* F] *οἰκοδομημάτων* vulg. ‖ *σῖτος ὑόμενος* Cas. ex Frontin.; *σιτούμενος* F ‖ 9 *κατὰ τὰς συνθήκας* MW ‖ 13 *Ἰνέσσης* coni. Ortelius; *Σινουέσσης* C. L. Roth coll. Steph. Byz. *Σινόεσσα πόλις Σικελίας* ‖ 15 *μνηστευσομένους* K; *μνηστευομένους* F ‖ 20 *οὔεσαν* F.

σθοφόροι κτεῖναι ἀθρόοι τὴν οἰκίαν αὐτοῦ περιστάντες ἀπὸ συνθήματος. ὁ δὲ προῆλθεν ἐσθῆτα ἐλεεινὴν λαβὼν καὶ τῆς κόμης κόνιν καταχεάμενος, παρέχων ἑαυτὸν ἔκδοτον ὡς βούλοιντο χρῆσθαι. οἱ μισθοφόροι τὴν εἰς τὸ ταπεινὸν αὐτοῦ μεταβολὴν ἐλεήσαντες ἀθῷον ἀφῆκαν. Διονύσιος οὐκ ἐς μακρὰν ἐν Λεοντίνοις περιστήσας αὐτοῖς τὴν ἑαυτοῦ δύναμιν ἅπαντας κατηκόντισεν.

Διονύσιος Ἑρμοκράτους, Συρακουσίοις ὑπηρετῶν 2 405
καὶ γραμματεύων τοῖς στρατηγοῖς, ἐν τῷ πολέμῳ [τῷ] πρὸς Καρχηδονίους ἡττωμένων πολλάκις Συρακουσίων καὶ τοὺς στρατηγοὺς αἰτιωμένων ἐτόλμησε προδοσίας αὐτοὺς γράψασθαι. οἱ μὲν αὐτῶν ἑάλωσαν ἀποθανεῖν, οἱ δὲ φυγεῖν. ὁ δὲ ὡς ἐπιβουλευόμενος ὑπὸ τῶν διὰ τοὺς ἁλόντας ἐχθρῶν γενομένων καὶ τοῦ πολέμου τοῦ πρὸς Καρχηδονίους ἀκμάζοντος, φυλακὴν τοῦ σώματος αἰτήσας, παρὰ τοῦ δήμου λαβὼν τύραννος ἐγένετο Συρακουσίων μέγιστος· καὶ μέχρι γήρως τὴν ἀρχὴν κατασχών, προσέτι καὶ τῷ υἱῷ κατέλιπεν.

Διονύσιος τοὺς ἐπιβουλεύοντας φωρᾶν μάλιστα 3
πάντων ἐσπούδαζε. τῶν ξένων τις περιῄει τὴν πόλιν φάσκων μόνος δύνασθαι διδάξαι προγιγνώσκειν τοὺς ἐπιβουλεύοντας. κληθεὶς εἰς τὴν ἀκρόπολιν ἔφη πρὸς

---

Cap. 2. § 2. Cf. Diod. 13, 94 sq. — J. p. 497.
Cap. 2. § 3. Cf. Plut. apophth. reg. et imp. Dionys. 8; Stob. 3, 42.

---

3 τῆς κόμης Cas.; τὴν κόμην F || καταχεάμενος K ex V *respersit*; καταχεόμενος F || 4 χρῆσθαι F vulg.] χρήσασθαι M || 9 ὑπηρετοῦντος καὶ γραμματεύοντος Cas. || 10 γραμματέων F || [τῷ] K || 13 αὐτῶν W; ἑαυτῶν F; οὖν αὐτῶν vulg. || 17 καὶ παρὰ vulg.

*τὸν Διονύσιον, μόνον αὐτὸν διδάξειν, ἵνα μὴ φανερὰ γένοιτο πᾶσιν ἡ τέχνη. Μεταστάντων ὅσοι παρῆσαν, ἰδίᾳ πρὸς αὐτὸν ἔφη· ‛ὁμολόγησον, ὅτι μεμάθηκας τὴν τέχνην τοῦ προγιγνώσκειν, καὶ οὐδεὶς ἐπιβουλεύειν ἔτι τολμήσει.᾽ ὁ δὲ ἡσθεὶς τῷ σοφίσματι τὸν μὲν ἄνθρωπον δώροις λαμπροῖς ἐτίμησε, πρὸς δὲ τοὺς σωματοφύλακας καὶ τοὺς στρατιώτας ἀπήγγειλεν, ὡς θαυμαστὸν εἴη γνώρισμα τῶν ἐπιβουλευόντων δεδιδαγμένος. οἱ δὲ ἐπίστευσαν καὶ ἐπιβουλεύειν ἐτόλμων οὐκέτι.*

4 *Διονύσιος ἀπέπλει καταστήσας Ἄνδρωνα φύλακα τῆς ἀκροπόλεως καὶ τῶν χρημάτων· Ἑρμοκράτης παρεκάλει συλλαβεῖν αὐτῷ πρὸς τὸ κατασχεῖν [τῆς] ἀκροπόλεως καὶ τῶν χρημάτων. ἐπεὶ δὲ σῶος κατέπλευσεν ὁ Διονύσιος μετ᾽ ὀλίγας ἡμέρας, οὐδὲν πυθόμενος τοῦ Ἄνδρωνος ἔφη πάντα μὲν πεπύσθαι παρ᾽ ἄλλων· ὅμως δὲ καὶ παρ᾽ αὐτοῦ βούλεσθαι μαθεῖν, τίς ἦν ὁ μάλιστα σπουδάσας ἐπιπηδῆσαι τῷ καιρῷ. ὁ δὲ ἐξαπατηθεὶς ὡμολόγησε τὸν Ἑρμοκράτην. Διονύσιος τὸν μὲν Ἄνδρωνα προσέταξεν ἀναιρεθῆναι, ὅτι εὐθὺς αὐτῷ καταπλεύσαντι μὴ τοῦτο ἐμήνυσε, τὸν δὲ Ἑρμοκράτην καθεῖρξεν ἄνδρα ὄντα τῆς ἀδελφῆς, δι᾽ ἣν ὕστερον καὶ λύσας αὐτὸν ἐς Πελοπόννησον ἀπεπέμψατο.*

403 5 *Διονύσιος συνθέμενος πρὸς τοὺς ἐνδιδόντας Νάξον*

---

Cap. 2. § 4. Haec ad Dionysium minorem referenda sunt, ut §§ 7. 8.
Cap. 2. § 5. Cf. Diod. 14, 15, 2. — J. p. 498.

---

1 *διδάξειν* K coll. Plut. *ξένου δέ τινος ἰδίᾳ φράσειν φάσκοντος αὐτῷ καὶ διδάξειν* etc.; *διδάσκειν* F ‖ 10 *ἀπέπλει* K; *ἐκδημεῖ* R; *expeditionem suscipiens* V; *ἀνήχθη* Maasv.; *ἠγγέλη* F ‖ *καταστήσας* vulg.; *κατὰ* F: cf. 2, 2, 7. 7, 31 ‖ *ἀνδρῶνα* (et sic semper) F ‖ 11 *Ἑρμοκράτης*] erat Dionysii primi pater: recte *Τιμοκράτης* Plut. Dio 21. 26 ‖ 12 [*τῆς*] K; *ἀκρόπολιν* vulg.: cf. 1, 21, 1 ‖ 14 *πυνθόμενος* F ‖ 17 *ἐπιπηδήσας* F.

αὐτὸς μὲν ὀψὲ τῆς ὥρας προσῆλθε τοῖς τείχεσιν ἑπτακισχιλίους στρατιώτας ἔχων· οἱ δὲ Νάξιοι τῆς προδοσίας αἰσθόμενοι ὥρμησαν ἐπὶ τοὺς πύργους. οἱ δὲ προδιδόντες ἀπὸ τῶν πύργων ἐκάλουν τὸν Διονύσιον μετὰ τῆς δυνάμεως ἁπάσης· ὁ δὲ ἠπείλει τοῖς ἐπὶ τοῦ τείχους, εἰ μὴ παραδοῖεν τὴν πόλιν ἑκόντες, ἀποσφάξειν αὐτοὺς ἅπαντας. ὑπὸ δὲ τὴν αὐτὴν ὥραν Διονυσίου προστάξαντος εἰς τὸν λιμένα τῶν Ναξίων κατέπλει πεντηκόντορος Διονυσιακὴ αὐλητὰς αὐλοῦντας ἄγουσα καὶ κελευστὰς κελεύοντας, ὧν (ἂν) ἕκαστος ἀνεκάλει τριήρη μίαν. οἱ δὲ Νάξιοι νομίσαντες ἐπιπλεῖν τοσαύτας τριήρεις, ὅσους (ἑώρων) κελευστάς, φοβηθέντες παρέδωκαν ἑκόντες Διονυσίῳ τὴν πόλιν.

57,16 Διονύσιος, Ἰμίλκωνος ἐπιπλεύσαντος καὶ τὸ στόμα 6 397
τοῦ λιμένος τοῦ Μοτυαίων ἀποφράξαντος, αὐτός τε ἀπὸ τῆς Μοτύης τὸ πεζὸν ἀναστήσας ἐστρατοπέδευσε κατ' ἀντικρὺ καὶ παρεκάλεσε τοὺς ναύτας καὶ στρατιώτας θαρρεῖν καὶ παρασκευάζεσθαι τὴν διαγωγὴν τῶν τριήρων [διὰ] τῆς περιεχούσης ἄκρας τὸν λιμένα. τόπος ἦν ὁμαλὸς καὶ πηλώδης, εὖρος εἴκοσι στάδια· τοῦτον οἱ στρατιῶται ξύλοις φαλαγγώσαντες ὑπερή-

Cap. 2. § 6. Cf. Diod. 14, 49—51. — Schubring, Philol. 24, p. 49 sqq.; Holm II, p. 430, not. ad p. 111; Meltzer, Iahnii annal., 1875, p. 747 sqq.; Th. Fischer, Beitrag z. physisch. Geogr. d. Mittelmeerländer, p. 18 sq. et tabul. II; Meltzer, Gesch. d. Karth. p. 512.

1 ὥρας M; χώρας F || ἑπτακισχιλίους (i. e. ͵ζ) Cas.; ἑπτὰ (i. e. ζ') F || 4 προδιδόντες vulg.; προϊδόντες F; προδόντες M || 5 ἠπήλει F || 6 παραδοῖεν Hertlein; προδοῖεν F vulg. || ἀποσφάξεν vulg.; ἀποσφάζειν F || 10 (ἂν) inclusit K; ὡς ἂν Cas. || 12 (ἑώρων) seclusit Hertlein || 15 μολυαίων F || 19 [διὰ] inserui coll. Diod. 14, 50 διελκύσας τὰ σκάφη διὰ τῆς γῆς; [ὑπὸ] vulg., sed plura excidisse putat W; ὑπὸ τῇ etc. Hertlein || 21 φαλαγγώσαντες HM; φαραγγώσαντες F.

νεγκαν ὀγδοήκοντα τριήρεις ἡμέρᾳ μιᾷ. Ἱμίλκων φοβηθεὶς μὴ Διονύσιος τὸ ναυτικὸν ὑπερβαλὼν ὑπὲρ τὴν ἄκραν ἐπιπλεύσας τοὺς Καρχηδονίους ἐπὶ τῷ στόματι τοῦ λιμένος κατακλείσας ἔνδον ἐξέλοι, βορέου πνεύσαντος οὐρίου ἀπόπλουν ἐποιήσατο. Διονύσιος δὲ καὶ τὸν λιμένα καὶ τὴν Μοτύην καὶ τὸ ναυτικὸν διεσώσατο.

57 7 Διονύσιος ὑπὸ Δίωνος [πολιορκούμενος] τὴν ἀκρόπολιν κατέχων ἐπρεσβεύσατο πρὸς Συρακουσίους ὑπὲρ διαλλαγῶν. οἱ δὲ ἀπεκρίναντο 'εἰ μὲν ἀφίησι τὴν ἀρχήν, δεχόμεθα πρεσβείαν, εἰ δὲ μή, ἄσπονδος ὁ πόλεμος ἔστω'. Διονύσιος πάλιν κήρυκα πέμψας ἐκέλευσε πέμψαι πρεσβευτὰς ὡς ἀφήσων τὴν ἀρχὴν καὶ σπονδὰς πρὸς αὐτοὺς ποιησόμενος. οἱ μὲν ἔπεμψαν καὶ ὑπὸ χαρᾶς ἐξέλυσαν τὰς φυλακάς, ὡς ἤδη τοῦ τυράννου τὴν ἀρχὴν ἀφιέντος· ὁ δὲ τοὺς μὲν πρέσβεις κατασχών, τοὺς δὲ στρατιώτας ἐξαγαγὼν μετὰ πολλῆς ὁρμῆς καὶ βοῆς ἐλθὼν πρὸς τὰ διατειχίσματα, καρτερᾷ προσβολῇ χρησάμενος, ἐμπεσὼν ταῖς Συρακούσαις, τήν τε ἀκρόπολιν οὐκ ἀπέδωκε καὶ τὴν πόλιν ἀπέλαβεν.

57 8 Διονύσιος τοὺς πρεσβευτὰς τῶν Συρακουσίων,

---

Cap. 2. § 7. Cf. Diod. 16, 11, 3; Iust. 21, 2; Plut. Dion. 30. — J. p. 499—501.
Cap. 2. § 8. Cf. Plut. Dion. 31.

---

2 ὑπερβαλὼν H; ἀποβαλὼν F; ἀπολαβὼν W: cf. Hertlein, Iahnii annal. 1861, p. 254 ‖ 4 βορρέου F ‖ 5 οὐρίου Cas. K Hertlein; οὔριον F ‖ 6 ὁμοτύλην F, corr. vulg. ‖ 7 διεσώσατο H, quod recepi coll. Diodor. 14, 50; ἀνεσώσατο F ‖ 8 [πολιορκούμενος] vel [πιεζόμενος] suppl. W coll. § 8 et 7, 26; [ἐκπεσὼν] vel [ἐξελασθεὶς] Cas. ‖ 9 κατασχὼν vulg. ‖ 13 πέμψας πρεσβευτὴς F ‖ 14 πρὸς αὐτοὺς σπονδὰς vulg. ‖ ποιησάμενος F ‖ 15 ἐξέλυσαν M; ἐξέχυσαν F ‖ 16 ἀφέντος Cas.

οὓς κατέσχε, τῆς ὑστεραίας ἀνέπεμψε τοῖς πολίταις· συνηκολούθησαν δὲ αὐτοῖς καὶ γυναῖκες ἐπιστολὰς φέρουσαι πρὸς Δίωνα καὶ Μεγακλέα παρὰ τῆς ἀδελφῆς καὶ τῆς γυναικὸς καὶ πρὸς τοὺς ἄλλους Συρακουσίους, ὧν ἦσαν αἱ γυναῖκες πολιορκούμεναι. ταύτας τὰς ἐπιστολὰς εὑρόντες [συναγαγόντες] ἐκκλησίαν φανερῶς ἀναγιγνώσκειν ἠξίουν. αἱ μὲν ἄλλαι γυναικῶν ἦσαν ἱκετεῖαι καὶ δεήσεις μὴ περιιδεῖν σφᾶς ἀπολλυμένας, [ἀλλὰ] διαλλαγῆναι πρὸς Διονύσιον· μιᾶς δὲ ἐπιστολῆς ἔξωθεν ἐγέγραπτο ʽπαρὰ Ἱππαρίωνος τῷ πατρί᾽· τοῦτο δὲ ἦν ὄνομα τῷ Δίωνος υἱῷ. τοῦ δὲ γραμματέως τὴν ἐπιγραφὴν ἀναγνόντος καὶ τὴν ἐπιστολὴν ἀνοίξαντος ὁ μὲν υἱὸς οὐδὲν ἦν γεγραφώς, Διονύσιος δὲ Δίωνι φιλικῶς καὶ συγγενικῶς ἐπιστέλλων καὶ μεγάλα ὑπισχνούμενος. τούτων ἀναγνωσθέντων διεβλήθη πρὸς τοὺς Συρακουσίους ὁ Δίων καὶ οὐκέθ᾽ ὁμοίως πιστὸς ἦν, ὅ γε δὴ μάλιστα Διονύσιος ἐσπουδάκει.

Διονύσιος Καρχηδονίων ἐπιόντων χειρὶ μυριάδων 9 396
τριάκοντα πολλὰ κατὰ τὴν χώραν ἐρύματα καὶ φρούρια κατεσκεύασε συντάξας διαλύεσθαι πρὸς Καρχηδονίους καὶ τὰς φρουρὰς αὐτῶν δέχεσθαι. οἱ Καρχηδόνιοι πάνυ ἀσμένως τὰ χωρία παρελάμβανον ἄνευ μάχης καὶ πολλοὺς τῶν στρατιωτῶν φρουροὺς καὶ φύλακας

---

Cap. 2. § 9. Cf. Front. strat. 1, 8, 11. — Bachof, Iahnii annal., 1879, p. 161 sq.

---

1 *ἀνέπεμψε* K ex V *remisit; ἀντέπεμψε* F; *ἀπέπεμψε* Patakis ‖ 3 *Μεγακλέαν* F ‖ 5 *αἱ* M; om. F ‖ 6 [*συναγαγόντες*] suppl. Bursian; *λαβόντες ἐν ἐκκλησίᾳ* K ‖ 7 *ἠξίουν* vulg.; *ἠξίου* M; *ἠξίω* F ‖ *γυναικῶν* Cas.; *γυναῖκες ὧν* F ‖ 9 [*ἀλλὰ*] vulg. ‖ 10 *Ἱππαρίνου* Maasv. coll. 5, 4 et sic Plut., Theopomp. ap. Athen. ‖ 13 *μὲν* Patakis; *δὲ* F ‖ 23 *φρουρὰς καὶ φυλακὰς* Cas.

ἐν ἑκάστῳ κατέλειπον. ὁπηνίκα τὸ πλεῖστον τῆς δυνάμεως διεσπάρη μεριζόμενον φρουραῖς καὶ φυλακαῖς, τηνικάδε τοῖς ὑπολοίποις Διονύσιος ἐπιθέμενος ἐνίκησεν.

10 Διονύσιος χειρώσασθαι βουλόμενος Ἱμέραν πρὸς μὲν τοὺς Ἱμεραίους φιλίαν συνέθετο, πρὸς δὲ τὰ πλησίον αὐτῶν πολίσματα πόλεμον ἐξήνεγκεν· καὶ δὴ στρατοπεδεύσας οὐ μακρὰν τῆς Ἱμέρας ἐπεκηρυκεύετο πρὸς τοὺς ἐν τοῖς πολίσμασιν. Ἱμεραῖοι δὲ μέχρι πολλοῦ μὲν τοῖς στρατιώταις αὐτοῦ τὴν ἀγορὰν ἔπεμπον· ἐπειδὴ δὲ χρόνου προϊόντος δῆλος ἦν οὐδὲν πράττων, ὑπιδόμενοι δύναμιν τηλικαύτην παραστρατοπεδεύουσαν πέμποντες τὴν ἀγορὰν ἐπαύσαντο. Διονύσιος ἔχθρας ἀρχὴν ποιησάμενος τὴν ἔνδειαν τῶν ἀναγκαίων ἧκεν ἐπὶ τὴν Ἱμέραν αὐτὴν καὶ βίᾳ προσβαλὼν ἐξεῖλε τὴν πόλιν.

11 Διονύσιος τοὺς πρεσβυτέρους τῶν στρατιωτῶν ἀπομίσθους ἐβούλετο ποιῆσαι· οἱ δὲ ἠγανάκτουν πρὸς αὐτὸν καὶ οἱ νέοι ὡς ἄδικον, εἰ γηρῶντες ἐκβάλλοιντο. ὁ δὲ, τὸν θόρυβον μαθὼν συναγαγὼν ἐκκλησίαν ἀναγορεύει τάδε· 'τοὺς μὲν νεωτέρους ἐς τὸν κίνδυνον τῆς μάχης τάττω, τοὺς δὲ πρεσβυτέρους ἐς τὰς φυλακὰς τῶν χωρίων ἴσην σύνταξιν λαμβάνοντας· πεῖραν γὰρ

Cap. 2. § 10. Cf. Front. strat. 3, 4, 3 et 4; Diod. 14, 108.

1 *κατέλειπον* K cum V *relinquebant; κατέλιπον* F ‖ 2 *διεσπάσθη* Patakis ‖ 5 *Ἱμέραν*] cum eadem a Diod. et Front. 3, 4, 3 de Rheginorum urbe tradantur, Holm II, p. 439, not. ad p. 131 Polyaenum in nomine urbis errasse censet, sed cf. Front. 3, 4, 4 ‖ 6 *συνέθετο* M; *οὐ συνέθετο* F ‖ 10 *ἐπόριζον* Cas. ex D *ἐμπόδιζον* ‖ 15 *ἡμέραν* F ‖ 19 *ἐκβάλοιντο* F ‖ 20 *ἀναγορεύει* Hertlein; *ἀπαγορεύει* F vulg.; *ἀγορεύει* K.

πίστεως δεδωκότες ἐπιμελῶς τὰ χωρία φυλάξουσι καὶ πονήσουσιν ἔλαττον.’ ἥσθησαν οἱ στρατιῶται πάντες καὶ διηρέθησαν ἀπ’ ἀλλήλων ἄσμενοι. ἐπειδὴ δὲ διελύθη τὸ πλῆθος καὶ κατ’ ὀλίγους εἰς πολλὰς φυλακὰς ἐμερίσθη, καὶ δὴ τότε ἑκάστους τῶν πρεσβυτέρων ἀπομίσθους ἐποίησεν οὐκέτι τὴν παρὰ τοῦ πλήθους ἐπικουρίαν ἔχοντας.

6, 2 Διονύσιος βουλόμενος ἐπιθέσθαι πόλει κατὰ θά- 12
λατταν καὶ γνῶναι τοὺς πιστοὺς τῶν τριηράρχων, ἀλλὰ μὴν οὐδὲ προειδέναι τινά, ποῖ μέλλει πλεῖν, βιβλίον ἄγραφον ἐσφραγισμένον ἔδωκεν ἑκάστῳ τριηράρχῳ προστάξας, ἐπειδὰν ἀναχθέντων ἀρθῇ τὸ σημεῖον, τότε λύειν τὰ βιβλία καὶ μαθόντας ἐκεῖσε πλεῖν, οἶ κελεύει τὰ γεγραμμένα. οἱ μὲν δὴ ἀνήχθησαν· ὁ δέ, πρὶν ἆραι τὸ σημεῖον, ἐπιβὰς ὑπηρετικοῦ περιέπλει καὶ παρ’ ἑκάστου τριηράρχου τὸ βιβλίον ἀπῄτησεν. ὅσους μὲν εὗρε τὴν σφραγίδα λελυκότας, ὡς προδότας ἐκέλευσεν ἀπαχθῆναι τὴν ἐπὶ θανάτῳ· τοῖς δὲ ἄλλοις ἔδωκεν ἕτερα βιβλία, ἐν οἷς ἀληθῶς ἐγέγραπτο ποίᾳ πόλει βούλοιτο ἐπιπλεῦσαι. καὶ δὴ τὸ ἀπόρρητον οὕτω φυλαχθὲν παρέσχεν αὐτῷ τὴν πόλιν ἀφύλακτον λαβεῖν.

Διονύσιος βουλόμενος μαθεῖν, οἷα περὶ αὐτοῦ 13
φρονοῖεν καὶ λέγοιεν οἱ ἀρχόμενοι, τὰς μουσουργοὺς καὶ τὰς ἑταίρας ἐκέλευσεν ἀπογράψασθαι. αἱ μὲν δὴ πολλοῦ τέλους ἐπιβολὴν ἐνόμισαν γενήσεσθαι, ὁ δὲ

---

Cap. 2. § 12. Cf. J. p. 502.

---

2 πονήσουσιν vulg.; ποιήσουσιν F ‖ 3 διελύθησαν K coll. v. 3 ἐπειδὴ δὲ διελύθη ‖ 3 ἐπεὶ δὲ CK: cf. 5, 2, 10 ‖ 9 τριηραρχῶν F ‖ 10 ποῖ Hertlein; ποῦ F vulg. ‖ 15 ὑπηρετικοῦ W; ὑπηρετικῷ F ‖ 21 πόλιν scripsi cum Hertleinio (Iahnii annal. 1867, p. 607); Ἀμφίπολιν F vulg. ‖ 24 ἑτέρας $F_1$ ‖ αἱ μὲν V quae; οἱ μὲν F.

*τέλος μὲν οὐκ ἐπέβαλεν, ἑκάστην δὲ τῶν ἑταιρῶν ἀνέκρινε βασανίζων, τίνα παρὰ τῶν ἐραστῶν συνόντων ἀκούσειαν περὶ τῆς τυραννίδος. οὕτω τοὺς βλασφημοῦντας μαθὼν οὓς μὲν ἀπέκτεινεν, οὓς δὲ ἐδίωξεν.*

14 *Διονύσιος τὰ ὅπλα τῶν πολιτῶν παρελόμενος, ἡνίκα πρὸς τοὺς πολεμίους κινδύνου καιρὸς ἦν, προάγειν αὐτοὺς ἀπὸ τῆς πόλεως ἑκατὸν στάδια κελεύσας, τότε ἀπεδίδου τὰ ὅπλα· μετὰ δὲ τὴν μάχην, πρὶν ἐπανελθεῖν εἰς τὴν πόλιν καὶ τὰς πύλας ἀνοῖξαι, πάλιν αὐτοὺς ἐκέλευεν ἀποτίθεσθαι τὰς πανοπλίας.*

15 *Διονύσιος βουλόμενος εἰδέναι, τίνες εἶεν οἱ πρὸς τὴν τυραννίδα ἀλλοτρίως ἔχοντες, κατέπλευσεν ἐκ τῆς Ἰταλίας ἐς τὸ κρυπτὸν νεώριον ὡς ἀπολωλὼς [ὑπὸ] τῶν ἰδίων στρατιωτῶν. οἱ δὲ δυσμενῶς ἔχοντες συνθέοντες μετὰ χαρᾶς ἀλλήλοις τὸ πταῖσμα διηγοῦντο· [Διονύσιος] συναρπάσας τοὺς ἐφηδομένους ἀπέκτεινεν.*

16 *Διονύσιος ἀρρωστεῖν προσποιησάμενος λόγον διέδωκεν, ὡς ἐσχάτως εἴη διακείμενος. ἐπεὶ δὲ πολλοὶ πρὸς τὴν φήμην ὑπερήσθησαν, αὐτὸς μετὰ τῶν δορυφόρων ἐπεξελθὼν ἅπασιν ἐφάνη καὶ τοὺς ἐφηδομένους ἀπαχθῆναι προσέταξεν.*

17 *Διονύσιος Καρχηδονίους ἐπὶ μεγάλοις λύτροις ἀπεδίδου, τοὺς δὲ Ἕλληνας ἄνευ λύτρων. Καρχηδό-*

---

1 *ἐπέβαλεν* vulg.; *ἐπέλαβεν* F ‖ 2 [*τῶν*] *συνόντων* K ‖ 6 *προάγειν* vulg.; *προάγων* F ‖ 7 *τότε* scripsi cum K (qui [*τότε*] *τούτοις*); *οὕτως* Roth; *τούτοις* F vulg. ‖ 9 *ἀνοῖξαι* vulg.; *ἀνοίξας* F ‖ 10 *ἐκέλευεν* K; *ἐκέλευσεν* F vulg. ‖ 13 *τὸ* F] *τὶ* C. L. Roth: sub arce Syracusarum erat illud *νεώριον*: cf. Holm II, p. 434, not. ad p. 108 ‖ *λέκως* F; *ἀπολωλὼς* [*ὑπὸ*] W; *λειφθεὶς τῶν* vel *προδοθεὶς* [*ὑπὸ*] *τῶν* Rud. Schoell.; *ἀπολωλέκως* Maasv.; *ἀποθανὼν* vulg.; ex V *famamque sparsit D. a propriis militibus interfectum esse* [*καὶ φήμην* (vel *λόγον*) *διέδωκεν, ὡς ἀποθάνοι ὑπὸ*] suppl. R, Patakis ‖ 16 [*Διονύσιος*] W; [*ὁ δὲ*] vulg.

νιοι τὴν τυράννου φιλανθρωπίαν ὑποπτεύσαντες, οὓς εἶχον μισθοφόρους Ἕλληνας ἀπέπεμψαν· τῷ Διονυσίῳ δὲ ἄριστα εἶχε πολεμίων Ἑλλήνων ἀπηλλάχθαι.

Διονύσιος πολεμῶν Μεσηνίοις, παρ' οἷς ἦσαν 18
ὕποπτοί τινες ὡς προδιδόντες, βουλόμενος αὐτοὺς ταράττειν, τὴν τῶν ἄλλων χώραν λυμαινόμενος τῆς τῶν διαβαλλομένων ἐκέλευσεν ἀπέχεσθαι. τοῦτο μὲν δὴ καὶ ἄλλοις οἶδα στρατηγοῖς πεπραγμένον. Διονύσιος δὲ πρὸς τούτοις καὶ στρατιώτην εἰσέπεμψε τάλαντον χρυσίου κομίζοντα τοῖς ὑποπτευομένοις. τοῦτον οἱ Μεσήνιοι μετὰ [τοῦ] χρυσίου λαβόντες, ἀνακρίναντες, μαθόντες οἷς ἐκόμιζε, τοὺς μὲν ὡμολογημένους προδότας ὥρμησαν κολάζειν. οἱ δὲ ἦσαν ἐν δυνάμει καὶ αὐτοῖς σφοδρῶς ἀντέστησαν. ἐγένετο στάσις, ἣ παρέσχε Διονυσίῳ Μεσήνης κρατῆσαι.

Διονύσιος ἐν σπάνει χρημάτων παρὰ τῶν πολι- 19
τῶν εἰσφορὰς ᾔτει. τῶν δὲ πολλάκις δεδωκέναι φασκόντων βιάζεσθαι μὲν οὐκ ἔγνω, διαλιπὼν δὲ ὀλίγον ἐκέλευσε τοὺς ἄρχοντας, ὅσα ἦν ἀναθήματα ἐν Ἀσκληπιοῦ — πολλὰ δὲ ἦν ἀργύρου καὶ χρυσοῦ — ταῦτα ἔξω τοῦ ἱεροῦ κομίσαντας ὡς βέβηλα προκηρύττειν ἐπὶ τῆς ἀγορᾶς. οἱ Συρακούσιοι μετὰ πολλῆς σπουδῆς ἐπρίαντο, ὥστε ἠθροίσθη χρημάτων πλῆθος· ὧν κρατήσας Διονύσιος προσέταξε κηρῦξαι, εἴ τίς [τι]

Cap. 2. § 18. De tempore cf. Holm II, p. 437, not. ad p. 123; Bass, Wiener Studien 2, p. 148.

Cap. 2. § 19. Cf. Aristot. oecon. 2, 21; Plut. apophth. reg. et imp. Dionys. 5.

6 *λυμαινόμενος* vulg., quod probat Hertlein; *λυμαινομένους* F ‖ *τῆς*] *τὴν* F ‖ 7 *ἐκέλευεν* F ‖ 9 *τούτοις* V *praeter haec* ut 4, 19; *τούτῳ* K; *τοῦτο* F ‖ 11 [*τοῦ*] K, Hercher, Hermes 9, p. 112 ‖ 14 *αὐτοὶς* K, *αὐτοὶ* F ‖ 20 *ἀργυρίου* vulg. ‖ *χρυσοῦ* K; *χρυσίου* F ‖ 24 *κηρῦξαι* F] *κηρύττειν* vulg.; *κηρύξας* D ‖ [*τι*] add. vulg.

*τῶν τοῦ Ἀσκληπιοῦ ἀναθημάτων ἠγόρασεν, αὐτίκα εἰς τὸ ἱερὸν ἀνακομίζειν, ἀποδιδόναι τῷ θεῷ, ἢ θάνατον εἶναι τὴν ζημίαν. οἱ μὲν ἀπέδωκαν τῷ θεῷ, Διονύσιος δὲ εἶχε τὰ χρήματα.*

20 *Διονύσιος πόλιν ἑλών, ἧς τῶν πολιτῶν οἱ μὲν τεθνηκότες, οἱ δὲ πεφευγότες ἦσαν — ἦν δὲ μείζων ἢ ὥστε ὑπὸ ὀλίγων φυλάττεσθαι — φρουροὺς μὲν ὀλίγους αὐτόθι καταλείπει· τοῖς δὲ ἁλοῦσιν οἰκέταις τῶν δεσποτῶν θυγατέρας συνῴκισεν, ἵνα πολεμιώτατοι φανέντες [τοῖς δεσπόταις] αὐτῷ πιστοὶ φύλακες τῆς πόλεως γένοιντο.*

64 21 *Διονύσιος ἐς Τυρρηνίαν πλεύσας ἑκατὸν τριήρεσι καὶ ἱππαγωγοῖς, παρελθὼν ἐς τὸ τῆς Λευκοθέας ἱερόν, λαβὼν νομίσματος τάλαντα πεντακόσια παραχρῆμα ἀπέπλευσεν. μαθὼν δὲ ἐν ἀπορρήτῳ χρυσίου τάλαντα χίλια, ἀργυρίου πολλῷ πλείονα ὑπὸ τῶν στρατιωτῶν καὶ τῶν ναυτῶν διηρπάσθαι, πρὶν ἐπιβῆναι τῆς γῆς ἐκήρυξε τοῖς ἔχουσι τὰ χρήματα προστάσσων τὰ μὲν ἡμίσεα ἀναφέρειν, τὰ δὲ ἡμίση συγχωρῶν· ἢ θανάτῳ ζημιώσειν τοὺς μὴ πεισθέντας. οἱ μὲν τὰ ἡμίση προσεκόμισαν· ὁ δὲ ἀπὸ τούτων καὶ τὰ λοιπὰ εἰσπράξας δωρεὰν ἔδωκεν αὐτοῖς μηνὸς σιταρκίαν.*

---

Cap. 2. § 20. Cf. Aristot. oecon. 2, 21; Diod. 15, 14. — Holm II, p. 441, not. ad. p. 135.

---

2 *ἀνακομίζειν* Patakis ex V *reportare:* cf. Aristot. *ἀναφέρειν*; *κομίζειν* F ‖ *καὶ ἀποδιδόναι* vulg. ‖ 6 *ἦν δὲ μείζων ἢ* Maasv.; *ἓν δὲ μεῖζον ἢ* F; *ἐπεὶ μείζων ἡ πόλις ἦν ἢ* vulg. cum V ‖ 10 *φανέντες* [*τοῖς δεσπόταις*] vel [*ἐκείνοις*] W; [; *αὐτοῖς*] Cas. K ‖ *αὐτῷ* scripsi; *αὐτῷ* Cas. K; *αὐτῶν* F ‖ 12 *τυρηνίαν* F ‖ 14 *ἀπέπλευσεν* Cas.; *ἔπλευσεν* F ‖ 16 *ἀργυρίου* K; *ἀργύρου* F ‖ 19 *ἀναφέρειν* Aristot.; *ἀναφέρων* F; *ἀφαιρῶν* Cas. ‖ *συγχωρῶν* $F_1$, *συγχωρεῖν* $F_2$ ‖ 22 *σιταρκίαν* Cas.; *σιταρχίαν* F.

Πάριοι, ζηλωταὶ Πυθαγορείων λόγων, διῆγον ἐν τοῖς περὶ Ἰταλίαν χωρίοις. Διονύσιος ὁ Σικελίας τύραννος ἐπεκηρυκεύετο πρὸς Μεταποντίνους καὶ τοὺς ἄλλους Ἰταλιώτας περὶ φιλίας. Εὐήφενος τοῖς φοιτῶσι νέοις καὶ τοῖς πατράσιν αὐτῶν γνώμην ἠγόρευε, μηδαμῶς τυράννῳ πιστεύειν. Διονύσιος ἐπὶ τούτῳ μάλα ὠργίζετο, ὥστε καὶ λαβεῖν αὐτὸν ὑποχείριον ἐσπούδασεν ἐκ Μεταποντίου διακομιζόμενον ἐς Ῥήγιον. ἐπεὶ δὲ ἔλαβεν, ἐπὶ τοῦ συνεδρίου κατηγορήσας ἔδειξεν, ἡλίκων δι' αὐτὸν εἴη πραγμάτων ἀφῃρημένος. ὁ δὲ ὁμολογῶν δικαίως ἔφη ταῦτα ποιῆσαι· τοὺς μὲν γὰρ εἶναι φίλους αὐτῷ καὶ μαθητάς, τύραννον δ' οὐδὲ ὄψει γνώριμον. [ὁ δὲ] αὐτοῦ θάνατον κατέγνω. Εὐήφενος οὐδὲν ταραχθεὶς πρὸς Διονύσιον ἔφη· 'τοῖς μὲν δεδογμένοις πείθομαι· ἐπεὶ δὲ ἀνέκδοτος ἀδελφή ἐστί μοι ἐν Παρίῳ, ταύτην ἐκδοῦναι πρότερον βούλομαι διαπλεύσας εἰς τὴν πατρίδα καὶ συντόμως ἐπανελθὼν τεθνήξομαι.' πάντων γελασάντων ἐπὶ τῷ λόγῳ Διονύσιος ἐθαύμασε καὶ ἤρετο 'τίς ἂν οὖν πίστις γένοιτο;' ὁ δὲ 'ἐγγυητὴν', ἔφη, 'τοῦ θανάτου καταστήσω', καὶ μεταπεμψάμενος τὸν Εὔκριτον ἠξίωσεν ἐγγυήσασθαι. ὁ δὲ μάλα ἀσμένως ἐπένευσε τοῦ θανάτου τὴν ἐγγύην

22

---

Cap. 2. § 22. Cf. Holm II, p. 448, not. ad p. 148.

---

1 *Πάριοι*] num *Παριανοί*? Cf. 6, 24 ‖ *λόγων Πυθαγ.* vulg. ‖ 2 *Σικελλίας* F ‖ 4 *Εὐηνὸς* Patakis; *Εὔφημος* et *Εὐρύφημος* Metapontini inter Pythagorae discipulos commemorantur a Iambl. de vita Pyth. c. 267 ‖ *τοῖς φοιτῶσι* F] *προσφοιτῶσι* D; *τοῖς προσφοιτῶσι* K ‖ 7 *μάλα* Hertlein; *μᾶλλον* F ‖ 8 *Ῥίγιον* F ‖ 12 *αὐτῷ* F ‖ *δ'* M; om. F ‖ 13 [*ὁ δὲ*] supplevi; [*αὐτῷ. ὁ δὲ*] suppl. vulg. ‖ 14 *πρὸς τὸν* CM ‖ 16 *Παρίῳ* F] *Πάρῳ* W, sed est *Πάριον* oppidum in Mysia situm, non *Πάρος* insula; cf. 6, 24 ‖ 18 *τεθνήξομαι* Hertlein coll. 5, 15; *θνήξομαι* F ‖ 19 *πίστις* Cas.; *πιστὸς* F ‖ 21 *καταπεμψάμενος* F ‖ 22 *ἐπέπνευσεν* F.

συντάξας τὸν μὲν ἐξιέναι ὡς ἐν μησὶν ἓξ ἐπανήξοντα
αὐτὸν δὲ φυλάττειν αὐτόθι μένοντα καὶ φρουρούμενοι
ἦν τὸ χρῆμα ἤδη [θαυμαστόν]· θαυμαστότερον δ
ἐγένετο. καὶ γὰρ μετὰ τοὺς ἓξ μῆνας ὁ τὸν ἐγγυητὴ
παρασχὼν τὴν ἀδελφὴν ἐκδούς, ἐπανελθὼν ἐς Σικε
λίαν, παραδοὺς ἑαυτὸν ἠξίωσε τὸν ἐγγυησάμενον ἀφεῖ
ναι. Διονύσιος ὑπεραγασθεὶς ἀμφοτέρων τὴν ἀρετὴ
ἀμφοτέρους ἀφῆκεν καὶ τὰς δεξιὰς λαβὼν ἠξίου τρί
τον αὐτὸν εἰς τὴν ἑαυτῶν φιλίαν συγκατατάττειν κα
μένειν παρ' αὐτῷ κοινωνοῦντας τῶν παρόντων ἀγα
θῶν. οἱ δὲ τὴν μὲν προαίρεσιν ἀπεδέξαντο τοῦ τυ
ράννου, ᾐτήσαντο δέ, εἰ τὸ ζῆν αὐτοῖς βούλοιτο παρα
σχεῖν, συγχωρῆσαι ἀναστρέφειν ἐπὶ τὰς συνήθει
διατριβὰς μετὰ τῶν νέων. συνεχώρησε Διονύσιος
τοῦτο τὸ ἔργον ἔπεισε πολλοὺς Ἰταλιωτῶν Διονυσίῳ
πιστεύειν.

### 3. ΑΓΑΘΟΚΛΗΣ.

post 305 1 Ἀγαθοκλῆς, Σικελίας τύραννος, ὀμόσας τοῖς πο
λεμίοις παρέβη τοὺς ὅρκους καὶ κατασφάξας τοὺς ἁλόν
τας ἐπιχλευάζων πρὸς τοὺς φίλους ἔλεγεν 'δειπνήσαν
τες ἐξεμέσωμεν τοὺς ὅρκους'.

post 305 2 Ἀγαθοκλῆς νικήσας Λεοντίνους Δεινοκράτη τὸ

---

Cap. 3. De fontibus cf. A. F. Roesiger, de Duride Samio Diodori Siculi et Plutarchi auctore, Göttingen 1874, p. 10 sqq. J. p. 504–510.

Cap. 3. § 1. Cf. J. p. 509.

Cap. 3. § 2. Cf. Diod. 20, 90, 2. — J. p. 509.

---

2 μένοντα M; μενοῦντα F ‖ 3 [θαυμαστὸν] suppl. vulg. 5 ἐς Σικελίαν V Hertlein; ἐν Σικελίᾳ F; ἐπανελθὼν, ἐν Σικελί vulg. ‖ 12 εἰ τὸ] εἶστο F ‖ βούλοιτο m; βούλοιντο F ‖ 14 συνε χώρησε δὲ M ‖ 21 ἐξεμέσομεν K: cf. 3, 9, 1 ‖ 22 Δεινοκράτ F] Δεινοκράτην vulg.

στρατηγὸν αὐτοῦ ἐς τὴν πόλιν ἔπεμψε λέγοντα, ὡς ἄρα φιλοτιμοῖτο πρὸς Διονύσιον καὶ βούλοιτο σῶσαι αὐτούς, ὡς ἐκεῖνος ἔσωσε τοὺς περὶ τὸν Ἐλλέπορον ποταμὸν πταίσαντας Ἰταλιώτας. ἐπίστευσαν Λεοντῖνοι καὶ ὅρκους ἔδωκαν. Ἀγαθοκλῆς εἰσελθὼν ἐκέλευσεν αὐτοὺς ἀόπλους εἰς τὴν ἐκκλησίαν συνελθεῖν· ὁ στρατηγὸς ἐπηρώτησεν 'ὅτῳ δοκεῖ ὅπερ καὶ Ἀγαθοκλεῖ, αἱρέτω τὴν χεῖρα'. ὁ τοίνυν Ἀγαθοκλῆς 'δοκεῖ μοι', ἔφη, 'πάντας ἀνελεῖν'. ἦσαν δὲ μύριοι. καὶ δὴ περιστάντες οἱ στρατιῶται πάντας ἀνεῖλον ἐπὶ τῆς ἐκκλησίας.

Ἀγαθοκλῆς πυθόμενος τοὺς ἐν τέλει Συρακου- 3 307
σίων νεωτερίζειν, Καρχηδονίους νικήσας, θύων ἐπινίκια πεντακοσίους ἄνδρας τοὺς ὑπόπτους ἐπὶ τὴν ἑστίαν ἐκάλεσεν. ἦν μὲν δὴ μεγαλοπρεπὴς ἡ τῶν κληθέντων ἑστία. αὐτὸς δὲ ἤδη μεθυόντων ἐς μέσους παρελθών, κροκωτὸν ἐνδύς, Ταραντῖνον περιβαλόμενος ηὔλησεν, ἐκιθάρισεν, ὠρχήσατο· ὥστε ὑφ' ἡδονῆς θόρυβος καὶ κρότος ἐκ πάντων ἦν. ἐν δὲ τῷ καιρῷ τῆς ἡδονῆς ὑπεξῆλθε τοῦ συμποσίου ὡς κεκμηκὼς τὴν ἐσθῆτα ἀλλάξων. ἐκυκλώσαντο τὸν ἀνδρῶνα ὁπλῖται πολλοί· χίλιοι δὲ ξίφη σπασάμενοι, δύο κατὰ ἕνα στάντες πάντας ἀπέσφαξαν τοὺς κατακειμένους.

---

Cap. 3. § 3. Cf. Diod. 20, 63. — Roesiger l. l. p. 25, quem correxit Holm (Bursians Jahresber. III, p. 97).

---

1 αὐτῶν F ‖ 2 καὶ Cas.; εἰ F ‖ 3 Ἐλλέπορον Polyb. 1, 6, 2; Ἐλέπορον F; Ἕλωρος Diod. 14, 104 ‖ 4 Ἰταλιωτῶν F, corr. vulg. ‖ 5 ὅρκους K; ὄλβους F; ἑαυτοὺς R ‖ [ἔλαβον καὶ] ἔδωκαν K ‖ 8 αἱρέτω τὴν χεῖραν F ‖ 12 ἐν τέλει vulg.; ἐντελεῖς F; cf. 6, 1, 3. 8, 39 ‖ συρακοσίων F ‖ 17 κροκωτὸν ἔνδυμα Ταραντῖνον R ‖ περιβαλόμενος K; περιβαλλόμενος F ‖ 18 ηὔλισεν F ‖ ἐκιθάρησεν F.

B 4 *Ἀγαθοκλῆς Ὀφέλαν Κυρηναῖον σὺν πολλῇ δυνάμει στρατεύσαντα πυθόμενος εἶναι φιλόπαιδα ὅμηρον αὐτῷ τὸν ἴδιον υἱὸν ἔπεμψεν Ἡρακλείδην ὡραῖον ὄντα ἐντολὴν δοὺς τῷ παιδὶ ἀντισχεῖν τῇ πείρᾳ μέχρις ὀλίγων ἡμερῶν. ἧκεν ὁ παῖς· ὁ Κυρηναῖος τῆς ὥρας ἡττώμενος περιεῖπεν αὐτὸν καὶ περὶ τὴν θεραπείαν αὐτοῦ μόνον ἠσχολεῖτο. Ἀγαθοκλῆς ἄφνω τοὺς Συρακουσίους ἐπαγαγὼν τόν τε Ὀφέλαν ἀπέκτεινε καὶ τῆς δυνάμεως αὐτοῦ πάσης ἐκράτησε καὶ τὸν υἱὸν ἀπέλαβεν οὐχ ὑβρισθέντα.*

0 5 *Ἀγαθοκλῆς ἐπὶ Καρχηδόνα διαπλεῦσαι βουλόμενος ἤδη μέλλων ἀνάγεσθαι δοκιμάζει, τίνες αὐτῷ συνδιαπλεῦσαι προθυμοῖντο, καὶ δὴ προέγραψεν ‘ἐπιτρέπω τοῖς βουλομένοις ἑαυτοὺς σώζειν ἐξιέναι τῶν νεῶν μετὰ τῶν ἰδίων κτημάτων’. ἐξῆλθον συχνοί. τοὺς μὲν δὴ ἔκτεινε πάντας ὡς δειλοὺς καὶ ἀπίστους· τοὺς δὲ μείναντας ὡς ἀνδρείους καὶ πιστοὺς ἐπαινέσας διέβαλεν ἐς τὴν Λιβύην ἑξήκοντα ναυσὶ καὶ τῆς γῆς ἐπιβὰς παραχρῆμα τὰς ναῦς ἐνέπρησεν, ὅπως ἀγωνίζοιντο γενναιότερον οἱ στρατιῶται τὸ δύνασθαι φεύγειν ἐπὶ τῶν νεῶν ἀπεγνωκότες. τούτοις τοῖς στρατηγήμασι χρησάμενος Ἀγαθοκλῆς αὐτῶν τε Καρχηδονίων καὶ πολλῶν ἐν Λιβύῃ πόλεων ἐκράτησεν.*

---

Cap. 3. § 4. Cf. Iust. 22, 7. — Roesiger, p. 23; Meltzer, p. 527.

Cap. 3. § 5. Cf. Diod. 20, 4, 5. — Roesiger, p. 20; Meltzer, p. 525.

---

1 *Ὀφέλλαν* Diod., alii ‖ 7 *μόνον* F] *μόνην* vulg. ‖ *ἄμφω* F, corr. vulg. ‖ 8 *ἐπαγαγὼν* M; *ἐπαναγαγὼν* F ‖ 13 *προθυμοῖντο* Hertlein; cf. H *δοκιμάζων τὸ πρόθυμον τῶν στρατιωτῶν*; *δύναιντο* F ‖ *προεκήρυξεν* Hertlein ex H *ἐκήρυξεν* ‖ *ἐπιτρέπω* H; *ἐπιτρέπων* F ‖ 21 *τούτῳ τῷ στρατηγήματι* H.

6 Ἀγαθοκλῆς δισχιλίους στρατιώτας συντεταγμένους ᾔτησε παρὰ Συρακουσίων ὡς διαβησόμενος ἐς τὴν Φοινίκην φάσκων τῶν ἐκεῖ τινὰς προδιδόντας μετὰ σπουδῆς αὐτὸν καλεῖν. πιστεύσαντες ἔδωκαν οἱ Συρακούσιοι. ὁ δὲ λαβὼν τοὺς στρατιώτας Φοίνιξι μὲν μακρὰν χαίρειν ἔφη, ὁρμήσας δὲ ἐπὶ τοὺς συμμάχους τὰ περὶ τὴν Ταυρομενῖτιν φρούρια κατέσκαψεν.

7 317 Ἀγαθοκλῆς πρὸς Ἀμίλκαν ἀνοχὴν ἔθετο, ὥστε ὁ μὲν εἰς Λιβύην ἀπῆρεν. ὁ δὲ συναγαγὼν ἐκκλησίαν τῶν Συρακουσίων 'ταύτην', [ἔφη], 'τὴν ἡμέραν ηὐξάμην, ἐν ᾗ τοὺς πολίτας ὄψομαι τὴν ἐλευθερίαν ἔχοντας'. ταῦτα λέγων, τὴν χλαμύδα περιελὼν καὶ τὴν μάχαιραν αὐτὸν ἰδιώτην ἀπέφηνε. τῶν Συρακουσίων ὡς ἀνδρὶ δημοτικῷ καὶ μετρίῳ τὴν πολιτείαν ἐπιτρεψάντων, ὁ δὲ μετὰ τὴν ἕκτην ἡμέραν πολλοὺς φονεύσας τῶν πολιτῶν, διώξας δὲ πλείους τῶν πεντακισχιλίων αὐτὸς τὴν ἀρχὴν τῶν Συρακουσίων κατέσχεν.

8 317 Ἀγαθοκλῆς μαθὼν τοὺς περὶ Τίσαρχον καὶ Ἀνθρώπινον καὶ Διοκλέα φίλους ἐπιβουλεύειν αὐτῷ καλέσας αὐτοὺς ἐνεχείρισεν αὐτοῖς πολλὴν στρατιάν, ἵνα πόλει συμμάχῳ πολεμουμένῃ βοηθοῖεν ἐξελθόντες· καὶ 'αὔριόν γε', ἔφη, 'συνελθόντες εἰς τὸ Τιμολεόντειον

---

Cap. 3. § 6. Cf. Droysen II, 2, p. 242, not. 3; Holm II, p. 479, not. ad p. 261; J. p. 510.

Cap. 3. § 7. Cf. Diod. 19, 9 et Just. 22, 2. — Roesiger, p. 12; Meltzer, p. 523.

Cap. 3. § 8. Cf. Diod. 19, 6, 4.

---

1 δισχιλίους (,β) Cas.; δύο (β') F ‖ 7 Ταυρομενίαν vulg. ‖ 8 μίλκαν F, corr. vulg. ‖ ἔθετο F] συνέθετο K ‖ 10 [ἔφη] add. vulg. ‖ 12 χλαμύδαν F ‖ 16 τῶν ,ε F; τῶν πέντε χιλιάδων vulg. ‖ 17 αὐτὸς] αὖθις R ‖ 19 αὐτῷ F ‖ 21 πολεμουμένῃ V (*quae oppugnabatur*); πολεμουμένῳ F ‖ βοηθοῖεν F corr.] βοηθεῖεν F pr., vulg. ‖ 22 Τιμολεόντειον Roth, Diod.; *Timoleonteum* Nepos; Τιμολεόντιον F (sic etiam p. 240, 4).

μετὰ τῶν ὅπλων καὶ τῶν ἵππων διατάξωμεν τὴν ἔξοδον᾿. οἱ μὲν ἄσμενοι ταῦτα ἐδέξαντο ὡς μέλλοντες καὶ δύναμιν στρατιωτικὴν ἔχειν πρὸς τὴν ἐπίθεσιν. ἐπεὶ δὲ τῆς ὑστεραίας εἰς τὸ Τιμολεόντειον συνῆλθον, ὁ μὲν Ἀγαθοκλῆς ἐσήμηνε τὴν σύλληψιν· οἱ δὲ τὸ σύνθημα δεξάμενοι τοὺς περὶ Διοκλέα καὶ Τίσαρχον καὶ Ἀνθρώπινον, ἄνδρας τῶν διακοσίων πλείονας, ἐξεκέντησαν. ὅσοι δὲ βοηθεῖν τούτοις ἐπειρῶντο, καὶ οὗτοι προσανηρέθησαν οὐκ ἐλάττους τῶν ἑξακοσίων.

## 4. ΙΠΠΑΡΙΝΟΣ.

353 Ἱππαρῖνος ἐν Λεοντίνοις ὤν, αἰσθόμενος τὴν Συρακουσίων πόλιν ἔρημον γενομένην διὰ τὸ μετὰ Καλλίππου τοὺς πολίτας εἴς τινα τόπον ἐξωρμηκέναι, ὁρμήσας ἐκ Λεοντίνων, ἐλθὼν ἐπὶ τὰς Συρακούσας νυκτὸς, πέμψας τινὰς ἐπὶ τὴν πόλιν ἐκέλευσε τοὺς παραφυλάττοντας τὴν ἐφοδείαν ἀποκτεῖναι. οἱ μὲν ἔκτειναν τοὺς παραφυλάσσοντας καὶ πυλίδας τινὰς τοῦ τείχους διεῖλον· Ἱππαρῖνος δὲ διὰ τούτων τοὺς ξένους εἰσαγαγὼν κατέσχε τὴν Συρακουσίων πόλιν.

## 5. ΘΕΟΚΛΗΣ.

729 1 Θεοκλῆς Χαλκιδέας τοὺς ἀπ᾿ Εὐβοίας ἀγαγὼν τὴν Λεοντίνων κατέσχε μετὰ Σικελῶν, οἳ προενοικοῦντες

---

Cap. 4. Cf. Diod. 16, 36, 5.

Cap. 5. §§ 1 et 2. Cf. Thucyd. 6, 4. — Schubring, Umwanderung des Megarischen Meerbusens in Sicilien p. 447 sqq.; Holm I, p. 390, not. ad p. 131; J. p. 511 sqq.

---

1 *διατάξομεν* vulg. || 4 *ἐπεὶ*] V *cum*; *ἐπὶ* F || 5 *μὲν* K; *δὲ* F vulg. || 6 *τοὺς περὶ* vulg.; *τὸ περὶ* F || 13 *Καλίππου* F || 14 *ὁρμήσας* K; *νομίσας* F || *τὰς* del. vulg. || 16 *ἐφοδείαν* Hertlein; *ἐφοδίαν* F || *ὑποκτεῖναι* F || 18 *τούτων* K ex V *per eas*; *τούτου* F || 21 *Χαλκηδέας* F.

*ἐτύγχανον. ἐπεὶ δὲ καὶ Λάμις ἐκ Μεγάρων ἀποικίαν ἀγαγὼν τῇ Λεοντίνων προσβάλλειν [παρεσκευάζετο], αὐτὸς μὲν ἐκβαλεῖν ἔφη τοὺς συνοικοῦντας Σικελοὺς μὴ δύνασθαι διὰ τοὺς ὅρκους, ἐκείνοις δὲ νυκτὸς ἀνοίξειν τὰς πύλας, καὶ παρελθόντας αὐτοὺς χρῆσθαι τοῖς Σικελοῖς ὡς πολεμίοις. ὁ μὲν ἀνέῳξεν, οἱ δὲ Μεγαρεῖς καταλαβόμενοι τὴν ἀγορὰν καὶ τὴν ἀκρόπολιν ὡπλισμένοι προσέπιπτον τοῖς Σικελοῖς. οἱ δὲ καταληφθέντες ἄοπλοι τὴν πόλιν ἐκλιπόντες ἔφευγον· Μεγαρεῖς δὲ ἀντὶ Σικελῶν Χαλκιδεῦσι συνῴκησαν.*

2 729 *Θεοκλῆς Μεγαρέας Χαλκιδεῦσι συνοικήσαντας ἓξ μῆνας τῆς πόλεως ἐξέβαλε φήσας εὔξασθαι κατὰ τὸν τοῦ πολέμου καιρὸν 'ἐὰν κρατήσωμεν τῆς πόλεως ἀσφαλῶς, θύσειν τοῖς δώδεκα θεοῖς καὶ πέμψειν πομπὴν ὅπλοις κεκοσμημένην'. τῶν δὲ Μεγαρέων [οὐδὲν] ὑπιδομένων, ἀλλὰ θύειν ἀγαθῇ τύχῃ κελευόντων, οἱ Χαλκιδεῖς παρ' αὐτῶν εἰς τὴν πομπὴν χρησάμενοι τὰς πανοπλίας, τῆς θυσίας γενομένης, αὐτοὶ νόμῳ πομπῆς βαδίζοντες, ἐπειδὴ κατὰ τὴν ἀγορὰν ὡπλισμένοι κατέστησαν, Θεοκλῆς ἐκέλευσεν ἀνειπεῖν τὸν κήρυκα· 'Μεγαρεῖς ἐκ τῆς πόλεως ἀπιόντων πρὸ δύντος ἡλίου'. οἱ δὲ ἐπὶ τοὺς βωμοὺς ἱκέται καταφυγόντες ἠξίουν μὴ διώκεσθαι ἢ μετὰ τῶν ὅπλων ἐκπέμπεσθαι. Θεοκλῆς μετὰ τῶν Χαλκιδέων ἐβουλεύσατο οὐκ ἀσφαλῶς ἔχειν ἐκβαλεῖν τοσούτους ἐχθροὺς ὡπλισμένους. καὶ*

---

1 *Λάμις* W coll. Thucyd. 6, 4; *Πλαταιεῖς* F vulg. ‖ 2 *ἀναγαγὼν* vulg. ‖ *προσβάλλειν* F; *προσβάλλουσιν* vulg. ‖ [*παρεσκευάζετο*] suppl. W ‖ 4 *ἐκείνοις* C; *ἐκεῖνος* F ‖ 5 *παρελθὼν τὰ σαυτοῦ* F ‖ 8 *καταλειφθέντες* F ‖ 10 *συνῴκησαν* K, quod probat Hertlein; cf. v. 3 et v. 11; *συνωμολόγησαν* F ‖ 15 [*οὐδὲν*] W coll. 1, 27, 2. 7, 16, 1. 8, 44; [*οὐχ*] vulg. ‖ 16 *οἱ* om. vulg. ‖ 21 *δύντος* Hercher, Hermes 9, p. 112: cf. ad 3, 9, 47; δύναντος F.

*δὴ γυμνοὶ Μεγαρεῖς τῆς Λεοντίνων ἐκπεσόντες Τρώτιλον κατῴκησαν μέχρι ἑνὸς χειμῶνος· μέχρι γὰρ τοσούτου συνεχώρησαν οἱ Χαλκιδεῖς.*

## 6. ΙΠΠΟΚΡΑΤΗΣ.

492 *Ἱπποκράτης κρατῆσαι τῆς Ἐργετίνων πόλεως ἐσπουδακώς, ὅσους Ἐργετίνους εἶχε μισθοφόρους, τούτοις ἔνεμεν ἀεὶ τῆς λείας τὸ πλεῖον μέρος καὶ μισθοὺς μείζονας ὑπερεπαινῶν αὐτοὺς ὡς προθυμοτάτους καὶ μάλιστα χαριζόμενος, ὡς πλείονας ἐκ τῆς πόλεως ταύτης ἔχοι συμμάχους. ταῦτα ἠγγέλλετο τοῖς ἐν τῇ πόλει· οἱ δὲ ζηλώσαντες τὴν ὠφέλειαν τῶν στρατευομένων ἐθέλοντες πάντες ἐξῆλθον καταλιπόντες ἔρημον τὴν πόλιν. Ἱπποκράτης φιλοφρόνως δεξάμενος τοὺς ἄνδρας, αὐτῆς νυκτὸς ἀναλαβὼν τὴν δύναμιν διὰ τοῦ Λαιστρυγονίου πεδίου προῆγε, τοὺς μὲν Ἐργετίνους τάξας πρὸς τὴν θάλατταν, τὴν δὲ ἄλλην στρατιὰν πρὸς τὴν ἤπειρον. ἐπεὶ δὲ ἀπεφράχθησαν πρὸς ταῖς ῥαχίαις τῶν κυμάτων οἱ Ἐργετῖνοι, τοὺς ἱππεῖς προπέμψας Ἱπποκράτης τὴν πόλιν αὐτῶν ἔρημον οὖσαν κατελάβετο καὶ τὸν κήρυκα πόλεμον αὐτοῖς προειπεῖν ἐκέλευσε καὶ σύνθημα Γελῴοις καὶ Καμαριναίοις ἔδωκε κτείνειν ἀδεῶς Ἐργετίνους ἅπαντας.* e. 4, 8

---

Cap. 6. Cf. Holm I, p. 201 sq.

---

1 *Τρώτιλον* Maasv. ex Thucyd.; *Τρώιλον* F; *Τρωγίλλιον* K; *Θάψον* tacite legit Schubring l. l. Thucydidem secutus ‖ 2 *μέχρι ἑνὸς χειμῶνος*] *διελθόντος χειμῶνος* Holm l. l., sed cf. J. p. 512 ‖ 6 *ὅσους* H; *οὓς* F ‖ 9 *χαριζόμενος* Maasv.; *χαρῖνος* F; *μηχανώμενος* R ‖ 11 *ὠφέλειαν* Koen. 182; *ἡδυπάθειαν* R; *εὐπορίαν* K; *πολιὰν* F; cf. 7, 2, 2. 7, 15, 1. 7, 29, 2 ‖ 17 *ῥάχαις* F ‖ 18 *κυματίνων* F ‖ *προσπέμψας* R ‖ 22 *ἀδεῶς*] *ἀφειδῶς* vel *ἀνηλεῶς* Hertlein.

## 7. ΔΑΦΝΑΙΟΣ.

14, 17 *Δαφναῖος Συρακουσίων καὶ Ἰταλιωτῶν πρὸς Καρχηδονίους παραταssομένων τὸ μὲν δεξιὸν κέρας ἐχόντων Συρακουσίων, τὸ δὲ εὐώνυμον Ἰταλιωτῶν, ἀκούσας μεγάλης βοῆς φερομένης ἀπὸ τῆς λαιᾶς τάξεως, προσδραμὼν, τοὺς Ἰταλιώτας ἰδὼν πονοῦντας καὶ ἡττωμένους, ἐπανελθὼν ἐπὶ τὸ δεξιὸν κέρας εὐηγγέλιζε τοῖς Συρακουσίοις, ὡς τῶν Ἰταλιωτῶν κατὰ τὴν εὐώνυμον τάξιν νενικηκότων· καλῶς δὲ ἔχειν καὶ παρ' αὐτῶν ἔργον τι γενναῖον γενέσθαι. ὑπολαβόντες οἱ Συρακούσιοι τὸν στρατηγὸν ἀληθῆ λέγειν ἀνεβόησαν 'παντὶ θυμῷ τοῖς πολεμίοις ἐμβάλωμεν'· καὶ δὴ προθύμως ἐμβαλόντες ἐτρέποντο τοὺς βαρβάρους.* 406

## 8. ΛΕΠΤΙΝΗΣ.

·36, 6 *Λεπτίνης, Καρχηδονίων ἐπέκεινα τοῦ Παχύνου* 1 397/

*παραπλεόντων καὶ ἀποβαινόντων ἐπὶ τὴν γῆν καὶ ὅσα ἐπὶ θαλάττῃ καιόντων [καὶ] ἁρπαζόντων, προκαθίσας νύκτωρ ἱππεῖς ἐνεδρεύοντας, προπέμψας κρύφα τινὰς ἐκέλευσεν ἐμπιπράναι τοὺς σταθμούς. οἱ δὲ Καρχηδόνιοι πρὸς τὰ καιόμενα προσθέοντες ὡς ἁρπασόμενοι τὰ ἐν τοῖς σταθμοῖς περιέπιπτον τοῖς ἐνεδρεύουσιν ἱππεῦσιν, ὑφ' ὧν διωκόμενοι μέχρι τῶν τριήρων οἱ πλεῖστοι διεφθείροντο.*

Cap. 7. Cf. Diod. 13, 87. — J. p. 513.
Cap. 8. § 1. Cf. Front. strat. 2, 5, 11.

7 *εὐηγγέλιζε* F] *εὐηγγελίζετο* vulg. ‖ 8 *ὡς* H; om. F ‖ 12 *ἐμβάλωμεν* M; *ἐμβάλομεν* F; *ἐμβάλλωμεν* vulg. ‖ 17 *καιόντων* [*καὶ*] W; *καὶ θ' τῶν* F; *καὶ γῇ* vulg. ‖ *προκαθίσας* FH] *παρακαθίσας* D.

2 *Λεπτίνης ἐκ Λακεδαίμονος ἀνακομιζόμενος Τάραντι προσέσχεν. ἐκβάντων δὲ τῶν ναυτῶν οἱ Ταραντῖνοι τούτους μὲν οὐκ ἠδίκουν ὄντας Λακωνικούς, τὸν δὲ Λεπτίνην ἐζήτουν συλλαβεῖν. ὁ δὲ τὴν ἰδίαν στολὴν ἀποθέμενος καὶ λαβὼν ναύτου σκευὴν καὶ φορτίον ξύλων ἀράμενος ἐπέβη τῆς νεώς· καὶ ἀποκόψας τὰ πρυμνήσια τὸ σκάφος ἐπανήγαγε καὶ τοὺς ναύτας προσνηξαμένους ἀναλαβὼν ἀνέπλευσεν ὡς Διονύσιον.*

## 9. ΑΝΝΩΝ.

368 *Ἄννων Καρχηδόνιος ἀνακομιζόμενος παρέπλει Σικελίαν. Διονύσιος τύραννος ἐξέπεμψε ναῦς ἐπ' αὐτὸν οὐκ ὀλίγας. αἱ μὲν ὅσον οὐκ ἤδη συνῆπτον· ὁ δὲ Ἄννων τῶν αὐτοῦ νεῶν καθαιρεῖ τὰ ἱστία, καὶ οἱ πολέμιοι τὸ αὐτὸ ἐποίησαν. Ἄννων δὲ συνέταξεν ὀξέως ἄρασθαι τὰ ἱστία καὶ οὕτω διέφυγε τοὺς ἐναντίους μέλλοντας καὶ ταρασσομένους καὶ ἀπειροτέρους ὄντας ναυτικῆς ἐπιστήμης.*

## 10. ΙΜΙΛΚΩΝ.

396 1 *Ἰμίλκων Καρχηδόνιος εἰδὼς τῶν Λιβύων τὸ φίλοινον κεράμια οἴνου πολλὰ μανδραγόρᾳ διαφθείρας*

---

Cap. 8. § 2. Cf. Holm II, p. 442, not. ad p. 136.
Cap. 9. Cf. Schaefer, Mus. Rhen. 15, p. 391 sq.; Meltzer, p. 515.
Cap. 10. § 1. Cf. Front. strat. 2, 5, 12. — Meltzer, p. 511, a quo dissentit Gutschmid, Iahnii annal. 1880, p. 291.

---

5 *ναύτου σκευὴν* Pierson 22; *αὐτοῦ σκεύη* F ‖ 7 *ἐπανήγαγε* K; *ἐπανῆγε* F ‖ 8 *ἀπολαβὼν* vulg. ‖ *ἀπέπλευσεν* K ‖ 11 *Καρχηδόνιος* W; *Καρχηδονίοις* F; *σὺν Καρχηδονίοις* vulg. ‖ *ἀνακομιζομένοις* F ‖ 12 [ὁ] *τύραννος* K ‖ 13 *συνῆπτον* K; *συνῆγον* F; *συνῆψαν* Hertlein ‖ 14 *αὐτοῦ* F ‖ 17 *μέλλοντας* F] *μένοντας* vulg. ‖ 20 *Καρχηδονίους* F.

*καὶ ἐν τοῖς προαστείοις ἐπικλίνας ἐπιόντων ἀνεχώρησεν εἰς τὴν πόλιν, ὡς οὐχ οἷός τε ὢν βιαζομένοις ἀντιστῆναι. οἱ δὲ ὑπερεχάρησαν ὡς κατακλείσαντες εἴσω τειχῶν Καρχηδονίους καὶ τὰ κεράμια εὑρόντες τοῦ οἴνου χανδὸν ἐνεφορήθησαν· καὶ αὐτίκα ὕπνῳ βαρυτάτῳ καταλαμβάνονται.*

57,17 *Ἰμίλκων Καρχηδόνιος νύκτωρ ἀναγόμενος ἐκ Λιβύης εἰς Σικελίαν, γράψας καὶ σημηνάμενος (εἰς) γραμματεῖα τοῖς κυβερνήταις ἔδωκε συντιθέμενος, ἐὰν ἀποσπασθῶσιν ἐν τῷ πελάγει, ποῖ χρὴ συνάπτειν, ἵνα μὴ ὑπὸ τῶν αὐτομόλων ἐξαγγελθῇ. λαμπτῆρας [δ᾽ ἦρε] τὸ πρόσθεν μέρος πεφραγμένους, ὅπως μὴ γνωρίζοιεν ἀπὸ τοῦ φωτὸς οἱ πολέμιοι τὸν ἐπίπλουν.* 2

54,15 *Ἰμίλκων ἐν Λιβύῃ καταλαβεῖν ἐσπούδαζεν πόλιν, ἐφ᾽ ἣν ἦσαν ὁδοὶ δύο δύσποροι. ταύτας οἱ μὲν Λίβυες ἐφύλαττον. ὁ δὲ Ἰμίλκων ἔπεμψε πρὸς αὐτοὺς αὐτόμολον φράσοντα· ʻἡ μὲν ἑτέρα τῶν ὁδῶν ἐγχωσθήσεται, ὅπως εὔπορος γένοιτο, ἡ ἑτέρα δὲ ἀποσκαφήσεται, ὅπως μὴ διὰ ταύτης ὁρμησάντων κυκλωθήσωνται᾽. καὶ δὴ ταῦτα γιγνόμενα ὁρῶντες οἱ πολέμιοι πιστὸν ἡγούμενοι τὸν αὐτόμολον ὥρμησαν ἐπὶ τὴν ἐγχωννυμένην ὁδὸν ὡς ἀνείρξοντες. ὁ δὲ νύκτωρ* 3 396

---

Cap. 10. § 2. Cf. Diod. 14, 55; Front. strat. 1, 1, 12. — Meltzer, p. 513; Stern, Philol. 42, p. 456, not. 56.
Cap. 10. § 3. Eadem de Pericle tradit Front. strat. 3, 9, 9.

---

7 *Καρχηδόνιος* p; *Καρχηδονίοις* F; *σὺν Καρχηδονίοις* vulg. || 8 (*εἰς*) inclus. K Patakis cum V *scriptos obsignatosque libellos* || 9 *συντιθέμενος* F; *συνθέμενος* H || 11 *λαμπτῆρας* FH] *λαμπτῆρα* M || [*δ᾽ ἦρε*] W: cf. 6, 11 || 12 *πεφραγμένους* scripsi coll. Philist. fr. 15 *καὶ τὰς νύκτας ἐπαίρεσθαι λαμπτῆρας ἀντιπεφραγμένους* || 14 *ἐσπούδαζε* vulg.; *σπουδάζων* F || 18 *ἡ* M; om. F || 19 *ὁρμησάντων* sc. *τῶν πολεμίων* Cas.; *ὁρμήσαντες* F || *κυκλωθήσωνται* F; *κυκλωθήσονται* vulg.; *κυκλώσονται* K.

*ξύλοις προπαρεσκευασμένοις τὴν ἀπεσκαμμένην ὁδὸν γεφυρώσας, διὰ ταύτης ἀγαγὼν τὸ στρατόπεδον εἷλε τὴν πόλιν τῶν πολεμίων τὴν ἑτέραν ὁδὸν φυλαττόντων.*

406 4 *Ἰμίλκων ἐν Ἀκράγαντι πλησίον τοῦ τείχους ἐστρατοπέδευεν. προῆλθε τῆς πόλεως στρατιὰ πολλή. ὁ δὲ διελὼν τὸ στρατόπεδον ἑνὶ μέρει συνέβαλε παράγγελμα δοὺς ἀπόρρητον ἐς φυγὴν ἑκόντας τραπέσθαι. οἱ μὲν δὴ ἔφευγον, οἱ δ' Ἀκραγαντῖνοι διώκοντες πολὺ τῆς πόλεως ἀπεσπῶντο. Ἰμίλκων πρόσθεν τῶν τειχῶν ὕλην ἐμπρήσας τοὺς ὑπολοίπους εἰς ἐνέδραν ἀφανῆ κατέστησεν. οἱ διώκοντες τὸν καπνὸν αἰρόμενον ἰδόντες ἀπὸ τῶν τειχῶν ᾠήθησαν ὑπὸ τῶν πολεμίων [τὴν πόλιν] ἀνακαίεσθαι καὶ μεταβαλόμενοι πρὸς τὴν πόλιν ἀνέστρεφον ἐπικειμένων αὐτοῖς τῶν πρότερον φυγόντων. ὡς δὲ κατὰ τὴν ἐνέδραν ἐγένοντο, οἱ μετὰ τοῦ Ἰμίλκωνος ἐξαναστάντες τοὺς μὲν αὐτῶν διέφθειραν, τοὺς δὲ ἐζώγρησαν.* c. 36,

406 5 *Ἰμίλκων περὶ τὸ Κρόνιον ἀντεστρατοπέδευε τοῖς Διονυσίου ˹στρατηγοῖς. τῶν δὲ Κρόνιον οἰκούντων βουλομένων δέξασθαι τοὺς Καρχηδονίους, οὐ μὴν τῶν στρατηγῶν ἐπιτρεπόντων, τοῦτο μαθὼν Ἰμίλκων τὴν* c. 54,

Cap. 10. § 4. Cf. Front. strat. 3, 10, 5.
Cap. 10. § 5. Cf. Holm II, p. 435, not. ad p. 113.

1 *ἀπεσκαμμένην* scripsi coll. supra p. 245, 18 et Xenoph. an. 2, 4, 4; *ἀνεσκαμμένην* m; *ἀνεστραμμένην* F ‖ 7 *συνέβαλλεν* H ‖ 9 *ἔφυγον* H ‖ 13 *πολεμίων* W; *πολιτῶν* F; *στρατιωτῶν* M: cf. ad 8, 10, 3. 8, 23, 29 ‖ [*τὴν πόλιν*] inserui coll. Front. *incensam suam civitatem existimaverunt* ‖ 14 *ἀνακαίεσθαι* F] *ἀνακαλεῖσθαι* H vulg.; [*πυρὰ*] *ἀνακαίεσθαι* K ‖ *μεταβαλόμενοι* K; *μεταβαλλόμενοι* F ‖ 15 *φυγόντων* Roth; *φευγόντων* F ‖ 16 *τοῦ* om. vulg. ‖ 20 *τοῦ Διονυσίου* vulg.

ὕλην, ὅση πρὸ τοῦ στρατοπέδου τῶν πολεμίων ἦν — πολλὴ δὲ ἦν καίειν — παραφυλάξας ἄνεμον ἐναντίον τοῖς πολεμίοις ἐνέπρησεν. ὁ μὲν δὴ καπνὸς πολὺς καὶ βίαιος ἐς τὰς ὄψεις τῶν πολεμίων ὑπὸ πνεύματος ἐφέρετο, Ἰμίλκων δὲ ἔλαθε διελθὼν πρὸς τὰ τείχη, καὶ ἀνέῳξαν αὐτῷ τὴν πύλην οἱ βουλόμενοι δέξασθαι, καὶ παρῆλθεν εἴσω τῶν στρατηγῶν ἀγνοούντων.

## 11. ΓΕΣΚΩΝ.

c. 2 Ἀμίλκας Καρχηδόνιος, ἄριστος (στρατηγὸς) τῶν 339
ἐν Λιβύῃ στρατηγῶν, πολλοὺς πολέμους κατορθώσας, φθονηθεὶς ὑπὸ τῶν διαπολιτευομένων, διαβληθεὶς ὡς ἐπιθέμενος τυραννίδι αὐτός τε ἀνῃρέθη, καὶ ὁ ἀδελφὸς αὐτοῦ Γέσκων φυγαδευθεὶς ἐξέπεσε· τὰ δὲ χρήματα αὐτῶν δημευθέντα ἐνείμαντο οἱ πολῖται. τούτων πραχθέντων οἱ Καρχηδόνιοι στρατηγοῖς ἄλλοις χρησάμενοι καὶ πολλάκις ἡττώμενοι καὶ ἁλῶναι κινδυνεύοντες μετέγνωσαν ἐπὶ τῇ τοῦ Γέσκωνος φυγῇ καὶ τῇ ἀναιρέσει τοῦ Ἀμίλκου. ἀλλὰ τὸν μὲν Ἀμίλκαν τεθνηκότα οὐχ οἷόν τε ἦν ἀνακαλέσασθαι, τὸν Γέσκωνα δὲ ἀπὸ τῆς φυγῆς ἀνεκαλέσαντο καὶ αὐτοκράτορα στρατηγὸν ἀπέδειξαν καὶ τοὺς ἐχθροὺς αὐτῷ παρέδωκαν εἰς τιμωρίαν καθ' ὃν ἂν βούληται τρόπον. Γέσκων

---

Cap. 11. Cf. Theodor. Metochites, p. 200 (ed. Kluge). — Schaefer, Mus. Rhen. 15, p. 391 sq.; Meltzer, p. 516.

---

2 *καίειν* om. vulg. ‖ 4 *βίαιος* K; *βιαίως* F ‖ 6 *πύλην* vulg.; *πόλιν* F ‖ 9 *Ἀμίλκας*] *Ἰμίλκων* δ; *Ἰαμοκλῆς* Theodor. Metochites ‖ *Καρχηδόνιος* W; *Καρχηδονίων* F: cf. ad 5, 9 ‖ (*στρατηγὸς*) seclusi ‖ 12 *ἐπιτιθέμενος* K cum vulg. ‖ 13 *ἐξέπαισε* Koen. 188 ‖ 21 *αὐτῷ* vulg.; *αὐτῶν* F: cf. H *τοὺς τοῦ ἀδελφοῦ φονεῖς καὶ αὐτοῦ ἐκείνου ἐπιβούλους*.

*δὲ παραλαβὼν αὐτοὺς δεδεμένους προσέταξε τοῦ πλήθους ἐναντίον κατὰ γαστέρα κατακλῖναι χαμαί· τρὶς δὲ ἑκάστου ἐλαφρῶς τῷ ποδὶ ἐπὶ τὸν τράχηλον ἐπιβὰς, ἱκανὴν ἔφη τιμωρίαν ἔχειν τῆς τοῦ ἀδελφοῦ προαναιρέσεως. τοῦτο πράξας ἀφῆκε τοὺς ἐχθροὺς προσειπὼν ‘οὐ κακῷ κακὸν ἠμυνάμην, ἀλλ’ ἀγαθῷ κακόν’. τοιγαροῦν αὐτοί τε οἱ ἐχθροὶ καὶ οἱ τούτων οἰκεῖοι καὶ οἱ Καρχηδόνιοι πάντες πειθαρχοῦντες τῷ Γέσκωνι διετέλεσαν ὡς ἀγαθῷ στρατηγῷ· καὶ αὐτίκα μεταβολὴ τῆς τοῦ πολέμου τύχης ἐγένετο νικῶντος τοῦ Γέσκωνος ἐν ταῖς μάχαις διὰ τὴν παρὰ τῶν ἀρχομένων εὔνοιαν καὶ προθυμίαν.*

## 12. ΤΙΜΟΛΕΩΝ.

§ 1 *Τιμολέων ἐν Σικελίᾳ τὴν δύναμιν ἐξήγαγε παραταξομένην Καρχηδονίοις ἐς τὴν νῆσον διαπεπλευκόσιν. ἡμίονος ἀπηντᾶτο αὐτοῖς κομίζων σέλινα. οἱ στρατιῶται τὸ σημεῖον ἐφοβήθησαν, ὅτι ἄρα παρ’ αὐτοῖς τὰ μνημεῖα τῶν ἀποθανόντων στεφανοῦται σελίνοις. Τιμολέων ‘καὶ μὴν μᾶλλον’, ἔφη, ‘φανερὰν νίκην οἱ θεοὶ δηλοῦσιν ἡμῖν· τοὺς γὰρ τὰ Ἴσθμια νικῶντας οἱ Κορίνθιοι τῶν σελίνων στεφανοῦσι.’ ταῦτα εἰπὼν αὐτός τε τῶν σελίνων ἀνεστέψατο καὶ τοὺς περὶ αὐτὸν*

---

Cap. 12. Cf. J. F. Arnoldt, Timoleon. Gumbinnen 1858, p. 25; Roesiger, p. 11.
Cap. 12. § 1. Cf. Plut. Timol. 26; Diod. 16, 79; Plut. conviv. disp. 5, 3. — Meltzer, p. 516.

---

3 *ἑκάστου* M; *ἑκάστοις* F; *ἑκάστους* C ‖ *ἐλαφρῶς τῷ ποδὶ* F] *ἐλαφρῷ τῷ ποδὶ* vulg.; *ἐλαφρῷ ποδὶ* H ‖ 10 *τύχης* K; *νίκης* F ‖ 18 *στεφανοῦνται* MD ‖ 21 lacuna in F post *Κορίνθιοι*, quam voce *στεφάνοις* explevit M ‖ *τῶν* del. K ‖ 22 [*ἐκ*] *τῶν* Cas.

ἡγεμόνας ἀνέστεψεν, ὥστε καὶ οἱ στρατιῶται, ἄλλος πρὸς ἄλλον τῶν σελίνων λαβόντες, εὐτολμότεροι πρὸς τὴν μάχην ἐγένοντο.

Τιμολέων πολιορκῶν Μάμερκον τὸν τύραννον πολ- 2 p. 341
λοὺς ἐξαπατήσαντα καὶ παρὰ τοὺς ὅρκους ἀποκτείναντα κατεστρατήγησεν. ὁ μὲν τύραννος [ὡμολόγησε Τιμολέοντι παραδώσειν ἑαυτὸν ἐφ' ᾧ τε] κριθῆναι παρὰ Συρακουσίοις μὴ κατηγοροῦντος Τιμολέοντος, ὁ δὲ ὤμοσε μὴ κατηγορήσειν. ἐπὶ τούτοις ὁ Μάμερκος ἧκεν εἰς τὰς Συρακούσας. Τιμολέων προαγαγὼν αὐτὸν εἰς τὴν ἐκκλησίαν 'κατηγορήσω μὲν οὐδαμῶς', ἔφη, 'τοῦτο γὰρ συνεθέμην, ἀποκτεῖναι δὲ τὴν ταχίστην αὐτὸν κελεύω. τὸν γὰρ πολλοὺς ἐξαπατήσαντα δίκαιον ἂν εἴη καὶ αὐτὸν ἅπαξ ὁμοίως ἐξαπατηθῆναι.'

Τιμολέων συμμαχῶν Συρακουσίοις ἐλθὼν ἐπί τινα 3 343
λόφον ὑψηλὸν καὶ μετέωρον, ἰδὼν Καρχηδονίους πενταкισμυρίους ἐκτεταγμένους, τὸ δὲ κατάστημα χειμέριον καὶ πνεῦμα κινούμενον ἐναντίον τοῖς πολεμίοις, ἐκκλησίαν συναγαγὼν ἠγόρευσε· 'νῦν ἁλῶναι χρὴ τοὺς πολεμίους· εἶναι γὰρ χρησμὸν, ὡς ἐν τούτῳ τῷ τόπῳ παραταξάμενοι διαφθαρήσοιντο, τεκμηριοῖ δὲ τὸν χρησμὸν ὁ χειμὼν ἐξαπίνης κινούμενος.' οἱ Ἕλληνες ἐπὶ μέγα ταῖς γνώμαις ἀρθέντες ὀλίγοι πολλοὺς ἐνίκησαν.

---

Cap. 12. § 2. Cf. Plut. Timol. 34. — Holm II, p. 214.
Cap. 12. § 3. Cf. Meltzer, p. 518; J. p. 515 sq.

---

4 *Μάμερκον* Cas.; *Μίλαρκον* F (*Μίλαρκος* v. 9) ‖ 6 [*ὡμολόγησε .... ἐφ' ᾧ τε*] Cas., ex Plut. Tim. 34 *ὁ δὲ Μάμερκος ἑαυτὸν Τιμολέοντι παρέδωκεν ἐπὶ τῷ δίκην ὑποσχεῖν ἐν Συρακουσίοις μὴ κατηγοροῦντος Τιμολέοντος*; *ὡς κριθῆναι* F ‖ 10 *προαγαγὼν* W coll. 2, 35; *παραγαγὼν* F ‖ 11 *κατηγορήσω* K; *κατηγορῆσαι* F ‖ 16 *πενταкισμυρίους* F Diod. 16, 78; *ἄγοντες ἑπτὰ μυριάδας* Plut. Timol. 25 ‖ 17 *ἐκτεταμένους* vulg.

## 13. ΑΡΙΣΤΩΝ.

1 Ἀρίστων κυβερνήτης μιᾷ νηὶ τρεῖς ὁλκάδας σῖτον ἀγούσας παρέπεμπεν. πολεμία τριήρης ἐπεφάνη τοῦ πνεύματος ἐπιλείποντος. ὁ δὲ τὰς τρεῖς ὁλκάδας συναγαγὼν ἐγγὺς αὐτῶν παρέπλει, ἵνα, ἢν μὲν ἡ πολεμία τριήρης προσάγῃ τῇ νηί, ὑπὸ τῶν ἐν [ταῖς] σιτηγοῖς προσβάλλοιτο βέλεσι πολλοῖς, εἰ δὲ ταῖς ὁλκάσιν αὐταῖς πειρῷτο προσβάλλειν καὶ βιάζεσθαι, αὐτὸς περιπλέων ἐκ πλαγίων βλάπτοι τὴν πολεμίαν τριήρη καὶ ἀπολαμβάνοι μέσην αὐτοῦ καὶ τῶν ὁλκάδων.

413 2 Ἀρίστων Κορίνθιος κυβερνήτης ναυμαχούντων Ἀθηναίων καὶ Συρακουσίων καὶ μενόντων ἀμφοτέρων πέμψας πρὸς τοὺς ἄρχοντας ἐκέλευσε τὴν ἀγορὰν τῶν τροφῶν μεταγαγεῖν ἐπὶ τὴν θάλασσαν. ἐπεὶ δὲ ταῦτα ἐκεκόμιστο, κρουσάμενοι πρύμναν ἀνεχώρησαν ἐπὶ τὴν γῆν καὶ ἀποβάντες εὐθὺς ἠριστοποιοῦντο. οἱ Ἀθηναῖοι νομίσαντες αὐτοὺς ἡττωμένους ἀναχωρῆσαι μέγα φρονοῦντες ἐπὶ τῇ νίκῃ ἐκβαίνουσι καὶ περιῄεσαν τά τε ἄλλα πράττοντες καὶ ὅσα πρὸς ἄριστον ἑτοιμάζοντες. ἐπέπλευσαν ἐξαίφνης οἱ Συρακούσιοι. θόρυβος ἦν τῶν Ἀθηναίων ἀσίτων ἐμβαινόντων· οἱ δὲ ἠριστηκότες εὐκολώτερον ἐκράτησαν.

---

Cap. 13. § 2. Cf. Thucyd. 7, 39. — J. p. 493 sqq.

---

3 *παρέπεμπεν* K ex V *comitabatur*; *παρέπεμψεν* F ‖ 4 *ἐπιλείποντος* F] *ἐπιλιπόντοντος* (sic) M ‖ 5 *ἢν* F; *εἰ* M ‖ 6 *προσάγαι* (i. e. *προσάγῃ*) F; *προσάγοι* M vulg. ‖ *σιτηγοῖς ὑπὸ τῶν ἐν τῇ νηΐ* F; correxerunt et [*ταῖς*] addiderunt Patakis, Hertlein ‖ 7 *προσβάλλοιτο* K; *προσβάλοιτο* F ‖ 8 *πειρῷτο* M; *πειρῷντο* F ‖ 10 *αὐτοῦ* F ‖ 14 *τροφίμων* Patakis; *πωλουμένων* Thucyd. ‖ 15 *ἐπὶ τὴν γῆν* M; *ἐπὶ γῆν* F: cf. 5, 32, 1 ‖ 17 *ὡς ἡσσημένους* Thucyd. 7, 40, *quam formam* praetulit W ‖ 21 *ἐκβαινόντων* F.

## 14. ΘΡΑΣΥΜΗΔΗΣ.

*Θρασυμήδης Φιλομήλου τῆς Πεισιστράτου θυγατρὸς ἐρασθεὶς πομπεύουσαν αὐτὴν προσδραμὼν ἐφίλησεν. τῶν δὲ ἀδελφῶν τῆς παρθένου βαρέως φερόντων καὶ δεινὴν ὕβριν ἡγουμένων ὁ Πεισίστρατος ‘ἢν τοὺς φιλοῦντας’, ἔφη, ‘κολάσωμεν, τοὺς μισοῦντας τί ποιήσομεν;’ Θρασυμήδης ἐπὶ μεῖζον αἰρομένου τοῦ ἔρωτος ἡλικιώτας παραλαβὼν συμμάχους τὴν κόρην ἐπὶ τῇ θαλάσσῃ θυσίαν τελοῦσαν παρεφύλαξεν. οἱ μὲν δὴ σπασάμενοι τὰ ξίφη, τὸν ὄχλον σκεδάσαντες, εἰς σκάφος ἐμβαλόντες ἐπ’ Αἰγίνης ἀνήγοντο. Ἱππίας δὲ, ὁ πρεσβύτερος τῶν Πεισιστράτου παίδων, τὰ ληστρικὰ τῆς θαλάσσης ἀναιρῶν καὶ τοιοῦτο τὸ σκάφος διὰ τὴν σπουδὴν τῆς εἰρεσίας νομίσας εἶναι, τὴν ἀδελφὴν αὐτήν τε ἀνεσώσατο καὶ τοὺς ἁρπάσαντας συλλαβὼν ἐπανήγαγεν. Θρασυμήδης καὶ οἱ φίλοι τῷ τυράννῳ παραστάντες οὐχ ἱκέτευσαν, ἀλλὰ μάλα ἀνδρείως χρῆσθαι αὐτοῖς ᾧ βούλοιτο τρόπῳ προὐκαλέσαντο φήσαντες ἔκτοτε θανάτου καταφρονῆσαι, ὁπότε τὴν ἁρπαγὴν ἐβουλεύσαντο. Πεισίστρατος καταπλαγεὶς τὴν γενναιότητα τῶν νεανίσκων πρὸς γάμον ἐξέδωκε (τῷ νεανίσκῳ) τῷ Θρασυμήδει τὴν θυγατέρα. τοῦτο ποιήσας* c. 528

Cap. 14. Ad priorem partem cf. Diod. fragm. 9, 37, 1 (Dindorf); Plut. apophth. reg. et. imp. Pis. 3.

5 *ἢν* scripsi; *εἰ* F: cf. 5, 13, 1 ‖ 6 *κολάσωμεν* $F_1$; *κολάσομεν* $F_2$; *ἂν τοὺς φιλοῦντας μισῶμεν* Plut.; *ἐὰν τοὺς φιλοῦντας τιμωρίαις περιβάλωμεν* Diod. ‖ 7 *ποιήσομεν* F] *ποιήσωμεν* M ‖ 11 *ἐμβάλλοντες* vulg. ‖ 13 *τοιοῦτο* Hertlein; *τοῦτο* F ‖ 14 *εἶναι* [*ληστρικὸν*] W; [*τῶν ληστῶν*] vulg. ex V ‖ 17 *ἀλλὰ* M; *οὐ ἀλλὰ* F ‖ 21 (*τῷ νεανίσκῳ*) inclusit W, (*τῷ Θρασυμήδει*) Rud. Schoell; *τῶν νεανίσκων* Patakis.

εὔνοιαν καὶ φιλίαν ἐκτήσατο παρ' αὐτῶν ὡς οὐκέτι τύραννος, ἀλλὰ χρηστὸς πατὴρ καὶ δημοτικὸς πολίτης.

## 15. ΜΕΓΑΚΛΗΣ.

315 Μεγακλῆς Μεσήνιος τῆς ἐν Σικελίᾳ Μεσήνης Ἀγαθοκλεῖ τῷ Συρακουσίων τυράννῳ τἀναντία πράττων διετέλει καὶ πολλοὺς Σικελιώτας κατ' αὐτοῦ συνίστη καὶ τοῖς ἀνελοῦσιν αὐτὸν ἐκήρυξε μεγάλας δωρεάς. Ἀγαθοκλῆς παροξυνθεὶς πολιορκεῖν Μεσήνην παρεσκευάζετο καὶ πέμψας κήρυκα ἐξήτει Μεγακλέα· εἰ δὲ μὴ λάβοι, τὴν πόλιν ἐξανδραποδιεῖσθαι κατὰ κράτος ἑλὼν ἠπείλει. Μεγακλῆς τὸν θάνατον οὐκ ἔδεισεν, ἀλλ' ἑκὼν αὑτὸν εἰς τὴν ἔκδοσιν ἐπέδωκεν, εἰ πέμποιτο πρεσβευτής. ψηφισαμένων ταῦτα Μεσηνίων ἐλθὼν εἰς τὸ στρατόπεδον τοῦ Ἀγαθοκλέους 'ἐγώ τοι', ἔφη, 'καὶ πρεσβεύων παρὰ τῆς πόλεως ἥκω καὶ τεθνηξόμενος, πρότερον δὲ τῆς πρεσβείας ἄκουσον μετὰ τῶν φίλων'. Ἀγαθοκλῆς συνήγαγε τοὺς φίλους. ἐπὶ τούτων ὁ Μεγακλῆς διεξελθὼν τὰ δίκαια τῆς πατρίδος τελευταῖον ἔφη 'εἰ δὲ ἐπὶ τὰς Συρακούσας ἐστράτευον Μεσήνιοι, πότερον ἂν ὑπὲρ Συρακουσίων ἢ Μεσηνίων πάντα ἔπραττες;' τοῦ δὲ Ἀγαθοκλέους πρὸς τὸ ἐρώτημα μειδιάσαντος οἱ παρόντες φίλοι παρεκάλεσαν αὐτὸν φείδεσθαι πρεσβευτοῦ δίκαια λέγοντος· ὁ δὲ διαλυσάμενος τὸν πόλεμον καὶ τὸν Μεγακλέα σῶον ἀπέπεμψε καὶ φιλίαν συνέθετο πρὸς τοὺς Μεσηνίους.

---

Cap. 15. Cf. Diod. 19, 65. — J. p. 516.

---

1 ὡς vulg., ὧν F ‖ 5 Συρακουσίων K; Συρακουσίῳ F ‖ 6 συνίστη M; συνίστει F ‖ 9 ἐξήτει M; ἐζήτει F ‖ 10 ἐξαδνον ὑποδιεῖσθαι F ‖ 18 διεξελθὼν F] διελθὼν M ‖ 20 πρότερον F ‖ 23 δίκαια λέγοντος P corr. pr. m; διαλέγοντος F.

## 16. ΠΑΜΜΕΝΗΣ.

*Παμμένης διὰ τῆς Φωκίδος ἦγε τὸ στρατόπεδον* 1 354
*ἐς Θήβας. οἱ πολέμιοι τὸν Φιλοβοιωτὸν καλούμενον κατελάβοντο ἔχοντα ὁδοὺς δύο στενάς, ὧν τῆς ἑτέρας ἤδη κατειλημμένης ὁ Παμμένης ὀρθίας τὰς τάξεις βαθύνας καὶ ποιήσας τὸ στρατόπεδον εὔογκον καὶ πορευτικὸν ἐσχημάτισεν ἐπὶ τὸ δεξιὸν ὡς ἔνθεν ἄξων. οἱ δὲ τὸ εὐώνυμον ἐκλιπόντες ἐπὶ τὸ δεξιὸν ἔδραμον ὡς κωλύσοντες, ὁ δὲ ἐπὶ τὸ εὐώνυμον σπουδῇ δραμὼν ἀσφαλῶς διήγαγε τὸ στρατόπεδον.*

),3 *Παμμένης πολλὴν ἵππον καὶ μάχιμον ἔχων, πολ-* 2 353
*λοὺς πελταστὰς τῶν πολεμίων ἐχόντων, ὀλίγους τῶν αὑτοῦ πελταστὰς καὶ τὴν κούφην στρατιὰν ἔταξε κατὰ τὸ κράτιστον τῶν πολεμίων καὶ παρήγγειλεν ἑκόντας ὑποφεύγειν, ἵνα ἀποσπάσῃ [τοὺς] ἐναντίους πελταστὰς ἀπὸ τῆς ἄλλης φάλαγγος. ἐπεὶ δὲ τοῦτ' ἐγένετο, λαβὼν τοὺς ἱππεῖς ἀπὸ τοῦ ἑτέρου κέρατος περιίππευσεν ἐπ' αὐτοὺς καὶ κυκλωσάμενος ἐνίκησε, τῶν τε ἱππέων ἐπικειμένων καὶ τῶν φεύγειν δοκούντων ἀναστρεψάντων.*

8,2 *Παμμένης μετὰ Θηβαίων κρατῆσαι βουλόμενος* 3 369
*τοῦ Σικυωνίων λιμένος αὐτὸς μὲν κατὰ γῆν παρε-*

---

Cap. 16. § 1. Cf. Schaefer, Demosth. I[1], p. 457, not. 4.
Cap. 16. § 2. Cf. Front. strat. 2, 3, 3; Diod. 16, 34.
Cap. 16. § 3. Cf. Front. strat. 3, 2, 10. — Cf. Schaefer, Demosth. I[1], p. 79, not. 2; A. Hug, Aeneas v. Stymphalos, p. 6, not. 3; J. p. 588.

---

11 *μάχιμον* p; *μαχίμην* m; *μάχην* F; *κατὰ μάχην* Gronov. RK: cf. 8, 23, 3. 11 ‖ 12 alterum *τῶν* del. Roth ‖ 15 [*τοὺς*] RK ‖ 17 *περιίππευσεν* M; *παρίππευσεν* F; *περικυκλώσας* H.

σκευάζετο προσβαλεῖν, πλοῖον δὲ στρογγύλον πληρώσας ὁπλιτῶν ἔπεμψεν. οἱ δὲ πλεύσαντες προσέσχον πρὸ τοῦ λιμένος· δείλης δὲ ἀπέβησαν αὐτῶν ὀλίγοι γυμνοὶ ὡς ἐμπορικοί τινες ἀπὸ τοῦ πλοίου πρὸς ἀγορὰν ἐπιτηδείων ἥκοντες. ὁ δὲ Παμμένης, ἐπεὶ τὸ πλοῖον ἐφώρμει τῷ λιμένι καὶ ἦν ἑσπέρα, προσέβαλε τῇ πόλει σὺν θορύβῳ πολλῷ, οἱ δὲ περὶ τὸν λιμένα πρὸς τὸν θόρυβον ὁρμήσαντες βοηθεῖν ἐπειρῶντο. ἐκ τοῦ πλοίου δὲ τοῦ στρογγύλου ἀποβάντες οἱ ὁπλῖται μηδενὸς κωλύοντος τὸν λιμένα κατέσχον.

4 Παμμένης τοὺς πολεμίους ἐξηπάτησε χρησάμενος τῷ νόμῳ τῆς σάλπιγγος ὑπεναντίῳ προπαραγγείλας τοῖς ἑαυτοῦ στρατιώταις πρὸς μὲν τὸ ἀνακλητικὸν ἐπιθέσθαι, πρὸς δὲ τὸ ἐπικελευστικὸν ἀναχωρῆσαι. τοῦτο ποιήσας ἐν ἀμφοτέροις μεγάλα τοὺς πολεμίους ἔβλαψεν.

5 Παμμένης ὀλίγην ἔχων δύναμιν ὑπὸ πλειόνων c. 20, ἀποληφθεὶς ἔπεμψεν αὐτόμολον ἐς τὸ τῶν πολεμίων στρατόπεδον· ὁ δὲ τὸ σύνθημα ἐκμαθὼν ἐπανελθὼν ἤγγειλε τῷ Παμμένει. ὁ δὲ νυκτὸς ἐπιθέμενος τοῖς πολεμίοις, πολλοὺς αὐτῶν φθείρας διεξεπαίσατο· αὐτὸς [μὲν γὰρ τὸ ἐκείνων ἠπίστατο] σύνθημα, τοῖς δὲ ἦν ἀπορία γνωρίζειν ἐν σκότῳ τοὺς οἰκείους μὴ δυναμένοις διὰ τοῦ συνθήματος.

---

2 ἔπεμψεν] coll. Frontin. l. l.; pauca deesse putavit Oudendorp ‖ 4 τοῦ MH; om. F vulg. ‖ 6 καὶ ἦν ἑσπέρα W; καὶ ἐν ἑσπέρᾳ F; ἐν ἑσπέρᾳ K, sed cf. 1, 18 ‖ 12 ὑπεναντίῳ M; ὑπενάντιον F; ἐπ' ἐναντίον ut ἐπ' ἀριστερὰ R ‖ 18 ἀπολειφθεὶς F ‖ 20 νύκτωρ M ‖ 21 διεξεπαίσατο K coll. 4, 2, 14; διεξιππάσατο F ‖ 22 [μὲν γὰρ τὸ ἐκείνων ἠπίστατο] W add. ex H; αὐτὸς σύνθημα F; αὐτὸς [δοὺς τὸ] σύνθημα Cas. K ‖ 23 γνωρίειν F.

17. ΗΡΑΚΛΕΙΔΗΣ.

Δημήτριος Ἡρακλείδην φύλακα τῶν Ἀθηνῶν συν- (1) 295
τάξας αὐτὸς μὲν ἦν περὶ τὴν Λυδίαν. οἱ δὲ στρατηγοὶ τῶν Ἀθηναίων ἐν ἀπορρήτῳ βουλευσάμενοι τὸν ξεναγὸν Ἱεροκλέα, Κᾶρα τῷ γένει, ἔπεισαν νυκτὸς ἀνοῖξαι τὰς πύλας καὶ δέξασθαι στρατιώτας Ἀττικούς, οἳ κτενοῦσιν Ἡρακλείδην. ταῦτα μὲν δὴ συνέθεντο παρὰ τὸν Ἰλισσόν, οὗ τὸν καθαρμὸν τελοῦσι τοῖς ἐλάττοσι μυστηρίοις, Ἱππάρχου καὶ Μνησιδήμου στρατηγῶν ὅρκια δόντων καὶ λαβόντων. Ἱεροκλῆς δὲ πιστὸς Ἡρακλείδῃ γενόμενος ἐμήνυσε τὴν πρᾶξιν. ὁ δὲ συνέπραττε νύκτωρ αὐτοὺς εἰσδέξασθαι ἀνοίξαντές τι μέρος [τῶν] πυλῶν. καὶ δὴ νυκτὸς εἰσεδέξαντο τετρακοσίους καὶ εἴκοσι ἄνδρας, ὧν ἡγοῦντο Μνησίδημος, Πολυκλῆς, Καλλισθένης, Θεόπομπος, Σάτυρος, Ὀνητορίδης, Σθενοκράτης, Πυθίων· Ἡρακλείδης δὲ στρατιώτας δισχιλίους ὡπλισμένους ἐπαφῆκεν, οἳ πάντας αὐτοὺς εἰσελθόντας ἐφόνευσαν.

[ΗΡΑΚΛΕΙΔΗΣ ΤΑΡΑΝΤΙΝΟΣ.]

1, 2 Ἡρακλείδης Ταραντῖνος ἀρχιτέκτων ὑπέσχετο Φι- (2) 201
21 λίππῳ, τῷ πατρὶ Περσέως, μόνος καταπρήσειν τὸ Ῥο-

Cap. 17. (§ 1.) Cf. Paus. 1, 29, 7. — De tempore discrepant Droysen II, 2, p. 272, not. 3; Unger, Philol. 38, p. 460; v. Wilamowitz-Möllendorff Antigonos von Karystos, p. 231, not. 6; cf. J. p. 644 sq

Cap. 17. (§ 2.) Cf. Polyb. 13, 3—5; Diod. fr. 28, 2. — J. p. 646.

2 Ἀθηνῶν K; Ἀθηναίων F ‖ 3 Λουδίαν Droysen ‖ 5 Ἱεροκλέα vulg.; Ἱερακλέα F ‖ 9 Ἱππάρχου vulg.; Ἱππάκρους F ‖ 11 συνέπραττε νύκτωρ M; συνέπραττεν ὕδωρ F ‖ 12 ἀνοίξαντες W; διορύξαντες F; διανοίξαντες RK ‖ 13 [τῶν] K ‖ 14 Μνησίδημος M; Μνησίδαμος F: cf. supra v. 9 ‖ 19 [Ἡρακλείδης Ταραντῖνος] in titulo add. W.

*δίων ναυτικόν. καὶ δὴ τότε στρατηγῶν προῆλθεν ἐκ τῆς αὐλῆς τῆς Φιλίππου σημεῖα αἰκίας ἔχων καὶ βωμῷ προσέφυγεν ἱκετηρίας λαβὼν καὶ παρὰ τοῦ πλήθους ἔλεον αἰτούμενος· ὥστε καὶ ἦσαν τῶν Μακεδόνων, οἷς ἐδόκει ταῦτα μὴ δικαίως παθεῖν. ὁ δὲ πορθμίδος ἐπιβὰς κατῆγεν εἰς Ῥόδον φάσκων ‛ἱκέτης ἦλθον προπηλακιζόμενος δι' ὑμᾶς, ἐπειδὴ Φίλιππον ἐκώλυον πολεμεῖν ὑμῖν· ἵνα δὲ πιστεύσητε τοῖς λεγομένοις, καὶ δὴ ἐπιστολὰς Φιλίππου δεικνύω γεγραμμένας πρὸς Κρῆτας, ἐν αἷς συντίθεται κατὰ Ῥοδίων τὸν πόλεμον ἐξοίσειν'. Ῥόδιοι ταῖς ἐπιστολαῖς πιστεύσαντες Ἡρακλείδην ὑποδέχονται ὡς δυνησόμενον αὐτοῖς ὠφέλιμον κατὰ Φιλίππου γενέσθαι, ὁ δὲ νύκτωρ πνεῦμα ἐπίφορον παραφυλάξας τὰ νεώρια Ῥοδίων κατέπρησεν. τρισκαίδεκα νεώσοικοι διεφθάρησαν καὶ ὅσαι τριήρεις ἐν αὐτοῖς· ὁ δὲ πῦρ ἐμβαλὼν παραχρῆμα σκάφους ἐπιβὰς ἀνήχθη, καὶ διαβαλὼν ἐς Μακεδονίαν ἦν παρὰ Φιλίππῳ κορυφαῖος τῶν φίλων Ἡρακλείδης.*

## 18. ΑΓΑΘΟΣΤΡΑΤΟΣ.

246—239 *Ῥόδιοι βασιλεῖ Πτολεμαίῳ πολεμοῦντες περὶ Ἔφεσον ἦσαν· Χρεμωνίδης Πτολεμαίου ναύαρχος ἀνήχθη ναυμαχήσων. Ἀγαθόστρατος Ῥοδίους ἐξῆγε ἐπὶ μίαν* c. 31

Cap. 18. Cf. Droysen III, 1, p. 405.

2 *τῆς* FH; *τοῦ* vulg. ‖ *αἰκίας* K; *ἀδικίας* FH ‖ *ἔχων*] *προφέρων* Niebuhr, Vorles. üb. alte Gesch. 3, 453 ‖ *τῷ βωμῷ* H ‖ 3 *ἱκετεύων τυχεῖν σωτηρίας* H ‖ 4 *καὶ* H; om. F ‖ 5 *παθεῖν* H; om. F ‖ 6 *κατῆγεν* H; *καθῆκεν* F: cf. Polyb. *παρῆν καταπλέων εἰς τὴν Ῥόδον* et 5, 36 ‖ *ἦλθον* FH] *ἦλθε* D; *ἥκω* vulg. ‖ 16 *ὁ δὲ* Patakis ex V *ille iniecto igne; ὁ δὲ τὸ* R; *τὸ δὲ* F ‖ 18 *κρυφαῖος* F ‖ 20 *Ῥωμαῖοι βασιλεῖ Πτολεμαίῳ* H; *Ῥοδίοις βασιλεῖς Πτολεμαίων* F ‖ 22 *μίαν* H; *μελίαν* F; *τάξας ἐπὶ μίαν τὰς ναῦς* K.

ναῦν καὶ φανερὸς γενόμενος τοῖς ἐπιπλέουσι μετέστρεψε μετωπηδὸν καὶ χρόνον ἐπισχὼν βραχὺν ἀνεχώρησεν ἐπὶ τὸν αὐτὸν ὅρμον. οἱ πολέμιοι νομίσαντες, ὅτι μὴ θαρροῦσι διαναυμαχεῖν, αὐτοὶ παιωνίσαντες εἰς λιμένα ἐπανήεσαν· Ἀγαθόστρατος ἐπιστρέψας καὶ τὸ ναυτικὸν πυκνώσας ἐπ' ἀμφοτέρων τῶν κεράτων ἐπέπλευσε τοῖς πολεμίοις ἐκβαίνουσι περὶ τὸ τῆς Ἀφροδίτης τέμενος καὶ ἀπροσδοκήτως προσπεσὼν ἐνίκησεν.

## 19. ΛΥΚΟΣ.

17 Λύκος Λυσιμάχου στρατηγὸς, Αἰνήτου στρατηγοῦ 287
Δημητρίου φυλάσσοντος Ἔφεσον καὶ πολλοῖς πειραταῖς τοὺς ὁμόρους κατατρέχοντος, τὸν ἀρχιπειρατὴν Ἄνδρωνα χρήμασι διαφθείρας κατελάβετο τὴν Ἔφεσον. ὁ μὲν ἀρχιπειρατὴς τοὺς Λύκου στρατιώτας ἀόπλους ἐν ἱματίοις καὶ τρίβωσι, δεδεμένους, ὡς αἰχμαλώτους λαβὼν εἰσήγαγε καὶ πλησίον τῆς ἀκροπόλεως γενόμενος παρήγγειλε χρῆσθαι τοῖς ἐγχειριδίοις, ἃ (κεκρυμμένα) ἐκόμιζον ὑπὸ μάλης. τῶν δὲ περὶ τὴν ἀκρόπολιν πυλωρῶν καὶ φυλάκων φονευομένων αἴρεται σημεῖον τοῖς περὶ τὸν Λύκον. οἱ δὲ εἰσπεσόντες καὶ τὸν Αἴνητον συνέλαβον καὶ τὴν Ἔφεσον κατέσχον καὶ τοῖς μὲν πειραταῖς τὸν μισθὸν ἀποδόντες παραχρῆμα τῆς πόλεως αὐτοὺς ἀπέπεμψαν τὸ ἄπιστον αὐτῶν περὶ τοὺς πρώτους φίλους οὐκ ἀσφαλὲς ὑπάρχειν ἡγούμενοι.

---

Cap. 19. Cf. Front. strat. 3, 3, 7.

---

2 καὶ χρόνον H; χρόνον F; χρόνον τ' vulg. ‖ 4 αὐτοῖς R ‖ 6 ἀπ' ἀμφοτέρων R ‖ 13 Ἄνδρωνα F; *Mandronem* Frontin. ‖ καταχρήμασι F ‖ 14 τοὺς F] τοῦ K ‖ 17 (κεκρυμμένα) ut emblema expunxit Cobet ‖ 18 ὑπὸ μάλης Pierson coll. 2, 9. 4, 2, 12. 6, 21; ὑπὸ μάλην F ‖ 21 μὲν del. Cas. K ‖ 23 αὐτὸν F₁, corr. F₂.

## 20. ΜΕΝΕΚΡΑΤΗΣ.

*Μενεκράτης Σαλαμῖνα τὴν ἐν Κύπρῳ βουλόμενος ἑλεῖν δὶς τῷ τείχει προσβαλὼν ἀπεκρούσθη τῶν στρατιωτῶν ἐς τὰς ναῦς φυγόντων· τρίτον προσβάλλων σημεῖον ἦρε τοῖς κυβερνήταις, ἀποπλεῦσαι καὶ ὑπὲρ τὴν παρακειμένην ἄκραν [τὰς] ναῦς ἀποκρύψαι. οἱ στρατιῶται προσβαλόντες πάλιν ἔφευγον, ὡς δὲ εἶδον τὰς ναῦς ἀφανεῖς, οὐκ ἔχοντες ἐλπίδα τοῦ δύνασθαι φυγεῖν, ἀναστρέψαντες ἐξ ἀπονοίας ἐμαχέσαντο καὶ νικήσαντες κατέσχον τὴν Σαλαμῖνα.*

## 21. ΑΘΗΝΟΔΩΡΟΣ.

*Ἀθηνόδωρος βασιλεῖ στρατηγῶν, ἡττηθεὶς ὑπὸ Φωκίωνος περὶ Ἀταρνέα ὥρκισε τοὺς στρατιώτας καὶ τοὺς ἡγεμόνας αὐτῶν, ἦ μὴν μαχέσασθαι, μέχρις ἂν ζῶσι· καὶ δὴ συνέβαλον πάλιν ὡς διὰ τὸν ὅρκον. καὶ ἦν ἰδεῖν τοὺς μὲν νικήσαντας ἡττημένους, τοὺς δὲ ἡττημένους νικήσαντας.*

## 22. ΔΙΟΤΙΜΟΣ.

1 *Διότιμος πλοῖα σιτηγὰ παραπέμπων δέκα τριήρεσι,* e. 33, 1
*καταληφθεὶς περὶ τὴν Χίον ὑπὸ Λακεδαιμονίων ἐχόντων εἴκοσι ναῦς, διωκόμενος ἐν γαλήνῃ, κύκλῳ τῶν*

---

Cap. 21. Cf. Schaefer, Demosth. I [1], p. 136 sq.; Koehler ad C. I. Att. II, 108; W. Dittenberger in Satura philol. H. Sauppio oblata, p. 54 sq.

---

4 *καταφυγόντων* R ‖ *τρίτων* F, corr. vulg. ‖ *προσβάλλων* W; *προσβαλὼν* F ‖ 5 *ὑπὸ* R Hertlein ‖ 6 [*τὰς*] p; om. F ‖ 14 *ἦ μὴν μαχέσασθαι* p; *μονομαχέσασθαι* F; *ἀναμαχήσεσθαι* K: cf. 1, 30, 5. 1, 43, 1. 7, 22 ‖ 15 *ὡς*] *ἀνδρείως* vel *γενναίως* Hertlein ‖ *16 τούτους μὲν* Hertlein, Iahnii annal. 1867, p. 607.

*ὁλκάδων φεύγων, ταχύτερα ἔχων τὰ σκάφη ἔπασχε μὲν οὐδὲν ὑπὸ τῶν διωκόντων, ἀεὶ δὲ κατὰ πρύμναν ἁπτόμενος τῶν ἐσχάτων [τὰς μὲν αὐτάνδρους ἔλαβε] τῶν νεῶν, τὰς δὲ κατέδυσεν, ὥστε ἦν τὸ χρῆμα παράλογον· οἱ γὰρ φεύγοντες ἐνίκησαν τοὺς διώκοντας.*

cf. e. 16, 1; 57, 9; 57, 18

2 *Διότιμος δέκα ναῦς ἔχων ἀνθώρμει Λακεδαιμονίοις τὰς ἴσας ναῦς ἔχουσιν. οἱ μὲν οὐκ ἐθάρρουν συμβάλλειν τὰς Ἀττικὰς ἐμπειρίας δεδοικότες. ὁ δὲ τοὺς ταρσοὺς τῶν τριήρων ἐξελὼν, [κατὰ δύο] ζεύξας πρὸς ἀλλήλας, τα ἱστία τῆς μιᾶς ἐπαράμενος εἰς τὸ πέλαγος ἀνήγετο. Λακεδαιμόνιοι πέντε ἱστίων φαινομένων πέντε ναῦς εἶναι νομίσαντες καταφρονήσαντες ἐπέπλευσαν· Διότιμος τὰ ζεύγματα λύσας, ἐπιστρέψας, ἐναντίοις ἐμβαλὼν δέκα ναυσὶ, προσούσης τῆς Ἀττικῆς ἐπιστήμης, τας μὲν ἓξ τῶν Λακωνικῶν κατέδυσε, τας δὲ τέσσαρας ἔλαβεν αὐτάνδρους.*

57, 19

3 *Διότιμος Ἀθηναῖος ναύαρχος πελάγιον πλοῦν μέλλων πλεῖν, κρύφα συναγαγὼν τοὺς τριηράρχους προεῖπεν αὐτοῖς, ὅτι τὰς κάλλιστα πλεούσας τῶν νεῶν αὐτὸς παραλαβὼν ἀναχθήσεται· τοῦτο δὲ προεῖπεν, ἵνα οἱ ἄλλοι τριήραρχοι μὴ ἀπολείποιντο ὡς παρίσας τριήρεις ἔχοντες.*

54, 18; 57, 20

4 *Διότιμος καταπλεύσας νυκτὸς ἐς χωρίον τῆς πολεμίας ἀφ' ἑκάστης νεὼς συχνοὺς ἄνδρας ἐκβιβάσας τοὺς μὲν εἰς ἐνέδραν ἀπέκρυψεν· ἀρχομένης δὲ ἡμέ-*

---

3 [*τὰς μὲν αὐτάνδρους ἔλαβε*] suppl. W ex H ‖ 4 *τὰς δὲ κατέδυσεν* H; *τὰς δέκα κατέδυσεν* F ‖ 8 *συμβάλειν* F ‖ 9 [*κατὰ δύο*] inserui coll. 3, 11, 3; [*σύνδυο*] W coll. 7, 21, 3; *binas inter se coniunxit* V ‖ 13 *ἐπέπλευσαν* K ex V *adnavigabant*; *ἐσέπλευσαν* F; *ἔπλευσαν* vulg. ‖ 14 *τοῖς ἐναντίοις* K ‖ 17 *Ἀθηναῖος* F: cf. 5, 34; *Ἀθηναίων* H ‖ 18 *τριηράρχας* H ‖ 21 *παρίσας* Patakis; *περισὰς* F; *περισσὰς* vulg.

ρας κατὰ τοὺς ἐνεδρεύοντας ταῖς ναυσὶν ἀνεκώχευε παραγγείλας τοῖς μὲν ἐπὶ τῶν καταστρωμάτων διασκευάζεσθαι πρὸς μάχην, τοῖς δὲ ἐρέταις ἀνὰ μέρος ὁτὲ μὲν τὰς θαλαμίας, ὁτὲ δὲ τὰς ζυγίας, ὁτὲ δὲ τὰς θρανίτιδας κώπας ἀναφέρειν, καί τινα τῶν σκαφῶν τῇ γῇ προσάγειν ἐπειρᾶτο. οἱ μὲν πολέμιοι προσδραμόντες ἐκώλυον τὴν ἀπόβασιν, τοῦ δὲ τὸ προσυγκείμενον σημεῖον ἄραντος οἱ μὲν ἐκ τῶν ἐνεδρῶν ἐπιφανέντες πολλοὺς τῶν πολεμίων ἐφόνευσαν, τοὺς λοιποὺς δ' ἐς φυγὴν ἐτρέψαντο. ὁ δὲ Διότιμος ἀσφαλῆ τὴν ἀπόβασιν ἐποιήσατο.

## 23. ΤΥΝΝΙΧΟΣ.

p. 262 Τύννιχος Θευδοσίας τῆς ἐν τῷ Πόντῳ πολιορ- e.15,7 κουμένης ὑπὸ τῶν πλησίον τυράννων καὶ κινδυνευούσης ἁλῶναι τὴν πολιορκίαν ἔλυσεν. ὁρμηθεὶς μὲν ἐξ Ἡρακλείας νηὶ στρογγύλῃ καὶ τριήρει μιᾷ, δεξάμενος δὲ στρατιώτας ὅσους οἷόν τε ἦν, καὶ σαλπιγκτὰς τρεῖς καὶ σκάφας τρεῖς μονοξύλους, ἑκάστην ἄνδρα ἕνα δέξασθαι δυναμένην, νυκτὸς ἐπιπλεύσας, τῆς πόλεως ἐγγὺς γενόμενος, ἐξελὼν τὰς σκάφας, ἐμβιβάσας ἑκάστῃ σαλπιγκτὴν ἕνα συνέταξεν ἀποσχόντας ἀλλήλων διάστημα σύμμετρον, ἐπειδὰν ἐκ τῆς τριήρους καὶ τῆς στρογγύλης ὑποσημήνῃ, διαδεξαμένους σημαίνειν παραλλάσσοντας τοῖς χρόνοις, ὡς μὴ σάλπιγγος μιᾶς

Cap. 23. De tempore cf. Droysen III, 1, p. 284.

4 θαλαμίας vulg.; θαλαμηρὰς F H ‖ 5 θρανίτιδας H; θρανίδας F ‖ ἀναφάνειν H ‖ 6 συνδραμόντες H ‖ 7 προσυγκείμενον M; πρὸς συγκείμενον F; προκείμενον vulg. ‖ 9 τοὺς δὲ λοιποὺς vulg.: cf. 3, 3 ‖ 18 σκάφας τρεῖς (i. e. γ') Hertlein W; σκάφας ἢ F; ἢ om. K; σκάφας ὀκτὼ (i. e. η') Cobet, var. lect. p. 362.

προσπίπτειν ἦχον, ἀλλὰ πλειόνων. οἱ μὲν ἐσήμηναν ἤχῳ σαλπίγγων τὸν περικείμενον ἀέρα τῇ πόλει πληροῦντες, οἱ δὲ πολιορκοῦντες νομίσαντες ἐπίπλουν εἶναι στόλου μείζονος οὐδενὶ κόσμῳ τὰς φυλακὰς ἐκλιπόντες ᾤχοντο. Τύννιχος δὲ προσπλεύσας τὴν Θευδοσίαν ἠλευθέρωσε τῆς πολιορκίας.

## 24. ΚΛΕΙΤΑΡΧΟΣ.

14, 18 Κλείταρχος πολεμίων ἐπελθόντων, ἵνα μὴ γένοιτο τειχήρης, προήγαγε τὴν δύναμιν ἔξω τείχους προστάξας κλεῖσαι τὰς πύλας καὶ βαλεῖν τὰς βαλανάγρας ὑπὲρ τὸ τεῖχος, ἃς δὴ καὶ λαβὼν ἔδειξε τοῖς στρατιώταις. οἱ δὲ μαθόντες, ὡς οὐκ ἔχοιεν ἐλπίδα εἴσω τῆς πόλεως φεύγειν, ἐνίκων ἀνδρείως μαχόμενοι.

## 25. ΤΙΜΑΡΧΟΣ.

Τίμαρχος Αἰτωλὸς ἀποβὰς τῆς Ἀσίας ἐς χωρίον 246—
πολυάνθρωπον, ἵνα μὴ φύγοιεν οἱ στρατιῶται τὸ πλῆθος τῶν πολεμίων, τὰς ναῦς κατέπρησεν. οἱ δὲ ἐλπίδα φυγῆς οὐκ ἔχοντες ἀγωνισάμενοι γενναίως ἐνίκησαν.

## 26. ΕΥΔΟΚΙΜΟΣ.

Εὐδόκιμος ὁρῶν τοὺς στρατιώτας στασιάζοντας, καταπαῦσαι τὴν στάσιν οὐ δυνάμενος, ἤδη δὲ καὶ ἐπ' ἀλλήλους ὁρμώντων τοῖς δρομοκήρυξι προσέταττε κηρύττειν, ὡς ἥκοιεν οἱ πολέμιοι διαρπασόμενοι τὸν χάρακα.

---

Cap. 25. Cf. Droysen III, 1, p. 409.

---

6 τῆς πολιορκίας om. M ‖ 8 προσελθόντων τῶν πολεμίων H ‖ γένηται H ‖ 9 προσήγαγιν H ‖ τείχους F] τοῦ τείχους H vulg. contra usum Polyaeni ‖ 13 φυγεῖν H.

*οἱ δὲ φοβηθέντες τῆς μὲν στάσεως ἐπαύσαντο, τας δὲ αὐτῶν τάξεις ἀναλαβόντες τὸν χάρακα ἐφύλαττον.*

## 27. ΠΑΥΣΙΣΤΡΑΤΟΣ.

c. 191 *Παυσίστρατος, ναύαρχος Ῥοδίων, παρήγγειλεν ἀριθμὸν καὶ ἐξόπλισιν τοῖς στρατιώταις. ἐπεὶ δὲ προῆλθον ἐν τοῖς καλλίστοις ὅπλοις, ἀναλαβὼν αὐτοὺς ἦγεν ἐπὶ τὰς ναῦς καὶ πάντας ἐμβιβάσας ἐκέλευσεν ἀπερείσασθαι τὰ ὅπλα κατὰ κόσμον ἕκαστον καὶ τοῦ μηδὲν ὅπλον ἐκκομισθῆναι φύλακας κατεστήσατο.*

## 28. ΘΕΟΓΝΙΣ.

1 *Θέογνις, Ἀθηναίων στρατηγὸς, ὁρῶν τοὺς στρατιώτας περὶ τῶν ἡγεμονιῶν καὶ τῶν τάξεων στασιάζοντας νύκτωρ προσέταξε πέμψαι τινὰς τῶν ἱππέων καὶ τῶν κούφων παραγγείλας ἐπιφανῆναι ὡς πολεμίους κατ' ἄκρον τι χωρίον, ἀφ' οὗ μάλιστα ἔμελλον ὀφθήσεσθαι. ἐπιφανέντων ὁ Θέογνις μετὰ θορύβου καὶ ταραχῆς παρεκάλει τοὺς στρατιώτας, ὡς ἤδη τῶν πολεμίων ἐπιφαινομένων, αὐτοὺς καταλαμβάνεσθαι τάξιν τὴν προσήκουσαν· οἱ δὲ διὰ τὸν φόβον τῶν πολεμίων φιλονεικεῖν ἀλλήλοις ἀποστάντες [εἰς] τὰς συνήθεις τάξεις καθίσταντο. ἐπεὶ δὲ κατέστησαν, ὡμολόγησεν*

Cap. 27. De Pausistrato cf. Liv. 36, 45; 37, 9 sqq.
Cap. 28. § 1. Cf. Front. strat. 4, 1, 8.

2 *αναλαβόντες* Patakis coll. 5, 29; *ἀπολαβόντες* F ‖ 10 *Θέογνις*] *Theagenes* Frontin. ‖ 14 *κούφων* Heringa; *κορυφῶν* F; *κορυφαίων duces* V; *κατὰ κορυφὴν* coni. K ‖ 15 *ἄκρον* Hertlein in symbolis criticis ad Aeneam Tact. p. 26; *ἄλλο* F ‖ 18 *αὐτοὺς*] *εὐθὺς* K ‖ 20 [*τοῦ*] *φιλονεικεῖν* vulg., sed cf. 3, 9, 20 ‖ [*εἰς*] *add. vulg.*

ὁ Θέογνις, τοὺς μὲν πολεμίους εἶναι φίλους· 'ὑμεῖς δὲ', ἔφη, 'τάξαντες ἑαυτοὺς ἄνευ στάσεως καὶ εἰσαῦθις φυλάττετε τὴν τάξιν, ἣν αὐτοῖς δεδώκατε.'

e. 7, 2 Θέογνις ἐν τῷ στρατοπέδῳ κατασκόπους ὑπονοήσας ὑπάρχειν φυλακὴν ἔξωθεν τοῦ χάρακος περιστήσας παρήγγειλεν, ἕκαστον μένειν ἐπὶ τῶν ἰδίων ὅπλων. [οὕτω δὴ συνέβη τοὺς ἄνευ ὅπλων] ὄντας καὶ χωριζομένους εὐχερῶς [ὡς] κατασκόπους (ὄντας) ἁλίσκεσθαι. 2

## 29. ΔΙΟΚΛΗΣ.

*Διοκλῆς*, Ἀθηναίων στρατηγὸς, ἐν τῇ πολεμίᾳ τῶν στρατιωτῶν ἀτάκτως διαλελυμένων, τὰ ὅπλα φέρειν οὐ βουλομένων σύνθημα ἔδωκεν ἕτερον ἐφ' ἑτέρῳ. οἱ στρατιῶται νομίσαντες πλησίον εἶναι τοὺς πολεμίους, ἀναλαβόντες τὰ ὅπλα ἐν τάξει πάντες ἐβάδιζον.

## 30. ΧΙΛΕΟΣ.

*Χίλεος* Ἀρκὰς ἐν Λακεδαίμονι διατρίβων, μαθὼν 479 Σπαρτιάτας βεβουλευμένους τὸν Ἰσθμὸν τειχίζειν, Ἀθηναίους δὲ καὶ [τοὺς] ἔξω Πελοποννήσου προΐεσθαι προεῖπεν ''Ἀθηναίων καὶ τῶν ἄλλων Ἑλλήνων τα οἰκεῖα πρὸς τοὺς Πέρσας εὖ θεμένων πολλὰς διαβάσεις ἕξουσιν εἰς τὴν Πελοπόννησον οἱ βάρβαροι'. τούτῳ

Cap. 30. Cf. Herod. 9, 9; Plut. Them. 6.

3 φυλάττετε RK; φυλάττεσθαι F ‖ 5 περιστήσας H; περιτειχίσας F: cf. 2, 30, 2. 3, 2. 3, 13, 1. 6, 9, 3. 6, 10 ‖ 7 [ὅθεν (οὕτω δὴ W) συνέβη τοὺς ἄνευ ὅπλων] Cas.; [τοὺς δ' ἄνευ ὅπλων ὄντας] K ‖ γνωριζομένους Roth ‖ 8 [ὡς] K ‖ ὄντας del. K ‖ 13 οἱ δὲ vulg. ‖ 15 Χίλεος Herod.; Χείλεως Plut.; Χίλιος F ‖ 18 [τοὺς] Cas.; [τοὺς ἄλλους] Roth ‖ προσίεσθαι F, corr. Cas. ‖ 19 τῶν λοιπῶν vulg.

τῷ λόγῳ πεισθέντες οἱ Λάκωνες, τῷ Ἰσθμῷ μακρὰν χαίρειν εἰπόντες ἐκοινώνησαν τοῦ πολέμου πᾶσι τοῖς Ἕλλησιν.

## 31. ΚΥΨΕΛΟΣ.

655 Κύψελος τοὺς ἐπιφανεστάτους τῶν Βακχιαδῶν θεωροὺς πέμψας εἰς Δελφοὺς ὡς περὶ τῆς κοινῆς Κορινθίων σωτηρίας χρώμενος ἀπεῖπεν αὐτοῖς τῆς Κορινθίας μηκέτι ἐπιβαίνειν· καὶ τοῦ λοιποῦ τὴν τυραννίδα κατέσχεν ἀσφαλῶς τοὺς εὐγενεστάτους ἐκβαλών.

## 32. ΤΕΛΕΣΙΝΙΚΟΣ.

413 1 Τελεσίνικος Κορίνθιος ἐν τῷ λιμένι τῶν Συρακουσίων ἐναυμάχει πρὸς Ἀθηναίους. e. 31, 1( ἐπεὶ δὲ ἐπὶ πλεῖστον τῆς ἡμέρας ναυμαχοῦντες ἐπόνουν, κελήτιον πέμψας ἐς τὴν πόλιν τῶν Συρακουσίων τὴν ἀγορὰν ἐκέλευσεν ἐπὶ τὸν λιμένα κομίζειν. ὡς δὲ κεκομισμένην εἶδε, σημεῖον ἄρας ἀκρίτου τῆς ναυμαχίας οὔσης κατῆλθεν ἐπὶ τὸν λιμένα. οἱ δὲ Ἀθηναῖοι καὶ αὐτοὶ διὰ τάχους ἀσμένως ἀπαλλαγέντες ἐπὶ τὴν γῆν ἠριστοποιοῦντο, ἄλλος ἄλλῃ διασπαρέντες· ὁ δὲ τῶν στρατιωτῶν ἑτοίμῃ τῇ ἀγορᾷ χρησαμένων ἀναχθεὶς αὐτίκα σὺν τοξόταις καὶ ἀκοντισταῖς ἐπὶ τῶν καταστρωμάτων πολλοῖς, προσπεσὼν ἄφνω τοῖς Ἀθηναίοις ἀναγκα-

Cap. 32. § 1. Cf. quae supra ad 5, 13, 2 adnotavimus.

1 *μακρὰν* D ut 5, 3, 6, quod probat Hertlein; *μακρὰ* F ‖ 4 *Κύψελλος* F ‖ 8 *μηκέτι* Hertlein, Iahnii annal. 1867, p. 607 coll. Diod. 13, 105, 4 et 15, 46, 5; *μὴ* F ‖ 15 *κατακομίσαι* H ‖ *κεκομισμένην* H; *κεκοσμημένην* F ‖ 16 *κατῆλθεν* H; *ἀπῆλθεν* F ‖ 18 *ἀσμένως* H; *μὲν ὡς* F; *ὁμοίως* K: cf. 2, 1, 16 ‖ *ἐπὶ τῇ γῇ* R, cf. 5, 13, 2 ‖ 22 *ἀναγκαζομένοις* Patakis et Hertlein, qui *confert* Thucyd. 8, 95, 4; *ἀνακομιζομένοις* F.

ζομένοις ἀτάκτως καὶ μετὰ θορύβου ποιεῖσθαι τὴν ἔμβασιν ἀντιπρώροις ταῖς τριήρεσιν ἐμβαλὼν ἐνίκησε.

c. 31, 11 Τελεσίνικος, ἀπὸ τῶν αὐτῶν σημείων ἀριστοποιου- 2 413
μένων τῶν πολεμίων καὶ τὰ λοιπὰ πραττόντων ὁμοίως, προσέταξε τοὺς ἐν ταῖς ἄριστα πλεούσαις τριήρεσιν αὐτοὺς πρὸ ἡμέρας ἀριστήσαντας ἐμβάντας ἡσυχάζειν. ἐπεὶ δὲ καιρὸς ἀρίστου παρῆν, κατὰ τὸ ἔθος ἐσήμηνεν. οἱ μὲν οὖν ἐν τοῖς ἄλλοις σκάφεσιν ἠριστοποιοῦντο, [καὶ οἱ πολέμιοι τοῦτο] συνιδόντες πρὸς τῇ παρασκευῇ τῶν σιτίων ἦσαν. οἱ δὲ τῶν Συρακουσίων προεμβεβηκότες, ἐπὶ τὰ καταστρώματα ἐπιβάντες, ἐπιπλεύσαντες πολλὰς διέφθειραν τριήρεις τῶν πολεμίων περὶ τὰς τροφὰς ἀσχολουμένων.

## 33. ΠΟΜΠΙΣΚΟΣ.

c. 10, 2 Πομπίσκος Ἀρκὰς ἀεὶ στρατοπεδεύων τὰς ὁδοὺς 1
τὰς ἐπὶ τὸ στρατόπεδον ἀγούσας τὰς μὲν ἀπέσκαπτε, τὰς δὲ ἀπεχαράκου, καινὰς δὲ κατεσκεύαζεν ἄλλας, ὅπως οἱ κατάσκοποι ἢ οἱ νύκτωρ ἐπιτιθέμενοι διὰ τῶν ἀρχαίων ὁδῶν πορευόμενοι ἐμπίπτοιεν τοῖς ὀρύγμασι, τῶν δὲ καινῶν ἀπείρως ἔχοιεν.

c. 20, 3 Πομπίσκος τῶν πολεμίων ἐγγύθεν τὰ σημεῖα καὶ 2
τὰ κηρύγματα αὐτοῦ παραφυλαττόντων, ἐν ἀπορρήτῳ παρήγγειλε τοῖς φανεροῖς παραγγέλμασι καὶ κηρύγμασι χρῆσθαι τοὺς στρατιώτας εἰς τοὐναντίον.

Cap. 32. § 2. Cf. J. p. 495.

1 *ποιουμένοις* Cas. K ‖ 6 *αὐτὰς* F ‖ 9 [*καὶ οἱ πολέμιοι τοῦτο*] W; [ὃ] *συνιδόντες* [*οἱ πολέμιοι*] Cas. R; *τὸ αὐτὸ δὲ καὶ οἱ πολέμιοι ἐποίησαν* H ‖ 11 *ἐπιβάντες, ἐπιπλεύσαντες* K; *τοὺς ἐπιβάντας ἐπιπλεύσαντας* F ‖ 13 *ἀσχολούμενοι* F ‖ 16 *κατέσκαπτε* K: cf. 5, 10, 3 ‖ 17 *ἀλλ' ὅπως* F ‖ 18 *ἐπιτιθέμενοι* H; *ἐπιθέμενοι* F ‖ 21 *ἐγγύθεν ὄντων καὶ τὰ σημεῖα καὶ τὰ κηρύγματα αὐτοῦ παραφυλαττομένων* H.

3 *Πομπίσκος περιστρατοπεδεύων πόλιν ἐπὶ μὲν τὴν* e. 9, 3 *πολλὴν τῆς χώρας ἐξιέναι τοὺς πολεμίους ἐκώλυσεν, ἐπὶ δὲ τόπον ἕνα συνεχώρησε καὶ τοῖς ληϊζομένοις ἀπέχεσθαι τοῦ τόπου τούτου προσέταξεν. οἱ δὲ ἐκ τῆς πόλεως ἀδεῶς ἐνταῦθα προήεσαν. ὁ δὲ παρὰ τῶν σκοπῶν ὡς ἔμαθε τοὺς ἥκοντας [ὄντας] πολλούς, ἐπιθέμενος τοὺς πλείστους αὐτῶν ἐχειρώσατο.*

4 *Πομπίσκος χωρίον πολιορκῶν, ἑλεῖν οὐχ οἷός τε* e. 31, 1 *ὢν καθῆκεν αὐτόμολον ἀγγέλλοντα, ὡς Ἀρκάδων αὐτὸν μεταπεμπομένων ἀποροίη, πῶς ἂν ἀπολίποι τὴν πολιορκίαν· οἱ δὲ ἡσθέντες καὶ μετ' οὐ πολὺ τὴν στρατιὰν ἀναχωροῦσαν ἰδόντες, πιστὸν εἶναι τὸν αὐτόμολον ἡγούμενοι, προελθόντες πολλὰ ἐκ τοῦ στρατοπέδου διήρπαζον. ὁ δὲ Πομπίσκος ἀναστρέψας, ἐπιθέμενος, καταλαβὼν ἐκράτησεν αὐτῶν τε καὶ τοῦ χωρίου.*

5 *Πομπίσκος, ἵνα θᾶττον οἱ κατάσκοποι τῶν πολεμίων ἁλίσκοιντο, εἰσόδους ὀλίγας [εἰς] τὸ στρατόπεδον [κατεσκεύαζε καὶ πῖλον] ἐτίθει παρ' αὐτὰς ἐπὶ ὑψηλοῦ· καὶ τοῖς πορευομένοις εἰς τὰς προνομὰς παρηγγέλλετο παρὰ τὸν πῖλον διέρχεσθαι. οἱ δὴ κατάσκοποι τὰς διόδους ταύτας ὡς φανερὰς φυλαττόμενοι διὰ τῶν πλαγίων ὑπιέναι πειρώμενοι ταχέως ἡλίσκοντο.*

6 *Πομπίσκος κατασκόπους ἔπεμπεν ἄνδρας ἀγνῶτας* e. 7, 3 *ἀλλήλοις, ἵνα μὴ συντίθοιντο μηδὲ ψευδάγγελοι γίγνοιντο. ἀπηγόρευε δὲ αὐτοῖς μηδενὶ τῶν ἐν τῷ στρα-*

---

3 *συνεχώρησε* Cas.; *συνεχῶς* F: cf. *συνεχώρει* H ‖ 5 *προήεσαν* K; *προσήεσαν* H; *προίεσαν* F ‖ 6 [*ὄντας*] Hertlein ‖ 9 *καθῆκεν* H; *καθίστει* F ‖ 11 *καὶ μετ' οὐ* H; *οὐ μετ' οὐ* F ‖ 12 *ἀναχωρήσασαν* H ‖ *πιστὸν* vulg.; *ἄπιστον* F; *εὔπιστον* corr. M rec. m. ‖ 13 *προελθόντες* vulg.; *προσελθόντες* F; *ἀπελθόντες* H ‖ 17 [*εἰς*] *τὸ στρατόπεδον* [*κατεσκεύαζε καὶ πῖλον*] Bursian ‖ 22 *ὑπιέναι* *K ex V subire;* *ὑπεισιέναι* Patakis ‖ 23 *ἔπεμπεν* F] *ἔπεμψεν* vulg.

τοπέδῳ διαλέγεσθαι, ὅπως μή τινες αὐτοὺς φθάνοντες ἐξαγγείλωσι τοῖς πολεμίοις τὴν μέλλουσαν αὐτῶν ἄφιξιν.

### 34. ΝΙΚΩΝ.

Νίκων Σάμιος κυβερνήτης πλησίον τριήρων πολεμίων ὁρμουσῶν βουλόμενος παραπλεύσας λαθεῖν τὴν ἀλοιφὴν τῆς αὑτοῦ νεὼς ὁμοίαν καταχρίσας ταῖς πολεμίαις τριήρεσι, τάξας τοὺς ἀρίστους καὶ τοῖς σώμασιν εἰρωστοτάτους ἐρέτας ἔπλει παρ' αὐτὰς τὰς πρώρας τῶν πολεμίων τριήρων ὡς φίλος ὢν αὐταῖς. προελθὼν ἐπ' ἐσχάτων τῶν ὁρμουσῶν νεῶν ἐξέπλευσε καταπεπληγότων καὶ θαυμαζόντων τὸ δρώμενον τῶν πολεμίων. καὶ τότε ἐγνώσθη πολέμιος ὤν, ὅτε μηκέτι καταληφθῆναι οἷός τε ἦν.

### 35. ΝΕΑΡΧΟΣ.

Νέαρχος Κρὴς κατέσχε Τελμησσὸν Ἀντιπατρίδου κρατοῦντος. κατέπλευσε μὲν ἐς τὸν λιμένα Νέαρχος. ἐπεὶ δὲ Ἀντιπατρίδης, παλαιὸς ὢν φίλος, ἀπὸ τῆς ἄκρας κατέβη πρὸς αὐτὸν καὶ διελέξαντο περὶ ὧν ἐβούλοντο, ὁ Κρὴς ἔφη βούλεσθαι γυναῖκας ἀποθέσθαι παρ' αὐτῷ καὶ παῖδας δεδεμένους. ὁ μὲν Ἀντιπατρίδης ἐπέτρεψεν, οἱ δὲ παῖδες οἱ δεδεμένοι τὰ σκεύη τῶν μουσουργῶν γυναικῶν ἀνεκόμισαν· ἐν δὲ τοῖς κιβωτίοις

Cap. 35. Cf. Droysen II, 1, 26.

1 *αὐτοὺς φθάνοντες* Pierson; *αὐτοῖς φθονοῦντες* F ‖ 5 *ὁρμοῦσαν* F ‖ 6 *αὐτοῦ* F ‖ *καταχρήσας* F ‖ 8 *εὐρωστοτάτους* W; *εὐρώστους* F: cf. 3, 9, 24 ‖ 9 *αὐταῖς* pD; *ναυταῖς* F ‖ *προσελθὼν* F ‖ 10 *ἐσχάτην* Hertlein ‖ *ἐξέπλευσε* F] *ἐξέπλησε* M; *ἐξέπαισε* Koen. 188 ‖ 12 *ὅτε* p; *ὥστε* F ‖ *μηκέτι* K, *non iam amplius* V; *μὴ* F ‖ *καταλειφθῆναι* F, corr. vulg. ‖ 13 *οἷός τε ἦν* vulg.; *ἕως τε νέαρχος* F et in titulo v. 14 *Κρὴς* ‖ 15 *Τελμησὸν* F ‖ 16 *ναύαρχος* F ‖ 17. 20 *Ἀντιπατρίδας* K ‖ 19 *γυναῖκας* [*μουσούργους*] Patakis ‖ 22 *ἀνεκόμιζον* K.

*τῶν αὐλῶν ἐνῆν ἐγχειρίδια γυμνά, ἐν δὲ ταῖς κίσταις πέλται. ὡς δ' εἴσω τῆς ἄκρας ἐγένοντο, οἱ τὰς γυναῖκας καὶ τοὺς παῖδας ἄγοντες σπασάμενοι τὰ ἐγχειρίδια καταλαμβάνουσι τὴν ἄκραν, καὶ τῆς Τελμησσοῦ Νέαρχος ἐκράτησεν.*

36. ΔΩΡΟΘΕΟΣ.

*Δωρόθεος Λευκάδιος ναῦν μίαν ἔχων, ὑπὸ δύο* c. 57. *τριήρων διωκόμενος κατῆγεν εἰς λιμένα προηγούμενος αὐτῶν οὐ πολύ. κάμψας δὲ τὴν ἄκραν τοῦ λιμένος εὐθὺς ἐπέστρεψε τὴν ναῦν· ἡ δὲ προτέρα τῶν πολεμίων τριήρων διώκουσα τὸν Δωρόθεον ῥύμῃ φερομένη τὸν εἴσπλουν ἐποιεῖτο. Δωρόθεος ἐμβαλὼν ἐκ πλαγίου κατέδυσεν· ἡ δ' ἑτέρα ναῦς τὴν προτέραν ἰδοῦσα καταδυομένην εὐθὺς ὥρμησε φεύγειν.*

37. ΣΩΣΙΣΤΡΑΤΟΣ.

317 *Σωσίστρατος ἔπεισε τὸν Συρακουσίων δῆμον, ἄνδρας φίλους Ἀγαθοκλεῖ πρός τε τὴν τυραννίδα συμπράττοντας φεύγειν μετὰ τῶν οἰκετῶν ψηφίσασθαι. ἐπεὶ δὲ ἔξω τῆς πόλεως ἐγένοντο ἄνδρες χίλιοι, [οἱ] προπέμποντες αὐτοὺς ὁπλῖται καὶ ἱππεῖς οὓς μὲν συλλαβόντες ἀπέκτειναν, οὓς δὲ διαφυγόντας Σωσίστρατος ἐπικηρύξας ἀναιρεῖν ἐπέτρεψεν. αὐτὸς δὲ τὰς τῶν φυγάδων οὐσίας κατέσχεν καὶ συναγαγὼν στρατιώτας Ἕλληνας καὶ βαρβάρους καὶ τοὺς ἐκ τῶν λιθοτομιῶν λύσας ὑπὸ τούτων φυλασσόμενος ἦρχε τῶν Συρακουσίων.*

---

2 *οἱ* K; *οἵ τε* F ‖ 6 *Δωρόθεος Λευκάδιος* F in titulo ‖ 7 *ναῦν μίαν* Cas.; cf. H *μιᾷ νηί*; *ναυμαχίαν* F ‖ *ὑπὸ δύο τριήρων διωκόμενος* H; om. F ‖ 8 *εἰς τὸν* H ‖ 12 *ἐκ πλαγίου* ex H inserui ‖ 16 *Συρακουσίων* K Patakis; *Συρακούσιον* F ‖ 19 [*οἱ*] add. vulg. ‖ 25 *ἦρξε* K.

### 38. ΔΙΟΓΝΗΤΟΣ.

Διόγνητος Ἀθηναῖος βουλόμενος κρατῆσαι πόλεώς τινος, ἀποβιβάσας κρύφα στρατιώτας νυκτὸς καὶ λόχον ἐγκαθίσας, μεθ' ἡμέραν αὐτὸς ἐπέπλει φανερῶς. οἱ μὲν ἐκ τῆς πόλεως ἐπὶ τὰς ναῦς ἐβοήθουν· οἱ δὲ ἐνεδρεύοντες ὥρμησαν ἐπὶ τὴν πόλιν καὶ ῥᾳδίως αὐτῆς ἐκράτησαν. Διόγνητος προσπλεύσας καὶ καθορμισθείς, ἐκβιβάσας τοὺς ἐκ τῶν νεῶν ἐχειρώσατο τοὺς ἐπὶ τὴν βοήθειαν ἐξελθόντας.

### 39. ΑΡΧΕΒΙΟΣ.

Ἀρχέβιος (ἦν) Ἡρακλεώτης, τῶν πολεμίων ἀποβάσεις ποιουμένων συνεχεῖς, πλοῖα τῶν ἁλιευτικῶν ἀνασπάσας καὶ διὰ τῆς τρόπιος δεσμοῖς αὐτὰ δυσκίνητα ποιήσας αὐτὸς μετά τινων ἐνήδρευεν. σαλπιγκτὴς ἦν ἐπὶ δένδρου σκοπός. οὗτος ἰδὼν τοὺς πολεμίους προσορμισθέντας νηὶ μακρᾷ καὶ τριακοντόροις δυσὶ καὶ ἀποβάντας καὶ τοὺς μὲν ἁρπάζοντας, τοὺς δὲ τὰ πλοῖα τῶν δεσμῶν ἀπολύοντας ἐσήμηνε τῇ σάλπιγγι. Ἀρχέβιος τοὺς ἐνεδρεύοντας ἀναστήσας τοὺς μὲν πολεμίους διέφθειρε, τὰς δὲ τριακοντόρους αὐτῶν καὶ τὴν ναῦν τὴν μακρὰν ἐς τὸν λιμένα τῆς πόλεως κατήγαγεν.

### 40. ΑΡΙΣΤΟΚΡΑΤΗΣ.

58, 8 Ἀριστοκράτης Ἀθηναῖος ναῦν λαβὼν Λακωνικήν, ταύτην ἔχων ἀνέπλευσεν ἐς πόλιν συμμαχίδα Σπαρτιατῶν ἔχων ἐν τῇ νηὶ συχνοὺς ἄνδρας ἔνδοθεν ἐγχει-

4 ἐπέπλει K; ἐπιπλεῖ F ‖ 11 (ἦν) del. K ‖ 13 τρόπιος K; τροπίας F ‖ 23 Λακωνικὴν] καὶ ἰδίους μετασχηματίσας στρατιώτας ἐμβαλὼν εἰς αὐτὴν H.

ριδίοις ὡπλισμένους. οἱ μὲν [ἐπὶ] τοῦ λιμένος τὴν ναῦν ὡς φιλίαν ὑπεδέξαντο, οἱ δὲ τῆς νεὼς ἐκβάντες, ἄφνω προσπεσόντες τοῖς περιπατοῦσι δέκα μὲν αὐτῶν ἀπέσφαξαν, εἴκοσι δὲ καὶ πέντε συναρπάσαντες ἀπέπλευσαν, οὓς πολλῶν χρημάτων Ἀριστοκράτης ἀπελυτρώσατο.

### 41. ΑΡΙΣΤΟΜΑΧΟΣ.

Ἀριστόμαχος, Καρδιανῶν τριήρεις λαβών, μετ- e. 58, 4
εμβιβάσας τοὺς ἐρέτας καὶ κοσμήσας τοῖς ἀκρωτηρίοις τῶν αὐτοῦ νεῶν, αὐλούμενος κατέπλει, τὰς ἰδίας ναῦς ἐφέλκων, τὴν καταγωγὴν ὀψὲ ποιούμενος. Καρδιανοὶ μὲν πρὸς [τὰς] ναῦς ὥρμησαν ἐκ τῆς πόλεως ὡς οἰκείας καὶ νικώσας, οἱ δὲ Ἀριστομάχειοι τῶν νεῶν ἐκβάντες πολλοὺς Καρδιανῶν ἀπέκτειναν.

### 42. ΧΑΡΙΜΕΝΗΣ.

Χαριμένης Μιλήσιος καταφυγὼν ἐς Φασηλίδα, ἐφορμουσῶν αὐτῷ νεῶν μακρῶν Περικλέους τοῦ Λυκίου, περιθέμενος περιθετὴν πεζῇ διὰ τῆς Περικλέους χώρας ἐσώθη.

### 43. ΚΑΛΛΙΑΔΗΣ.

Καλλιάδης κυβερνήτης καταλαμβανόμενος ὑπὸ νεὼς ταχυτέρας τὸ πηδάλιον ἔσχαζε συχνῶς, καθ' ὁπότερον ἂν ἐμβάλλειν μέλλοι, ἵνα ὁ διώκων προσκρούων ταῖς

---

1 [ἐπὶ] vulg.; *qui portui praeerant* V ‖ 2 φιλίαν W coll. 1, 34, 1. 1, 38, 4. 6, 2, 2; φίλην F ‖ 5 Ἀριστοκράτης Cas.; Ἀριστοκλῆς F ‖ 5 Post ἀπελυτρώσατο Aristocratis strategema in F iisdem verbis perperam iteratur ‖ 10 αὐτοῦ F ‖ αὐλόμενος F ‖ 12 [τὰς] K ‖ 13 Ἀριστομάχειοι D; Ἀριστομάχιοι F: cf. ad 2, 2, 9 ‖ *23* ἂν ἐμβάλλειν vulg.; ἐμβάλλειν ἂν F.

*ἐπωτίσι πρὸς τὸ πηδάλιον ἐμβαλεῖν μὴ δύνηται τῷ τὴν ἐμβολὴν εἶναι κατὰ τὰς πρώτας θρανίτιδας.*

## 44. ΜΕΜΝΩΝ.

7, 4 *Μέμνων ἐπιτιθέμενος Λεύκωνι τῷ Βοσπόρου τυράννῳ, βουλόμενος καταμαθεῖν τὰ μεγέθη τῶν πολεμίων [πόλεων] καὶ τὰ πλήθη τῶν ἐνοικούντων ἔπεμψεν Ἀρχιβιάδην Βυζάντιον ἐπὶ τριήρους πρεσβευτὴν πρὸς Λεύκωνα ὡς ὑπὲρ φιλίας καὶ ξενίας διαλεξόμενον. συνέπεμψε δὲ αὐτῷ καὶ Ὀλύνθιον κιθαρῳδὸν Ἀριστόνικον, εὐδοκιμοῦντα μάλιστα δὴ πάντων τότε παρὰ τοῖς Ἕλλησιν, ὅπως ἐν τῷ παράπλῳ προσορμιζομένων, ἐπιδεικνυμένου τοῦ κιθαρῳδοῦ, τῶν ἐνοικούντων εἰς τὰ θέατρα σπουδῇ συνιόντων τὸ πλῆθος τῶν ἀνθρώπων κατάδηλον τῷ πρεσβευτῇ γένοιτο.* 1

55, 3 *Μέμνων, ἐρυμνὰ χωρία τῶν πολεμίων καταλαβόντων καὶ οὐ καταβαινόντων ἐς μάχην, ἀποχωρήσας ἀπωτέρω τῶν ὀχυρῶν τόπων καὶ ἀντιταχθεὶς μετὰ τῶν ἡμίσεων στρατιωτῶν, ὡς τῶν ἄλλων στασιαζόντων πρὸς αὐτὸν, πέμψας πρὸς αὐτοὺς αὐτόμολον ἐκέλευσε φράζειν, ὅτι στασιάζοιεν καὶ μέλλοιεν ἀλλήλοις μάχεσθαι καὶ διὰ τοῦτο ἀνεχώρησαν ἀπωτέρω, ἄνωθεν ὑμᾶς φοβηθέντες, καὶ δὴ ὡς ἀντιπαρατάσσεσθαι μέλλοντες ὡπλίζοντο. οἱ δὲ ἐκ τῆς πόλεως τοῖς τοῦ αὐτομόλου λόγοις* 2

---

Cap. 44. De fontibus cf. J. p. 647—649.
Cap. 44. § 2. Cf. Front. strat. 2, 5, 18.

---

1 *ἐπωτίσι* Cas.; *νεπωτίσι* F ‖ 4 *ἐπιθέμενος* vulg. ‖ 5 *πολεμίων* [*πόλεων*] scripsi coll. H *τῆς τῶν πολεμίων πόλεως καὶ τῶν λοιπῶν*; *πολεμίων* F, quod corr. in *πόλεων* Lennep. ad Phalar. p. 129b ‖ 6 *τὰ πλήθη* Cas.; *τῷ πλήθει* F: cf. 7, 35, 2 extr. ‖ 22 *ὁπλίζοιντο* vulg.

ὅμοια καὶ τὰ ἔργα ὁρῶντες καταβαίνουσιν ἀπὸ τῶν ἐρυμνῶν πρὸς αὐτούς. οἱ δὲ Μεμνόνειοι τοὺς πολεμίους ὁρῶντες ἐν τῷ ἰσοπέδῳ οὐκ ἐπ' ἀλλήλους, ἀλλὰ μετ' ἀλλήλων ἐπ' αὐτοὺς ὁρμήσαντες ὑποχειρίους ἅπαντας ἐποιήσαντο.

40 3 Ἀριστώνυμον ἐν Μηθύμνῃ Χάρης πολιορκῶν πρεσβείαν ἔπεμψε πρὸς Μέμνονα ἀξιῶν αὐτὸν μὴ βοηθῆσαι Ἀριστωνύμῳ. [ὁ δὲ ἀπεκρίνατο βοηθήσειν] αὐτῷ κατὰ κράτος· καὶ γὰρ εἶναι πατρικὸν φίλον καὶ ξένον καὶ τῆς γε νυκτὸς τῆς ἐπιούσης μετὰ πάντων τῶν στρατιωτῶν ἐκεῖ γενήσεσθαι. Χάρης τῶν πρεσβευτῶν ἀγγειλάντων ταῦτα κατεφρόνησεν ὡς ἀδύνατον πολὺ καὶ βαρὺ στρατόπεδον [τῆς] ἐπιούσης νυκτὸς ἐνταυθοῖ γενέσθαι. ὁ δὲ Μέμνων ὁδεύσας πέντε στάδια, ἑσπέρας ἐς πλοῖα χιλίους διακοσίους στρατιώτας ἐμβιβάσας σύνθημα ἔδωκεν, ὅταν ἀποβάντες ἐς τὴν ἀκρόπολιν παρέλθωσιν, ἆραι πυρσὸν καὶ τοῖς πολεμίοις ἐπιθέσθαι· τούτων πραχθέντων ἡ μὲν ἐπίθεσις ἐν τῷ σκότῳ παράδοξος ἐφάνη, ὁ δὲ πυρσὸς ἀρθεὶς ἐς φυγὴν ἐτρέψατο τὸν Χάρητα ὡς τοῦ Μέμνονος μετὰ πάσης [τῆς] δυνάμεως τὴν ἀκρόπολιν κατειληφότος.

---

Cap. 44. § 3. De tempore cf. Schaefer, Demosth. I[1], p. 435, not. 1 et Droysen I, 1, p. 238.

---

6 *Ἀριστώνυμον*] *Ἀριστόνικον* Boehnecke, Forsch. auf d. Gebiete d. att. Redn. p. 650, not.: cf. Arrian., anab. 3, 2, 4 *Ἀριστόνικον Μεθυμναῖον τὸν τύραννον* ‖ *Μιθύμνῃ* F ‖ *ἐπολιόρκει* K ex V ‖ 7 *βοηθῆσαι* p; *φοβηθῆσαι* F; *πρὸς αὐτὸν Μέμνονα ἀξιῶν μὴ βοηθῆσαι Ἀριστωνύμῳ αὐτὸν* K ‖ 8 [*ὁ δὲ ἀπεκρίνατο βοηθήσεν*] add. p; om. F ‖ 12 *ἀδύνατον* [*ὂν*] K: cf. 5, 2, 11 ‖ 13 [*τῆς*] K coll. 1, 46. 7, 12. supra v. 10 ‖ 17 *ἆραι* vulg.; *ἀνῆραι* F contra usum Polyaeni ‖ *ἐπιθέσθαι* Roth; *ἐπιτίθεσθαι* F ‖ 20 [*τῆς*] Hertlein.

31, 13 Μέμνων τετρακισχιλίους στρατιώτας ἔχων, Μαγνησίας ἀπέχων τεσσαράκοντα στάδια τεῖχος ἤγειρε κύκλῳ τοῦ στρατοπέδου· Παρμενίων καὶ Ἄτταλος ἦσαν ἐν Μαγνησίᾳ μυρίους ἔχοντες. ὀχυρωσάμενος δὲ τὸ στρατόπεδον ὁ Μέμνων ἐξήγαγεν αὐτοὺς διεσκευασμένους ἐς μάχην ὅσον ἐπὶ στάδια δέκα. τῶν δὲ πολεμίων ἐκβοηθησάντων, ὁ Μέμνων [τὸ] ἀνακλητικὸν σημήνας ἀνεχώρησεν εἴσω τείχους, καὶ οἱ πολέμιοι δὲ ὁμοίως ἀπηλλάγησαν. πάλιν ὁ Μέμνων προελθών, τοὺς πολεμίους ὁρῶν ἀντιπαραταssομένους ἀνεχώρησε, καὶ οἱ πολέμιοι ἀνεχώρουν. καὶ τοῦτο πολλάκις τῆς ἡμέρας. τέλος δέ, ὁπότε ᾤετο ἐκδεδυκότας αὐτοὺς τὰ ὅπλα περὶ ἀριστοποιΐαν ἀσχολεῖσθαι, πάλιν ἐπεφάνη· τῶν δὲ οὐ φθασάντων ἀριστῆσαι, πολλῶν μὲν γυμνῶν, πολλῶν δὲ ἄρτι τὰ ὅπλα λαμβανόντων, πάντων δὲ ἀτάκτων ὄντων, συνιδὼν διεσπασμένην αὐτῶν τὴν φάλαγγα, συντεταγμένος αὐτὸς ἐπιθέμενος πολλοὺς αὐτῶν διαφθείρας, πολλοὺς δὲ ζωγρήσας τοὺς λοιποὺς καταφυγεῖν ἐς Μαγνησίαν ἠνάγκασεν. 4 336

. 28, 3 Μέμνων Κυζικηνοῖς ἐπιὼν τῇ κεφαλῇ καυσίαν ἐπέθετο Μακεδονικήν, αὐτός τε καὶ οἱ ἀμφ' αὐτὸν ἡγεμόνες. Κυζικηνοὶ προσιόντας ἀπὸ τῶν τειχῶν ὁρῶντες, νομίσαντες, ὅτι Κάλας ὁ Μακεδὼν φίλος ὢν καὶ 5 334

---

Cap. 44. § 4. Cf. Droysen I, 1, p. 96 et not. 2; I, 1, p. 114, not. 2.

Cap. 44. § 5. Cf. Diod. 17, 7. — Droysen I, 1, p. 183 sq.

---

7 [τὸ] Hercher, Hermes 9, p. 112: cf. 6, 2, 2 ‖ 12 ᾤετο H; ὥστε F; ἐπύθετο K ‖ 15 ἄρτι F] ἔτι H ‖ 16 ὄντων H; om. F ‖ διεσκεδασμένην H ‖ 17 φαλάγγαν F ‖ αὐτὸς ἐπιθέμενος H; om. F ‖ 18 [μὲν] αὐτῶν Hercher, Hermes 9, p. 112 ‖ 22 οἱ Κυζικηνοὶ vulg. ‖ 23 Κάλας Droysen I, 1, p. 183, not. 2 coll. Diod. 17, 7; Χάλκας H; Χάλκος F.

σύμμαχος ἥκοι βοηθήσων, προσεδέχοντο τὰς πύλας ἀνοίγοντες. ἐπεὶ δὲ πλησίον γενόμενον ἐγνώρισαν, οἱ μὲν ἀπέκλεισαν τὰς πύλας, Μέμνων δὲ τὴν χώραν λεηλατήσας ἀπηλλάττετο.

## 45. ΦΙΛΟΜΗΛΟΣ.

354 Φιλόμηλος Φωκεῦσι πολεμουμένοις ὑπὸ Θηβαίων καὶ Θετταλῶν ὑποσχόμενος κατορθώσειν τὸν πόλεμον, ἡγεμὼν ἀποδειχθεὶς, τὴν τοῦ πολέμου πρόφασιν ξενολογήσας ** κρατῶν τοῖς ἱεροῖς χρήμασιν ἀνέδην ἀποχρώμενος τὴν ἡγεμονίαν μετέβαλεν ἐς τὴν τυραννίδα.

## 46. ΔΗΜΟΚΛΗΣ.

367—343 Δημοκλῆς πρεσβεύσας κατηγορούμενος ὑπὸ τῶν [ἄλλων] πρεσβευτῶν, ὅτι μεγάλας τοῦ Διονυσίου πράξεις ἔβλαψεν, ὀργισθέντος τοῦ τυράννου 'ἐμοὶ πρὸς τούτους', ἔφη, 'γέγονε διαφορὰ, ὅτι μετὰ τὸ δεῖπνον οὗτοι μὲν τοὺς Στησιχόρου καὶ Πινδάρου παιᾶνας ᾖδον, ἐγὼ δὲ τοὺς ὑπὸ σοῦ πεποιημένους'· καὶ συνῇσε τοὺς παιᾶνας αὐτοῦ. Διονύσιος ἡσθεὶς οὐκέτι ἠνέσχετο τῶν ἐγκλημάτων.

---

Cap. 45. Cf. Schaefer, Demosth. I[1], p. 453, not. 1.
Cap. 46. E Timaeo coll. Athen, 6, 13, p. 250 A. — J. p. 517 sq.

---

2 *γενόμενον* F] *γενομένων* vulg. ‖ 5 *Φιλόμηλος* Bongarsius ad Iust. 8, 1; *Φιλόμηδος* F ‖ 8 *ἡγεμὼν* vulg.; *ἥττων* F ‖ *πρόφασιν*] cf. 1, 23, 2. 2, 30, 3. 6, 1, 6 ‖ *ξενολογήσας * * κρατῶν* W coll. 3, 10, 9. 4, 6, 14. 7, 3 (in lacuna suppl. *τοῦ μαντείου* coll. Diod. 16, 27, 1); *ξενοκρατῶν* F; *ἐξενολόγει· κρατῶν δὲ* vulg., quod probat Schaefer l. l. ‖ 10 *ἡγεμονείαν* F ‖ *τὴν* del. K ‖ 13 [*ἄλλων*] ex Timaeo ap. Athen. l. l.; [*συμ*]*πρεσβευτῶν* Cas. K ‖ 14 *τούτους* F] *τούτοις* M vulg. ‖ 17 *εἶδον* F ‖ *συνῇσε* vel *συνῇδε* K ex V *simul cecinit; πάντας ἐφεξῆς ᾄδειν* Timaeus; *'νῆψε F.*

## 47. ΠΑΝΑΙΤΙΟΣ.

*Παναίτιος Λεοντίνων Μεγαρεῦσι πολεμούντων* 608 sec. Euseb. *περὶ γῆς ὅρων πολεμαρχῶν πρῶτον μὲν τοὺς πένητας καὶ πεζοὺς τοῖς εὐπόροις καὶ ἱππεῦσι συνέκρουσεν ὡς ἐκείνων πλεονεκτούντων ἐν ταῖς μάχαις, αὐτῶν δὲ πολλὰ ἐλαττουμένων, ἔπειτα δὲ καὶ πρὸ τῶν πυλῶν ἐξόπλισιν ποιήσας τὰ μὲν ὅπλα ἀριθμεῖν καὶ δοκιμάζειν ἐπειρᾶτο, τοὺς δὲ ἵππους τοῖς ἡνιόχοις παραδοὺς ἐκέλευσεν ἄγειν ἐς νομήν. ἑξακοσίους δὲ πελταστὰς ἔχων εὐτρεπεῖς πρὸς τὴν ἐπανάστασιν τῷ μὲν τούτων ἄρχοντι τὴν ἐξαρίθμησιν τῶν ὅπλων ἐπέτρεψεν, αὐτὸς δὲ ὡς σκιᾶς δεόμενος ὑπὸ τὰ δένδρα ἀνεχώρησε καὶ τοὺς ἡνιόχους ἔπεισεν ἐπιθέσθαι τοῖς δεσπόταις. οἱ δὲ ἐπιβάντες τῶν ἵππων ἐπέδραμον αὐτοῖς καὶ τὰ ὅπλα ἐξαριθμούμενα ἁρπάσαντες γυμνοὺς καὶ ἀόπλους ἐφόνευσαν. καὶ οἱ πελτασταὶ δὲ συνεφήψαντο τοῦ φόνου καὶ πολλῇ σπουδῇ δραμόντες κατελάβοντο τὴν πόλιν καὶ Παναίτιον τύραννον ἀνηγόρευσαν.*

## 48. ΠΥΡΑΙΧΜΗΣ.

e. 11 *Ὅτι καὶ ἡ σφενδόνη μακροβολώτερον ὅπλον τοῦ τόξου.*
21 *συνέβη γὰρ νικῆσαι Πυραίχμην μονομαχήσαντα μετὰ Αἰσχίνου τόξον μὲν κεκτημένου, τοῦ δὲ Πυραίχμου τῇ σφενδόνῃ [διακινδυνεύοντος].*

---

Cap. 48. Cf. Ephorus ap. Strab. 8 p. 547; Paus. 5, 4, 2.

---

3 *πρῶτον* V *primum*; *πρώτους* F ‖ 4 *εὐπόροις* m; *ἐμπόροις* F vulg. ‖ *συνέκρουεν* vulg. ‖ 6 *καὶ* del. K ‖ 7 *ἐξόπλησιν* F ‖ 11 *ὡς ὑπὸ τὰ δένδρα σκιᾶς δεόμενος* F, transposuit vulg. ‖ 16 *συνεφήψαντο* RK; *συνεψηφίσαντο* F ‖ 19—23 addita sunt ex H ‖ 21 *Αἰσχίνου*] *Δεγμένου* secundum Ephorum et Paus. ‖ 22 [*διακινδυνεύοντος*] vel tale quid supplendum aut *τὴν σφενδόνην* legendum censet W.

## Τάδε ἔνεστιν ἐν τῷ ἕκτῳ τῶν Πολυαίνου στρατηγημάτων.


| | | | |
|---|---|---|---|
| Ἰάσων | ζ | Ἴβηρες | α |
| Ἀλέξανδρος Φεραῖος | β | Ἡρακλεῶται | α |
| Ἀθηνοκλῆς | α | Ἀργεῖοι | α |
| Φιλοποίμην | γ | Χῖοι | β |
| Ἄρατος | α | Ἀμπρακιῶται | α |
| Πύρρος | γ | Βουχέτιοι | α |
| Ἀπολλόδωρος | β | Σάμιοι | α |
| Αἴγυπτος | α | Ἠλεῖοι | α |
| Λεύκων | δ | Πάριοι | α |
| Ἀλέξανδρος φρούραρχος | α | Ἀννίβας | ι |
| Ἀριστείδης Ἐλεάτης | α | Θεσσαλοὶ | α |
| Ἀλέξανδρος Λυσιμάχου | α | Μασανάσσας | α |
| Ἀμφικτύονες | α | Ἀμίλκας | β |
| Σαννῖται | α | Ἀσδρούβας | β |
| Καμπανοὶ | α | Νασάμων | α |
| Καρχηδόνιοι | ε | Ἱερεὺς | α |
| Ἀμπρακιῶται | α | Συλοσῶν | α |
| Φωκεῖς | α | Ἀλέξανδρος Θετταλὸς | α |
| Πλαταιεῖς | γ | . . . . . . . . . . . | α |
| Κερκυραῖοι | α | Θρασύβουλος | α |
| Ἐγεσταῖοι | α | Μέντωρ | α |
| Λοκροὶ | α | Ἀναξαγόρας | α |
| Κορίνθιοι | α | Πίνδαρος | α |
| Λαμψακηνοὶ | α | Θήρων | α |
| Χαλκηδόνιοι | α | Σίσυφος | α |
| Αἰτωλοὶ | α | Ἄγνων | α |
| Λακεδαιμόνιοι | γ | Ἀμφίρητος | α |
| Μεσήνιοι | γ | | |


---

Ἀθηνοκλῆς] Ἀγαθοκλῆς $F_1$ ‖ Πύρρος γ K; Πύρρος β F ‖ Λεύκων α $F_1$ ‖ Ἀμφικτύονος $F_1$ ‖ Ἀννίβας α F, at decem servaverunt H et cod. Vindobonensis; quot praeterea interciderint, incertum, ut etiam numerus strategematum Hamilcaris ‖ Μασανάσσας F; Μασανάσσης vulg. ‖ Ἀμίλκας α F; β corr. W ‖ Ἀσδρούβας W; Ἀσαρούβας F ‖ Σολύσων $F_1$, corr. $F_2$ ‖ Ante Θρασύβουλος lacuna nominis, servatur tantum numerus α.

# ΒΙΒΛΙΟΝ ΕΚΤΟΝ.

*Καὶ τόδε ὑμῖν ἕκτον βιβλίον, ἱερώτατοι βασιλεῖς Ἀντωνῖνε καὶ Οὐῆρε, προσφέρω τῶν Στρατηγημάτων, εὐχόμενος καὶ ὑμῶν νικώντων ἐν τοῖς πολέμοις πολλὰ καὶ καλὰ τῆς ὑμετέρας ἀρετῆς ἀναγράψαι στρατηγήματα. ὅσῳ γὰρ δυνάμει καὶ τύχῃ μείζονες τῶν πάλαι στρατηγῶν, καὶ δὴ τόσῳ πλεονεκτεῖτε πάντας ἐμπειρίᾳ καὶ τέχνῃ, μεθ' ἧς ἤδη πολλοὺς πολέμους κατείργασθε πολλῶν βαρβάρων, βουλευσάμενοι καλῶς μετὰ τοῦ πατρός, Μαυρουσίων ἁλόντων, Βρεττανῶν ἁλισκομένων, Γετῶν πεπτωκότων. ἄγε δὴ κατὰ Περσῶν καὶ Παρθυαίων ἐξιόντες αὐτοὶ μετὰ τῶν θεῶν δείξατε τὴν ὑμετέραν τέχνην, ὡς καὶ βουλευόμενοι περὶ πολέμων καὶ πολεμοῦντες αὐτοὶ τῶν ἐπανισταμένων [περιγίγνεσθαι] δύνασθε. ἐγὼ δὲ καὶ ταῦτα μὲν ὡς ἀξιομνημόνευτα ὄντα ἐν τῷ δέοντι καιρῷ διὰ μακροτέρων συγγράψαι προθυμήσομαι, νυνὶ δὲ ὅσα θεραπείαν ὑμετέραν οὐκ ἔχει, ἀλλὰ τῶν πάλαι γεγονότων ἀλήθειαν, προσθήσω καὶ ταῦτα τοῖς προλελεγμένοις.*

---

4 *πολέμοις* MV; *πολεμίοις* F ‖ 6 *μείζονες ἔστε* vulg. ‖ 8 *πολέμους* V; *πολεμίους* F ‖ *κατειργάσασθαι* M ‖ 10 *Βριττανῶν* F ‖ 13 *τέχνην* Cas.; *τύχην* F ‖ 14 [*περιγίγνεσθαι*] Cas. at praef. libri I; [*κρατεῖν*] K.

378—370

## 1. ΙΑΣΩΝ.

1 Ἰάσων βουλόμενος ἐπιθέσθαι πόλει Θετταλικῇ e. 54, μηδενὸς τὴν ἐπίθεσιν προειδότος παρήγγειλεν ἐπὶ ἀριθμὸν καὶ μισθοδοσίαν ἐξοπλίσασθαι. οἱ μὲν δὴ πάντες ἐξωπλίσαντο καὶ τῶν σωμάτων εὖ καὶ τῶν ὅπλων ἔχοντες. ἄγγελοι δὲ καθειμένοι θέοντες ἧκον ἀγγέλλοντες πολεμίους ἐμβεβληκέναι τῇ χώρᾳ τοσοῦτον ἀπέχοντας, ὅσον ἀπεῖχεν ἡ πόλις, ᾗ προσπολεμεῖν ἐσπουδάκει. οἱ δὲ στρατιῶται πρὸς μάχην εὐτρεπεῖς ὄντες ἠξίωσαν αὐτοὶ μὴ μέλλειν, ἀλλὰ τὴν ταχίστην ἄγειν. ὁ δὲ Ἰάσων ἐπὶ τὴν πόλιν προσβαλὼν ἀδοκήτως ἐκράτησε μηδενὸς προγνόντος μήτε τῶν νικώντων μήτε τῶν νικωμένων.

2 Ἰάσων Θετταλὸς ἀπαιτούμενος ὑπὸ τῶν μισθοφόρων ἀργύριον, οὐκ ἔχων εἰσέδραμε πρὸς τὴν μητέρα ὡς διωκόμενος ὑπὸ τῶν στρατιωτῶν, ἀφ' ὧν δύο καὶ τρεῖς αὐτῷ συνεισέπεσον ὡς διώκοντες. ἡ μήτηρ — πολυχρήματος γὰρ ἦν — τοὺς μισθοὺς ὑπὲρ αὐτοῦ διέλυσεν.

3 Ἰάσων πόλεμον νικήσας ἔφη πρὸς τὴν μητέρα, τοὺς Διοσκούρους φανερωτάτους αὐτῷ γενέσθαι συμμάχους καὶ διὰ τοῦτο εὔξασθαι νικήσας ξενίσαι τοὺς

Cap. 1. Cf. J. p. 589 sq.

3 *μηδενὸς τὴν ἐπίθεσιν προειδότος* vulg.; *μηδὲν εἰς τὴν ἐπίθεσιν προειδότας* F ‖ *παρήγγειλεν* [*στρατιώτας*] Roth ‖ 6 *καθήμενοι* F, corr. Cas. ‖ 7 *ἀγγέλοντες* F ‖ *ἐμβεβηκέναι* vulg. ‖ 10 *αὐτὸν* R ‖ 11 *Ἰάσων* vulg.; *Ἀγάθων* F ‖ 12 *προγνόντος* F] *προσιόντος* vulg.; *εἰδότος* H ‖ 14 *ὑπὸ* K; *ἀπὸ* F ‖ 17 *συνεισέπεσον* Cas. K ex V *simul irruebant; συνέπεσον* F; cf. ad 2, 35. 3, 9, 45 et Valckenaer ad Herod. 9, 102 ‖ 20 *πόλεμον* MV; *πολέμῳ* F *vulg.: cf. praef.* libri I. 1, 20, 1. 2, 1, 2. 3, 9, 26. 4, 14.

θεούς· κεκληκέναι δὲ ἐπὶ τὴν εὐωχίαν τοὺς ἡγεμόνας τοῦ στρατεύματος καὶ λοχαγοὺς καὶ ταξιάρχους καὶ τοὺς ἐν τέλει πάντας. ἡ δὲ πιστεύσασα ὅσον εἶχε κόσμον ἐκπωμάτων, κρατήρων, τραπεζῶν, ἀργύρου, χρυσοῦ, πάντα ἔπεμψεν· ὁ δὲ πολλῶν χρημάτων κύριος γενόμενος τὸν μισθὸν ἀπέδωκε τοῖς μισθοφόροις.

Ἰάσων πόλιν πλουτοῦσαν ἑλών, πολλὰ καὶ λαμπρὰ 4
λάφυρα κομίζων ἔπεμψε πρὸς τὴν μητέρα κελεύων πέμψαι θεραπαίνας, ὅσαι ποικίλης καὶ πολυτελοῦς ἐσθῆτος ἐμπειρίαν καὶ τέχνην εἶχον, ὅπως ἐπιλέξαιτο πάντα τὰ κάλλιστα. ἡ δὲ πάσας, ὅσας εἶχε θεραπαίνας, ἔπεμψεν ἐπὶ τὴν ἐκλογὴν τῶν ἐσθήτων. Ἰάσων συγκλείσας αὐτὰς λύτρα ὑπὲρ αὐτῶν ᾔτησε τὴν μητέρα.

Ἰάσων πρὸς τὴν μητέρα ἐν τοῖς ἱστῶσι τῆς τα- 5
λασιουργίας τῶν θεραπαινῶν ἐπιμελομένην εἰσελθὼν μετὰ ἑνὸς τῶν ἀδελφῶν ὡς συμβούλῳ χρησόμενος τῶν ἀναγκαίων τῆς ἀρχῆς μεταστῆναι ταύτας ἐκέλευσεν. δορυφόροις μὲν δὴ συντεταγμένον ἦν ἀπάγειν ἁπάσας. αὐτὸς δὲ μετὰ μακρὰν ὁμιλίαν ἐξιὼν μειδιῶν τῇ μητρὶ προσέταξεν ὑπὲρ τῶν θεραπαινῶν ἀργύριον αὐτῷ πέμψαι.

Ἰάσων ἀδελφὸν εἶχε Μηριόνην ἄγαν πλουτοῦντα, 6
φιλάργυρον, μηδὲν αὐτῷ διδόντα· καὶ δή ποτε παιδίου γεννηθέντος αὐτῷ μέλλων ὄνομα τίθεσθαι τοὺς

---

1 εὐωχίαν Hertlein ex V *ad convivium;* εὐχὴν F || 4 ἀργυρίου M; ἄργυρον m: cf. 6, 21. 8, 40 || 10 ἐπιλέξαιτο πάντα scripsi; ἐπιλέξαιτο πάντας F; ἐπιλέξαιτο αὐτῇ Hertlein, Iahnii annal. 1867, p. 607; ἐπιλέξαιντο αὐτῇ vulg. || 15 ἐπιμελομένην W; ἐπιμένειν F; ἐπιμένουσαν vel εἰωθυῖαν ἐπιμένειν Cas. || 16 συμβόλῳ F, corr. vulg. || χρησάμενος F || 17 περὶ τῶν ἀναγκαίων vulg. || ταῦτα F || 18 συντεταγμένον Cas.; συντεταγμένος F || 20 ὑπὲρ Patakis coll. 6, 1, 2 et 4; περὶ F.

*ἀρίστους Θετταλῶν καλέσας παρεκάλεσε τὸν ἀδελφὸν προστῆναι τῆς ὑποδοχῆς. ὁ μὲν δὴ περὶ ταῦτα εἶχεν, Ἰάσων δὲ κατὰ πρόφασιν θήρας ἐξελθὼν ἐς Παγασάς, ἔνθα Μηριόνης κατῴκει, περιστήσας τοὺς αἰχμοφόρους, βιασάμενος τοὺς οἰκονόμους, εἴκοσι ἀργυρίου τάλαντα λαβών, μετὰ σπουδῆς ἐπὶ τὸ δεῖπνον ἀνῆλθε καὶ τῷ ἀδελφῷ σπονδῶν κατάρχειν ἐπέτρεψε καὶ κύριον αὐτὸν εἶναι τῆς θέσεως τοῦ ὀνόματος τῷ παιδίῳ. Μηριόνης, * * ἤγγειλεν αὐτῷ πεπορθῆσθαι τὴν οἰκίαν, δεξάμενος τὸ χαρίεν ὄνομα ἔθετο τῷ παιδίῳ Πορθάονα.*

7 *Ἰάσων τὸν ἀδελφὸν Πολύδωρον ἤγαγεν ἐπὶ πόλιν ἁλίσκεσθαι μέλλουσαν λαφυροπώλην γενησόμενον. ἐπεὶ δὲ ἦν ὥρα λουτροῦ, παρεκάλεσε τὸν ἀδελφὸν σφοδρῶς αὐτοῦ τὸ σῶμα τρῖψαι καὶ διαγυμνάσαι. ὁ μὲν ἐπειρᾶτο τρίβειν εὐτόνως, Ἰάσων δὲ ὡς ἐνοχλούμενος ὑπὸ τοῦ δακτυλίου παρεκάλεσεν αὐτὸν παρὰ τὴν τρῖψιν ἀποθέσθαι. Πολύδωρος δὲ ἐξελὼν τῆς χειρὸς ἐπέδωκεν ἀνδρὶ πιστῷ τῶν παρόντων. τούτῳ δὲ ἦν ἄρα προσυγκείμενον δραμεῖν πρὸς τὴν γυναῖκα Πολυδώρου καὶ δόντα τὸν δακτύλιον ἀντὶ [τούτου] δέκα τάλαντα χρυσίου παρ' αὐτῆς λαβεῖν. ἡ δὲ τῷ δακτυλίῳ τοῦ ἀνδρὸς πιστεύσασα παραχρῆμα ἔδωκε τὸ χρυσίον· ὡς δὲ ἐπανῆλθεν ὁ τὸν δακτύλιον παρὰ Πολυδώρου λαβών, τότε Ἰάσων τριβόμενος ἐπαύσατο.*

---

6 *ἀνῆλθε* vel *ἐπανῆλθε* ut 6, 1, 7 Patakis; *rediit* V; *ἦλθε* F ‖ 8 *Μηριόνης ἀγγελίαν τοῦ πεπ* vulg.; lacunam statuit W, qui suppl. [*ὡς*] vel [*Ἰάσων γὰρ*] ‖ 9 *οἰκίαν* F] *οἰκείαν* vulg. ‖ 10 *χαρίεν* C; *χάρισμα* W; *χαρκι* . . . F (reliquis litteris a vermibus exesis ita tamen, ut videatur fuisse *εν* vel *αν*) ‖ *Πορθάονα* vulg.; *πο.θα.να* F (duabus litteris corrosis) ‖ 17 *ἐπέδωκεν* F] *ἐνέδωκεν* M; *ἀπέδωκεν* vulg.; *ἀνέδωκεν* W ‖ 18 *προσυγκείμενον* M; *προσεγκείμενον* F vulg. ‖ 20 *δόντα τὸν* Cas.; *τὸν δόντα* F; *ἐνδόντα* vel *ἐπιδόντα* RW coll. v. 17 ‖ *ἀντὶ* [*τούτου*] Patakis; *αἰτεῖν* Cas. RK; *ἀντὶ* et *λαβεῖν* coniungenda putat Roth ‖ 21 *τοῦ δακτυλίου* F, corr. vulg.

## 2. ΑΛΕΞΑΝΔΡΟΣ ΦΕΡΑΙΟΣ.

21,2 Ἀλέξανδρος Πάνορμον πολιορκοῦντος Λεωσθένους 1 361
πρὸς ἁπάσας τὰς Ἀττικὰς ναῦς φανερῶς ναυμαχεῖν οὐ θαρρῶν διέπεμψεν ἐπὶ ἀκατίου νύκτωρ πρὸς τοὺς ἔνδον στρατιώτας, ὅπως, εἴ τινες τῶν νεῶν ἐκλίποιεν τὴν φυλακήν, πρὸς τῷ πρότερον αἱρομένῳ πυρσῷ δεύτερον ἀνάσχοιεν τοῖς ἐν Μαγνησίᾳ, κἀκεῖνοι τοῖς ἐν Παγασαῖς. Λεωσθένης μὲν τρεῖς τριήρεις διέπεμψε, τὴν μὲν ἐπὶ Σάμου, τὴν δὲ ἐπὶ Θάσου, τὴν δὲ ἐπὶ Ἑλλησπόντου· οἱ δὲ πολιορκούμενοι τοὺς πυρσοὺς ἀνέσχον. Ἀλέξανδρος ἐπιπλεύσας ἄφνω καὶ προσπεσὼν ἐνίκησε τῇ ναυμαχίᾳ τοὺς Ἀθηναίους.

Ἀλέξανδρος μετὰ τὴν ἐν Πεπαρήθῳ ναυμαχίαν 2 361
ἐλπίσας λήψεσθαι τοὺς Ἀθηναίους ἀφυλάκτους ὡς μετὰ νίκην ἀμελῶς ἔχοντας συνέταξε τοῖς ἐπὶ τῶν νεῶν διὰ τάχους προσπλεῦσαι τῷ Δείγματι τοῦ Πειραιέως καὶ ἀπὸ τῶν τραπεζῶν ἁρπάσαι τὰ χρήματα. τῶν δὲ προσπλεόντων οἱ Ἀθηναῖοι φιλίας τὰς ναῦς εἶναι νομίσαντες ἀπεσκόπουν. οἱ δὲ ἀποβάντες τὸ πολεμικὸν ἐσήμηναν καὶ σπασάμενοι τὰς μαχαίρας ὥρμων ἐπὶ τὰς τραπέζας. οἱ μὲν Ἀθηναῖοι σπουδῇ ἔθεον ἐς τὸ ἄστυ τοῖς στρατηγοῖς ἀγγελοῦντες τὴν κατάληψιν τοῦ Πειραιέως, οἱ δὲ τὰ χρήματα ἁρπάσαντες ἀπέπλευσαν.

---

Cap. 2, §§ 1 et 2. Cf. Diod. 15, 95. — Schaefer, Demosth. I[1], p. 116 sq.; J. p. 590.

---

1 Φεραῖος F] ὁ Φεραῖος vulg.; om. M ‖ 4 ἀκατίου F] Ἀκάτιον vulg. ‖ 14 ἀφυλάκτους ὡς Patakis; ἀφυλάκτως F ‖ 15 καὶ ἀμελῶς vulg. ‖ 16 Πειρέως F; τῷ Πειραιεῖ coni. K.

ϱιδίοις ὡπλισμένους. οἱ μὲν [ἐπὶ] τοῦ λιμένος τὴν ναῦν ὡς φιλίαν ὑπεδέξαντο, οἱ δὲ τῆς νεὼς ἐκβάντες, ἄφνω προσπεσόντες τοῖς περιπατοῦσι δέκα μὲν αὐτῶν ἀπέσφαξαν, εἴκοσι δὲ καὶ πέντε συναρπάσαντες ἀπέπλευσαν, οὓς πολλῶν χρημάτων Ἀριστοκράτης ἀπελυτρώσατο.

## 41. ΑΡΙΣΤΟΜΑΧΟΣ.

Ἀριστόμαχος, Καρδιανῶν τριήρεις λαβών, μετ- e. 58, 4 εμβιβάσας τοὺς ἐρέτας καὶ κοσμήσας τοῖς ἀκρωτηρίοις τῶν αὑτοῦ νεῶν, αὐλούμενος κατέπλει, τὰς ἰδίας ναῦς ἐφέλκων, τὴν καταγωγὴν ὀψὲ ποιούμενος. Καρδιανοὶ μὲν πρὸς [τὰς] ναῦς ὥρμησαν ἐκ τῆς πόλεως ὡς οἰκείας καὶ νικώσας, οἱ δὲ Ἀριστομάχειοι τῶν νεῶν ἐκβάντες πολλοὺς Καρδιανῶν ἀπέκτειναν.

## 42. ΧΑΡΙΜΕΝΗΣ.

Χαριμένης Μιλήσιος καταφυγὼν ἐς Φασηλίδα, ἐφορμουσῶν αὐτῷ νεῶν μακρῶν Περικλέους τοῦ Λυκίου, περιθέμενος περιθετὴν πεζῇ διὰ τῆς Περικλέους χώρας ἐσώθη.

## 43. ΚΑΛΛΙΑΔΗΣ.

Καλλιάδης κυβερνήτης καταλαμβανόμενος ὑπὸ νεὼς ταχυτέρας τὸ πηδάλιον ἔσχαζε συχνῶς, καθ' ὁπότερον ἂν ἐμβάλλειν μέλλοι, ἵνα ὁ διώκων προσκρούων ταῖς

---

1 [ἐπὶ] vulg.; *qui portui praeerant* V ‖ 2 φιλίαν W coll. 1, 34, 1. 1, 38, 4. 6, 2, 2; φίλην F ‖ 5 Ἀριστοκράτης Cas.; Ἀριστοκλῆς F ‖ 5 Post ἀπελυτρώσατο Aristocratis strategema in F iisdem verbis perperam iteratur ‖ 10 αὑτοῦ F ‖ αὐλόμενος F ‖ 12 [τὰς] K ‖ 13 Ἀριστομάχειοι D; Ἀριστομάχιοι F: cf. ad 2, 2, 9 ‖ 23 ἂν ἐμβάλλειν vulg.; ἐμβάλλειν ἂν F.

ἐπωτίσι πρὸς τὸ πηδάλιον ἐμβαλεῖν μὴ δύνηται τῷ τὴν ἐμβολὴν εἶναι κατὰ τὰς πρώτας θρανίτιδας.

## 44. ΜΕΜΝΩΝ.

7, 4 Μέμνων ἐπιτιθέμενος Λεύκωνι τῷ Βοσπόρου τυ- 1
ράννῳ, βουλόμενος καταμαθεῖν τὰ μεγέθη τῶν πολεμίων [πόλεων] καὶ τὰ πλήθη τῶν ἐνοικούντων ἔπεμψεν Ἀρχιβιάδην Βυζάντιον ἐπὶ τριήρους πρεσβευτὴν πρὸς Λεύκωνα ὡς ὑπὲρ φιλίας καὶ ξενίας διαλεξόμενον. συνέπεμψε δὲ αὐτῷ καὶ Ὀλύνθιον κιθαρῳδὸν Ἀριστόνικον, εὐδοκιμοῦντα μάλιστα δὴ πάντων τότε παρὰ τοῖς Ἕλλησιν, ὅπως ἐν τῷ παράπλῳ προσορμιζομένων, ἐπιδεικνυμένου τοῦ κιθαρῳδοῦ, τῶν ἐνοικούντων εἰς τὰ θέατρα σπουδῇ συνιόντων τὸ πλῆθος τῶν ἀνθρώπων κατάδηλον τῷ πρεσβευτῇ γένοιτο.

55, 3 Μέμνων, ἐρυμνὰ χωρία τῶν πολεμίων καταλα- 2
βόντων καὶ οὐ καταβαινόντων ἐς μάχην, ἀποχωρήσας ἀπωτέρω τῶν ὀχυρῶν τόπων καὶ ἀντιταχθεὶς μετὰ τῶν ἡμίσεων στρατιωτῶν, ὡς τῶν ἄλλων στασιαζόντων πρὸς αὐτὸν, πέμψας πρὸς αὐτοὺς αὐτόμολον ἐκέλευσε φράζειν, ὅτι στασιάζοιεν καὶ μέλλοιεν ἀλλήλοις μάχεσθαι καὶ διὰ τοῦτο ἀνεχώρησαν ἀπωτέρω, ἄνωθεν ὑμᾶς φοβηθέντες, καὶ δὴ ὡς ἀντιπαρατάσσεσθαι μέλλοντες ὡπλίζοντο. οἱ δὲ ἐκ τῆς πόλεως τοῖς τοῦ αὐτομόλου λόγοις

---

Cap. 44. De fontibus cf. J. p. 647—649.
Cap. 44. § 2. Cf. Front. strat. 2, 5, 18.

---

1 ἐπωτίσι Cas.; νεπωτίσι F ‖ 4 ἐπιθέμενος vulg. ‖ 5 πολεμίων [πόλεων] scripsi coll. H τῆς τῶν πολεμίων πόλεως καὶ τῶν λοιπῶν; πολεμίων F, quod corr. in πόλεων Lennep. ad Phalar. p. 129b ‖ 6 τὰ πλήθη Cas.; τῷ πλήθει F: cf. 7, 35, 2 extr. ‖ 22 ὁπλίζοιντο vulg.

ὅμοια καὶ τὰ ἔργα ὁρῶντες καταβαίνουσιν ἀπὸ τῶν ἐρυμνῶν πρὸς αὐτούς. οἱ δὲ Μεμνόνειοι τοὺς πολεμίους ὁρῶντες ἐν τῷ ἰσοπέδῳ οὐκ ἐπ' ἀλλήλους, ἀλλὰ μετ' ἀλλήλων ἐπ' αὐτοὺς ὁρμήσαντες ὑποχειρίους ἅπαντας ἐποιήσαντο.

340 3 Ἀριστώνυμον ἐν Μηθύμνῃ Χάρης πολιορκῶν πρεσβείαν ἔπεμψε πρὸς Μέμνονα ἀξιῶν αὐτὸν μὴ βοηθῆσαι Ἀριστωνύμῳ. [ὁ δὲ ἀπεκρίνατο βοηθήσειν] αὐτῷ κατὰ κράτος· καὶ γὰρ εἶναι πατρικὸν φίλον καὶ ξένον καὶ τῆς γε νυκτὸς τῆς ἐπιούσης μετὰ πάντων τῶν στρατιωτῶν ἐκεῖ γενήσεσθαι. Χάρης τῶν πρεσβευτῶν ἀγγειλάντων ταῦτα κατεφρόνησεν ὡς ἀδύνατον πολὺ καὶ βαρὺ στρατόπεδον [τῆς] ἐπιούσης νυκτὸς ἐνταυθοῖ γενέσθαι. ὁ δὲ Μέμνων ὁδεύσας πέντε στάδια, ἑσπέρας ἐς πλοῖα χιλίους διακοσίους στρατιώτας ἐμβιβάσας σύνθημα ἔδωκεν, ὅταν ἀποβάντες ἐς τὴν ἀκρόπολιν παρέλθωσιν, ἆραι πυρσὸν καὶ τοῖς πολεμίοις ἐπιθέσθαι· τούτων πραχθέντων ἡ μὲν ἐπίθεσις ἐν τῷ σκότῳ παράδοξος ἐφάνη, ὁ δὲ πυρσὸς ἀρθεὶς ἐς φυγὴν ἐτρέψατο τὸν Χάρητα ὡς τοῦ Μέμνονος μετὰ πάσης [τῆς] δυνάμεως τὴν ἀκρόπολιν κατειληφότος.

---

Cap. 44. § 3. De tempore cf. Schaefer, Demosth. I[1], p. 435, not. 1 et Droysen I, 1, p. 238.

---

6 *Ἀριστώνυμον*] *Ἀριστόνικον* Boehnecke, Forsch. auf d. Gebiete d. att. Redn. p. 650, not.: cf. Arrian., anab. 3, 2, 4 *Ἀριστόνικον Μεθυμναῖον τὸν τύραννον* ‖ *Μιθύμνῃ* F ‖ *ἐπολιόρκει* K ex V ‖ 7 *βοηθῆσαι* p; *φοβηθῆσαι* F; *πρὸς αὐτὸν Μέμνονα ἀξιῶν μὴ βοηθῆσαι Ἀριστωνύμῳ αὐτὸν* K ‖ 8 [*ὁ δὲ ἀπεκρίνατο βοηθήσειν*] add. p; om. F ‖ 12 *ἀδύνατον* [*ὂν*] K: cf. 5, 2, 11 ‖ 13 [*τῆς*] K coll. 1, 46. 7, 12. supra v. 10 ‖ 17 *ἆραι* vulg.; *ἀνῆραι* F contra usum Polyaeni ‖ *ἐπιθέσθαι* Roth; *ἐπιτίθεσθαι* F ‖ *20 [τῆς] Hertlein.*

1, 13 Μέμνων τετρακισχιλίους στρατιώτας ἔχων, Μαγνησίας ἀπέχων τεσσαράκοντα στάδια τεῖχος ἤγειρε κύκλῳ τοῦ στρατοπέδου· Παρμενίων καὶ Ἄτταλος ἦσαν ἐν Μαγνησίᾳ μυρίους ἔχοντες. ὀχυρωσάμενος δὲ τὸ στρατόπεδον ὁ Μέμνων ἐξήγαγεν αὐτοὺς διεσκευασμένους ἐς μάχην ὅσον ἐπὶ στάδια δέκα. τῶν δὲ πολεμίων ἐκβοηθησάντων, ὁ Μέμνων [τὸ] ἀνακλητικὸν σημήνας ἀνεχώρησεν εἴσω τείχους, καὶ οἱ πολέμιοι δὲ ὁμοίως ἀπηλλάγησαν. πάλιν ὁ Μέμνων προελθών, τοὺς πολεμίους ὁρῶν ἀντιπαρατασσομένους ἀνεχώρησε, καὶ οἱ πολέμιοι ἀνεχώρουν. καὶ τοῦτο πολλάκις τῆς ἡμέρας. τέλος δέ, ὁπότε ᾤετο ἐκδεδυκότας αὐτοὺς τὰ ὅπλα περὶ ἀριστοποιΐαν ἀσχολεῖσθαι, πάλιν ἐπεφάνη· τῶν δὲ οὐ φθασάντων ἀριστῆσαι, πολλῶν μὲν γυμνῶν, πολλῶν δὲ ἄρτι τὰ ὅπλα λαμβανόντων, πάντων δὲ ἀτάκτων ὄντων, συνιδὼν διεσπασμένην αὐτῶν τὴν φάλαγγα, συντεταγμένος αὐτὸς ἐπιθέμενος πολλοὺς αὐτῶν διαφθείρας, πολλοὺς δὲ ζωγρήσας τοὺς λοιποὺς καταφυγεῖν ἐς Μαγνησίαν ἠνάγκασεν. 4 336

28, 3 Μέμνων Κυζικηνοῖς ἐπιὼν τῇ κεφαλῇ καυσίαν ἐπέθετο Μακεδονικήν, αὐτός τε καὶ οἱ ἀμφ' αὐτὸν ἡγεμόνες. Κυζικηνοὶ προσιόντας ἀπὸ τῶν τειχῶν ὁρῶντες, νομίσαντες, ὅτι Κάλας ὁ Μακεδὼν φίλος ὢν καὶ 5 334

Cap. 44. § 4. Cf. Droysen I, 1, p. 96 et not. 2; I, 1, p. 114, not. 2.

Cap. 44. § 5. Cf. Diod. 17, 7. — Droysen I, 1, p. 183 sq.

7 [τὸ] Hercher, Hermes 9, p. 112: cf. 6, 2, 2 ‖ 12 ᾤετο H; ὥστε F; ἐπύθετο K ‖ 15 ἄρτι F] ἔτι H ‖ 16 ὄντων H; om. F ‖ διεσκεδασμένην H ‖ 17 φαλάγγαν F ‖ αὐτὸς ἐπιθέμενος H; om. F ‖ 18 [μὲν] αὐτῶν Hercher, Hermes 9, p. 112 ‖ 22 οἱ Κυζικηνοὶ vulg. ‖ 23 Κάλας Droysen I, 1, p. 183, not. 2 coll. Diod. 17, 7; Χάλκας H; Χάλκος F.

σύμμαχος ἥκοι βοηθήσων, προσεδέχοντο τὰς πύλας ἀνοίγοντες. ἐπεὶ δὲ πλησίον γενόμενον ἐγνώρισαν, οἱ μὲν ἀπέκλεισαν τὰς πύλας, Μέμνων δὲ τὴν χώραν λεηλατήσας ἀπηλλάττετο.

45. ΦΙΛΟΜΗΛΟΣ.

354 Φιλόμηλος Φωκεῦσι πολεμουμένοις ὑπὸ Θηβαίων καὶ Θετταλῶν ὑποσχόμενος κατορθώσειν τὸν πόλεμον, ἡγεμὼν ἀποδειχθείς, τὴν τοῦ πολέμου πρόφασιν ξενολογήσας ** κρατῶν τοῖς ἱεροῖς χρήμασιν ἀνέδην ἀποχρώμενος τὴν ἡγεμονίαν μετέβαλεν ἐς τὴν τυραννίδα.

46. ΔΗΜΟΚΛΗΣ.

67—343 Δημοκλῆς πρεσβεύσας κατηγορούμενος ὑπὸ τῶν [ἄλλων] πρεσβευτῶν, ὅτι μεγάλας τοῦ Διονυσίου πράξεις ἔβλαψεν, ὀργισθέντος τοῦ τυράννου 'ἐμοὶ πρὸς τούτους', ἔφη, 'γέγονε διαφορά, ὅτι μετὰ τὸ δεῖπνον οὗτοι μὲν τοὺς Στησιχόρου καὶ Πινδάρου παιᾶνας ᾖδον, ἐγὼ δὲ τοὺς ὑπὸ σοῦ πεποιημένους'· καὶ συνῇσε τοὺς παιᾶνας αὐτοῦ. Διονύσιος ἡσθεὶς οὐκέτι ἠνέσχετο τῶν ἐγκλημάτων.

---

Cap. 45. Cf. Schaefer, Demosth. I[1], p. 453, not. 1.
Cap. 46. E Timaeo coll. Athen, 6, 13, p. 250 A. — J. p. 517 sq.

---

2 γενόμενον F] γενομένων vulg. ‖ 5 Φιλόμηλος Bongarsius ad Iust. 8, 1; Φιλόμηδος F ‖ 8 ἡγεμὼν vulg.; ἥττων F ‖ πρόφασιν] cf. 1, 23, 2. 2, 30, 3. 6, 1, 6 ‖ ξενολογήσας * * κρατῶν W coll. 3, 10, 9. 4, 6, 14. 7, 3 (in lacuna suppl. τοῦ μαντείου coll. Diod. 16, 27, 1); ξενοκρατῶν F; ἐξενολόγει· κρατῶν δὲ vulg., quod probat Schaefer l. l. ‖ 10 ἡγεμονείαν F ‖ τὴν del. K ‖ 13 [ἄλλων] ex Timaeo ap. Athen. l. l.; [συμ]πρεσβευτῶν Cas. K ‖ 14 τούτους F] τούτοις M vulg. ‖ 17 εἶδον F ‖ συνῇσε vel συνῇδε K ex V *simul cecinit;* πάντας ἐφεξῆς ᾄδειν Timaeus; συνῆψε *F.*

## 47. ΠΑΝΑΙΤΙΟΣ:

*Παναίτιος Λεοντίνων Μεγαρεῦσι πολεμούντων* 608 sec Euseb. *περὶ γῆς ὅρων πολεμαρχῶν πρῶτον μὲν τοὺς πένητας καὶ πεζοὺς τοῖς εὐπόροις καὶ ἱππεῦσι συνέκρουσεν ὡς ἐκείνων πλεονεκτούντων ἐν ταῖς μάχαις, αὐτῶν δὲ πολλὰ ἐλαττουμένων, ἔπειτα δὲ καὶ πρὸ τῶν πυλῶν ἐξόπλισιν ποιήσας τὰ μὲν ὅπλα ἀριθμεῖν καὶ δοκιμάζειν ἐπειρᾶτο, τοὺς δὲ ἵππους τοῖς ἡνιόχοις παραδοὺς ἐκέλευσεν ἄγειν ἐς νομήν. ἑξακοσίους δὲ πελταστὰς ἔχων εὐτρεπεῖς πρὸς τὴν ἐπανάστασιν τῷ μὲν τούτων ἄρχοντι τὴν ἐξαρίθμησιν τῶν ὅπλων ἐπέτρεψεν, αὐτὸς δὲ ὡς σκιᾶς δεόμενος ὑπὸ τὰ δένδρα ἀνεχώρησε καὶ τοὺς ἡνιόχους ἔπεισεν ἐπιθέσθαι τοῖς δεσπόταις. οἱ δὲ ἐπιβάντες τῶν ἵππων ἐπέδραμον αὐτοῖς καὶ τὰ ὅπλα ἐξαριθμούμενα ἁρπάσαντες γυμνοὺς καὶ ἀόπλους ἐφόνευσαν. καὶ οἱ πελτασταὶ δὲ συνεφήψαντο τοῦ φόνου καὶ πολλῇ σπουδῇ δραμόντες κατελάβοντο τὴν πόλιν καὶ Παναίτιον τύραννον ἀνηγόρευσαν.*

## 48. ΠΥΡΑΙΧΜΗΣ.

e. 11 *Ὅτι καὶ ἡ σφενδόνη μακροβολώτερον ὅπλον τοῦ τόξου. συνέβη γὰρ νικῆσαι Πυραίχμην μονομαχήσαντα μετὰ Αἰσχίνου τόξον μὲν κεκτημένου, τοῦ δὲ Πυραίχμου τῇ σφενδόνῃ [διακινδυνεύοντος].*

---

Cap. 48. Cf. Ephorus ap. Strab. 8 p. 547; Paus. 5, 4, 2.

---

3 *πρῶτον* V *primum; πρώτους* F ‖ 4 *εὐπόροις* m; *ἐμπόροις* F vulg. ‖ *συνέκρουεν* vulg. ‖ 6 *καὶ* del. K ‖ 7 *ἐξόπλησιν* F ‖ 11 *ὡς ὑπὸ τὰ δένδρα σκιᾶς δεόμενος* F, transposuit vulg. ‖ 16 *συνεφήψαντο* RK; *συνεψηφίσαντο* F ‖ 19—23 addita sunt ex H ‖ 21 *Αἰσχίνου*] *Δεγμένου* secundum Ephorum et Paus. ‖ 22 [*διακινδυνεύοντος*] vel tale quid supplendum aut *τὴν σφενδόνην* legendum censet W.

## Τάδε ἔνεστιν ἐν τῷ ἕκτῳ τῶν Πολυαίνου στρατηγημάτων.


Ἰάσων . . . . . . . . . ζ
Ἀλέξανδρος Φεραῖος . . . β
Ἀθηνοκλῆς . . . . . . . α
Φιλοποίμην . . . . . . . γ
Ἄρατος . . . . . . . . . α
Πύρρος . . . . . . . . . γ
Ἀπολλόδωρος . . . . . . β
Αἴγυπτος . . . . . . . . α
Λεύκων . . . . . . . . . δ
Ἀλέξανδρος φρούραρχος . . α
Ἀριστείδης Ἐλεάτης . . . α
Ἀλέξανδρος Λυσιμάχου . . α
Ἀμφικτύονες . . . . . . α
Σαυνῖται . . . . . . . . α
Καμπανοὶ . . . . . . . . α
Καρχηδόνιοι . . . . . . ε
Ἀμπρακιῶται . . . . . . α
Φωκεῖς . . . . . . . . . α
Πλαταιεῖς . . . . . . . γ
Κερκυραῖοι . . . . . . . α
Ἐγεσταῖοι . . . . . . . α
Λοκροὶ . . . . . . . . . α
Κορίνθιοι . . . . . . . α
Λαμψακηνοὶ . . . . . . α
Χαλκηδόνιοι . . . . . . α
Αἰτωλοὶ . . . . . . . . α
Λακεδαιμόνιοι . . . . . γ
Μεσήνιοι . . . . . . . . γ
Ἴβηρες . . . . . . . . . α
Ἡρακλεῶται . . . . . . . α
Ἀργεῖοι . . . . . . . . α
Χῖοι . . . . . . . . . . β
Ἀμπρακιῶται . . . . . . α
Βουχέτιοι . . . . . . . α
Σάμιοι . . . . . . . . . α
Ἠλεῖοι . . . . . . . . . α
Πάριοι . . . . . . . . . α
Ἀννίβας . . . . . . . . ι
Θεσσαλοὶ . . . . . . . . α
Μασανάσσας . . . . . . α
Ἀμίλκας . . . . . . . . β
Ἀσδρούβας . . . . . . . β
Νασάμων . . . . . . . . α
Ἱερεὺς . . . . . . . . . α
Συλοσῶν . . . . . . . . α
Ἀλέξανδρος Θετταλὸς . . . α
. . . . . . . . . . . . α
Θρασύβουλος . . . . . . α
Μέντωρ . . . . . . . . . α
Ἀναξαγόρας . . . . . . . α
Πίνδαρος . . . . . . . . α
Θήρων . . . . . . . . . α
Σίσυφος . . . . . . . . α
Ἄγνων . . . . . . . . . α
Ἀμφίρητος . . . . . . . α


---

Ἀθηνοκλῆς] Ἀγαθοκλῆς $F_1$ || Πύρρος γ K; Πύρρος β F || Λεύκων α $F_1$ || Ἀμφικτύονος $F_1$ || Ἀννίβας α F, at decem servaverunt H et cod. Vindobonensis; quot praeterea interciderint, incertum, ut etiam numerus strategematum Hamilcaris || Μασανάσσας F; Μασανάσσης vulg. || Ἀμίλκας α F; β corr. W || Ἀσδρούβας W; Ἀσαρούβας F || Σολύσων $F_1$, corr. $F_2$ || Ante Θρασύβουλος lacuna nominis, servatur tantum numerus α.

# ΒΙΒΛΙΟΝ ΕΚΤΟΝ.

*Καὶ τόδε ὑμῖν ἕκτον βιβλίον, ἱερώτατοι βασιλεῖς Ἀντωνῖνε καὶ Οὐῆρε, προσφέρω τῶν Στρατηγημάτων, εὐχόμενος καὶ ὑμῶν νικώντων ἐν τοῖς πολέμοις πολλὰ καὶ καλὰ τῆς ὑμετέρας ἀρετῆς ἀναγράψαι στρατηγήματα. ὅσῳ γὰρ δυνάμει καὶ τύχῃ μείζονες τῶν πάλαι στρατηγῶν, καὶ δὴ τόσῳ πλεονεκτεῖτε πάντας ἐμπειρίᾳ καὶ τέχνῃ, μεθ' ἧς ἤδη πολλοὺς πολέμους κατείργασθε πολλῶν βαρβάρων, βουλευσάμενοι καλῶς μετὰ τοῦ πατρός, Μαυρουσίων ἁλόντων, Βρεττανῶν ἁλισκομένων, Γετῶν πεπτωκότων. ἄγε δὴ κατὰ Περσῶν καὶ Παρθυαίων ἐξιόντες αὐτοὶ μετὰ τῶν θεῶν δείξατε τὴν ὑμετέραν τέχνην, ὡς καὶ βουλευόμενοι περὶ πολέμων καὶ πολεμοῦντες αὐτοὶ τῶν ἐπανισταμένων [περιγίγνεσθαι] δύνασθε. ἐγὼ δὲ καὶ ταῦτα μὲν ὡς ἀξιομνημόνευτα ὄντα ἐν τῷ δέοντι καιρῷ διὰ μακροτέρων συγγράψαι προθυμήσομαι, νυνὶ δὲ ὅσα θεραπείαν ὑμετέραν οὐκ ἔχει, ἀλλὰ τῶν πάλαι γεγονότων ἀλήθειαν, προσθήσω καὶ ταῦτα τοῖς προλελεγμένοις.*

---

4 *πολέμοις* MV; *πολεμίοις* F ‖ 6 *μείζονες ἔστε* vulg. ‖ 8 *πολέμους* V; *πολεμίους* F ‖ *κατειργάσασθαι* M ‖ 10 *Βριττανῶν* F ‖ 13 *τέχνην* Cas.; *τύχην* F ‖ 14 [*περιγίγνεσθαι*] Cas. ut praef. libri I; [*κρατεῖν*] K.

378—370

## 1. ΙΑΣΩΝ.

1 Ἰάσων βουλόμενος ἐπιθέσθαι πόλει Θετταλικῇ μηδενὸς τὴν ἐπίθεσιν προειδότος παρήγγειλεν ἐπὶ ἀριθμὸν καὶ μισθοδοσίαν ἐξοπλίσασθαι. οἱ μὲν δὴ πάντες ἐξωπλίσαντο καὶ τῶν σωμάτων εὖ καὶ τῶν ὅπλων ἔχοντες. ἄγγελοι δὲ καθειμένοι θέοντες ἧκον ἀγγέλλοντες πολεμίους ἐμβεβληκέναι τῇ χώρᾳ τοσοῦτον ἀπέχοντας, ὅσον ἀπεῖχεν ἡ πόλις, ᾗ προσπολεμεῖν ἐσπουδάκει. οἱ δὲ στρατιῶται πρὸς μάχην εὐτρεπεῖς ὄντες ἠξίωσαν αὐτοὶ μὴ μέλλειν, ἀλλὰ τὴν ταχίστην ἄγειν. ὁ δὲ Ἰάσων ἐπὶ τὴν πόλιν προσβαλὼν ἀδοκήτως ἐκράτησε μηδενὸς προγνόντος μήτε τῶν νικώντων μήτε τῶν νικωμένων.

2 Ἰάσων Θετταλὸς ἀπαιτούμενος ὑπὸ τῶν μισθοφόρων ἀργύριον, οὐκ ἔχων εἰσέδραμε πρὸς τὴν μητέρα ὡς διωκόμενος ὑπὸ τῶν στρατιωτῶν, ἀφ' ὧν δύο καὶ τρεῖς αὐτῷ συνεισέπεσον ὡς διώκοντες. ἡ μήτηρ — πολυχρήματος γὰρ ἦν — τοὺς μισθοὺς ὑπὲρ αὐτοῦ διέλυσεν.

3 Ἰάσων πόλεμον νικήσας ἔφη πρὸς τὴν μητέρα, τοὺς Διοσκούρους φανερωτάτους αὐτῷ γενέσθαι συμμάχους καὶ διὰ τοῦτο εὔξασθαι νικήσας ξενίσαι τοὺς

---

Cap. 1. Cf. J. p. 589 sq.

---

3 *μηδενὸς τὴν ἐπίθεσιν προειδότος* vulg.; *μηδὲν εἰς τὴν ἐπίθεσιν προειδότας* F ‖ *παρήγγειλεν* [*στρατιώτας*] Roth ‖ 6 *καθήμενοι* F, corr. Cas. ‖ 7 *ἀγγέλοντες* F ‖ *ἐμβεβηκέναι* vulg. ‖ 10 *αὐτὸν* R ‖ 11 *Ἰάσων* vulg.; *Ἀγάθων* F ‖ 12 *προγνόντος* F] *προσιόντος* vulg.; *εἰδότος* H ‖ 14 *ὑπὸ* K; *ἀπὸ* F ‖ 17 *συνεισέπεσον* Cas. K ex V *simul irruebant; συνέπεσον* F; cf. ad 2, 35. 3, 9, 45 *et Valckenaer* ad Herod. 9, 102 ‖ 20 *πόλεμον* MV; *πολέμῳ* F *vulg.: cf. praef.* libri I. 1, 20, 1. 2, 1, 2. 3, 9, 26. 4, 14.

θεούς· κεκληκέναι δὲ ἐπὶ τὴν εὐωχίαν τοὺς ἡγεμόνας τοῦ στρατεύματος καὶ λοχαγοὺς καὶ ταξιάρχους καὶ τοὺς ἐν τέλει πάντας. ἡ δὲ πιστεύσασα ὅσον εἶχε κόσμον ἐκπωμάτων, κρατήρων, τραπεζῶν, ἀργύρου, χρυσοῦ, πάντα ἔπεμψεν· ὁ δὲ πολλῶν χρημάτων κύριος γενόμενος τὸν μισθὸν ἀπέδωκε τοῖς μισθοφόροις.

Ἰάσων πόλιν πλουτοῦσαν ἑλών, πολλὰ καὶ λαμπρὰ 4 λάφυρα κομίζων ἔπεμψε πρὸς τὴν μητέρα κελεύων πέμψαι θεραπαίνας, ὅσαι ποικίλης καὶ πολυτελοῦς ἐσθῆτος ἐμπειρίαν καὶ τέχνην εἶχον, ὅπως ἐπιλέξαιτο πάντα τὰ κάλλιστα. ἡ δὲ πάσας, ὅσας εἶχε θεραπαίνας, ἔπεμψεν ἐπὶ τὴν ἐκλογὴν τῶν ἐσθήτων. Ἰάσων συγκλείσας αὐτὰς λύτρα ὑπὲρ αὐτῶν ᾔτησε τὴν μητέρα.

Ἰάσων πρὸς τὴν μητέρα ἐν τοῖς ἱστῶσι τῆς τα- 5 λασιουργίας τῶν θεραπαινῶν ἐπιμελομένην εἰσελθὼν μετὰ ἑνὸς τῶν ἀδελφῶν ὡς συμβούλῳ χρησόμενος τῶν ἀναγκαίων τῆς ἀρχῆς μεταστῆναι ταύτας ἐκέλευσεν. δορυφόροις μὲν δὴ συντεταγμένον ἦν ἀπάγειν ἀπάσας. αὐτὸς δὲ μετὰ μακρὰν ὁμιλίαν ἐξιὼν μειδιῶν τῇ μητρὶ προσέταξεν ὑπὲρ τῶν θεραπαινῶν ἀργύριον αὐτῷ πέμψαι.

Ἰάσων ἀδελφὸν εἶχε Μηριόνην ἄγαν πλουτοῦντα, 6 φιλάργυρον, μηδὲν αὐτῷ διδόντα· καὶ δή ποτε παιδίου γεννηθέντος αὐτῷ μέλλων ὄνομα τίθεσθαι τοὺς

1 *εὐωχίαν* Hertlein ex V *ad convivium; εὐχὴν* F ‖ 4 *ἀργυρίου* M; *ἄργυρον* m: cf. 6, 21. 8, 40 ‖ 10 *ἐπιλέξαιτο πάντα* scripsi; *ἐπιλέξαιτο πάντας* F; *ἐπιλέξαιτο αὐτῇ* Hertlein, Iahnii annal. 1867, p. 607; *ἐπιλέξαιντο αὐτῇ* vulg. ‖ 15 *ἐπιμελομένην* W; *ἐπιμένειν* F; *ἐπιμένουσαν* vel *εἰωθυῖαν ἐπιμένειν* Cas. ‖ 16 *συμβόλῳ* F, corr. vulg. ‖ *χρησάμενος* F ‖ 17 *περὶ τῶν ἀναγκαίων* vulg. ‖ *ταῦτα* F ‖ 18 *συντεταγμένον* Cas.; *συντεταγμένος* F ‖ 20 *ὑπὲρ* Patakis coll. 6, 1, 2 et 4; *περὶ* F.

*ἀρίστους Θετταλῶν καλέσας παρεκάλεσε τὸν ἀδελφὸν προστῆναι τῆς ὑποδοχῆς. ὁ μὲν δὴ περὶ ταῦτα εἶχεν, Ἰάσων δὲ κατὰ πρόφασιν θήρας ἐξελθὼν ἐς Παγασάς, ἔνθα Μηριόνης κατῴκει, περιστήσας τοὺς αἰχμοφόρους, βιασάμενος τοὺς οἰκονόμους, εἴκοσι ἀργυρίου τάλαντα λαβών, μετὰ σπουδῆς ἐπὶ τὸ δεῖπνον ἀνῆλθε καὶ τῷ ἀδελφῷ σπονδῶν κατάρχειν ἐπέτρεψε καὶ κύριον αὐτὸν εἶναι τῆς θέσεως τοῦ ὀνόματος τῷ παιδίῳ. Μηριόνης, * * ἤγγειλεν αὐτῷ πεπορθῆσθαι τὴν οἰκίαν, δεξάμενος τὸ χαρίεν ὄνομα ἔθετο τῷ παιδίῳ Πορθάονα.*

7 *Ἰάσων τὸν ἀδελφὸν Πολύδωρον ἤγαγεν ἐπὶ πόλιν ἁλίσκεσθαι μέλλουσαν λαφυροπώλην γενησόμενον. ἐπεὶ δὲ ἦν ὥρα λουτροῦ, παρεκάλεσε τὸν ἀδελφὸν σφοδρῶς αὐτοῦ τὸ σῶμα τρῖψαι καὶ διαγυμνάσαι. ὁ μὲν ἐπειρᾶτο τρίβειν εὐτόνως, Ἰάσων δὲ ὡς ἐνοχλούμενος ὑπὸ τοῦ δακτυλίου παρεκάλεσεν αὐτὸν παρὰ τὴν τρῖψιν ἀποθέσθαι. Πολύδωρος δὲ ἐξελὼν τῆς χειρὸς ἐπέδωκεν ἀνδρὶ πιστῷ τῶν παρόντων. τούτῳ δὲ ἦν ἄρα προσυγκείμενον δραμεῖν πρὸς τὴν γυναῖκα Πολυδώρου καὶ δόντα τὸν δακτύλιον ἀντὶ [τούτου] δέκα τάλαντα χρυσίου παρ' αὐτῆς λαβεῖν. ἡ δὲ τῷ δακτυλίῳ τοῦ ἀνδρὸς πιστεύσασα παραχρῆμα ἔδωκε τὸ χρυσίον· ὡς δὲ ἐπανῆλθεν ὁ τὸν δακτύλιον παρὰ Πολυδώρου λαβών, τότε Ἰάσων τριβόμενος ἐπαύσατο.*

---

6 *ἀνῆλθε* vel *ἐπανῆλθε* ut 6, 1, 7 Patakis; *rediit* V; *ἦλθε* F ‖ 8 *Μηριόνης ἀγγελίαν τοῦ πεπ* vulg.; lacunam statuit W, qui suppl. [*ὡς*] vel [*Ἰάσων γὰρ*] ‖ 9 *οἰκίαν* F] *οἰκείαν* vulg. ‖ 10 *χαρίεν* C; *χάρισμα* W; *χαρκι* . . . F (reliquis litteris a vermibus exesis ita tamen, ut videatur fuisse *εν* vel *αν*) ‖ *Πορθάονα* vulg.; *πο.θα.να* F (duabus litteris corrosis) ‖ 17 *ἐπέδωκεν* F] *ἐνέδωκεν* M; *ἀπέδωκεν* vulg.; *ἀνέδωκεν* W ‖ 18 *προσυγκείμενον* M; *προσεγκείμενον* F vulg. ‖ 20 *δόντα τὸν* Cas.; *τὸν δόντα* F; *ἐνδόντα* vel *ἐπιδόντα* RW coll. v. 17 ‖ *ἀντὶ* [*τούτου*] Patakis; *αἰτεῖν* Cas. RK; *ἀντὶ* et *λαβεῖν* *coniungenda* putat Roth ‖ 21 *τοῦ δακτυλίου* F, corr. vulg.

## 2. ΑΛΕΞΑΝΔΡΟΣ ΦΕΡΑΙΟΣ.

e. 21, 2 Ἀλέξανδρος Πάνορμον πολιορκοῦντος Λεωσθένους 1 36 πρὸς ἁπάσας τὰς Ἀττικὰς ναῦς φανερῶς ναυμαχεῖν οὐ θαρρῶν διέπεμψεν ἐπὶ ἀκατίου νύκτωρ πρὸς τοὺς ἔνδον στρατιώτας, ὅπως, εἴ τινες τῶν νεῶν ἐκλίποιεν τὴν φυλακήν, πρὸς τῷ πρότερον αἰρομένῳ πυρσῷ δεύτερον ἀνάσχοιεν τοῖς ἐν Μαγνησίᾳ, κἀκεῖνοι τοῖς ἐν Παγασαῖς. Λεωσθένης μὲν τρεῖς τριήρεις διέπεμψε, τὴν μὲν ἐπὶ Σάμου, τὴν δὲ ἐπὶ Θάσου, τὴν δὲ ἐπὶ Ἑλλησπόντου· οἱ δὲ πολιορκούμενοι τοὺς πυρσοὺς ἀνέσχον. Ἀλέξανδρος ἐπιπλεύσας ἄφνω καὶ προσπεσὼν ἐνίκησε τῇ ναυμαχίᾳ τοὺς Ἀθηναίους.

Ἀλέξανδρος μετὰ τὴν ἐν Πεπαρήθῳ ναυμαχίαν 2 36 ἐλπίσας λήψεσθαι τοὺς Ἀθηναίους ἀφυλάκτους ὡς μετὰ νίκην ἀμελῶς ἔχοντας συνέταξε τοῖς ἐπὶ τῶν νεῶν διὰ τάχους προσπλεῦσαι τῷ Δείγματι τοῦ Πειραιέως καὶ ἀπὸ τῶν τραπεζῶν ἁρπάσαι τὰ χρήματα. τῶν δὲ προσπλεόντων οἱ Ἀθηναῖοι φιλίας τὰς ναῦς εἶναι νομίσαντες ἀπεσκόπουν. οἱ δὲ ἀποβάντες τὸ πολεμικὸν ἐσήμηναν καὶ σπασάμενοι τὰς μαχαίρας ὥρμων ἐπὶ τὰς τραπέζας. οἱ μὲν Ἀθηναῖοι σπουδῇ ἔθεον ἐς τὸ ἄστυ τοῖς στρατηγοῖς ἀγγελοῦντες τὴν κατάληψιν τοῦ Πειραιέως, οἱ δὲ τὰ χρήματα ἁρπάσαντες ἀπέπλευσαν.

---

Cap. 2, §§ 1 et 2. Cf. Diod. 15, 95. — Schaefer, Demosth. I[1], p. 116 sq.; J. p. 590.

---

1 Φεραῖος F] ὁ Φεραῖος vulg.; om. M ‖ 4 ἀκατίου F] Ἀκάτιον vulg. ‖ 14 ἀφυλάκτους ὡς Patakis; ἀφυλάκτως F ‖ 15 καὶ ἀμελῶς vulg. ‖ 16 Πειρέως F; τῷ Πειραιεῖ coni. K.

### 3. ΑΘΗΝΟΚΛΗΣ.

*Ἀθηνοκλῆς πολιορκούμενος πρὸς τοὺς κριοὺς καὶ τὰ τρύπανα δοκοὺς μολίβδου ποιήσας πλαγίας παρέτεινεν ἐπὶ τὰς ἐπάλξεις, αἷς ἐμπιπτούσαις τῶν πολεμίων τὰ μηχανήματα συνετρίβετο. οἱ δὲ ἐτεχνάσαντο ἄλλο μηχάνημα προσάγειν, ὅπερ τὸ ἄκρον τῆς δοκοῦ πλῆξαν τὴν δοκὸν ἀπὸ τῶν ἐπάλξεων πίπτειν ὀρθὴν ἐβιάζετο μηδένα βλάπτουσαν τῶν ἐπὶ γῆς ἑστηκότων. πάλιν οἱ μὲν πολέμιοι χελώνας προσάγοντες τὰ τείχη συνέσειον, οἱ δὲ ἀπὸ τῶν τειχῶν μόλιβδον τηκτὸν ἐν χαλκείοις προωθοῦντες κατέχεον, ὑφ᾽ οὗ συνέβαινε τὴν χελώνην διαλύεσθαι. οἱ δὲ πολέμιοι κατὰ τῆς χελώνης ἐκ πύργων προσαγομένων ὄξος ἐπέχεον καὶ κατεσβέννυον τόν τε μόλιβδον καὶ ὅσα ἄλλα ἀπὸ τῶν τειχῶν καίοντα ἠφίετο. σβεστήριον γὰρ πυρὸς μάλιστα ὄξος εἶναι δοκεῖ· ἄριστον δὲ κώλυμα πυρὸς ἐπαλειφόμενον ὄξος — ἥκιστα γὰρ τούτου πῦρ ἅπτεται — καὶ σπόγγος ὕδατος πλήρης προσαρτώμενος. ἔνιοι δὲ πρὸς τὸν καταχεόμενον μόλιβδον πίλους τοῖς μηχανήμασιν ἐπιθέντες χοῦν καὶ πηλὸν τετριχωμένον προσῆγον.* e. 56, 6

—183

### 4. ΦΙΛΟΠΟΙΜΗΝ.

1 *Φιλοποίμην οὐκ ἐνόμιζε προσήκειν ἀγαθῷ στρατηγῷ τῆς φάλαγγος ἡγεῖσθαι· ἀλλὰ τοτὲ μὲν [ἐν] πρώτοις, τοτὲ δὲ ἐν ἐσχάτοις, πολλάκις δὲ καὶ κατὰ μέσους*

---

Cap. 3. Cf. Aeneas Tact. 33 sq.

---

4 *ἐμπιπτούσαις* scripsi; *ἐμπιπτόντων* F; *ἐμπίπτοντα* Cas. || 8 *βλάπτουσα* F, corr. vulg. || 12 *διακαίεσθαι* R || *κατὰ* K Hertlein; *μετὰ* F || 18 *προσαρτώμενος* M; *προσαρτυώμενος* F: cf. *περιαρτᾶν* *H* || *19* *πίλους* RK; *πλείους* F || 23 [*ἐν*] Cas.

*παριππεύων καὶ πάντας ἐφορῶν ἀεὶ τὸ ἁμαρτανόμενον ἐπηνωρθοῦτο.*

e. 12, 8 *Φιλοποίμην ὑπὸ Λακεδαιμονίων ἐδιώκετο· καὶ ὅσον* 2
*οὔπω καταλαμβανόμενος, τὸν Εὐρώταν διαβὰς προσέταξε τοῖς ἱππεῦσιν ἀποχαλινῶσαι τοὺς ἵππους καὶ ἀπὸ τοῦ ποταμοῦ ποτίζειν, τοῦ παρακειμένου τόπου δασέος ὄντος καὶ πολλὴν ὕλην ἔχοντος. οἱ δὲ Λακεδαιμόνιοι πολὺ τὸ θράσος ἰδόντες τῶν ἀποχαλινωσάντων τοὺς ἵππους καὶ (τῶν) ποτιζόντων ὑπώπτευσαν ἐν τῇ ὕλῃ συμμάχους τοῦ Φιλοποίμενος πολλοὺς ἀποκεκρύφθαι καὶ μὴ τολμήσαντες διαβῆναι τὸν ποταμὸν ἀνέστρεψαν.*

*Φιλοποίμην ἐδίδαξε τοὺς Ἀχαιοὺς ἀντὶ μὲν θυρεοῦ* 3
*καὶ δόρατος ἀσπίδα καὶ σάρισαν λαβεῖν, κράνεσι δὲ καὶ θώραξι καὶ προκνημῖσι φράξασθαι, μόνιμον δὲ καὶ βεβηκυῖαν μάχην ἀσκεῖν ἀντὶ δρομικῆς καὶ πελταστικῆς, τρυφὰς δὲ καὶ πολυτελείας ἐσθήτων καὶ δείπνων ἀφελεῖν, μόνοις δὲ τοῖς ἀναγκαίοις [καὶ τοῖς] ἐν στρατείᾳ χρησίμοις ἀρκεῖσθαι. ταῦτα διδάξας Φιλοποίμην ἐν ταῖς πλείσταις μάχαις εὐδοκιμοῦντας εἶχε τοὺς στρατιώτας.*

## 5. ΑΡΑΤΟΣ.

*Ἄρατος ἐκράτησεν Ἀκροκορίνθου φρουρὰν ἔχον-* 243
*τος, ἣν ἐγκατέστησεν Ἀντίγονος φύλακα τάξας ἐπ' αὐτοῦ*

---

Cap. 4. § 3. Cf. Plut. Philopoem. 9.
Cap. 5. Cf. Plut. Arat. 18 sqq. — Droysen III, 1, p. 412, not. 1; J. p. 649.

---

2 *ἐπηνωρθοῦντο* F] *ἐπανωρθοῦτο* vulg. ‖ 4 *Εὐρότα* F ‖ 5 *ἀποχαλινῶσαι* Roth; *ἀποχαλινοῦσι* F; *ἀποχαλινοῦν* Cas.; cf. H *ἀποχαλινωσάντας τοὺς ἵππους ποτίζειν* ‖ 7 *δὲ* F] *οὖν* H; om. vulg. ‖ 9 (*τῶν*) del. Hertlein ‖ 11 *ἀνεχώρησαν* H ‖ 14 *περικνημῖσι* Plutarch. ‖ 17 [*καὶ τοῖς*] Hertlein Iahnii annal. 1867, p. 607 ‖ 21 *φρουρὰν* M marg. pr. m; *φρουρὰς* F ‖ 22 *ἣν* F] *ἃς* vulg. ‖ *φύλακα* F] *φύλακας* vulg. ‖ *αὐτοῦ* F] *αὐτοὺς* vulg.; *αὐτοῖς* R.

πράττει, γελάσας ἔφη, 'οὐδὲ γὰρ ὑμεῖς εἰώθατε προλέγειν μέλλοντες πολεμεῖν· μὴ τοίνυν ἀγανακτεῖτε, εἰ πρὸς τοὺς Λάκωνας ἐχρησάμην Λακωνικῷ στρατηγήματι.'

3 Πύρρος συνεβούλευε πρὸ τοῦ πολέμου πείθειν τοὺς πολεμίους φόβῳ, πλεονεξίᾳ, ἡδονῇ, οἴκτῳ, δικαίῳ, νομίμῳ, συμφέροντι, δυνατῷ.

## 7. ΑΠΟΛΛΟΔΩΡΟΣ.

279 1 Ἀπολλόδωρος ὁ Κασσανδρεὺς δίκην φεύγων ὡς ἐπιτιθέμενος τυραννίδι, προελθὼν ἐν μελαίνῃ ἐσθῆτι, τὴν γυναῖκα καὶ τὰς θυγατέρας ἐν ὁμοίῳ σχήματι προαγαγών, ἱκετηρίας προτείνων αὐτὸν ἐς πᾶσαν τιμωρίαν ἐξέδωκε τοῖς δικασταῖς, οἳ παθόντες ἄφεσιν αὐτῷ τοῦ ἐγκλήματος ἐψηφίσαντο. ἀφεθεὶς Ἀπολλόδωρος οὐκ ἐς μακρὰν τὴν τυραννίδα κατέσχε καὶ μάλιστα δὴ τοὺς ἀφέντας δικαστὰς ὠμῶς ἐκόλασε τὴν σωτηρίαν ἀναφέρων εἰς τὴν ἑαυτοῦ στρατηγίαν, οὐκ εἰς τὴν ἐκείνων φιλανθρωπίαν.

279 2 Ἀπολλόδωρος πολιτευόμενος παρὰ Κασσανδρεῦσι πάντα ἔλεγε καὶ ἔπραττεν, ἀφ' ὧν ἔδοξεν εἶναι μισοτύραννος. καὶ γὰρ κατὰ Λαχάρους τοῦ τυράννου ψήφισμα ἔγραψεν, ἀγώγιμον ἐκ τῆς χώρας εἶναι τῆς Κασσανδρέων, καὶ Ἀντίοχον τὸν βασιλέα φίλον ποιεῖσθαι καὶ σύμμαχον, αὐτῷ τὴν πολιτείαν ἐπιτρέποντας·

---

Cap. 6. § 3. Cf. Front. strat. 2, 6, 10.
Cap. 7. Cf. Diod. fr. 22, 5 et 6. — Droysen II, 2, p. 344 et III, 1, p. 199, not. 2.

---

1 *πράττοι* H ‖ 2 *ἃ μέλλετε ποιεῖν πρὸς τοὺς πολεμίους* H ‖ 4 *συνεβούλευε* K; *συνεβούλευσε* F ‖ 8 *Κασσανδρεὺς* Nic. Heinsius; *Κασσάνδρου* F ‖ 9 *προελθὼν* F] *προσελθὼν* vulg. ‖ 20 *γὰρ* *om.* K ‖ 22 *καὶ γὰρ* vulg. ‖ 23 *ἐπιτρέποντας. καὶ* R Hertlein; *ἐπιτρέποντα ὃς καὶ* F.

*καὶ Θεοδότῳ γράψαντι φυλακὴν αὐτῷ δοῦναι τοῦ σώματος αὐτὸς ἀντεῖπε, καὶ τῆς ἀποδούσης Κασσανδρεῦσι τὴν ἐλευθερίαν Εὐρυδίκης ἑορτὴν κατεστήσατο, ἣν ἐκάλεσεν Εὐρυδίκεια, καὶ τοῖς ἐξελθοῦσι τῆς ἄκρας στρατιώταις πολιτείαν ἔγραψε καὶ κλήρους ἐν τῇ Παλλήνῃ δοθῆναι, ἵνα παραμένοιεν φύλακες τῆς ἐλευθερίας ἐν δὲ τοῖς συμποσίοις εἴ τις * * ἔφη δεινόν, ἀλλὰ καὶ σχέτλιον. οὕτω πάντας ἐξαπατήσας, ὡς δημοτικώτατος ὤν, ἐπανέστησεν οἰκέτας καὶ τοὺς ἀπὸ τῶν ἐργαστηρίων τεχνίτας, καὶ μειράκιον Καλλιμέλη συναρπάσας καὶ θύσας ἐπέδωκεν αὐτὸ μαγείρῳ Λεοντομένει. οὗτος δειπνοποιήσας τὰ σπλάγχνα παρέθηκε τοῖς συνωμόταις· ὧν δειπνησάντων καὶ πιόντων τὸ αἷμα οἴνῳ μέλανι μεμιγμένον, ἔδειξεν αὐτοῖς τὸ σῶμα τῇ κοινωνίᾳ τοῦ μιάσματος ἐμπεδῶν τὸ πιστὸν τῆς ἐπιθέσεως. καὶ δὴ τούτοις χρησάμενος συμμάχοις κατέσχε τὴν τυραννίδα, καὶ τύραννος ἐγένετο φονικώτατος καὶ ὠμότατος πάντων, ὅσοι παρ' Ἕλλησιν ἢ παρὰ βαρβάροις ἐτυράννησαν.*

## 8. ΑΙΓΥΠΤΟΣ.

*Αἴγυπτος ὑπὸ Μαυσώλου πεμφθεὶς ἐς Μίλητον* 377—3
*συμπράξων τοῖς προδιδοῦσι τὴν πόλιν, καταπλεύσας, προαισθόμενος ὡς ἐπιβουλεύοιτο, σπεύσας ἐπὶ τὴν ναῦν προανέβη. οἱ μὲν ἐπιβουλεύοντες ἐγγὺς τῆς θαλάττης*

3 *ἑορτὴν* Cas.; *ἣν* F: cf. 1, 19. 8, 4 ‖ 4 *Εὐριδίκεια* Maasv. R; *Εὐρυδικίαν* F ‖ 5 *πολιτείαν* [*εἶναι*] Patakis ‖ 7 * *] lacunam statuit vulg. ‖ 8 *οὕτω πάντας* Rud. Schoell; *τούτους* F; [*τὸν δῆμον*] Cas. ‖ 11 *ἐπέδωκεν* vel *ἐπετρεψεν αὐτὸ μαγείρῳ Λεοντομένει* W (cf. V *eumque coquo Leontomeni coquendum dedit*; *ἐπέστησεν αὐτῷ μάγειρον Λεοντομένῃ* F ‖ 15 *ἐμποδὼν* F ‖ 16 *κατέσχε* K; *κατέλυσε* F; *κατέλαβε* Davis ad Cic. de nat. deor. 3, 33: cf. 1, 21, 1. 3, 8. 5, 2, 2. 6, 7, 1. 6, 45 ‖ 18 *ἢ καὶ* M.

ἐφήδρευον· ὁ δὲ ἐκ τῆς νεὼς ἐκπέμπει τινὰ φράσας, 'τὸν κυβερνήτην ζητήσας [καὶ] Αἴγυπτον ἄγε· ἤδη γὰρ ἀνάγεσθαι χρή.' τοῦτ' ἀκούσαντες οἱ παραφυλάσσοντες Μιλήσιοι, τῆς νεὼς ἀποχωρήσαντες ἐζήτουν Αἴγυπτον ἀνὰ τὴν πόλιν· ὁ δὲ ἀφικομένου τοῦ κυβερνήτου ἀποκόψας τὸ ἀπόγειον ἀπέπλευσεν ἀκινδύνως.

37—347

## 9. ΛΕΥΚΩΝ.

1 *Λεύκων* χρημάτων δεόμενος ἐκήρυξεν, ὅτι μέλλοι κόπτειν ἄλλο νόμισμα καὶ δέοι προσφέρειν αὐτῷ τὸ ὑπάρχον ἑκάστῳ, ὅπως μετακοπὲν δόκιμον γένοιτο. οἱ μὲν προσήνεγκαν ὅσον εἶχον, ὁ δὲ ἄλλον χαρακτῆρα ἐπιβαλὼν ἐπέγραψε τὸ τίμημα διπλάσιον ἑκάστῳ νομίσματι, ὥστε τοῦ συλλεγέντος τὸ ἥμισυ κερδάνας οὐδένα τῶν πολιτῶν ἐζημίωσεν.

2 *Λεύκων* μαθὼν ὡς ἐπιβουλεύοιεν αὐτῷ φίλοι καὶ πολῖται συνομοσάμενοι πολλοί, τοὺς ἐμπόρους καλέσας ἅπαντας, χρήματα ὅσα εἶχεν ἕκαστος ἐδανείζετο, φάσκων τοὺς πολεμίους αὐτῷ προδίδοσθαι. οἱ μὲν ἔμποροι προθύμως ἐδάνειζον τὰ χρήματα, ὁ δὲ συναγαγὼν εἰς τὴν αὐλὴν αὐτοὺς ὡμολόγησε τὴν ἐκ τῶν πολιτῶν ἐπίθεσιν καὶ παρεκάλεσε φύλακας τοῦ σώματος αὐτοῦ γενέσθαι ὡς τὰ χρήματα κομιουμένους, εἰ σώζοιντο αὐτόν. καὶ δὴ τὰ χρήματα σῶσαι ἐθέλοντες οἱ ἔμποροι ὅπλα παραλαβόντες οἱ μὲν δορυφόροι τοῦ σώματος,

---

Cap. 9. Cf. Schaefer, Mus. Rhen. 35, p. 418; J. p. 592.

---

1 *ἐφήδρευον* Hertlein; *ἐφέδρευον* F ‖ *ἐκπέμπει* p; *ἐκπίπτει* F ‖ *φράσαι τῷ κυβερνήτῃ* p ‖ 2 [*καὶ*] W; [*καὶ τὸν*] Cas. ‖ 4 *Μιλίσιοι* F ‖ 10 *ἑκάστῳ* F] *ἕκαστον* vulg. ‖ *γένοιτο* F] *εἴη* vulg. ‖ 12 *ἐπέγραψε* K; *ἐπέτρεψε* F ‖ 13 *συλλέγοντος* F ‖ 20 *αὐτοὺς εἰς τὴν αὐλὴν* vulg.

οἱ δὲ τῶν ἀρχείων φύλακες ἐγένοντο. Λεύκων δὲ μετὰ τούτων καὶ μετὰ τῶν περὶ αὐτὸν πιστοτάτων τοὺς κοινωνοῦντας τῆς ἐπιθέσεως συλλαβὼν ἀπέκτεινε καὶ τὴν ἀρχὴν ἀσφαλῶς καταστησάμενος ἀπέδωκε τὰ χρήματα.

3 Λεύκων ἐν τῷ πρὸς Ἡρακλεώτας πολέμῳ αἰσθόμενος τῶν τριηράρχων τινὰς προδιδόντας καὶ αὐτομολεῖν μέλλοντας συλλαβὼν αὐτοὺς ἀκοῦσαι μὲν ἔφη περὶ αὐτῶν λόγους οὐκ ἐπιτηδείους, οὐ πιστεῦσαί γε μήν. ὅπως οὖν μὴ κατὰ τύχην ἥττης γενομένης αὐτοὶ δοκοῖεν αἴτιοι τοῦ σφάλματος, αὐτοὺς μὲν ἡσυχάζειν ἐκέλευσεν, ἄλλους δὲ τριηράρχους ἀπέδειξε· τοῖς δὲ οἰκείοις τῶν ὑπόπτων ἀρχὰς καὶ ἐπιμελείας ἐνεχείριζε κωμῶν, ὡς δὴ φιλοφρόνως ἔχων πρὸς αὐτούς. ἐπεὶ δὲ τὸν πόλεμον κατελύσατο, δίκαιον ἔφη κριθῆναι τοὺς ὑπόπτους, ἵνα μὴ δόξῃ ἀλόγως αὐτοῖς ἀπιστῆσαι. παρελθόντων δὲ εἰς τὸ δικαστήριον ὁμοῦ τοῖς οἰκείοις περιστήσας ὡπλισμένην δύναμιν ἅπαντας αὐτοὺς ἀναιρεθῆναι προσέταξεν.

14, 19 4 Λεύκων ἐπιστρατευσάντων Ἡρακλεωτῶν ναυσὶ πολλαῖς καὶ ἀποβαινόντων ὅποι τῆς χώρας ἐβούλοντο, ὁρῶν τοὺς αὐτοῦ στρατιώτας ἐθελοκακοῦντας καὶ οὐκ ἀνείργοντας ἔταξε τοὺς ὁπλίτας πρώτους πρὸς τὴν ἀπόβασιν τῶν πολεμίων, ἐπὶ δὲ τούτοις ὄπισθεν τοὺς Σκύθας· καὶ φανερῶς παρήγγειλε τοῖς Σκύθαις, ἐὰν οἱ ὁπλῖται ὀκνῶσι καὶ τοὺς πολεμίους ἀποβαίνοντας παρέχωνται, τηνικαῦτα τοξεύειν καὶ κτιννύειν αὐτούς.

6 τριηράρχων M; τριηραρχῶν F ‖ 9 καὶ κατὰ vulg. ‖ 12 ἐπιμελείας Wyttenbach in indice Graec. Plut. s. v.; ἐπιμελέας M; ἐπιτελείας F vulg. ‖ 13 ἐπειδὴ R ‖ 17 περιστήσας W; περιστησάμενος F: cf. ad 5, 28, 2 ‖ 21 τοὺς αὐτοὺς F ‖ 26 παρέρχωνται Cas.; ἀνέχωνται K; παραδέχωνται Patakis; παρίδωνται R.

*τοῦτο μαθόντες οἱ ὁπλῖται εὐρώστως τοὺς πολεμίους ἀποβαίνειν ἐκώλυον.*

## 10. ΑΛΕΞΑΝΔΡΟΣ ΦΡΟΥΡΑΡΧΟΣ.

399 *Ἀλέξανδρος φρούραρχος τῶν περὶ τὴν Αἰολίδα χωρίων, μισθωσάμενος τῶν ἀπ' Ἰωνίας τοὺς ἀρίστους ἀγωνιστάς, αὐλητὰς μὲν Θέρσανδρον καὶ Φιλόξενον, ὑποκριτὰς δὲ Καλλιππίδην καὶ Νικόστρατον, θέαν ἐπήγγειλε. πρὸς μὲν τὴν δόξαν τῶν ἀγωνιστῶν συνέδραμον ἐκ τῶν πλησίον πόλεων ἅπαντες. ἐπεὶ δὲ πλῆρες τὸ θέατρον ἦν, περιστήσας τοὺς στρατιώτας καὶ τοὺς βαρβάρους, μεθ' ὧν ἐφρούρει τὰ χωρία, πάντας τοὺς θεατὰς συλλαβὼν αὐτοῖς παισὶ καὶ γυναιξί, λύτρα μεγάλα λαβὼν τοὺς μὲν ἀπέλυσεν, αὐτὸς δὲ τὰ χωρία Θίβρωνι παραδοὺς ἀπηλλάγη.*

## 11. ΑΡΙΣΤΕΙΔΗΣ ΕΛΕΑΤΗΣ.

389 *Ἀριστείδης Ἐλεάτης Διονυσίῳ πολιορκοῦντι Καυλωνίαν ἐπέπλει μετὰ δώδεκα τριήρων. ὁ δὲ συνιδὼν ἐπανήχθη πέντε καὶ δέκα ναῦς πληρώσας. Ἀριστείδης ὑποστρέψας ὑποχωρεῖ καὶ νυκτὸς γενομένης ἐκέλευσεν ἆραι τοὺς λαμπτῆρας, οἷς αἱ τοῦ Διονυσίου νῆες εἵποντο. μετὰ μικρὸν δὲ τούτους καθελόντες ἑτέρους καθῆκαν ἐς τὴν θάλατταν φελλοῖς μεγάλοις ἐφηρμοσμένους κἀκ τοῦ φωτὸς ἐς τὸ πλάγιον ἐπιστρέψαντες ἔφθασαν ἐς τὴν Καυλωνίαν καταπλεύσαντες τῶν περὶ Διονύσιον πρὸς τὴν ἀπὸ τῶν φελλῶν αὐγὴν πλανωμένων.*

---

Cap. 10. Cf. Hertzberg, Agesilaus, p. 252, not. 26e.

---

3 *ὁ φρούραρχος* vulg. ‖ 8 *μὲν οὖν* vulg. ‖ 13 *αὐτὰ δὲ* R ‖ 14 *Θίβρωνι παραδοὺς* Cas. coll. V; *Θίβρων* (corr. F, ex *Θίβρωνι*) *ἐπάρας δοὺς* F ‖ 15 *Ἐλεάτης* om. vulg.

## 12. ΑΛΕΞΑΝΔΡΟΣ ΛΥΣΙΜΑΧΟΥ.

*Ἀλέξανδρος Λυσιμάχου καὶ Ἀμήστριδος υἱὸς εἰς* 281
*Κοτιάειον τῆς Φρυγίας βουλόμενος ἐλθεῖν καὶ λαθεῖν τοὺς μὲν ἀκολουθοῦντας νυκτὸς ἔκρυψεν εἴς τι κοῖλον χωρίον παρὰ τὴν πόλιν, αὐτὸς δὲ ἕωθεν διπλοΐδα Φρυγίαν τραχεῖαν καὶ ῥυπῶσαν περιβαλόμενος, πίλιον [τῇ] κεφαλῇ περιθέμενος, δύο παῖδας παραλαβών, ἑκατέρῳ φορτίον ξύλων ἐπιθεὶς καὶ μάχαιραν ὑπὸ μάλης δοὺς εἰσῆλθε διὰ τῆς πύλης ἄγροικος εἶναι νομιζόμενος. εἰσελθὼν δὲ τὸ μὲν πίλιον ἀπέθετο, γνωρισθεὶς δὲ ἐδεξιοῦτο πάντας ὡς ἐπὶ σωτηρίᾳ τῆς πόλεως ἥκων. οἱ δὲ κατακεκρυμμένοι κατὰ τὸ συγκείμενον ἀνεῳγμένῃ τῇ πύλῃ προσπεσόντες αἱροῦσι τὸ Κοτιάειον.*

## 13. ΑΜΦΙΚΤΥΟΝΕΣ.

c. 54, 20 *Ἀμφικτύονες Κίρραν ἐπολιόρκουν καὶ δὴ κρυπτὸν* 595
*ὑπόνομον εὗρον ἄγοντα ναματιαῖον ὕδωρ πολύ· καὶ τῇ Εὐρυλόχου γνώμῃ συλλέξαντες Ἀντικύραθεν πολὺ πλῆθος ἐλλεβόρου κατέμιξαν τῷ ὕδατι. Κιρραῖοι πιόντες διαφθείρονται τὰς γαστέρας καὶ πάντες ἐκλυθέντες ἔκειντο· Ἀμφικτύονες ἀπονητὶ τὴν πόλιν ἔλαβον κειμένων τῶν πολεμίων.*

---

Cap. 12. Cf. Droysen II, 2, p. 326, not. 3.
Cap. 13. Cf. Front. strat. 3, 7, 6 et Paus. 10, 37, 7.

---

1 ὁ *Λυσιμάχου* vulg. ‖ 2 *Ἀμήστριδος* Spanhemius; *Ἀμάστριδος* Palmerius; *μηστρίδου* F ‖ 3 *Κοτιάειον* Henr. Valesius; *Κωτίλιον* F (sic etiam v. 14) ‖ 6 *περιβαλλόμενος* MD ‖ 7 [*τῇ*] ins. K ‖ 12 *τὸ* om. vulg. ‖ 18 *Ἀντικύραθεν* K; *Ἀντικύροθεν* F ‖ 21 *τὴν Κίρραν πόλιν* vulg.

## 14. ΣΑΥΝΙΤΑΙ.

Σαυνῖται πρὸς τοὺς πολεμίους ὅρκους ἐποιήσαντο c. 39, 4 καὶ συνθήκας εἰρήνης πέρι. οἱ δὲ συνέθεντο μηδὲν ἄλλο ποιήσειν ἢ λίθον ἕνα ἐν κύκλῳ τοῦ τείχους ἐξελεῖν· τῶν δὲ οὐδὲν μέγα ἡγησαμένων οἱ πολέμιοι τοὺς κάτω λίθους τῶν τειχῶν ἐξεῖλον, ὅπως εἰς γῆν εὐκόλως καταφέροιτο.

## 15. ΚΑΜΠΑΝΟΙ.

Καμπανοὶ σπονδὰς ἐποιήσαντο πρὸς τοὺς πολε- c. 39, 5 μίους ἐπὶ τῷ δοῦναι τὰ ἡμίση τῶν ὅπλων αὐτοῖς· καὶ διατεμόντες τὰ ὅπλα ἐκέλευον τούτους τὰ ἡμίση λαμβάνειν.

## 16. ΚΑΡΧΗΔΟΝΙΟΙ.

3 1 Καρχηδόνιοι κατακλεισθέντες ἐς χωρίον ἄνυδρον ὑπὸ Διονυσίου περὶ συμβάσεως ἐπεκηρυκεύσαντο, ὁ δὲ ἐκέλευσεν αὐτοὺς ἀποστῆναι πάσης Σικελίας τὴν δαπάνην ἀποδόντας, ἣν ἐν τῷ τελευταίῳ πολέμῳ πεποίηται. οἱ πρόβουλοι τῶν Καρχηδονίων ὡμολόγουν ταῦτα ποιήσειν· οὐ μὴν εἶναι σφᾶς αὐτοὺς κυρίους ἄνευ τοῦ ναυάρχου δοῦναι βέβαιον ἀπόκρισιν. ἠξίουν δὴ μεταστρατοπεδεῦσαι πρὸς ἐκεῖνον. Διονύσιος μὲν ἐπέτρεψεν καίπερ ἀντιλέγοντος Λεπτίνου, Καρχηδόνιοι

---

Cap. 16. Cf. J. p. 518 sq., 593 sq.
Cap. 16. § 1. Cf. Diod. 15, 16. — Meltzer I, p. 310 et not. p. 515.

---

4 ἕνα ἐν scripsi; ἐν F; ἕνα H ‖ 7 καταφέροιντο K ‖ 10 ἡμίση FH] ἡμίσεα vulg. ‖ 11 οἱ δὲ κατατεμόντες H ‖ τούτους] αὐτοὺς H ‖ 17 πεποίηται vulg. V; ἐπεποίητο K; πεποίηνται F ‖ 19 μὴν K; μὲν F: cf. οὐ μὴν 1, 2. 1, 3. 1, 28, (2). 2, 37. 3, 9, *35. 3, 10, 5 etc.*

δὲ μεταστρατοπεδεύσαντες Διονυσίῳ τοὺς κήρυκας ἀπράκτους ἀνέπεμψαν.

2 Καρχηδόνιοι Σικελίαν πορθοῦντες, ὅπως αὐτοῖς ἀπὸ Λιβύης διὰ τάχους τὰ ἀναγκαῖα κομίζοιτο, κλεψύδρας δύο ποιήσαντες ἴσας τοῖς μεγέθεσι, κύκλους ἐν ἑκατέρᾳ διέγραψαν ἴσους ἔχοντας τὴν αὐτὴν ἐπιγραφήν. ἐπεγέγραπτο δὲ οὗ μὲν χρεία νεῶν, οὗ δὲ στρογγύλων πλοίων, ἀλλαχοῦ δὲ χρυσίου, καὶ πάλιν ἀλλαχοῦ μηχανημάτων καὶ πάλιν σίτου καὶ πάλιν θηρίων καὶ πάλιν ὅπλων καὶ πεζῶν καὶ ἱππέων. οὕτω δὴ πάντας τοὺς κύκλους ἐπιγράψαντες, τὴν ἑτέραν τῶν κλεψυδρῶν ἐν Σικελίᾳ κατασχόντες [τὴν ἑτέραν] ἐξέπεμψαν εἰς Καρχηδόνα συντάξαντες, ἣν ἴδωσιν ἀρθέντα πυρσὸν παρ' αὐτῶν, ἀποσκοπεῖν, ὅταν ὁ δεύτερος ἀναδειχθῇ πυρσός, ποίου κύκλου τοῦτο συμβήσεται· οὗ τὴν ἐπιγραφὴν ἀναγνόντας ὅτι τάχος τὸ σημαινόμενον διὰ τῶν γραμμάτων ἐκπέμπειν. τοῦτον τὸν τρόπον ὀξυτάτην εἶχον Καρχηδόνιοι τὴν κομιδὴν τῶν εἰς τὸν πόλεμον ἀναγκαίων.

3 Καρχηδόνιοι ναυσὶ [στρογγύλαις] καὶ τριήρεσιν ἔπλεον ἐπὶ Σικελίαν· Διονύσιος αἰσθανόμενος ναυσὶ πολλαῖς ἐπέπλευσεν. προϊδόντες Καρχηδόνιοι τὸν στόλον τὰς μὲν στρογγύλας τῶν νεῶν κύκλῳ περιστήσαντες ἑτέραν ἀπὸ τῆς ἑτέρας ἱκανὸν διάστημα, τὰς δὲ τριήρεις ἐς τὸ μέσον αὐτῶν ἀθροίσαντες, συχνοὺς δὲ τῶν ἀνδρῶν ἐπὶ τὰς ὁλκάδας ἐπιβιβάσαντες ἡμύ-

Cap. 16. § 2. Ad rem cf. Polyb. 10, 44—46.

12 [τὴν ἑτέραν] K ‖ 13 ἵν' ἴδωσιν F, corr. Cas. ‖ 14 αὐτῶν Cas.; αὐτῷ F ‖ 15 ποίῳ κύκλῳ K ‖ 20 [στρογγύλαις] ins. Cas. coll. V *navibus rotundis* ‖ 21 αἰσθόμενος Patakis ex V re *cognita* ‖ 22 προϊδόντες Hertlein; παριδόντες F: cf. 3, 11, 10.

*νοντο τοὺς πολεμίους ἐπιόντας· καὶ [διὰ] τῶν διαστημάτων ταῖς τριήρεσι διεκπλέοντες καὶ τοῖς τοῦ Διονυσίου σκάφεσιν ἐμβάλλοντές τινα μὲν αὐτῶν κατέδυσαν, τὰ δὲ ὅπλα πάντων ἀχρεῖα τελείως ἐποίησαν.*

4 *Καρχηδόνιοι πολεμοῦντες Ἱέρωνι, νύκτωρ ἐπιπλεύσαντες Μεσήνῃ πλησίον τῆς πόλεως ὑπὸ ἄκραν τινὰ καθωρμίσθησαν. ἐν τῷ λιμένι πολλαὶ τριήρεις καὶ στρογγύλαι νῆες ὥρμουν, ἐπὶ τοῦ στόματος ἄλλαι παρεφύλασσον. ὁ στρατηγὸς τῶν Καρχηδονίων ἄριστα πλεούσης νεὼς τὸν τριήραρχον καλέσας προσέταξεν αὐτῷ παρὰ τὸν λιμένα πλεῖν ἐγγίζοντα τοῦ στόματος, εἰ δὲ οἱ πολέμιοι διώκοντες ἐπαναχθεῖεν, φεύγειν ἄνω πελάγους. ὁ μὲν τριήραρχος ἐπέλαξε τῷ στόματι, οἱ δὲ κυβερνῆται τῶν ἐφορμουσῶν νεῶν ὑπολαβόντες εἶναι κατάσκοπον τὴν ναῦν ἐδίωκον κατὰ κράτος. ὡς δὲ μακρὰν ἀπεσπάσθησαν ἄχρι πελάγους διώκοντες, οἱ Καρχηδόνιοι τοῖς λοιποῖς σκάφεσι σπουδῇ πλεύσαντες ἐπὶ τὸν λιμένα τὰς μὲν τριήρεις κενὰς οὔσας ἐνέπρησαν, τῶν δὲ ὁλκάδων τὰς πλείστας ἐξείλκυσαν.*

160 5 *Καρχηδόνιοι περὶ Σικελίαν μαθόντες, ὅτι Ῥωμαῖοι* c. 41, 3 *ναῦς πλείονας αὐτῶν ἔχοιεν, βουλόμενοι ταύτας περισπάσαι πείθουσι τῶν ἰδίων πολιτῶν τινας αὐτομόλους γενέσθαι, οἳ πρὸς τὸν Ῥωμαίων στρατηγὸν Γναῖον Κορνήλιον ἐλθόντες ὑπέσχοντο, Λιπάραν τὴν νῆσον τὴν προκειμένην τῆς Σικελίας αὐτῷ προδώσειν. ὁ μὲν*

---

Cap. 16. § 5. Cf. Polyb. 1, 21 et Liv. perioch. libri 17. — J. p. 593—595.

---

1 [*διὰ*] Cas. K ut Polyb. 1, 50, 9 ‖ 3 *ἐμβάλλοντες* K; *ἐμβαλόντες* F ‖ *τινα μὲν* F] *τὰ μὲν* W, quod recte reiecit Hertlein ‖ 6 *ἄκραν τινὰ* Cobet, novae lect. p. 8; *ἄκρας τινὸς* Cas. K; *Ἀκραγαντίνων* F ‖ 23 *Γναῖον* p; *γενναῖον* F.

*δὴ πιστεύσας τὰ ἡμίση σκάφη πληρώσας κατέπλευσεν ἐς Λιπάραν. Καρχηδόνιοι δὲ ἐπαναχθέντες ἐγγὺς τῶν Ῥωμαϊκῶν νεῶν παρωρμίσαντο [καὶ] πρεσβευτὰς πρὸς τὸν Κορνήλιον ἔπεμψαν, οἳ τὸν ὕπατον ἐξικετεύσαντες, εἰρήνην σπείσαντες καὶ [ὅρκους] δόντες ἐδεήθησαν εἰς τὸ σκάφος αὐτῶν μεταβῆναι τοῦ Καρχηδονίων στρατηγοῦ χαλεπῶς νοσοῦντος, ὅπως ἐφ' οἷς δεῖ τὴν εἰρήνην ἀσφαλέστερον συνθοῖντο. πεισθεὶς ὁ Ῥωμαῖος μετέβη πρὸς τὸν Καρχηδόνιον. οἱ δὲ Λίβυες ἐγκρατεῖς αὐτοῦ γενόμενοι ταῖς πάσαις ναυσὶν ἐπιθέμενοι ῥᾳδίως ἐκράτησαν.*

17. ΑΜΠΡΑΚΙΩΤΑΙ.

56, 7 *Ἀμπρακιώτας Ῥωμαῖοι πολιορκοῦντες, ἐπειδὴ* 189
*πολλοὶ μὲν αὐτῶν ἐτιτρώσκοντο, πολλοὶ δὲ διεφθείροντο, σύριγγα στενὴν υπώρυξαν κάτωθεν τὴν πόλιν ἐκπολιορκεῖν βουλόμενοι. μέχρι μὲν δὴ πολλοῦ τοὺς πολεμίους ἐλάνθανον, ἐπεὶ δὲ χοῦς πολὺς ἐσωρεύετο, συνέντες Ἀμπρακιῶται τὸ δρώμενον καὶ αὐτοὶ σύριγγα ἔνδοθεν ἀνθυπώρυξαν καὶ τῆς σύριγγος ἐπ' ἄκρῳ τάφρον ἐγκαρσίαν τεμόντες λεπτὰ χαλκώματά ἐφεξῆς ἔθηκαν, ὅπως τῶν Ῥωμαίων τούτοις ἐντυγχανόντων ψόφος γένοιτο. καὶ δὴ γενομένου ψόφου ὑπὸ γῆς*

Cap. 17. Cf. Polyb. 21, 23 sq.; Liv. 38, 7; Zonar. 9, 21. — Aen. Tact. 37.

2 *ἐγγὺς* inserui ex H *Καρχηδόνιοι δὲ ἐπαναχθέντες ἐγγὺς τῶν Ῥωμαικῶν νεῶν κατὰ κράτος ἐνίκησαν* ‖ 3 [*καὶ*] K ‖ 5 [*ὅρκους*] Patakis, cf. 1, 39, 4. 5, 3, 2. 5, 17; [*πιστὰ*] Hertlein; [*ὁμήρους*] R ‖ 6 *αὐτῶν* vulg.; *αὐτὸν* F ‖ 15 *ὑπώρυξαν* vulg.; *ἐπώρυξαν* F, sed cf. infra v. 19 *ἀνθυπώρυξαν* et Aen. 37 ‖ [*ὡς*] *κάτωθεν* Roth ‖ *ἐκπολιορκεῖν* W; *ἐκπορθεῖν* F: cf. 7, 21, 2 et ad 4, 9, 4 ‖ 16 *βουλόμενοι* K; *δυνάμενοι* F; *οὐ δυνάμενοι* Cas. ‖ 20 *ἐπικαρσίαν* Polyb.

*ἀπαντήσαντες ἀπεμάχοντο ταῖς σαρίσαις. ἐπεὶ δὲ ἐν ὀρύγματι στενῷ καὶ σκότος ἔχοντι μέγα οὐδὲν ἤνυον, πίθον κατασκευάσαντες ἴσον τῷ ὀρύγματι, τρήσαντες αὐτοῦ τὸν πυθμένα, σιδηροῦν αὐλίσκον διέντες, πληρώσαντες πτίλων λεπτῶν, πῦρ ὀλίγον ἐμβαλόντες, πῶμα πλῆρες τρημάτων ἐπιθέντες νεῦον πρὸς τοὺς ἐναντίους τῇ σύριγγι τῶν πολεμίων προσήρεισαν· ὄπισθεν δὲ τοῦ πίθου χαλκευτικὸν ἀσκὸν προσαρμόσαντες, εἰς τὸν διατεταγμένον αὐλίσκον φῦσαν ἐνέντες ἐξέκαιον, ὥστε τῆς σύριγγος πληρουμένης καπνοῦ πολλοῦ καὶ δριμέος οἱ Ῥωμαῖοι μὴ φέροντες ἐξέλιπον τὴν ὑπὸ τῇ γῇ πολιορκίαν.*

## 18. ΦΩΚΕΙΣ.

480 1 *Φωκεῖς ἐς τὸν Παρνασὸν κατακλεισθέντες ὑπὸ* e. 1
*Θετταλῶν, γυψώσαντες αὐτοὺς καὶ τὰ ὅπλα καὶ σύνθημα ἀλλήλοις δόντες φείδεσθαι τῶν γεγυψωμένων νυκτὶ πανσελήνῳ ἐπικαταβάντες τοῖς πολεμίοις ἐπέθεντο. οἱ δὲ ὥσπερ φάσμα ξένον καὶ ἀλλόκοτον φοβηθέντες, ἔνιοι δὲ καὶ νομίσαντες Θετταλοὺς εἶναι τοὺς ἐπιτιθεμένους,*

Cap. 18. § 1. Ex Herodot. 8, 27; cf. Paus. 10, 1, 11. — J. p. 448 sq.

6 *τρημάτων* Polyb.; *πρισμάτων* F || *νεῦον* cod. S, in quo exstat fragm. Polyb.; *νεύσαντες* F: cf. Liv. *ore in cuniculum verso* || 9 *διατεταγμένον* F] fort. *διατεταμένον* Hertlein; *διαπεπαρμένον* R || *φῦσαν ἐνέντες* Fuchs; *φῶς ἐνέντες* F; *φυσῶντες* K, Polyb.: cf. Zonar. *τούτῳ φύσας προσφέροντες*; Liv. *folle fabrili ad caput fistulae imposito* || 10 *ἐξέκαιον* Hertlein coll. Polyb. et Liv.; *δίκαιον* F; *διέκαιον* vulg. || 14 *ὑπὸ Θετταλῶν γυψώσαντες* ex H inseruit W, om. F || 15 *αὐτοὺς* F || *καὶ σύνθημα . . . γεγυψωμένων* ex H inseruit W, om. F: cf. J. Klein, Mus. Rhen. 24, p. 632 || 19 *Θετταλοὺς* Sauppe, Symbol. ad emend. orat. Att. p. 11; *ἄλλους* F; *ἑτέρους* H; *ἠπιάλους* Hercher, Philol. 1851, p. 375; *ἀντιπάλους* Klein l. l.

*ἡττήθησαν καὶ πτῶμα ἐγένοντο Θετταλικὸν ἄνδρες τετρακισχίλιοι.*

37, 5 *Φωκεῖς τὴν Θετταλικὴν ἵππον διέφθειραν. τάφρον* 2 c. 48
*ὀρύξαντες κατὰ τὴν Ὑάμπολιν καὶ πληρώσαντες αὐτὴν κενῶν ἀμφορέων* (*καὶ*) *γῆν ὀλίγην ἐπέβαλον. ἐς ταύτην τὴν τάφρον ἐμπεσόντες οἱ ἱππεῖς αὐτοῖς ἵπποις διεφθάρησαν.*

## 19. ΠΛΑΤΑΙΕΙΣ.

42, 4 *Πλαταιεῖς Θηβαίων ἔλαβον αἰχμαλώτους. ἐπεὶ* 1 431
*δὲ ἐς τὴν Πλαταιΐδα ἐνέβαλον Θηβαῖοι, κήρυκα πέμψαντες ἠπείλησαν ἀποκτεῖναι τοὺς αἰχμαλώτους, εἰ μὴ τῆς χώρας ἐξέλθοιεν, [ἀποδώσειν δὲ ὑπέσχοντο, εἰ δῃώσεως ἀποσχόμενοι ἀπαλλάσσοιντο. πιστεύσαντες οἱ μὲν Θηβαῖοι τῆς χώρας ἐξῆλθον], Πλαταιεῖς δὲ τοὺς αἰχμαλώτους ἀπέκτειναν.*

21, 3 *Πλαταιεῖς ὑπὸ Λακεδαιμονίων πολιορκούμενοι νύ-* 2 428
*κτωρ ἐπέθεντο τῷ περιτειχίσματι· Λακεδαιμόνιοι πυρσοὺς πολεμίους ἐς τὰς Θήβας ἀνέσχον συμμαχίαν καλοῦντες. Πλαταιεῖς ἐκ τῆς πόλεως ἀντανέσχον πυρσοὺς φιλίους, ἵνα διὰ τῆς ἐπιπυρσείας ἀπατήσαντες Θηβαίους πείσωσιν ἀποστῆναι τῆς βοηθείας. οὕτω γε τοῖς πυρσοῖς ἐναντίοις ἀμφιδοξήσαντες Θηβαῖοι βοηθῆσαι κατώκνησαν.*

---

Cap. 18. § 2. Ex Herod. 8, 28; cf. Paus. 10, 1, 3.
Cap. 19. § 1. Ex Thucyd. 2, 5.
Cap. 19. § 2. Ex Thucyd. 3, 22 extr.

---

4 *Ὑάμπολιν* Valcken. ad Eurip. Phoen. p. 749 ex Herod.; *τὴν Ὑάμπολιν* Paus.; *τὴν πόλιν* F ‖ 5 (*καὶ*) del. K ‖ *ἐπέβαλλον* H; *ἐπιβαλόντες* K ‖ 8 *Πλατεεῖς* F et sic constanter ‖ 10 *Πλατεΐδα* F ‖ 12 sq. [*ἀποδώσειν δὲ* ... *ἐξῆλθον*] W ex Thucyd. inseruit ‖ 13 *οἱ μὲν Θηβαῖοι* W; *Θηβαῖοι μὲν* Sittl; *Θηβαῖοι οὖν* H ‖ 19 *ἀντανίσχον* H; *παρανίσχον* Thucyd. ‖ 20 *ἐπιπυρσίας* F ‖ 22 *τοῖς ἐναντίοις πυρσοῖς* H; *τοῖς πυρσοῖς* ⌊*τοῖς*⌋ *ἐναντίοις* K.

428 3 *Πλαταιεῖς ὑπὸ Λακεδαιμονίων καὶ Θηβαίων ἐπολιορκοῦντο. ἄνδρες διακόσιοι Πλαταιέων ἀσέληνον νύκτα καὶ χειμέριον παραφυλάξαντες τοῖς ἄλλοις πολίταις παρήγγειλαν κατὰ τὸ ἐναντίον μέρος τοῦ τείχους προσβαλόντας βοῆσαι. τῶν Λακεδαιμονίων ἔξωθεν ἐπ' ἐκεῖνον τὸν τόπον προσβοηθούντων, οἱ δὲ κατὰ τὸ ἐναντίον προσθέμενοι κλίμακας ὑπερέβησαν τὸ τεῖχος. οὐ μὴν οὐδὲ τὴν ἐπ' Ἀθηνῶν ὁδὸν ἐτράποντο, ἀλλὰ τὴν ἐπὶ Θηβῶν, ὡς ἥκιστα ἂν κατὰ ταύτην διωχθέντες· καὶ γὰρ οὕτω συνέβη. Λακεδαιμόνιοι μὲν διὰ τοῦ Κιθαιρῶνος ἐδίωκον, οἱ δὲ Πλαταιεῖς ἐκ τῆς ὁδοῦ τῆς Θηβαϊκῆς ἐκκλίναντες ἐπανῆλθον ἐς τὰς Ὑσιὰς κἀκεῖθεν Ἀθήναζε διεσώθησαν.*

## 20. ΚΕΡΚΥΡΑΙΟΙ.

425 *Ἀθηναῖοι στρατεύουσιν ἐπὶ Κερκυραίους φυγάδας καταλαβομένους τὸ τῆς Ἰστώνης ὄρος. οἱ δὲ [τὰ] ὅπλα παρέδωκαν ἐπιτρέποντες τῷ δήμῳ [τῷ] τῶν Ἀθηναίων βουλεύσασθαι περὶ αὐτῶν· ἐὰν δέ τινες αὐτῶν φεύγοντες ἁλῶσι, [ἅπασι] λελύσθαι τὰς σπονδάς. Κερκυραῖοι δείσαντες, μὴ φιλανθρώπως βουλεύσηται περὶ αὐτῶν ὁ Ἀθηναίων δῆμος, κρύφα ἔπεμψαν πρὸς ἐνίους ἀποδρᾶναι συμβουλεύοντες καὶ πλοῖον αὐτοῖς παριστάντες, ἵνα πεισθέντων φυγεῖν αἱ σπονδαὶ λυ-*

Cap. 19. § 3. Ex Thucyd. 3, 22—24. — Cf. J. p. 523.
Cap. 20. Ex Thucyd. 4, 46 sqq. — Cf. J. p. 523 sq.

5 *βοῆσαι* W coll. Thucyd. *ἐχώρουν πρὸς τὴν βοήν*; *βοηθῆσαι* F ‖ 6 *παραβοηθούντων* Thucyd. ‖ 12 *Ὑσιὰς* Valcken. ad Herod. 5, 74; *Θήβας* F; *Ἐρύθρας* K; *ἐς Ἐρύθρας καὶ Ὑσιὰς* Thucyd. ‖ 16 [*τὰ*] K ‖ 17 [*τῷ*] inserui coll. v. 21 ‖ 19 [*ἅπασι*] Sittl coll. Thucyd. ‖ 22 *ἐνίους* Rud. Schoell; *Ἀργείους* F; *αὐτοὺς* Cas.; *ὀρείους Sittl; τῶν ἐν τῇ νήσῳ πείθουσί τινας ὀλίγους* Thucyd.

*θεῖεν. Ἀθηναῖοι δὲ ὡς παρασπονδήσαντας αὐτοὺς ἐξέδωκαν τοῖς Κερκυραίοις, οἱ δὲ παραλαβόντες ἅπαντας ἀπέκτειναν.*

21. ΕΓΕΣΤΑΙΟΙ.

*Ἐγεσταῖοι τῆς Ἀθηναίων συμμαχίας δεόμενοι* 415 *πολλὰ καὶ μεγάλα χρήματα ὑπέσχοντο. πεμψάντων δὲ πρέσβεις τοὺς ὀψομένους τὴν παρασκευὴν τῶν χρημάτων, χρησάμενοι ἐκ τῶν πλησίον πόλεων ἄργυρον καὶ χρυσὸν, τά τε ἱερὰ τῶν θεῶν ἐκόσμησαν καὶ τὰς τῶν ἰδιωτῶν οἰκίας. οἱ πρεσβευταὶ πλοῦτον ἰδόντες ἤγγειλαν Ἀθηναίοις, οἱ δὲ τὴν συμμαχίαν ἔπεμψαν.*

22. ΛΟΚΡΟΙ.

*Οἱ κατὰ τὴν Ἰταλίαν Λοκροὶ σπονδὰς ποιούμενοι* 683 *πρὸς Σικελοὺς σκορόδων κεφαλὰς ὑπὸ τοῖς χιτωνίσκοις ἐπὶ τοὺς ὤμους ἐπιθέντες καὶ γῆν ἐμβεβλημένην τοῖς ὑποδήμασιν ὑπὸ τοῖς ποσὶν ἔχοντες ὤμοσαν πρὸς τὸ βέβαιον αὐτοῖς φυλάξειν τὴν πολιτείαν, ἐφ' ὅσον ἂν τὴν γῆν ταύτην πατῶσι καὶ τὰς κεφαλὰς ἐπὶ τοῖς ὤμοις φέρωσι. τοῖς ὅρκοις πιστεύσαντας τοὺς Σικελοὺς ἀνεῖλον οἱ Λοκροὶ μετὰ μίαν ἡμέραν ὡς οὐκέτι τῆς αὐτῆς γῆς ἐπιβαίνοντες οὐδὲ τὰς κεφαλὰς ἐπὶ τοῖς ὤμοις φέροντες.*

---

Cap. 21. Ex Thucyd. 6, 46; cf. Diod. 12, 83.
Cap. 22. Cf. Polyb. 12, 6. — J. p. 595 sq.

---

4. 5 *Αἰγεσταῖοι* F ‖ 8 *χρησάμενοι* F et Diod.; *αἰτησάμενοι* Thucyd. ‖ *ἄργυρον καὶ χρυσὸν* Cas. K; *ἀργύρου καὶ χρυσοῦ* F ‖ 12 *Λοκροὶ οἱ Ἐπιζεφύριοι* vulg. ‖ 15 *ἐπὶ* Polyb. Cas.; *ὑπὸ* F ‖ *ἐπιθέντες* F] *ἐπιτιθέντες* M; *ὑποθέμενοι* Polyb. ‖ 18 *ταύτην* Polyb. et V *eam; αὐτὴν* p; *αὐτῶν* F; *τὴν αὐτὴν γῆν* Hertlein; *τὴν γῆν* [*τὴν*] *αὐτὴν* Roth ‖ 19 *φορῶσι* Polyb. ‖ 20 *οὐκέτι* V *iam non; οὐκ ἐπὶ* F: cf. 7, 34.

## 23. ΚΟΡΙΝΘΙΟΙ.

414 *Κορίνθιοι Συρακουσίοις βοήθειαν πέμποντες, μαθόντες εἴκοσι ναῦς Ἀττικὰς περὶ Ναύπακτον ἐφορμεῖν παραφυλαττούσας, πληρώσαντες εἴκοσι καὶ πέντε τριήρεις, ταύταις μὲν ἐν Πανόρμῳ τῆς Ἀχαΐας ἀνθώρμουν ἀντικρὺ τῶν Ἀττικῶν. τούτων δὲ παραφυλαττόντων ἀλλήλους ὁλκάδες μεσταὶ Κορινθίων ὁπλιτῶν ἀπῆραν ἐκ Πελοποννήσου σύμμαχοι Συρακουσίοις, Ἀθηναῖοι δὲ προσεῖχον ταῖς ἀνθορμούσαις τριήρεσιν.*

## 24. ΛΑΜΨΑΚΗΝΟΙ.

*Λαμψακηνοὶ καὶ Παριανοὶ γῆς ὁρίων ἀμφισβητοῦντες συνέθεντο, ἡνίκ' ἂν ὄρνιθες ᾄσωσι πρῶτον, πέμψειν ἄνδρας ἐξ ἑκατέρας πόλεως πρὸς ἀλλήλους· ὅπου δ' ἂν οἱ πεμφθέντες ἀπαντήσωσι, τοῦτον ἀμφοτέροις ὅρον τῆς γῆς γενέσθαι. ἐπειδὴ ταῦτα ἔδοξεν, οἱ Λαμψακηνοὶ τῶν ἐν [τούτοις] τοῖς τόποις θαλασσουργῶν ἔπεισάν τινας, ὅταν ἴδωσι τοὺς Παριανοὺς παριόντες, ἰχθῦς ἀφθόνως ἐπιβάλλειν τῷ πυρὶ καὶ οἶνον πολὺν ἐπισπένδειν ὡς Ποσειδῶνι θύοντας καὶ παρακαλεῖν αὐτοὺς μετ' εὐφημίας τιμῆσαι τὸν θεὸν σπονδῶν κοινωνήσοντας. οἱ μὲν ἁλιεῖς [ταῦτα ἐποίησαν], οἱ δὲ πεισθέντες τοῖς ἁλιεῦσι συνήσθιον καὶ συνέπινον τὸ σπουδαῖον*

---

Cap. 23. Ex Thucyd. 7, 17. — Cf. J. p. 525.
Cap. 24. Ex Charone Lampsaceno haec fluxisse putat Schmidt, das Pericl. Zeitalt. II, p. 120 sq., sed cf. J. p. 596.

---

2 *μαθόντες* F] *ἀκούσαντες* vulg. ‖ 3 *κ'* i. e. *εἴκοσι* MV; *χ'* i. e. *ἑξακοσίους* F vulg. ‖ 4 *κ'* i. e. *εἴκοσι* MV; *η'* i. e. *ὀκτὼ* F vulg. ‖ 5 *ταύτας* F, corr. Cas. ‖ 11 *περὶ γῆς* vulg. ‖ 12 *ἡνίκ' ἂν* Hertlein; *ἡνίκα* F ‖ *πρῶτον* M; *πρῶτοι* F vulg. ‖ 13 *πρὸς* F] *ἐς* vulg. ‖ 16 [*τούτοις*] Patakis ‖ 20 *κοινωνήσαντας* K ‖ 21 [*ταῦτα ἐποίησαν*] K ‖ 22 *συνέπινον* vulg.; *συνέπιον* F.

*τῆς πορείας ἀνέντες. Λαμψακηνοὶ δὲ συντείναντες ἐπὶ τὸ Ἑρμαῖον φθάσαντες ἦλθον· τοῦτο δὲ Παρίου μὲν ἀπέχει στάδια ἑβδομήκοντα, Λαμψάκου δὲ διακόσια. τοσαύτην γῆν ἀπετέμοντο τῇ τέχνῃ Λαμψακηνοὶ Παριανῶν μεθόριον στησάμενοι τὸ Ἑρμαῖον.*

## 25. ΧΑΛΚΗΔΟΝΙΟΙ.

*Χαλκηδόνιοι Βυζαντίοις πολεμοῦντες ἀνοχὰς [ἓξ] ἡμερῶν συνθέμενοι προεχειρίσαντο ἄνδρας ἑκάτεροι δέκα περὶ τῆς εἰρήνης βουλευσομένους. τρισὶν ἡμέραις ἐβουλεύσαντο, τὴν τετάρτην παραλείψειν ἔφασαν οἱ Χαλκηδόνιοι διά τινας ἀσχολίας ἀναγκαίας. συγχωρησάντων Βυζαντίων, οἱ δὲ νύκτωρ πληρώσαντες τὰς ναῦς ἄφνω προσέπεσον μὴ προσδοκῶσι Βυζαντίοις πόλεμον διὰ τὸ λοιπὰς τῶν ὅλων εἶναι ἡμέρας δύο.*

* * *

## 27. ΛΑΚΕΔΑΙΜΟΝΙΟΙ.

6, 8 *Ὅτι Ἀθηναίων καὶ Λακεδαιμονίων ἐν τῇ Ἀσίᾳ νῆες ἀνθώρμουν ἐν τοῖς ὅρμοις ὑπ' ἀλλήλων ὁρώμεναι· κατὰ δὲ τὸν αὐτὸν καιρὸν ἀναχθεῖσαι πάλιν ἀπέπλεον καὶ τὰ πληρώματα ἐξεβίβαζον. τοῦτο ἐπὶ συχνὰς ἡμέρας ἔδρων παραφυλάττοντες ἀλλήλους. ὁ Λάκων ἀσελήνῳ νυκτὶ τὰ πληρώματα μετὰ σιγῆς προσέταξεν εἰσαγαγεῖν, ἐπεὶ δὲ ἦν ἡμέρα, φανερῶς ἐνεβίβασεν τοὺς πελταστὰς καὶ τὴν ἡσυχίαν εἶχεν ἐν ταῖς ναυσίν. οἱ Ἀθηναῖοι τοῦτο ἰδόντες καὶ αὐτοὶ ὁμοίως ἐποίουν. ἦν ἀρίστου ὥρα. οἱ Λάκωνες ἐξεβίβασαν τοὺς πελταστὰς καὶ σίτου φροντὶς ἦν αὐτοῖς· ὁμοίως καὶ οἱ Ἀθηναῖοι τοὺς πελταστὰς ἐξεβίβασαν καὶ περὶ ἄριστον ἐπονοῦντο. ἐν τούτῳ τῷ καιρῷ τὰ πληρώματα τῶν Λακωνικῶν νεῶν ἀντικαθιστάμενα ἐπέπλευσαν ταῖς* 1

---

4 *ἀπέτεμον* vulg. ‖ 5 *συστησαμενοι* vulg. ‖ 6 *Καρχηδόνιοι* $F_1$, corr. $F_2$ (sic etiam v. 7) ‖ 7 [ἓξ] K ‖ 14 *τὰς λοιπὰς* F ‖ 15 capp. 27. 36. 38 (except. § 10). 41 inserta sunt ex H ‖ 17 *ὑπ' ἀλλήλων ὁρώμεναι* $H_F$] *ὁρμώμεναι* $H_P$, quamobrem *ἐπ' ἀλλήλων* Roth ‖ 27 *ἀντικαθιστάμενα* Roth; *ἀντικαθιστάντα* H.

*Ἀθηναίαις ναυσὶ κεναῖς οὔσαις καὶ τὰς πλείστας αὐτῶν συνέτριψαν τῶν ἀνδρῶν ἀριστοποιουμένων.*

2 *Ὅτι καὶ Φιγαλεῖς πολιορκούμενοι πέμψαντες κήρυκα ἐξεκαλοῦντο* e. 28, 4 *Ἀργείους πρὸς συμμαχίαν. ὃν κρατήσαντες οἱ Λάκωνες Ἀργείων σχῆμα μεταμφιασάμενοι ἐφέροντο ὡς ἀπὸ τῆς ἐξ Ἀργείων ἀπαγούσης ὁδοῦ· οὓς ἰδόντες Φιγαλεῖς καὶ νομίσαντες τὴν συμμαχίαν ἥκειν ἀνοίξαντες τὰς πύλας ὑπεδέξαντο.*

* * *

## 36. ΗΛΕΙΟΙ.

*Ὅτι Ἠλεῖοι Ξενίαν τὸν προεστηκότα τῆς πόλεως ὑποπτεύσαντες* e. 40, 3 *ἀρκαδίζειν βέβαιον ἔλεγχον οὐκ εἶχον. τῶν δὲ διαπολιτευομένων αὐτῷ τινες πείθουσιν ἐπιδημοῦντα Λάκωνα ἐπιλαβέσθαι παιδὸς Ἀρκάδος ὡς οἰκέτου. προελθούσης δὲ τῆς δίκης ἐπὶ τοὺς ἄρχοντας τὸ μὲν πλῆθος τῷ Λάκωνι συνέπραττεν, ὁ δὲ Ξενίας τῷ Ἀρκάδι. στάσεως δὲ γενομένης προῆλθε τὸ πρᾶγμα μέχρι τῆς ἐκκλησίας κἀκεῖ πάλιν ὁ Ξενίας τοῦ Ἀρκάδος ὑπερηγωνίζετο. οὕτως ὁ δῆμος ἐλέγχῳ φανερῷ μαθὼν ἀρκαδίζοντα θάνατον αὐτοῦ κατεχειροτόνησεν.*

* * *

## 38. ΑΝΝΙΒΑΣ.

1 *Ὅτι Ἀννίβας ἐν πολέμῳ φονευθέντα † Φλαῦον, ἐπειδὴ τὸ* e. 4, 9 *σῶμα αὐτοῦ προσήνεγκαν οἱ Νομάδες καὶ συνεβούλευον αἰκίζεσθαι, οὐκ ἐπέτρεψεν, ἀλλὰ τόν τε ἄνδρα ὡς ἀγαθὸν στρατηγὸν ἐπήνεσεν καὶ τὰ νενομισμένα τῇ ταφῇ ἐπιτελέσας πρὸς τὴν Ῥώμην ἀπέπεμψεν, ὅθεν καὶ πολλὴν εὔνοιαν παρὰ Ῥωμαίων ἐκτήσατο.*

2 *Ὅτι Ἀννίβας ἔπειθε τοὺς ἰδίους, ὡς οἱ κατὰ πόλεμον* e. 14, 2 *εὐψύχως ἀποθνήσκοντες ἀναβιώσκουσι μετ' οὐ πολὺν χρόνον,*

---

Cap. 38. § 1. Cf. J. p. 671 sq.

---

1 *Ἀθηναίαις* W; *Ἀσίαις* H ‖ 4 *ὃν* H] *οὗ* W ‖ 9 *Ξενίαν* proposuit Roth; *Θεννίαν* hic et infra H ‖ 17 *αὐτοῦ* $H_F$] *αὐτῷ* $H_P$ ‖ 19 *Φλαῦον* H; num *Φλάκκον* coll. 6, 38, 7? cf. J. p. 671 sq.; *Φλαοῦον* W, qui cogitavit de Decidio Flavo (Liv. 27, 14; Plut. *Marcell. 26*); *Παῦλον* Luterbacher.

*καὶ δή ποτε γενναίῳ στρατιώτῃ γενναίως ἀποθανόντι ὅμοιον εὑρὼν ἔπεισε λέγειν, ὡς ὁ προτελευτήσας ἐστίν.*

e. 19, 4 *Ὅτι καὶ Ἀννίβας παραταssόμενος ἔταξεν τοὺς μὲν γενναιο-* 3 216
*τέρους ἑκατέρωθεν τῆς φάλαγγος, τοὺς δὲ ἀσθενεστέρους ἐν μέσῳ προὔχοντας ὑπὲρ τὴν φάλαγγα καὶ παράγγελμα ἔδωκεν, ἡνίκα τοὺς μέσους ὠσάμενοι διώκειν ἐπιχειροῖεν [οἱ πολέμιοι], συνάπτειν τὰ κέρατα. ἡ κύκλωσις αὕτη πεντακισμυρίους ἔκτεινεν ἐν τῇ μάχῃ.*

e. 23 *Ὅτι Ἀννίβας περὶ Κάννας διάγων τῶν πεδίων ὑφάμμων* 4 216
*ὄντων κατὰ νώτου τὸν ἄνεμον λαβὼν προήγαγε τὴν φάλαγγα. οἱ Ῥωμαῖοι τὴν ἄμμον ἐμπίπτουσαν τοῖς ὀφθαλμοῖς οὐ φέροντες εἰς φυγὴν ἐτρέποντο.*

e. 25, 3 *Ὅτι Ἀννίβας ἐν τῇ Καμπανῶν Ῥωμαίους κατεστρατήγησεν* 5 216
*τούτῳ τῷ τρόπῳ. χειμῶνος ὄντος παρήγγειλεν Ἀννίβας ‘ὅταν σημάνῃ τὸ πολεμικόν, καθεύδετε, ὅταν τὸ ἀνακλητικόν, ἔξιτε ἀμφὶ δευτέραν φυλακήν’. ἐσήμανε τὸ πολεμικόν· Ῥωμαῖοι καταπλαγέντες ἐν τοῖς ὅπλοις ἦσαν. πάμπολυ διαλιπὼν Ἀννίβας τὸ ἀνακλητικὸν ἐσήμανε. Ῥωμαῖοι ταλαιπωρήσαντες τῷ χειμῶνι καὶ τῇ ἀγρυπνίᾳ ἀναχωρήσαντες κατηνέχθησαν εἰς ὕπνον. Ἀννίβας ἐπιπεσὼν πάντας διέφθειρεν.*

e. 25, 4 *Ὅτι Ἀννίβας περὶ Κασιλῖνον νυκτὸς χειμερίου γενομένης* 6 216
*διελὼν εἰς μέρη προσήγαγε τὴν δύναμιν παραγγείλας, ἐπειδὰν πρῶτον σημάνῃ τὸ πολεμικόν, τὸ πρῶτον μέρος προσβαλεῖν, ὅταν δὲ οἱ σαλπιγκταὶ τὸ ἀνακλητικὸν σημάνωσι, τῶν προτέρων παυσαμένων τοὺς δευτέρους προσβαλεῖν καὶ ἐφεξῆς τὸ τρίτον καὶ τέταρτον, καὶ τῷ τοιούτῳ τρόπῳ ἐνίκησεν.*

e. 41, 4 *Ὅτι Ἀννίβας περὶ τὴν Ἐρδονίαν Φλάκκον Ῥωμαίων στρα-* 7 212
*τηγὸν λοχήσας ἀπέκτεινεν μετὰ πάντων τῶν ὑπ' αὐτῷ καθεὶς*

---

Cap. 38. § 3. Cf. Plut. Fab. 16; Front. strat. 2, 2, 7.
Cap. 38. § 4. Cf. Plut. Fab. 16; Front. strat. 3, 2, 7.
Cap. 38. § 5. Cf. J. p. 672 sq.
Cap. 38. § 6. Cf. Front. strat. 2, 5, 25; Zonar. 9, 3. — Woelfflin, Hermes 9, p. 123.

---

1 *ποτε* $H_F$; *τότε* $H_P$ ‖ 6 [*οἱ πολέμιοι*] vel [*οἱ Ῥωμαῖοι*] W ‖ 12 *ἐτράποντο* Roth ‖ 19 *ἀναχωρήσαντες* H; *παραχωρήσαντες* Roth; *ἀναγορεύσαντες* W ‖ 27 *ἀνδρονίαν* H, sed infra p. 304, 2 recte *Ἐρδονίαν* ‖ 28 *αὐτῷ* W; *αὐτὸν* H.

Ἐρδονιάτην ψευδοπροδότην, ὃς αὐτομολήσας ἔπειϑεν τὸν Φλάκκον ἐλϑεῖν ἐπὶ τὴν Ἐρδονίαν ὡς τῶν ἀρίστων ἐν τῇ πόλει καλούντων αὐτὸν διὰ τὸ μὴ φέρειν τὴν βαρύτητα Καρχηδονίων.

217 8 Ὅτι Ἀννίβας ὑπὸ Ῥωμαίων ἐν στενοχώροις ἀποκλεισϑεὶς e. 46 τόποις ὑπ' αὐτῶν φυλασσομένοις ταύρους συναγαγὼν καὶ ἐπὶ τῶν κεράτων λαμπάδας ὑφάψας ἐς τὸ στενωπὸν ἐνεβίβασεν· δι' ὧν τοὺς παραφυλάττοντας ἐκπλήξας εἰς φυγὴν ἔτρεψεν, αὐτὸς δὲ ἀσφαλῶς ἀνεχώρησεν.

9 Ὅτι ὁ αὐτὸς ἀναζεῦξαι βουλόμενος ἀπέλιπε τοὺς ἱππεῖς, e. 46, ὅπως ὁ Ῥωμαίων στρατηγὸς ὁρῶν αὐτοὺς μὴ ἐννοήσῃ τὴν ἀνάζευξιν· ἐκεῖνοι γὰρ ἔμελλον ῥᾳδίως ἀφιππάζεσϑαι.

10 Ἀννίβας μὴ δυνάμενος [ἑλεῖν] πόλιν τῶν Ῥωμαίων παραϑαλασσίαν ἔπεμψεν πλοῖα πρὸς αὐτὴν καὶ ἔστησεν εἰς αὐτὰ Ῥωμαϊκὸν σημάδιον. ἰδόντες δὲ τὸ σημάδιον οἱ πολῖται ἐξῆλϑον ὡς δῆϑεν πρὸς ὑποδοχὴν Ῥωμαίων καὶ ἐνέπεσον εἰς ἐγκρύμματα καὶ ἐσφάγησαν.

* * *

## 41. ΑΜΙΛΚΑΣ.

811/810 1 Ὅτι Ἀμίλκας Ἕλληνι τακτικῷ χρώμενος τοῦτον αἰσϑόμενος e. 29 Ἀγαϑοκλεῖ πάντα ἐξαγγέλλειν ὅσα μέλλοι πράττειν, προεῖπεν, ὡς τὸ ναυτικὸν ἐκεῖ πέμψας βούλοιτο καταλαβέσϑαι τὸ παρὰ Συρακούσαις Ὀλύμπιον. ὁ μὲν τακτικὸς ἐν ἀπορρήτῳ πέμψας Ἀγαϑοκλεῖ τοῦτο προεμήνυσεν, ὁ δὲ Ἀμίλκας συνέταξε ταῖς ναυσίν,

---

Cap. 38. § 8. Cf. Plut. Fab. 6.
Cap. 38. § 9. Cf. Zonar. 8, 25.
Cap. 41. Cf. Holm II, p. 476, not. ad p. 234; Meltzer I, p. 524.

---

5 τόπους H, unde W coni. ἐς στενοχώρους ἀποκλεισϑεὶς τόπους: cf. 1, 48, 4. 2, 2, 22. 2, 2, 29. 4, 2, 2. 6, 16, 1 ‖ φυλασσομένων H ‖ 12—16 ex codice Vindobonensi apud Seyboldum vol. 2, p. 29 ‖ 12 [ἑλεῖν] W coll. 7, 13. 7, 36. 8, 6 ‖ πόλιν . . . παραϑαλασσίαν] W cogitavit de Neapoli coll. Liv. 23, 1, 5 ‖ 14 σημάδιον] Polyaenus procul dubio scripsit σημεῖον ‖ 15 ἐγκρύμματα Roth; ἐκρώματα cod. Vind.; ἐνέδραν Seybold.

ἐπειδὰν παραλλάξωσι μικρὸν νυκτός, πάλιν συντόνως ἐπανελθεῖν. Ἀγαθοκλῆς ἐξαπατηθεὶς ἔπεμψε μὲν ἐν Συρακούσαις τοὺς διαφυλάξοντας τὸ Ὀλύμπιον, αὐτὸς δὲ διὰ νυκτὸς ἐπῆγεν Ἀμίλκᾳ καταλειφθέντι. ὁ δὲ τοὺς ἀπὸ τῶν νεῶν ἐκβάντας πολλοὺς ἔχων μετὰ κραυγῆς καὶ θορύβου προσπεσὼν ἐφόνευσε τῶν Ἀγαθοκλείων στρατιωτῶν ἑπτακισχιλίους.

›. 33, 2 Ὅτι Ἀμίλκας πλῆθος Καρχηδονίων νεῶν [ἔχων τοῖς] θεασαμένοις φαντασίαν παρέσχεν ἀποπλέων ὡς πρύμναν κρουσόμενος, νυκτὸς δὲ καταχθεὶς τὴν στρατιὰν ἐκβιβάσας τετρακισχιλίους διεγειρομένους ἐκ τῆς κοίτης κατέκοψεν, οἱ δὲ λοιποὶ συνέφευγον εἰς μάχην, ὥστε πολλῶν αἰχμαλώτων κρατήσας Ἀμίλκας πάλιν ἀπέπλευσεν. 2

* * *

## 45. ΣΤΛΟΣΩΝ.

Συλοσῶν Καλλιτέλους Σαμίοις δημοτικὸς εἶναι δοκῶν στρατηγὸς ᾑρέθη· Σαμίων δὲ πολεμούντων τοῖς Αἰολεῦσι καὶ τὴν πανήγυριν οὐκ ἀγόντων ἐν τῷ ἱερῷ τῆς Ἥρας, πορρωτέρω τῆς πόλεως ὄντι, Συλοσῶν οὐκ ἂν ἔφη στρατηγῶν ἀμελῆσαι τῆς εἰς τὴν θεὸν εὐσεβείας ὡς καὶ μᾶλλον ἐκπλήξων τοὺς πολεμίους, εἰ τὴν πάτριον ἀγάγοι πανήγυριν. οἱ Σάμιοι τὸν στρατηγὸν ἐπαινέσαντες τῆς εὐσεβείας καὶ τῆς ἀνδρείας, ἐλθόντες ἐπὶ τὸ τῆς Ἥρας ἱερὸν ἐσκηνοποιοῦντο καὶ ὅσα εἰς πανήγυριν καθίσταντο. ὁ δὲ Συλοσῶν νυκτὸς εἰς τὴν πόλιν εἰσελθὼν καὶ τοὺς ἀπὸ τῶν τριήρων ναύτας εἰσκαλέσας τὴν Σαμίων ἀρχὴν κατέσχεν.

---

1 παραφυλάξωσι Roth: cf. 2, 35 ‖ συντόνως W; συντόμως H ‖ 3 διαφυλάξοντας W; διαφυλάξαντας H ‖ ἐπῆγεν W; ἀπῆγεν H ‖ 7 ἀμίλκᾳ H ‖ νεῶν [ἔχων τοῖς] θεασαμένοις Sittl; νεῶν θεασάμενος H ‖ 9 εἰς τὴν στρατιὰν H, corr. W ‖ 10 συνέφευγον] συνεσέπεσον? W ‖ 13 Συλοσῶν D; Σολυσῶν F constanter ‖ 18 στρατηγῶν F] στρατηγὸν D ‖ εἰς τὴν vulg.; εἰς τὸν F; εἰς M ‖ 19 εἰ vulg.; εἰς F.

## 46. ΑΛΕΞΑΝΔΡΟΣ ΘΕΤΤΑΛΟΣ

*Ἀλέξανδρος Θετταλὸς ναυμαχεῖν μέλλων πολλοῖς ἐπιβάταις ἐπὶ τῶν καταστρωμάτων διέδωκε πολλὰ σαυνία καὶ παρήγγειλεν, ὅταν παραβάλῃ ναῦς, ἀκοντίζειν ἐπὶ τοὺς ναύτας, ἵνα οἱ πλεῖστοι αὐτῶν ἀχρεῖοι γίγνοιντο.*

## 47. ΘΡΑΣΥΒΟΥΛΟΣ.

c. 611 *Θρασύβουλος Μιλησίων τύραννος Ἀλυάττου πολιορκοῦντος Μίλητον καὶ λιμῷ τὴν πόλιν αἱρήσειν μέλλοντος, πέμψαντος δὲ κήρυκα περὶ σπονδῶν, ἕως ἂν τὸν νεὼν κατασκευάσῃ τῆς Ἀσσησίας Ἀθηνᾶς, προσέταξεν τοῖς πολίταις, ὅσον ἕκαστος ἔχοι σῖτον πάντα ἐξενεγκεῖν ἐς τὴν ἀγορὰν καὶ κατακειμένους εὐωχεῖσθαι. ὁ κῆρυξ ταῦτα ἰδὼν ἤγγειλεν Ἀλυάττῃ· ὁ δὲ ὡς ἀφθόνων τροφῶν παρασκευὴν Μιλησίων ἐχόντων διέλυσε τὴν πολιορκίαν.*

## 48. ΜΕΝΤΩΡ.

340 *Μέντωρ Ἑρμείου κρατήσας πρὸς τὰς πόλεις τὰς* c. 4, 10 *ἀρχομένας ὑπ' αὐτοῦ ἔγραψε, τῇ ἐπιστολῇ σφραγίδα ἐπιθεὶς τὴν ἐκείνου καὶ προσέταξε παραδιδόναι τὰ*

---

Cap. 46. Cf. Schaefer, Demosth. I[1], p. 116 sq., qui dubitat, an haec ad idem proelium navale referenda sint, ad quod 6, 2, §§ 1 et 2. — J. p. 596 sq.

Cap. 47. Ex Herod. 1, 21 sq.; cf. Front. strat. 3, 15, 6.

Cap. 48. Cf. Diod. 16, 52, 5. — Schaefer, Demosth. I[1], p. 348 et not. 1; J. p. 597.

---

8 *Ἀλυάτου* F constanter ‖ 11 *Ἀσσησίας* Cas. ex Herod.; *ἀρσίας* F ‖ 18 *Ἑρμίου* F (sic quoque p. 307, 1).

πράγματα τοῖς κομίζουσι τὰ γράμματα. οἱ δὲ τὴν Ἑρμείου σφραγῖδα γνωρίσαντες ἔλαθον αὐτοὺς Μέντορι παραδόντες τὰς πόλεις.

## 49. ΑΝΑΞΑΓΟΡΑΣ.

Ἀναξαγόρας, Κόδρος, Διόδωρος, παῖδες Ἐχεάνακτος, Ἡγησίαν τύραννον Ἐφεσίων ἀπέκτειναν· Φιλόξενος, Ἀλεξάνδρου βασιλέως ὕπαρχος Ἰωνίας, τοὺς ἄνδρας παρὰ τῶν Ἐφεσίων ἐξαιτῶν, οὐ λαβών, φρουρὰν εἰς τὴν πόλιν εἰσαγαγών, τοὺς τρεῖς ἄνδρας ἐξαρπάσας, ἐν κλοιῷ δεδεμένους ἐς τὴν ἄκραν τὴν ἐν Σάρδεσιν ἔπεμψεν. οἱ δὲ ἐπὶ μακρὸν ταλαιπωρηθέντες ἔλυσαν αὐτούς, φίλου ῥίνην εἰσπέμψαντος, ᾗ χρησάμενοι τὰ δεσμὰ διέσπασαν καὶ οἰκετικαῖς ἐσθήσεσι μετασκευασάμενοι, διὰ νυκτὸς ὡς οἰκέται τοῦ δεσμωτηρίου προελθόντες, σχοινίῳ καὶ ἱματίοις κατὰ μῆκος παρεσχισμένοις συνδήσαντες αὐτοὺς ἀπὸ τῶν τειχῶν καθῆκαν. Διόδωρος μὲν ἐκπεσὼν ἀπὸ ὕψους, παραχρῆμα χωλωθεὶς ἄμφω τὼ πόδε, ληφθεὶς ὑπὸ Λυδῶν ὡς Ἀλέξανδρον ἐπέμφθη δίκας δώσων. Ἀλεξάνδρου ἐν Βαβυλῶνι τελευτήσαντος εἰς Ἔφεσον ὑπὸ Περδίκκου κατεπέμφθη κριθησόμενος κατὰ τοὺς νόμους· Ἀναξαγόρας δὲ καὶ Κόδρος διάραντες εἰς Ἀθήνας ἐσώθησαν, τὴν δὲ Ἀλεξάνδρου τελευτὴν ἀκούσαντες εἰς Ἔφεσον ἐπανελθόντες καὶ τὸν ἀδελφὸν Διόδωρον ἀνέσωσαν.

c. 323

---

2 αὐτοὺς F ‖ 3 πόλεις vulg.; πύλας F ‖ 5 παῖδες Ἐχεάνακτος D; πέδαις ἔχεν ἄνακτος F ‖ 7 ὕπαρχος Ἰωνίας] Plut. Alex. 22 ὁ ἐπὶ θαλάττης στρατηγός: cf. Droysen II, 1, p. 146 ‖ 12 ἔλυσεν αὐτοὺς F ‖ 16 παρεσχισμένοις K; παρασχιζομένοις F ‖ αὐτοὺς F ‖ 17 καθῆκαν D vulg.; καθῆσαν F ‖ Διόδωρος MV; Κόδρος F ‖ 18 χωλευθεὶς F, corr. vulg. ‖ τὼ p; om. F vulg.

## 50. ΠΙΝΔΑΡΟΣ.

c. 560 Κροίσου τοῦ Λυδοῦ πολιορκοῦντος Ἔφεσον, ἐπειδὴ τῶν πύργων τις, ὁ προδότης κληθείς, ἔπεσε καὶ τὸ δεινὸν τῆς ἁλώσεως ἐν ὀφθαλμοῖς ἦν, Πίνδαρος ὁ τυραννεύων τῆς πόλεως συνεβούλευσε τοῖς Ἐφεσίοις ἐκ τῶν πυλῶν καὶ τῶν τειχῶν θώμιγγας συνάψαι τοῖς κίοσι τοῦ ἱεροῦ τῆς Ἀρτέμιδος ὥσπερ ἀνατιθέντας τῇ θεῷ τὴν πόλιν. Κροῖσος τιμῶν τὴν θεὸν ἐφείσατο τῆς πόλεως ὥσπερ ἀναθήματος καὶ πρὸς τοὺς Ἐφεσίους ἐπὶ ἐλευθερίᾳ συνθήκας ἐποιήσατο.

## 51. ΘΗΡΩΝ.

488 Θήρων Ἀκραγαντῖνος δορυφόρους μὲν ἔχων ἐν ἀπορρήτῳ παρεσκευασμένους, χρημάτων δὲ οὐκ εὐπορῶν πρὸς τὰς μισθοδοσίας, τῆς πόλεως Ἀθηνᾷ μεγαλοπρεπῆ ναον ἐγειρούσης, ἐπειδὴ τὰ χρήματα ἐν ταῖς ἐργασίαις διεκλέπτετο, ἔπεισεν ἀθρόαν ἔκδοσιν ποιήσασθαι τοῦ νεὼ καὶ λαβεῖν ἐγγυητὰς ἀξιοχρέους καὶ ὁρίσαι προθεσμίαν, ἐν ᾗ τὸ ἱερὸν συντελεσθήσεται. ἔδοξεν ὀρθῶς λέγειν, καὶ ἡ πόλις πεισθεῖσα τὸ ἔργον ἐξέδωκεν. ἠργολαβεῖτο Γόργος Θήρωνος. ἐπεὶ δὲ τὸ τῆς πόλεως ἀργύριον ἔλαβεν, οὔτε τέκτονας οὔτε λιθοξόους οὔτε τοὺς ἄλλους δημιουργοὺς ἐμισθώσατο, ἀλλὰ κατὰ τῆς δούσης πόλεως μισθὸν τοῖς δορυφόροις ἔδωκε, καὶ τοῖς ἰδίοις χρήμασιν Ἀκραγαντῖνοι ὑπὸ Θήρωνος ἐτυραννεύθησαν.

---

Cap. 50. Cf. Aelian. var. hist. 3, 26.

---

3 τις K ex Aeliano; τε F ‖ κλιθεὶς F ‖ 4 δεῖπνον F ‖ 12 Ἀκραγαντῖνος K; Ἀκραγαντίνων F ‖ 14 Ἀθηνᾷ M; Ἀθῆναι F ‖ 16 διεκλέπτετο Patakis; διεκέκλεπτο F ‖ 20 ὁ Θήρωνος vulg. ‖ 21 ἔλαβον F ‖ 22 ἐμισθώσαντο F.

## 52. ΣΙΣΥΦΟΣ.

Σίσυφος, Αὐτολύκου τὰς βόας αὐτοῦ κλέπτοντος πολλάκις, ταῖς χηλαῖς τῶν βοῶν ἐνέτηξε μόλιβον, ᾧ χαρακτῆρα ἐνήρμοσε γράμματα ἐκτυποῦντα 'Αὐτόλυκος ἔκλεψεν'. ὁ μὲν δὴ Αὐτόλυκος νύκτωρ ἀπήλασε τὰς βόας, ὁ δὲ Σίσυφος μεθ' ἡμέραν τοῖς γείτοσι γεωργοῖς ἔδειξε τὰ ἴχνη τῶν βοῶν κατηγοροῦντα τὴν Αὐτολύκου κλοπήν.

## 53. ΑΓΝΩΝ.

19, 6 Ἅγνων Ἀττικὴν ἀποικίαν ἤγαγεν οἰκίσαι βουλόμενος τὰς καλουμένας Ἐννέα ὁδοὺς ἐπὶ τῷ Στρυμόνι· 437 ἦν γὰρ καὶ λόγιον Ἀθηναίοις τοιόνδε·

τίπτε νέως κτίσσαι πολύπουν μενεαίνετε χῶρον,
κοῦροι Ἀθηναίων; χαλεπὸν δὲ θεῶν ἄτερ ὔμμιν.
οὐ γὰρ θέσφατόν ἐστι, πρὶν ἂν κομίσητ' ἀπὸ Τροίης
Ῥήσου ἀνευρόντες καλάμην πατρίῃ δέ τ' ἀρούρῃ
κρύψητ' εὐαγέως· τότε δ' ἂν τότε κῦδος ἄροισθε.

ταῦτα τοῦ θεοῦ χρήσαντος ὁ στρατηγὸς Ἅγνων ἐς Τροίαν ἔπεμψεν ἄνδρας, οἳ τὸ Ῥήσου σῆμα νύκτωρ

---

Cap. 52. Cf. Hygin. fab. 201.

Cap. 53. Cf. Thucyd. 4, 102. — Weissenborn, Hellen. p. 152 et not. 59; J. p. 598; Duncker, Gesch. d. Altert. IX, p. 234.

---

3 μόλιβον F] μόλυβδον vulg. ‖ ᾧ vulg.; ὡς F ‖ 9 Ἅγνων Thucyd.; Ἅγνων F constanter ‖ 10 οἰκῆσαι F ‖ 11 Στρυμῶνος F constanter ‖ 13 τίπτε νέως F] τίπτ' ἐνέως vel ἐνεῶς RK; genetivum requirit Vater ad Eurip. Rhes. p. CLIX, ut Ἠϊονέος, Βιστονέος, Σιθονέος vel Βιστονίης, Σιθονίης ‖ κτίσσαι Vater, censor Ienensis; κτίσαι F ‖ 14 ὔμμιν censor Ienensis; ὔμμιν F ‖ 16 δέ τ' Hertlein; δ' F; δ' ἐν Vater, censor Ienensis ‖ 17 τότε δ' ἂν τότε F, quod probat Hertlein coll. Lucian. imag. 13 τότε δὴ τότε ὥρα σιωπᾶν aliisque exemplis, quae congessit Dorville ad Char. p. 322 Lips.; τότε δ' ἂν τόδε Vater; τότε δ' ἂν τό γε censor Ienensis ‖ 19 σῆμα K; σῶμα F.

ἀνορύξαντες ἀνείλοντο τὰ ὀστᾶ· καὶ καταθέντες τὰ ὀστᾶ ἐς χλαμύδα πορφυρᾶν κομίζουσιν ἐπὶ τὸν Στρυμόνα. οἱ μὲν δὴ κατέχοντες βάρβαροι τὴν χώραν διαβαίνειν τὸν ποταμὸν ἐκώλυον, Ἅγνων δὲ σπονδὰς ποιησάμενος τρεῖς ἡμέρας ἀπέπεμψε τοὺς βαρβάρους καὶ διὰ τῆς νυκτὸς τὸν Στρυμόνα μετὰ τοῦ στρατεύματος διελθὼν τά τε ὀστᾶ τοῦ Ῥήσου κατώρυξε παρὰ τὸν ποταμὸν καὶ τὸ χωρίον ἀποταφρεύσας ἐτείχιξε πρὸς τὴν σελήνην, ἡμέρας δὲ οὐκ εἰργάζοντο. καὶ δὴ [τὸ] πᾶν ἔργον ἐξετελέσθη τριῶν νυκτῶν. ὡς δὲ οἱ βάρβαροι μετὰ τρεῖς ἡμέρας ἐλθόντες τὸ τεῖχος εἶδον ἐγηγερμένον, ἐνεκάλουν Ἅγνωνι ὡς παραβάντι τὰς σπονδάς, ὁ δὲ οὐδὲν ἔφη ἀδικεῖν· σπείσασθαι γὰρ τρεῖς ἡμέρας, οὐ τρεῖς νύκτας. τούτῳ τῷ τρόπῳ τὰς Ἐννέα ὁδοὺς Ἅγνων οἰκίσας τὴν πόλιν Ἀμφίπολιν ἐκάλεσεν.

## 54. ΑΜΦΙΡΗΤΟΣ.

Ἀμφίρητος Ἀκάνθιος λῃσταῖς ἁλοὺς, ἐς Λῆμνον c. 52, 1 ἀχθεὶς ἐν δεσμοῖς ἐφρουρεῖτο τῶν λῃστῶν λύτρα μεγάλα ἐλπιζόντων· ὁ δὲ τροφῆς ἀποσχόμενος μίλτον ὕδατι ἁλμυρῷ μίξας ἔπιεν. ἐπεὶ δὲ διεχώρησεν, οἱ λῃσταὶ νομίσαντες αἵματος ῥύσιν αὐτῷ γεγονέναι τῶν δεσμῶν ἀνῆκαν, ὡς μὴ διὰ τὴν νόσον ἀποθάνοι καὶ δὴ τῶν λύτρων ἀπολουμένων. ὁ δὲ λυθεὶς, νύκτωρ ἀποδρὰς, ἁλιάδος ἐπιβὰς εἰς Ἄκανθον διεσώθη.

8 ἀποτραφεύσας F ‖ 10 [τὸ] K cf. 1, 48, 2 ‖ 13 σπείσασθαι R Heringa; στήσασθαι F ‖ 15 οἰκήσας F ‖ 17 Ἀμφίρητος F] Ἀμφάρετος vel Ἀμφήρετος coni. K ‖ 18 Λίμνον F ‖ 21 διεχώρισεν F ‖ 24 λούτρων ἀπολλουμένων F; λύτρων [στεροῖντο] ἀπολουμένων R; ἀπολλυμένων M.

## Τάδε ἔνεστιν ἐν τῷ ἑβδόμῳ τῶν

# Πολυαίνου στρατηγημάτων.

Δηϊόκης . . . . . . . . . α
Ἀλυάττης . . . . . . . . α
Ψαμμήτιχος . . . . . . . α
Ἄμασις . . . . . . . . . α
Μίδας . . . . . . . . . α
Κῦρος . . . . . . . . . ι
Ἅρπαγος . . . . . . . . α
Κροῖσος . . . . . . . . β
Καμβύσης . . . . . . . . α
Οἰβάρης . . . . . . . . α
Δαρεῖος . . . . . . . . ζ
Σιράκης . . . . . . . . α
Ζώπυρος . . . . . . . . α
Ὀρόντης . . . . . . . . δ
Ξέρξης . . . . . . . . . ε
Ἀρταξέρξης . . . . . . . β
Ὦχος . . . . . . . . . . α
Τισαφέρνης . . . . . . . β
Φαρνάβαζος . . . . . . . α
Γλῶς . . . . . . . . . . α
Δατάμης . . . . . . . . ζ
Κοσίγγας . . . . . . . . α
Μαύσωλος . . . . . . . . β
Βόργης . . . . . . . . . α
Δρομιχαίτης . . . . . . . α
Ἀριοβαρζάνης . . . . . . α
Αὐτοφραδάτης . . . . . . γ
Ἀρσάμης . . . . . . . . β
Μιθριδάτης . . . . . . . β
Μέμψις . . . . . . . . . α
Κερσοβλέπτης . . . . . . α
Σεύθης . . . . . . . . . α
Ἀρτάβαζος . . . . . . . γ
Ἀρυάνδης . . . . . . . . α
Βρέννος . . . . . . . . β
Μυγδόνιος . . . . . . . α
Παιρισάδης . . . . . . . α
Σεύθης . . . . . . . . . α
Σείλης . . . . . . . . . α
Ὀβόρζος . . . . . . . . α
Σουρήνας . . . . . . . . α
Κελτοὶ . . . . . . . . . α
Θρᾶκες . . . . . . . . . α
Σκύθαι . . . . . . . . . α
Πέρσαι . . . . . . . . . α
Περσίδες . . . . . . . . α
Ταῦροι . . . . . . . . . α
Τρωιάδες . . . . . . . . α
Σαλματίδες . . . . . . . α
Τυρρηνίδες . . . . . . . α
Κελταὶ . . . . . . . . . α

---

Ἀλυάτης β F ‖ Γλῶς] Γλῶσση F ‖ Δρομιχέτης F ‖ Παρισάδης F ‖ Σήλης F ‖ Ὀβόρζος M; Ὀβόραζος F; Βόρζος vulg.

## ΒΙΒΛΙΟΝ ΕΒΔΟΜΟΝ.

*Καὶ τόδε ὑμῖν ἕβδομον βιβλίον, ἱερώτατοι βασιλεῖς Ἀντωνῖνε καὶ Οὐῆρε, προσφέρω τῶν Στρατηγημάτων, ἐν ᾧ καταμάθοιτε ἂν καὶ τὰς τῶν βαρβάρων γνώμας οὐ παντάπασιν ἀστρατηγήτους· ἀλλὰ καὶ παρ' ἐκείνοις μηχανὴ καὶ δόλος καὶ ἀπάτη σπουδάζεται. ὥστε αὐτοί τε ὑμῖν αὐτοῖς ἐν τῷ πολέμῳ καὶ τοῖς ὑπὸ ὑμῶν πεμπομένοις πολεμάρχοις ὀρθῶς ἂν παραγγέλλοιτε μὴ καταφρονεῖν ὡς ἀνοήτων ἢ ἀδόλων, ἀλλὰ τοὐναντίον μηδὲν οὕτως αὐτῶν πεφυλάχθαι ὡς τὸ δολερὸν καὶ ἄπιστον καὶ ἀπατηλὸν, οἷς μᾶλλον ἀγάλλεται τὸ βαρβαρικὸν ἢ τοῖς ὅπλοις. ἄριστον δὴ φυλακτήριον καὶ ἀνάλωτον ἔστω πρὸς αὐτοὺς ἀπιστία, μεθ' ἧς ἰσχὺν τῶν ὅπλων ἕξομεν καὶ τὴν πρὸς αὐτοὺς τέχνην ὀξυτέραν μελετήσομεν προμαθόντες αὐτῶν τὰς ἐννοίας τῶν στρατηγημάτων.*

### 1. ΔΗΙΟΚΗΣ.

*Δηιόκης ὁ Μῆδος ἐπέθετο τῇ Μήδων ἀρχῇ ὧδε. Μῆδοι νομάδες ἦσαν, πόλιν οὐκ εἶχον, ἄγοντες ἄνευ νόμου καὶ δίκης, ἄγοντες καὶ φέροντες ἀλλήλους. Δηιόκης ἐδίκαζε τοῖς γείτοσι καὶ τὸ ἴσον ἔχειν αὐτοὺς*

---

10 *ὡς τὸ* vulg.; *ὥστε* F ‖ 11 *ἀγάλλεται* Maasv. R; *ἀγγέλεται* F ‖ 12 *ἄριστον* Heringa; *ἄπιστον* F; *πιστὸν* R ‖ 13 *ἔστω*] *ἐστι* Heringa ‖ 15 *μελετήσωμεν* F ‖ 19 *εἶχον*, *ἄγοντες* Roth; *εἶχον*, *ἔχοντες* F; *ἔχοντες* vulg.

ἐδίδασκεν. ἥσθησαν τῷ δικαστῇ, καὶ αὐτίκα κλέος ἦν ἐν Μήδοις αὐτοῦ, καὶ συνέθεον ἐπ' αὐτὸν ὡς ἴσον δικαστήν. ἐπεὶ δὲ τῇ δόξῃ πάντας παρεστήσατο, τὰς θύρας κατασχίσας νύκτωρ αὐτὸς καὶ λίθων πλήσας τὴν τύρσιν ἔδειξε μεθ' ἡμέραν τοῖς Μήδοις, ὡς ταῦτα δι' αὐτοὺς παθὼν καὶ κινδυνεύσας ἀποθανεῖν, ὅτι αὐτοῖς δικάζοι. τὸ πλῆθος ἠγανάκτησαν καὶ ἀσφάλειαν αὐτῷ τοῦ σώματος ἐπεψηφίσαντο, χωρίον μὲν ἐνοικεῖν ὀχυρώτατον τὴν ἐν Ἀγβατάνοις ἄκραν, φύλακας δὲ τοῦ σώματος, οὓς αὐτὸς αἱροῖτο· χορηγίαν δὲ τροφῶν συνέταξαν ἀπὸ τῶν ἱερῶν χρημάτων. ὁ δὲ ταύτην περιβαλόμενος τὴν δορυφορίαν καὶ πλείονας ἀεὶ προσλαμβάνων ἀντὶ δικαστοῦ βασιλεὺς ἐγένετο.

## 2. ΑΛΥΑΤΤΗΣ. 613—

Ἀλυάττης Κιμμερίων ἐπιστρατευσάντων ἀλλόκοτα 1
καὶ θηριώδη σώματα ἐχόντων μετὰ τῆς ἄλλης δυνάμεως καὶ τοὺς ἀλκιμωτάτους κύνας ἐπὶ τὴν μάχην ἐξήγαγεν, οἳ προσπλακέντες τοῖς βαρβάροις ὡς θηρίοις πολλοὺς μὲν αὐτῶν διέφθειραν, τοὺς δὲ λοιποὺς φεύγειν αἰσχρῶς ἐβιάσαντο.

c. 9, 4 Ἀλυάττης Κολοφωνίους πολλὴν δύναμιν ἱππικὴν 2
ἔχοντας ἀφελέσθαι βουλόμενος τοὺς ἵππους συμμαχίαν πρὸς αὐτοὺς ἐποιήσατο καὶ τὰς ἐκ τῶν στρατειῶν

---

Cap. 2. Cf. C. Müller, fragm. hist. Graec. I, p. 42.

---

4 θύρας K; οὐρὰς F; φρούρας Dm ‖ κατασχήσας F ‖ 5 τύρσιν Cas.; τύρσην F ‖ 7 δικάζοι. τὸ M; δικάζοιτο F; δικάζοιτο. τὸ vulg. ‖ 9 Ἀγβατάνοις F] Ἐκβατάνοις vulg. ‖ 11 περιβαλλόμενος vulg. ‖ 14 Ἀλυάττης H; Ἀλυάτης F constanter ‖ 21 ἱππικὴν H; om. F ‖ 23 στρατειῶν Cas.; στρατιωτῶν F.

ὠφελείας ἀεὶ μείζονας ἔνεμε τοῖς ἱππεῦσι. τέλος δὲ ὁ μὲν ἐν Σάρδεσιν ἣν λαμπρὰν ἀγορὰν αὐτοῖς παρασκευάζων καὶ διπλῆν τὴν μισθοφορὰν ἑτοιμάζων, οἱ δὲ ἱππεῖς ἔξω τῆς πόλεως τὸ στρατόπεδον ἔχοντες, τοῖς ἱπποκόμοις παραδόντες τοὺς ἵππους εἴσω τειχῶν παρῆλθον ἐπὶ τὴν διπλῆν μισθοφορὰν σπουδῇ θέοντες. Ἀλυάττης τὰ τείχη κλείσας, τοὺς ἰδίους ὁπλίτας περιστήσας ἀπέκτεινε τοὺς ἱππεῖς ἅπαντας καὶ τοὺς ἵππους αὐτῶν τοῖς ἰδίοις ὁπλίταις ἔδωκεν.

### 3. ΨΑΜΜΗΤΙΧΟΣ.

664 Ψαμμήτιχος Τεμένθη τὸν Αἰγύπτου βασιλέα κατέλυσεν. ὁ μὲν θεὸς Ἄμμων χρωμένῳ Τεμένθει περὶ τῆς βασιλείας ἀνεῖλε φυλάξασθαι τοὺς ἀλεκτρυόνας. Ψαμμήτιχος δὲ Πίγρητα τὸν Κᾶρα συνόντα ἔχων, παρ' αὐτοῦ μαθών, ὡς πρῶτοι Κᾶρες ἐπέθεντο τοῖς κράνεσι λόφους, συνῆκε τοῦ λογίου καὶ πολλοὺς Κᾶρας ξενολογήσας προσήγαγεν ἐπὶ τὴν Μέμφιν καὶ περὶ τὸ τῆς Ἴσιδος ἱερὸν ἔξω τῶν βασιλείων, [ὧν] ἀπέχει στάδια πέντε, συμβαλὼν μάχην ἐνίκησεν. ἀπὸ τῶν Καρῶν ἐκείνων μέρος τι τῆς Μέμφεως κέκληται Καρομεμφῖται.

–526

### 4. ΑΜΑΣΙΣ.

Ἄμασις ἐν τῷ πρὸς Ἄραβας πολέμῳ κατόπιν τῶν Αἰγυπτίων ἔθηκε τὰ τῶν θεῶν ἱδρύματα τῶν μάλιστα

---

Cap. 3. Cf. Aristagoras ap. Steph. Byz. s. v. ἑλληνικὸν et καρικόν. — v. Gutschmid, Philol. 10, p. 691 sqq.
Cap. 4. Cf. v. Gutschmid ibid.

---

6 θέοντας F ‖ 11 Ψαμμίτιχος F ‖ 14 Πίγρητα K; Πήγριτα F; Πήγρητα MD ‖ 16 λόγου vulg. ‖ 17 προσήγαγεν Hertlein: cf. ad 3, 9, 48; εἰσήγαγεν F ‖ 18 ἔξω Bursian, quod probat Gutschmid; εἴσω F ‖ [ὧν] K ‖ 20 κέκλιται F.

τιμωμένων παρ' αὐτοῖς, ἵν' οὕτω προθυμότερον κινδυνεύοιεν, νομίζοντες ἔχειν θεατὰς τοὺς θεούς, ἐκδότους δοῦναι τοῖς πολεμίοις οὐχ ὑπομένοντες.

## 5. ΜΙΔΑΣ.

*Μίδας προσποιησάμενος τελετὴν ποιεῖν τοῖς μεγάλοις θεοῖς νυκτὸς ἐξήγαγε τοὺς Φρύγας μετ' αὐλῶν καὶ τυμπάνων καὶ κυμβάλων κρυπτὰ ἔχοντας ἐγχειρίδια. οἱ μὲν πολῖται τῶν οἰκιῶν ἐξῆλθον ἐπὶ τὴν θέαν, οἱ δὲ τυμπανίζοντες καὶ κυμβαλίζοντες τοὺς μὲν θεατὰς κατεφόνευσαν, τὰς δὲ οἰκίας αὐτῶν ἀνεῳγμένας καταλαβόντες Μίδαν τύραννον ἀνηγόρευσαν.*

## 6. ΚΥΡΟΣ.

14, 21 *Κῦρος Μήδοις παραταξάμενος τρὶς ἡττήθη. ἐπεὶ* 1 558
*δὲ τῶν Περσῶν αἱ γυναῖκες καὶ τὰ τέκνα ἦσαν ἐν
Πασαργάδαις, τὴν τετάρτην μάχην ἐνταῦθα συνῆψε.
πάλιν ἔφυγον οἱ Πέρσαι. ὡς δὲ εἶδον τὰ τέκνα καὶ
τὰς γυναῖκας, παθόντες ἐπ' αὐτοῖς ἀνέστρεψαν καὶ
τοὺς Μήδους ἀτάκτως διώκοντας τρεψάμενοι νίκην
τηλικαύτην ἐνίκησαν, ὡς μηκέτι Κῦρον πρὸς αὐτοὺς
ἄλλης δεηθῆναι μάχης.*

*Κῦρος ἐν ταῖς πρὸς Κροῖσον ἀνοχαῖς ἀπήγαγε τὴν* 2 546
*δύναμιν. ὡς δὲ νὺξ ἐπῆλθε, συντόνως ἀναστρέψας* sec. E
*ἐπὶ τὰς Σάρδεις ἤγαγε καὶ προσπεσὼν τοῖς τείχεσιν
ἀφυλάκτοις προσθέμενος κλίμακας κατέσχε τὰς Σάρδεις.*

---

Cap. 6. De fontibus cf. J. p. 453—456.
Cap. 6. § 1. Cf. Polyaen. 7, 45, 2 et locos ibi laudatos.

---

10 τὰς δὲ F] καὶ τὰς M ‖ 16 ἔφευγον K ex V *in fugam vertebantur* ‖ 19 Κῦρον] κύριον F ‖ 22 συντόνως K; συντάμως F ‖ 24 ἀφυλάκτοις K; ἀφυλάκτως F.

46 3 *Κῦρος ἐκράτησε Σάρδεων· Κροῖσος κατέσχε τὴν ἀκρόπολιν ἀναμένων τὴν ἐκ τῆς Ἑλλάδος βοήθειαν. Κῦρος τοὺς οἰκείους τῶν μετὰ Κροίσου τὴν ἀκρόπολιν κατεχόντων δήσας ἔδειξε τοῖς πολιορκουμένοις τῷ κήρυκι προστάξας ἀνειπεῖν, ὡς παραδοῦσι μὲν τὴν ἀκρόπολιν ἀποδώσοι τὰ οἰκεῖα σώματα, μὴ βουλομένων δὲ παραδοῦναι κρεμάσειε πάντας. οἱ δὲ τὴν ἀκρόπολιν ἐπὶ σωτηρίᾳ τῶν οἰκείων παρέδωκαν οὐκ ἀναμείναντες Κροίσου τὰς κενὰς τῶν Ἑλλήνων ἐλπίδας.*

38 4 *Κῦρος μετὰ τὴν ἅλωσιν Κροίσου Λυδῶν πάλιν ἀποστάντων αὐτὸς ἐλαύνων ἐπὶ Βαβυλῶνος Μαζάρην τὸν Μῆδον κατέπεμψε προστάξας, ὅταν κατάσχῃ τὴν χώραν, ἀφελέσθαι τὰ ὅπλα καὶ τοὺς ἵππους, καὶ στολὴν γυναικείαν αὐτοὺς ἀναγκάσαι φορεῖν, καὶ μήτε τοξεύειν μήτε ἱππεύειν ἔτι μανθάνειν, ὑφαίνειν δὲ καὶ ψάλλειν ἅπαντας τοῖς ἐπιτηδεύμασι τούτοις, ὡς ἔοικε, τὰς ψυχὰς αὐτῶν ἐκθηλῦναι προαιρούμενος. ἀμέλει βαρβάρων ἀπολεμώτατοι γεγόνασιν Λυδοὶ πρόσθεν ὄντες πολεμικώτατοι.*

38 5 *Κῦρος Βαβυλῶνα πολιορκῶν, ἐπειδὴ συνετέλεσε τὰς διώρυχας τοῦ Εὐφράτου διὰ τῆς πόλεως ῥέοντος,*

---

Cap. 6. § 3. Cf. Duncker, Gesch. d. Altert. IV, p. 298.
Cap. 6. § 4. Cf. Herod. 1, 155 sq.; Iust. 1, 7, 11; Plut. apophth. reg. et imp. Xerxes 2.
Cap. 6. § 5. Cf. Herod. 1, 191; Xenoph. inst. Cyri 7, 5; Front. strat. 3, 7, 3. — Duncker, Gesch. d. Altert. IV, p. 344 sqq.

---

1 *κατεῖχε* K ‖ 4 *κατεχόντων* F] *κατασχόντων* D; om. M ‖ 6 *ἀποδώσει* Hertlein ‖ 7 *κρεμάσειε* F; *κρεμάσει* Hertlein; *κρεμάσοι* K ‖ 8 *ἐπὶ τῇ σωτηρίᾳ* D vulg.: cf. 6, 12. 6, 50. 8, 8 ‖ *ἀναμένοντες* M ‖ 11 *Μαζάρην τὸν Μῆδον* vulg.; *Μαράζην τὸν Μίδον* F ‖ 12 *κατέπεμψε* K; *κατέπεμπε* F ‖ 18 *οἱ Λυδοὶ* vulg. ‖ 21 [*τοῦ*] *διὰ* Hertlein.

ἀνήγαγε τὸ στρατόπεδον μακροτάτῳ· Βαβυλώνιοι νομίσαντες αὐτὸν ἀπεγνωκέναι τῆς πολιορκίας τὸ σφοδρὸν τῶν φυλακῶν ἀνῆκαν. ὁ δὲ τὸν ποταμὸν ἀποστρέψας, τὴν δύναμιν ἐπαγαγὼν συντόμως κατὰ τὴν χώραν τοῦ ἀρχαίου ῥεύματος υπεισήγαγε τοὺς στρατιώτας καὶ τῆς Βαβυλῶνος ἐκράτησεν.

Κῦρος Κροίσῳ παρετάσσετο. Λυδοῖς ἦσαν ἱππεῖς 6 546
πολλοὶ καὶ μέγα ἐπὶ τούτοις ἐφρόνει Κροῖσος. Κροίσου ἀχρεῖον τὸ ἱππικὸν ἀπέφηνε Κῦρος προτάξας τῶν ἰδίων ὁπλιτῶν καμήλους πολλάς· ἵππος δὲ καμήλου φεύγει καὶ τὴν ὄψιν καὶ τὴν ὀδμήν. αὐτίκα δὴ φεύγοντες οἱ ἵπποι τοὺς Λυδοὺς ὑπεξέφερον, ὥστε ἦν Κύρῳ νίκη καὶ πρό γε τῆς μάχης.

Κῦρος Πέρσας ἀποστῆναι Μήδων ἔπεισεν ὧδε. 7 558
δείξας χωρίον αὐτοῖς ἀργὸν καὶ ἀκανθῶδες ἐκέλευσεν ἡμερῶσαι· οἱ δὲ σὺν πολλῷ πόνῳ ἡμέρωσαν. τῆς ὑστεραίας ἐκέλευσε λουσαμένους ἥκειν. ἐπεὶ δὲ ἧκον, προέθηκεν αὐτοῖς εὐωχίαν ἄφθονον καὶ μετὰ τὴν εὐωχίαν ἤρετο, ποτέρα κρείσσων ἡμέρα. οἱ δὲ ὡμολόγησαν τῆς χθὲς τὴν σήμερον τόσῳ κρείττονα, ὅσῳ κακοδαιμονίας εὐδαιμονίαν. 'οὐκοῦν', ὁ Κῦρος ἔφη, 'τὰ τῆς εὐδαιμονίας ἀγαθὰ ἕξετε, ἢν τῆς Μήδων δουλείας ἀποστῆτε.' Πέρσαι μὴ μελλήσαντες ἀφίστανται

---

Cap. 6. § 6. Ex Herod. 1, 80; cf. Front. strat. 2, 4, 12.
Cap. 6. § 7. Cf. Herod. 1, 126; Iust. 1, 6, 4; Front. strat. 1, 11, 19.

---

3 φυλακῶν K; φυλάκων F ‖ 7 παρετάσσετο F] ἀντιπαρετάσσετο Cas. ‖ οἱ ἱππεῖς vulg. ‖ 8 Κροῖσος. Κροίσου W; Κροῖσον F; Κροίσου MV; Κροῖσος. Κροίσῳ Cas. K ‖ 10 ἰδίων Sittl; ἱππέων καὶ Hertlein: cf. Herod. 1, 80; ἱππικῶν F ‖ 22 εἰ τῆς D; τῆς inclusit K ‖ 23 μελήσαντες F.

*καὶ βασιλέα Κῦρον στησάμενοι αὐτούς τε Μήδους κατέλυσαν καὶ τῆς ἄλλης Ἀσίας ἦρξαν.*

538 8 *Κῦρος Βαβυλῶνα ἐπολιόρκει· Βαβυλώνιοι πολλῶν ἐτῶν σιτία ἔχοντες κατεγέλων τῆς πολιορκίας. Κῦρος διὰ μέσης τὸν Εὐφράτην ῥέοντα διώρυχα τεμὼν [εἰς] τὸ πλησίον ἕλος ὑπεξήγαγε. Βαβυλώνιοι πιεῖν ὕδωρ οὐκ ἔχοντες αὐτίκα σφᾶς αὐτοὺς Κύρῳ παρέδωκαν.*

558 9 *Κῦρος ἡττώμενος Μήδων κατέφυγεν ἐς Πασαρ-* e. 12, 10
*γάδας. πολλῶν Περσῶν αὐτομολούντων ἔφη πρὸς αὐτοὺς ‘αὔριον ἀφίξονται ἡμῖν σύμμαχοι δέκα μυριάδες ἀνδρῶν πολεμίων Μήδοις· ἀλλὰ ἐς τὴν ὑποδοχὴν τῶν συμμάχων ἕκαστος ὑμῶν κομισάτω φάκελλον ξύλων.’ οἱ μὲν ἐκόμισαν, οἱ δὲ αὐτόμολοι ταῦτα Μήδοις ἀνήγγειλαν. ἐπεὶ δὲ νὺξ ἦν, κελεύει Κῦρος ἕκαστον ὑφάψαι τὸν ἑαυτοῦ φάκελλον. Μῆδοι πολλὴν φλόγα λάμπουσαν ἰδόντες πιστεύσαντες ἥκειν τοὺς συμμάχους ἔφυγον.*

546 10 *Κῦρος πολιορκῶν Σάρδεις ξύλα πολλὰ μακρὰ* e. 54, 21
*ἰσομήκη τοῖς τείχεσιν ἐπιστήσας αὐτοῖς εἴδωλα πώγωνας ἔχοντα καὶ Περσικὴν ἐσθῆτα καὶ φαρέτρας κατὰ νώτου καὶ τόξα μετὰ χεῖρας νύκτωρ προσήγαγεν ὑπερέχοντα (πυρὶ) τῶν τειχῶν τῆς ἄκρας. ὁ δὲ κατὰ τὰ*

Cap. 6. § 8. Cf. Herod. 1, 190 sq.
Cap. 6. § 10. Ex Ctesia pg. 46. 60 ed. Müller; cf. Front. strat. 3, 8, 3. — Schubert, Gesch. d. Könige v. Lydien, 1884, p. 100 sqq.

2 *Ἀσίας ἄλλης* vulg.; cf. 1, 1, 1 ‖ 5 [*εἰς*] add. vulg. ‖ 6 *ὑπεξήγαγε* F] *ἐξήγαγε* M vulg.; *ἐσαγαγὼν* Herod. ‖ 7 *τῷ Κύρῳ* vulg. ‖ 9 *πολλῶν δὲ* H ‖ 10 *ὑμῖν* H ‖ 11 *πρὸς τὴν* H ‖ 12 *φάκελλον* (sic quoque v. 15) FH; *φάκελον* vulg. ‖ *ξύλων* FH; *ξύλον* P ‖ 14 *ἐπεὶ δὲ* H; *ἐπειδὴ* F: cf. 7, 8, 2 ‖ 16 *ἔφυγον* HV; *ἔφευγον* F ‖ 17 *μακρὰ* om. vulg.; cf. Ctes. *ἐπὶ τοῖς μακροῖς ξύλοις* ‖ 18 *αὐτοῖς* V *impositisque in ea simulacris; αὐτὸς* F ‖ 19 *φαρέτραν* D ‖ 20 *ὑπερέχοντα* vulg.; *ὑπερέχοντας* F ‖ 21 *πυρὶ* F; *περὶ* MD; del. Hertlein.

ἕτερα μέρη τῆς πόλεως προσέβαλεν ἀρχομένης ἡμέρας. ἡ δὲ στρατιὰ τοῦ Κροίσου ἀπομαχομένη τὰς τοῦ Κύρου προσβολάς, ἐπειδή τινες αὐτῶν ἐπιστραφέντες εἶδον ἀπὸ μακροῦ τὰ εἴδωλα ὑπὲρ τὴν ἄκραν, ἀνεβόησαν· πάντας δὲ εἷλε φόβος ὡς ἤδη τῆς ἄκρας ὑπὸ Περσῶν κατειλημμένης. τὰς πύλας ἀνοίξαντες ἄλλος ἄλλῃ ἔφευγον· Κῦρος δὲ Σάρδεις κατὰ κράτος εἷλεν.

## 7. ΑΡΠΑΓΟΣ.

Ἅρπαγος ἐπιστολὴν Κύρῳ κρύφα πέμπων ἀνέσχισε c. 558
λαγὼν καὶ τὰ γράμματα ἔνδον κατακρύψας πάλιν αὖθις συνέρραψε καὶ τῷ κομίζοντι λίνα θηρατικὰ περιέθηκεν, ἵνα λάθῃ τοὺς φύλακας τῶν ὁδῶν.

## 8. ΚΡΟΙΣΟΣ.

12, 11 Κροῖσος, τῶν Ἑλλήνων συμμάχων βραδυνόντων, 1 546
τοὺς ἰσχυροτάτους καὶ μεγίστους τῶν Λυδῶν Ἑλληνικοῖς ὅπλοις κατεσκεύασεν· οἱ δὲ τοῦ Κύρου στρατιῶται τὸ ἀηθὲς τῆς Ἑλληνικῆς ὁπλίσεως κατεπλάγησαν. ἀλλὰ μὴν καὶ τῶν δοράτων κρουομένων πρὸς τὰς ἀσπίδας ὁ ψόφος τοὺς Πέρσας ἐτάραττεν· ἥ γε μὴν αὐγὴ τῶν ἐπιχάλκων ἀσπίδων τὰς ὄψεις τῶν Περσικῶν ἵππων ἀπέστρεφεν. ὥστε Κῦρος ἡττηθεὶς τριῶν μηνῶν σπονδὰς πρὸς Κροῖσον ἐποιήσατο.

---

Cap. 7. Cf. Herod. 1, 123; Iust. 1, 5, 10.
Cap. 8. Cf. Schubert, Gesch. d. Könige v. Lydien, 1884, p. 100.

---

1 ἕτερα M; ἄκρα F ‖ προσέβαλεν vulg.; προσέβαλλεν F ‖ 2 τὰς . . . προσβολὰς Markland ad Max. Tyr. 1, 3, quod probat Hertlein coll. 8, 23, 10; ταῖς . . . προσβολαῖς F ‖ 4 ἀκρὰν, ἀνεβόησαν K; ἀκρὰνεβοησαν F; cf. 2, 1, 22. 3, 9, 39. 3, 11, 15 etc. ‖ 6 ἔφευγον F; ἔφυγον D vulg.; εἰς φυγὴν ἐτράποντο Ctes. ‖ 9 πέμψων Seybold. ‖ 21 ἀπέστρεφεν F] κατήστραψεν Hertlein coll. Plut. Timol. 28, sed cf. 4, 7, 9.

546 2 Κροῖσος ἡττηθεὶς περὶ Καππαδοκίαν ὑπὸ Κύρου, βουλόμενος ἀποδρᾶναι προσέταξε τοῖς στρατιώταις ξύλα πολλὰ κομίζειν. ταῦτα νήσας ἐπὶ τῆς ὁδοῦ στενῆς οὔσης, ἐπεὶ νὺξ ἦν, αὐτὸς μὲν τὴν δύναμιν ὑπεξῆγε σπουδῇ πολλῇ, ἱππεῖς δὲ τοὺς ἐλαφροτάτους κατέλιπεν ὑπαυγαζούσης ἕω τὴν ὕλην καταπρήσοντας. Κροῖσος μὲν δὴ τῇ φυγῇ προέλαβε, Κῦρος δὲ ὑπὸ τῆς φλογὸς διώκειν ἐκωλύετο.

## 9. ΚΑΜΒΥΣΗΣ.

525 Καμβύσης Πηλούσιον ἐπολιόρκει. Αἰγύπτιοι καρτερῶς ἀνθίσταντο ἀποκλείοντες τῆς Αἰγύπτου τὰς ἐσβολὰς καὶ πολλὰ προσάγοντες μηχανήματα ἠφίεσαν καταπέλτας ὀξυβελεῖς, πέτρους καὶ πῦρ. Καμβύσης ὅσα σέβουσιν Αἰγύπτιοι ζῷα, κύνας, πρόβατα, αἰλούρους, ἴβεις, πρὸ τῆς ἑαυτοῦ στρατιᾶς ἔταξεν. Αἰγύπτιοι δὲ βάλλοντες ἐπαύσαντο φόβῳ τοῦ πλῆξαί τι τῶν ἱερῶν ζῴων. οὕτω Καμβύσης Πηλούσιον ἑλὼν εἴσω τῆς Αἰγύπτου παρῆλθεν.

## 10. ΟΙΒΑΡΗΣ.

512 Οἱ περὶ Δαρεῖον ἑπτὰ σατράπαι τοὺς μάγους ἄρχοντας Περσῶν καταλύσαντες ἐβουλεύοντο τῆς ἀρχῆς πέρι. ἔδοξεν ἵπποις ἐποχουμένους ἄστεος ἔξω προελθεῖν·

Cap. 10. Cf. Herod. 3, 85 sq.; Iust. 1, 10, 3—10.

4 ὑπεξῆγε F] ἐπεξῆγε D ‖ 5 κατέλιπεν F] κατέλιπον vulg. ‖ 8 διώκειν om. vulg. ‖ 10 καρτερῶς F] κρατερῶς D vulg.; cf. 2, 1, 19 et ad 1, 38, 2 ‖ 11 ἐσβολὰς F] ἐμβολὰς MD ‖ 12 καὶ πρὸς τοὺς προσάγοντας K ‖ ἠφίεσαν W coll. 2, 25. 4, 6, 3. 6, 3; ἐφίεσαν F; ἀφίεσαν Cas. ‖ 15 εἴβις F ‖ 16 βάλλοντες vulg.; βαλόντες F ‖ 22 ἵπποις M; ἵππους F ‖ [τοῦ] ἄστεος K.

'ὅτου δ' ἂν πρῶτος ἵππος χρεμετίσῃ, καὶ δὴ βασιλεὺς ἔστω οὗτος.' Οἰβάρης, ἱπποκόμος Δαρείου, μαθὼν τὰ βεβουλευμένα ἤγαγεν αὐτοῦ τὸν ἵππον πρὸ μιᾶς ἡμέρας εἰς τὸ προσυγκείμενον χωρίον καὶ παραστησάμενος θήλειαν ἵππον ἐπαφῆκε τὸν ἄρρενα. τοῦτο πράξας ἐπανήγαγε τὸν ἵππον. τῆς ὑστεραίας ὁ Δαρεῖος ἐποχούμενος ἧκε μετὰ τῶν ἄλλων σατραπῶν· ὁ δὲ ἵππος αὐτοῦ γνωρίσας τὸν τόπον τῆς συνουσίας ἐρωτικόν τι παθὼν πρῶτος ἐχρεμέτισεν. οἱ σατράπαι καταπηδήσαντες Δαρεῖον προσεκύνησαν καὶ βασιλέα Περσῶν ἐστήσαντο.

## 11. ΔΑΡΕΙΟΣ.

Δαρεῖος παρετάσσετο Σκύθαις. λαγὼς διήιξε παρὰ 1 513
τὴν Σκυθικὴν φάλαγγα. Σκύθαι μὲν ἐδίωκον τὸν λαγωόν. Δαρεῖος δὲ 'ἄξιον' ἔφη 'Σκύθας φεύγειν, οἳ τοσοῦτον ἡμῶν καταφρονοῦσιν, ὥστε Πέρσας καταλιπόντες τὸν λαγωὸν διώκουσι'. καὶ δὴ τὸ ἀνακλητικὸν σημήνας περὶ ἀναχωρήσεως ἐβουλεύσατο.

e. 20, 4 Δαρεῖος μέλλων τοῖς μάγοις νύκτωρ ἐπιτίθεσθαι 2 521
μετὰ τῶν ἑπτὰ Περσῶν, ἵνα ἐν σκότῳ δύναιντο γιγνώσκειν ἀλλήλους, συνεβούλευσε τὸ τιαρόδεσμον, ὃ τῆς κεφαλῆς ὄπισθεν ἀποσφίγγει τὴν τιάραν, αὐτοὺς

---

Cap. 11. De fontibus cf. J. p. 458—460.
Cap. 11. § 1. Ex Herodoto 4, 134.

---

1 ὅτου δ' ἂν F] ὅτου ἂν Hercher, Hermes 9, p. 112 ‖ [ὁ] ἵππος K coll. Herod. ὅτευ ἂν ὁ ἵππος ‖ 4 προσυγκείμενον K; προκείμενον F ‖ 9 οἱ δὲ M ‖ 13 διήιξε W ex Herod.; διήλαξε F; διήλασε Heringa 129 ‖ 18 σημήνας F] σημάνας M ‖ 21 τὸ H; om. F ‖ 22 ὄπισθεν vulg.; ὄπιθεν F.

*ἐς μέτωπον περιαγαγεῖν, ἵνα σημεῖον ᾖ [τὸ] ἅμμα τῆς τιάρας (χουμίτρας) ἁπτομένοις τοῦ μετώπου.*

3 *Δαρεῖος πρῶτος φόρους ἔταξε τοῖς ἔθνεσιν· ὅπως δὲ μὴ χαλεπήνειαν, οὐκ αὐτὸς ἔταξεν, ἀλλὰ τοῖς σατράπαις τάξαι προσέταξε. τῶν δὲ ὁρισάντων μεγάλους φόρους αὐτὸς προέγραψε τοὺς ἡμίσεις χαρίζεσθαι τοῖς ὑπηκόοις. οἱ δὲ ἄσμενοι τοὺς ἡμίσεις τελεῖν ὑπέστησαν ὡς ἤδη μεγάλην εὐεργεσίαν παρὰ τοῦ βασιλέως λαβόντες.*

13? 4 *Δαρεῖος ἐπὶ Σκύθας ἐλάσας οὔτε Σκύθας ἑλεῖν οἷός τε ἦν οὔτε σιτίων ηὐπόρει. περὶ δρασμοῦ σκέψις ἦν. ὅπως οὖν λάθοι τοὺς Σκύθας, τὸ στρατόπεδον ὡς εἶχεν ἐᾷ κατὰ χώραν μένειν — ἦσαν ἐν αὐτῷ τραυματίαι πολλοί, ὄνοι, ἡμίονοι, κύνες —, ἀλλὰ καὶ πυρὰ πολλὰ διὰ νυκτὸς ἐκέλευσεν ἀνακαῦσαι. ταῦτα δὴ ὁρῶντες οἱ Σκύθαι, ἀκούοντες τοῦ ταράχου τῶν ζῴων καὶ τὰς σκηνὰς ἀκεραίους ὁρῶντες ᾤοντο παρεῖναι τοὺς Πέρσας. οἱ δὲ ἄρα ἦσαν πρὸ πολλοῦ πεφευγότες. Σκύθαι δὲ ὀψὲ τὴν ἀπόδρασιν μαθόντες ἐπεχείρουν διώκειν, οὓς καταλαβεῖν αὐτοῖς δυνατὸν ἦν οὐκέτι.*

5 *Δαρεῖος Καλχηδόνα ἐπολιόρκει. Καλχηδόνιοι τει-* c. 54, 2
*χῶν ὀχυρότητι καὶ παρασκευῇ τροφῶν θαρροῦντες ἥκιστα τῆς πολιορκίας ἐφρόντιζον. Δαρεῖος τὴν μὲν*

Cap. 11. § 3. Cf. Plut. apophth. reg. et imp. Dar. 2.
Cap. 11. § 4. Cf. Herod. 3, 135; Front. strat. 1, 5, 25.
Cap. 11. § 5. Cf. Ctes. apud Photium, § 16 sq. — J. p. 460.

1 *ᾖ* vulg.; *ἦν* F ‖ [*τὸ*] K ‖ *ἅμμα* F] *ἅμα* M vulg. ‖ 2 (*χουμίτρας*) del. Roth ut glossam, quam *ἤγουν μίτρας* fuisse censuit Hertlein ‖ 6 *προέγραψε* W ut 7, 11, 7; *προσέγραψε* F ‖ *χαρίζεσθαι* R; *χαριζόμενος* F; *χαριζόμεθα* K ‖ 11 *ηὐπόρει* scripsi, cf. ad 4, 2, 20; *εὐπόρει* K; *εὐπορία* F ‖ 21 *Καλχηδόνα, Καλχηδόνιοι* F] *Καρχηδόνιοι* M; *Χαλκηδόνιοι* D vulg. Ctesias: cf. Eckhel, doctr. *num. 2, p. 411 sq.*

στρατιὰν οὐ προσῆγε τοῖς τείχεσιν, ἀλλ' οὐδὲ τὴν χώραν ἔβλαπτε, προσποιούμενος δὲ ἀναμένειν συμμαχίαν μείζονα τὴν ἡσυχίαν ἦγε. τῶν δὲ Καλχηδονίων τειχοφυλακούντων ἀπὸ τοῦ καλουμένου Ἀφασίου λόφου, πεντεκαίδεκα στάδια τῆς πόλεως ἀπέχοντος, ἤρξαντο μεταλλεύειν ὑπόνομον οἱ Πέρσαι. ἐπεὶ δὲ κατὰ τὴν ἀγορὰν ὀρύσσοντες ἐγένοντο τεκμαιράμενοι ῥίζαις τῶν ἐλαιῶν, αἳ περὶ τὴν ἀγορὰν ἐπεφύκεσαν, νύκτα ἀναμείναντες, τὸν ὑπόνομον ἀναστομώσαντες ἀνέβησαν ἐς τὴν ἀγορὰν καὶ τὴν πόλιν ἄνευ μάχης κατὰ κράτος εἷλον Καλχηδονίων τὰ τείχη φυλαττόντων.

s. 28, 5 Δαρεῖος ἐπολέμει Σάκαις τριχῇ διῃρημένοις. μιᾶς 6
ἐκράτησε μοίρας· τῶν δὲ Σακῶν μυρίων ζώντων ἁλόντων τὰς ἐσθῆτας καὶ τὸν κόσμον καὶ τὰ ὅπλα περιέθηκε τοῖς Πέρσαις καὶ προσῆγεν αὐτοὺς τῇ δευτέρᾳ μοίρᾳ τῶν Σακῶν νόμῳ φιλίας ἠρέμα βαδίζοντας. οἱ δὲ Σάκαι τῷ σχήματι τῶν ἐσθήτων καὶ τῶν ὅπλων ἐξαπατώμενοι φιλοφρόνως προσελθόντες ὡς οἰκείους ἠσπάζοντο. Πέρσαι δέ, ἦν γὰρ αὐτοῖς παράγγελμα, πάντας ἐφόνευσαν καὶ μεταβάντες ἐπὶ τὴν τρίτην μοῖραν Σακῶν ἀμαχεὶ τούτων ἐκράτησαν· οὐδὲ γὰρ ἀντέστησαν τῶν δύο μοιρῶν προηττημένων.

Δαρεῖος Αἰγυπτίων οὐ φερόντων Ἀρυάνδου τοῦ 7
σατράπου τὴν ὠμότητα καὶ διὰ τοῦτο ἀποστάντων

---

3 *Καρχηδονίων* F (et sic v. 11) ‖ 4 *τῶν ἀπὸ* F ‖ 7 *τεκμαιράμενοι* F] *τεκμαιρόμενοι* W ‖ 12 *Σάκαις* vulg.; *Σάκκαις* F (et sic semper) ‖ 13 *Σάκκων* F ‖ *μυρίων* (i. e. ,ι) *ζώντων ἁλόντων* W; *ί ζόντων ἁλόντων* F; *ἱζώντων ἁλόντων* M; *ἱζόντων* D; *ἁλόντων* K; *πεσόντων* H: cf. 8, 10, 1 extr. ‖ 14 *καὶ τὸν κόσμον* cum HM om. W coll. infra v. 17 et 7, 28, 2 ‖ 21 *ἀμαχὶ* vulg. ‖ 22 *μοιρῶν* vulg.; *μερῶν* F ‖ 23 *Ἀρυάνδου* Heringa ex Herodoto, et sic 7, 34. 8, 47; *Ὀρυάνδρου* F, quod probat Gutschmid Philol. 9, p. 145.

αὐτὸς διὰ τῆς ἐρήμης Ἀραβίας ὁδεύσας ἧκεν εἰς Μέμφιν. ἔτυχον δὲ Αἰγύπτιοι τὸν Ἆπιν ἀφανῆ γεγονότα κατ' ἐκείνας τὰς ἡμέρας πενθοῦντες. Δαρεῖος προέγραψε τῷ ἀγαγόντι τὸν Ἆπιν δώσειν ἑκατὸν τάλαντα χρυσίου, οἱ δὲ τὴν εὐσέβειαν αὐτοῦ θαυμάσαντες οὐκέτι μετὰ τῶν ἀποστάντων ἐτράποντο, ἀλλὰ σφᾶς αὐτοὺς Δαρείῳ παρέδωκαν.

## 12. ΣΙΡΑΚΗΣ.

Δαρεῖος ἐπὶ Σάκας ἐστράτευσεν. οἱ βασιλεῖς τῶν Σακῶν, Σακεσφάρης, Ἀμόργης, Θάμυρις ἐβουλεύοντο ἐν ἐρήμῳ χωρίῳ περὶ τῶν παρόντων. ἱπποφορβὸς ἀνήρ, Σιράκης, προσῆλθεν αὐτοῖς ἐπαγγελλόμενος διαφθείρειν τὸ Περσῶν στράτευμα, ἐὰν τοῖς παισὶν αὐτοῦ καὶ τοῖς ἐγγόνοις δώσειν οἴκους καὶ χρήματα ὀμόσωσιν. οἱ μὲν ὤμοσαν, ὁ δὲ σπασάμενος τὴν παραξιφίδα ἀφεῖλεν αὐτοῦ ῥῖνα καὶ ὦτα καὶ τὸ ἄλλο σῶμα δεινῶς ἐλωβήσατο· καὶ αὐτομολήσας πρὸς Δαρεῖον ταῦτα ἔφη παθεῖν ὑπὸ τῶν ἐν Σάκαις βασιλέων. Δαρεῖος ἐπίστευσε τῷ μεγέθει τῆς συμφορᾶς, ὁ δὲ Σιράκης ἐπικαλούμενος πῦρ ἀθάνατον καὶ ἱερὸν ὕδωρ 'τιμωρίαν παρὰ Περσῶν' ἔφη 'λαβεῖν ἐσπούδακα. ὁ δὲ τρόπος· Σάκαι τῆς ἐπιούσης νυκτὸς ἀπαίρειν μέλλουσιν· εἰ δὲ ἡμεῖς διὰ συντομωτέρας ὁδοῦ προλάβοιμεν τὴν χώραν,

---

1 ἐρήμης F] ἐρήμου M: cf. ad 2, 1, 11 ‖ 2 εὔτυχον F ‖ 3 προέγραψε vulg.; προσέγραψε F ‖ 5 θαυμάσαντες F] μαθόντες M ‖ 8 Σιράκης F; Σειράκης M ‖ 10 Ἀμόργης Hemsterhuis. ad Lucian. (ed. Bipont. 3, p. 393) coll. Ctes. fr. 3 et Theon. progymn. 9, 10; Ὁμάργης F; Ὁμάρτης rex laudatur a Charete Mitylenaeo ap. Athen. 13, 575 b ‖ 12 ἐπαγγελόμενος F ‖ διαφθερεῖν K ‖ 15 παραξιφίδα vulg.; παραξιφίδαν F ‖ 16 αὐτοῦ F ‖ 17 ἔφη M; ἔδει F ‖ 23 προλάβωμεν vulg.

ἐφ' ἣν ἐκεῖνοι στέλλονται, ὥσπερ ἐν πάγῃ πάντας αἱρήσομεν. ἐγὼ δὲ ἱπποφορβὸς ὢν καὶ τὴν ἐπιστήμην τῆς χώρας ἁπάσης ἔχων ἡγήσομαι· σιτία δὲ καὶ ποτὰ ἑπτὰ ἡμερῶν ἐπαγώμεθα.' ὁ μὲν ἡγήσατο τῆς ὁδοῦ, προάγων δὲ τῶν στρατιωτῶν ἡμέρας ἑπτὰ καὶ καταστήσας ἐς μέσην τὴν ἄνυδρον, ἐπιλιπόντος τοῦ ὕδατος καὶ τῶν σιτίων, τοῦ χιλιάρχου Ῥανοσβάτου 'τί σοι ἔδοξεν' εἰπόντος 'ἐξαπατῆσαι τηλικοῦτον βασιλέα καὶ τοσοῦτο πλῆθος Περσῶν καὶ ἀγαγεῖν ἐς χώραν ἄνυδρον, ἐν ᾗ μήτε ὄρνεον ὁρῶμεν μήτε θηρίον καὶ οὔτε προϊέναι δυνατὸν οὔτε ἀναχωρεῖν;' ὁ δὲ συγκροτήσας τὼ χεῖρε καὶ μεγάλα ἀναγελάσας 'ἐγώ' ἔφη 'νενίκηκα· βουλόμενος γὰρ σῶσαι Σάκας τοὺς ἐμοὺς πολίτας δίψει καὶ λιμῷ Πέρσας ἀπολώλεκα.' ὁ μὲν χιλίαρχος τοῦ Σιράκου παραχρῆμα τὴν κεφαλὴν ἀπέκοψε, Δαρεῖος δ' ἀναβὰς ἐπὶ λόφον ὑψηλόν, τὸν κάνδυν καὶ τὴν τιάραν τῷ σκήπτρῳ περιθεὶς καὶ τὸ διάδημα τὸ βασιλικὸν περιδήσας κατέπηξεν ἐπὶ γῆς· καὶ — ἦν γὰρ ἐπιτολὴ τοῦ ἡλίου — ηὔξατο τῷ Ἀπόλλωνι, εἰ χρεὼν σωθῆναι Πέρσας, ὕδωρ ἐξ οὐρανοῦ παρασχεῖν. ὁ θεὸς ἐπήκουσε· καὶ ὄμβρος κατερράγη πολύς. τοῦτον ὑποδεξάμενοι δέρμασι καὶ ἀγγείοις οἱ Πέρσαι διεσώθησαν ἐπὶ Βάκτρον ποταμὸν τῷ θεῷ χάριν ὑπὲρ σωτηρίας εἰδότες· ὅσον δὲ ἐπὶ τῇ ἀπάτῃ τοῦ ἱπποφορβοῦ πάντες [ἂν] διεφθάρησαν. τοῦτον τὸν ἱπποφορβὸν ὕστερον καὶ Ζώπυρος μιμησάμενος καὶ ἀκρωτηριάσας τὸ πρόσωπον Βαβυλωνίους ἐξαπατήσας ἐχειρώσατο.

---

1 πάγει F ‖ 4 ἐπαγώμεθα vulg.; ἐπαγόμεθα F ‖ 9 τοσοῦτο F] τοσοῦτον vulg. ‖ 18 ἐπιτολὴ . . . τοῦ ἡλίου F; ἐπιτολῇ τοῦ ἡλίου; ἐπὶ πολὺ D ‖ 24 [ἂν] inserui: cf. 4, 6, 11 extr. ‖ 25 τοῦτον τὸν M; τὸν om. F.

## 13. ΖΩΠΥΡΟΣ.

518 *Δαρεῖος πολιορκῶν Βαβυλῶνα χρόνῳ μακρῷ τὴν πόλιν ἑλεῖν οὐχ οἷός τε ἦν. Ζώπυρος Δαρείου σατράπης ἀκρωτηριάσας τὸ πρόσωπον ἧκεν αὐτόμολος ὡς ταῦτα δὴ ὑπὸ Δαρείου παθών. Βαβυλώνιοι πιστεύουσι τῇ ὄψει τῆς συμφορᾶς καὶ τῷ Ζωπύρῳ τὴν πόλιν ἐπιτρέπουσιν. ὁ δὲ νύκτωρ ἀνοίγει τὰς πύλας. καὶ Δαρεῖος κρατήσας Βαβυλῶνος ἐκεῖνο δὴ τὸ λαμπρὸν ἐφθέγξατο· ‘ἀλλ’ οὐδὲ εἴκοσι Βαβυλῶνας ἑλεῖν ἐβουλόμην ἄν, ἐφ’ ᾧτε ὁρᾶν τοιαῦτα παθόντα Ζώπυρον.’* e. 41, 1

## 14. ΟΡΟΝΤΗΣ.

15 1 *Βασιλεὺς Ἀρταξέρξης Ὀρόντῃ προσέταξε ‘Τηρίβαζον Κύπρου σατράπην ἄγε μοι δεδεμένον’. Ὀρόντης, ἐδεδοίκει γὰρ Τηρίβαζον, λόχῳ τὸν ἄνδρα εἷλεν. ὁ δὲ λόχος· ἦν οἶκος, ἐν ᾧ βόθρος βαθύς. ἄνω τοῦ βόθρου κλίνην ἔθηκεν οὐκ ἐντεταμένην, ἀλλὰ στρώμασι ποικίλοις κεκοσμημένην. καλεῖ Τηρίβαζον ὡς διαλεξόμενος περὶ ἀπορρήτων. Τηρίβαζος εἰσέρχεται καὶ καθιζάνει καὶ διὰ τῆς κλίνης εἰς τὸν βόθρον καταφέρεται καὶ συλληφθεὶς ἀναπέμπεται βασιλεῖ δεδεμένος.* e. 51, 1

---

Cap. 13. Cf. Herod. 3, 153 sq.; Iust. 1, 10, 15; Front. strat. 3, 3, 4; Plut. apophth. reg. et imp. Dar. 4.
Cap. 14. De fontibus cf. J. p. 460—462.
Cap. 14. § 1. Cf. Diod. 15, 8, 3.

---

4 *ἀκροτηριάσας* F ‖ 9 *εἴκοσι*] ut Herod.; *δέκα* Diod.; *ἑκατὸν* Plut. ‖ *ἑλεῖν* W; *ἔχειν* F; *λαβεῖν* Diod. Plut. ‖ 11 *Ἀρταξέρξης* vulg. (quae p. 327, 1 inscripsit *Ὀρόντης*) ‖ 15 *λόχος·*] sic distinxit W coll. p. 324, 21 ‖ 17 *διαλεξόμενος περὶ ἀπορρήτων· Τηρίβαζος* W coll. 4, 7, 4. 4, 11, 2. 5, 35. 7, 29, 1. 8, 55; *διαλεξόμενος Τιρίβαζος ἀπόρρητα* F; *διαλεξόμενος Τηριβάζῳ ἀπόρρητα* M; *διαλεξόμενος ἀπόρρητα. Τιρίβαζος* D.

e. 19, 5 Ὀρόντης ἀποστὰς ἐπολέμει τοῖς βασιλέως στρατηγοῖς καὶ καταφυγὼν ἐπὶ λόφον τοῦ Τμώλου χαράκωμα περιεβάλετο. τῶν πολεμίων ἀντιστρατοπεδευσάντων παρήγγειλε τοῖς στρατιώταις ὀχυροῦν μάλιστα δὴ τὸ χαράκωμα καὶ τὰς ἐφοδείας καὶ τὰς φυλακὰς συγκροτοῦντας ὁρᾶσθαι τοῖς πολεμίοις. αὐτὸς δὲ νύκτωρ ἐπιλέκτους ἱππέας λαβὼν ἐξώρμησε διὰ τῆς ἐπὶ Σάρδεων ὁδοῦ καὶ τὴν ἀγορὰν τὴν κομιζομένην τοῖς πολεμίοις ἥρπασε καὶ λείαν πολλὴν τῶν Σαρδιανῶν ἀπήλασε καὶ πέμψας ἄγγελον τοῖς ἐν τῷ χάρακι ταῦτα ἐμήνυσε καὶ συνέταξε τῆς ὑστεραίας ἐπιθέσθαι τοῖς πολεμίοις. οἱ μὲν δὴ θαρροῦντες ἐπεξῆλθον, Ὀρόντης δὲ κατὰ νώτου τῶν πολεμίων γενόμενος τοὺς μὲν ἀποκτείνας, τοὺς δὲ ζωγρήσας ἀσφαλῶς ἀπηλλάττετο. 2

Ὀρόντης ἐν Κύμῃ παρετάξατο Αὐτοφραδάτῃ μυρίους ἱππέας ἔχοντι αὐτὸς ἔχων μυρίους ὁπλίτας Ἕλληνας. πρῶτον μὲν δὴ προσέταξε τοῖς Ἕλλησιν ἐπιστραφῆναι καὶ ἰδεῖν τὸ πεδίον ἡλίκον ἐμφανίζων, ὡς οὐκ ἄν τις τὴν τάξιν λύσας τοὺς ἱππέας διαφύγοι· ἐπεὶ δὲ συμβαλόντες ἔστησαν πεφραγμένοι, τῶν ἱππέων τὴν φάλαγγα διιππεῦσαι μὴ δυνηθέντων καὶ διὰ τοῦτο ἀποστραφέντων, Ὀρόντης ἐκέλευσε τοὺς Ἕλληνας, ἐὰν πάλιν ἐπάγειν ἐγχειρῶσιν οἱ ἱππεῖς, τρία βήματα μόνον 3

Cap. 14. §§ 2—4. Hic Orontes diversus est ab eo, de quo § 1: cf. Sievers, Gesch. Griechenl. p. 137 et 373; Pauly, R.-E. s. v.

5 ἐφοδείας Hertlein; ἐφοδίας F ‖ 7 διὰ] καὶ διὰ F; καὶ del. W, post ὁδοῦ transposui cum K ‖ Σάρδεων M a. m.: genetivus 1, 30, 8. 1, 40, 5. 1, 47, 2. 5, 19, 3. 7, 20; Σάρδεις F ‖ 16 ἱππέας M marg. pr. m.; ὁπλίτας F vulg. ‖ 20 συμβαλόντες δ.., συμβάλλοντες F ‖ 21 φαλάγγαν F.

εἰς τοὔμπροσθεν ἐμβῆναι. οἱ μὲν δὴ ἐνέβησαν, οἱ δὲ ἱππεῖς νομίσαντες ἐπάγειν αὐτοὺς ἐκκλίναντες ἔφευγον.

80 4 Ὀρόντης πολλοὺς τῶν συμμάχων ἀποβαλών, οὓς Αὐτοφραδάτης ἐνέδρᾳ διέφθειρε, καθῆκε λογοποιοὺς διαγγέλλοντας, ὡς ἐγγὺς εἴησαν οἱ μισθοφόροι, ὥστε καὶ τῷ Αὐτοφραδάτῃ τοῦτο ἐξηγγέλλετο. τῶν δὴ βαρβάρων τοὺς ἰσχυροτάτους νυκτὸς ὥπλισεν ὅπλοις Ἑλληνικοῖς καὶ ἀρχομένης ἕω παρέταξεν αὐτοὺς μετὰ τῶν ἄλλων Ἑλλήνων ἐπιστήσας ἑρμηνέας διγλώσσους, ἵνα τὰ παρηγγελμένα τοῖς Ἕλλησιν οὗτοι φράζοιεν τοῖς βαρβάροις. Αὐτοφραδάτης ἰδὼν τὰ Ἑλληνικὰ ὅπλα, οἰηθεὶς ἥκειν τοὺς μισθοφόρους περὶ ὧν ἐπέπυστο, συμβαλεῖν οὐ θαρρήσας ἀναλαβὼν τὸ στρατόπεδον ἔφυγεν.

## 15. ΞΕΡΞΗΣ.

81 1 Ξέρξης ἐπὶ τὴν Ἑλλάδα στρατεύων πολλὰ ἔθνη συνήγαγε λογοποιοὺς διασκεδάσας, ὡς οἱ κορυφαῖοι τῶν Ἑλλήνων ὡμολογήκασι προδοσίαν τῆς Ἑλλάδος. δόξαντες οὖν οὐκ ἐς μάχην, ἀλλὰ ἐς ὠφέλειαν φανερὰν καλεῖσθαι προθυμότερον ἠθροίζοντο. πολλοὶ δὲ τῶν βαρβάρων καὶ αὐτεπάγγελτοι συνεμάχησαν.

80 2 Ξέρξης κατασκόπων Ἑλλήνων ἁλόντων ἐν τῷ στρατοπέδῳ κολάζει μὲν τοὺς ἄνδρας οὐδαμῶς, κελεύει δὲ περιαχθέντας ἰδεῖν τὴν δύναμιν ἅπασαν. ἐπεὶ δὲ εἶδον,

---

Cap. 15. § 2. Cf. Herod. 7, 146; Plut. apophth. reg. et imp. Xerx. 3.

---

1 ἐνέβησαν W; ἐπέβησαν M; ἀπέβησαν F ‖ 5 διαγγέλοντας F ‖ 6 ἐξηγγέλλετο F] ἐπηγγέλλετο M vulg. ‖ 10 τὰ παρηγγελμένα Cas.; τὰ παραγγέλματα F; ταὐτὰ παραγγέλματα Sittl ‖ 14 ἔφυγεν M; ἔφευγεν F ‖ 17 διασκευάσας Pierson.

‛ἄπιτε τοίνυν’ ἔφη ‛καὶ τοῖς Ἕλλησιν ἀπαγγείλατε, ὅσα ἐμοῦ δεικνύντος ἑωράκατε.’

7, 22 Ξέρξης ἐναυλόχει περὶ Ἄβυδον. σιτηγοὶ νῆες 3 480 Ἑλληνικαὶ παραπλέουσαι ἁλίσκονται ὑπὸ τῶν βαρβάρων. τοῖς μὲν δὴ ἔδοξε καταδῦσαι τὰς ὁλκάδας αὐτοῖς ἀνδράσιν, Ξέρξης δὲ τοὐναντίον ἤρετο ‛ποῖ πλεῖτε;’ φησάντων ἐς τὴν Ἑλλάδα, ‛καὶ ἡμεῖς’ ἔφη ‛ἐκεῖσε, ὥστε ὁ σῖτος τοῖς Ἕλλησιν ἀγόμενος ἡμέτερός ἐστιν. ἄπιτε δή.’ ταῦτα οἱ σωθέντες ἀπαγγείλαντες τοῖς Ἕλλησιν οὐ μικρὰν ἔκπληξιν αὐτοῖς παρέσχον.

14, 1 Ξέρξης ἐν Θερμοπύλαις πολλῶν βαρβάρων πεσόν- 4 480 των ἀποκρυπτόμενος τὸ πλῆθος τῶν νεκρῶν προσέταξε τοῖς οἰκείοις αὐτῶν διὰ νυκτὸς τοὺς αὐτοῖς προσήκοντας γῇ κατακρύψαι.

Ξέρξης ἐν Θερμοπύλαις διὰ τὴν στενότητα τῶν 5 480 ὀρῶν πολλοὺς Περσῶν ἀποβαλών, Τραχινίου ἀνδρὸς Ἐφιάλτου δείξαντος ἀτραπὸν περὶ τοῖς ὄρεσι στενήν, ἔπεμψεν ἄνδρας δισμυρίους, οἳ περιελθόντες κατὰ νώτου γενόμενοι τῶν Ἑλλήνων ἀπέκτειναν ἅπαντας, ὧν ἡγεῖτο Λεωνίδας.

## 16. ΑΡΤΑΞΕΡΞΗΣ.

51, 2 Ἀρταξέρξης ἐπὶ τὴν Τισαφέρνους σύλληψιν κατέ- 1 395 πεμψε Τιθραύστην δύο ἐπιστολὰς κομίζοντα, τὴν μὲν πρὸς αὐτὸν περὶ τοῦ πολέμου τοῦ πρὸς τοὺς Ἕλληνας,

Cap. 15. § 3. Cf. Herod. 7, 147.
Cap. 16. § 1. Cf. Diod. 14, 80 extr.

3 σιτηγοὶ M; σιτηγοῦ F; σιτηγαὶ vulg. ‖ 6 εἴρετο vulg. ‖ 7 τὴν om. HM ‖ 8 ὥστε καὶ H ‖ ἀγόμενος τοῖς Ἕλλησιν M; [ὁ] ἀγόμενος K ‖ 9 ταῦτα Dp et Hertlein; τάτε F; τὰ δὲ M ‖ 13 αὐτοῖς F.

ἐπιτρέπων αὐτῷ τὰ πάντα, τὴν δὲ πρὸς Ἀριαῖον, ὅπως αὐτὸν συλλάβοι μετὰ Τιθραύστου. Ἀριαῖος ἀναγνοὺς τὴν ἐπιστολὴν ἐν Κολοσσαῖς τῆς Φρυγίας καλεῖ Τισαφέρνην ὡς ὁμοῦ βουλεύσασθαι δέον τά τε ἄλλα καὶ περὶ τῶν Ἑλλήνων. ὁ δὲ μηδὲν ὑπιδόμενος τὸ μὲν στρατόπεδον κατέλιπεν ἐν Σάρδεσιν, αὐτὸς δὲ μετὰ τριακοσίων λογάδων Ἀρκάδων καὶ Μιλησίων ἀφικόμενος ἐν Ἀριαίου κατέλυεν· ἤδη δὲ περὶ λουτρὸν ἔχων τὸν ἀκινάκην ἀπέθετο. Ἀριαῖος μετὰ τῶν θεραπευτήρων συναρπάσας αὐτὸν, καθείρξας εἰς ἁρμάμαξαν κατερραμμένην ἄγειν Τιθραύστῃ παρέδωκεν. ὁ δὲ μέχρι μὲν Κελαινῶν ἐγκατερραμμένον ἤγαγεν, ἐνταῦθα δὲ ἀποτεμὼν αὐτοῦ τὴν κεφαλὴν ἀνεκόμισε βασιλεῖ. βασιλεὺς δὲ ἔπεμψε τῇ μητρὶ Παρυσάτιδι, ἣ μάλιστα ἐσπουδάκει τίσασθαι Τισαφέρνην ἐπὶ τῇ Κύρου τελευτῇ. ἔμελλον δὲ ἄρα καὶ ὅσαι τῶν Ἑλλήνων τῶν Κυρείων μητέρες ἢ γυναῖκες λαμπρὸν ὀλολύξειν Τισαφέρνου δίκας δόντος τῆς ἐς τοὺς Ἕλληνας ἀπάτης.

2 Ἀρταξέρξης τὸν πόλεμον ἠγωνοθέτει τοῖς Ἕλλησιν c. 4 ἀεὶ προστιθέμενος τοῖς ἡττωμένοις. ἀεὶ γὰρ ἐπανισῶν τὸ ἐλαττούμενον τὴν ἰσχὺν τοῦ νικῶντος κατέλυεν.

17. ΩΧΟΣ.

359 Ὦχος Ἀρταξέρξου τοῦ πατρὸς αὐτῷ τελευτήσαντος εἰδὼς, ὅτι περιὼν μὲν ὁ πατὴρ φοβερὸς ἦν τοῖς ὑπηκόοις, μετὰ δὲ τὴν τούτου τελευτὴν αὐτὸς εὐκαταφρόνητος ἔσοιτο, τοῖς εὐνούχοις καὶ κατακοιμισταῖς καὶ τῷ χιλιάρχῳ συνθέμενος ἔκρυψε τὸν θάνατον ἐπὶ

---

4 *δέον* Hertlein; *δέοι* F vulg.: cf. 1, 45, 4. 3, 9, 21. 8, 16, 7 ‖ 14 *ἢ* M; *ἣν* F; *ἣ δὲ ἄρα* vulg. ‖ 16 *Κυρείων* vulg.; *Κυρίων* F; *μυρίων* W ‖ 17 *ὀλολύξειν* Patakis.

μῆνας δέκα· ἐν δὲ τούτοις τὴν βασιλικὴν σφραγῖδα διαπέμπων ἐξ ὀνόματος τοῦ πατρὸς προσέταξεν Ὦχον ἀναγορεῦσαι βασιλέα. ἐπεὶ δὲ πάντες ἀνηγόρευσαν καὶ ὑπήκουσαν, τότε ὡμολόγησε τὸν θάνατον τοῦ πατρὸς καὶ τὸ βασίλειον πένθος ἐπήγγειλε κατὰ τοὺς Περσῶν νόμους.

## 18. ΤΙΣΑΦΕΡΝΗΣ.

1 401 Τισαφέρνης πρὸς Κλέαρχον ἐσπείσατο παρακαθισάμενος τὰς παλλακίδας· τὰς δὲ αὐτὰς ἔφη σπονδὰς ἐθέλειν ποιεῖσθαι καὶ πρὸς τοὺς λοιποὺς ἡγεμόνας. ἧκον οἱ λοιποί, Πρόξενος Βοιώτιος, Μένων Θετταλός, Ἆγις Ἀρκάς, Σωκράτης Ἀχαιός· εἵποντο τούτοις λοχαγοὶ εἴκοσι, στρατιῶται διακόσιοι. Τισαφέρνης τοὺς μὲν στρατηγοὺς δήσας ἔπεμψεν ὡς βασιλέα, τοὺς δὲ ἄλλους αὐτὸς ἀπέκτεινε πάντας.

2 399 Τισαφέρνης ἐμβαλεῖν ἐς Μίλητον καὶ τοὺς φυγάδας καταγαγεῖν ἐβουλεύετο. ἀπαράσκευος μὲν δὴ ὢν περιβόητον ἐποίει τὸ ἔργον ὡς τοῦτο δράσων αὐτίκα, ὥστε καὶ Μιλήσιοι τὰ ἐκ τῶν ἀγρῶν εἰς ἄστυ ἀνεκομίσαντο. παρεσκευασμένος δὲ τὸ στρατόπεδον διαλύειν προσεποιήσατο καὶ οὐ μακρὰν ἀπεπέμψατο. Μιλήσιοι τὰς γνώμας μεταβαλόμενοι διαλυθὲν τὸ στράτευμα ὁρῶντες ἐς τοὺς ἀγροὺς ἀνεχώρησαν, ὁ δὲ ὑπὸ συνθήματι τὸ στράτευμα συλλέξας διὰ τάχους πάντας Μιλησίους ἔξω τῆς πόλεως διεσπαρμένους ἐχειρώσατο.

---

Cap. 18. § 1. Cf. Xenoph. anab. 2, 5, 31 sq. — J. p. 463 sq.

---

9 παλλακίδας vulg.; παλακίδας F ‖ 12 Ἆγις ex F, qui Ἄγις; Ἀγίας Xenoph.: cf. Knott, de fide et fontibus Polyaeni p. 74 ‖ 20 παρασκευασάμενος D vulg. ‖ 22 μεταβαλόμενοι K; μεταβαλλόμενοι F.

## 19. ΦΑΡΝΑΒΑΖΟΣ.

403 Φαρνάβαζος κατὰ Λυσάνδρου Λακεδαιμονίοις ἔγραψεν· οἱ δὲ ἀπὸ τῆς Ἀσίας αὐτὸν ἀνεκαλέσαντο σκυτάλην πέμψαντες. Λύσανδρος ἱκετεύει Φαρνάβαζον ἄλλην ἐπιστολὴν ὑπὲρ αὑτοῦ γράψαι φιλάνθρωπον. Φαρνάβαζος ὑποσχόμενος φανερῶς μὲν ἔγραψεν οἵαν ὁ Λύσανδρος ἠξίωσε, κρύφα δὲ εἶχεν ἑτέραν γεγραμμένην, ἐν δὲ τῷ τὴν σφραγῖδα ἐπιβάλλειν ὑπαλλάξας τὰ βιβλία μηδὲν διαφέροντα τῇ ὄψει δίδωσιν αὐτῷ τὴν κρύφα γεγραμμένην. Λύσανδρος ἐπανελθὼν ἐς Λακεδαίμονα τοῖς ἐφόροις κατὰ τὸ ἔθος ἀπέδωκε τὰ γράμματα, οἱ δὲ ἀναγνόντες ἔδειξαν αὐτῷ τὴν ἐπιστολὴν προειπόντες μηδὲν ἀπολογίας δεῖσθαι αὐτὸν καθ' αὑτοῦ γράμματα κομίσαντα.

## 20. ΓΛΩΣ.

385 Γλῶς ἦν ἐν Κύπρῳ. τῶν δὲ ἀμφ' αὐτὸν Ἑλλήνων τοῖς ἐν Ἰωνίᾳ κατ' αὐτοῦ γραφόντων βουλόμενος εὑρεῖν τοὺς αἰτίους τριήρη καθείλκυσε καὶ τοῖς ἐρέταις ἔδωκεν ἐφόδιον καὶ πλεῖν ἐκέλευσεν ἐπ' Ἰωνίας. τοῦ κυβερνήτου τὴν ἀναγωγὴν ἐπίτηδες ἀναβαλλομένου πολλοὶ πολλὰς ἐπιστολὰς τοῖς ἐρέταις ἔδωκαν. οἱ μὲν δὴ ἀνήχθησαν καὶ βραχὺ τῆς πόλεως ἀπωτέρω προσωρμίσαντο, ὁ δὲ παρελθὼν πεζῇ πρὸς τὴν τριήρη προσέταξε τοῖς ἐρέταις πάσας προσκομίσαι τὰς ἐπιστο-

---

Cap. 19. Cf. Plut. Lys. 19 sq.; Corn. Nep. Lys. 4.

---

5 *αὐτοῦ* F ‖ *γράψαι* F] *πέμψαι* M ‖ 8 *δὲ* vulg.; *δὴ* F ‖ *σφραγίδαν* F ‖ *ἐπιβάλλειν* K et Plutarch.; *ἐπιβαλεῖν* F ‖ 12 *ἀναγνόντες τὴν ἐπιστολὴν ἔδειξαν αὐτῷ* W ‖ *προσειπόντες* Patakis ‖ *22 ἀνωτέρω? W.*

*λάς, ἐν αἷς τοὺς κατ' αὐτοῦ γράφοντας εὑρὼν οὐδένα τούτων [ὃν] οὐχὶ παραχρῆμα βασανίσας ἀπέκτεινεν.*

## 21. ΔΑΤΑΜΗΣ.

*Δατάμης ὑπὸ τῶν στρατιωτῶν ἀπαιτούμενος μι-* 1
*σθὸν μηνῶν πλειόνων, ἐς ἐκκλησίαν συναγαγὼν αὐτοὺς ἔφη πολλὰ χρήματα ἔχειν ἐν χωρίῳ τριῶν ἡμερῶν ὁδὸν ἀπέχοντι· 'καὶ δὴ τὴν ταχίστην εἰς τοῦτο ἐπειγώμεθα.' ἐπίστευσαν οἱ στρατιῶται καὶ ἠκολούθησαν. ἀπέχοντας δὲ ἡμέρας ὁδὸν ἐκέλευσε κατὰ χώραν μένειν ἀναπαυομένους. ἀναλαβὼν δὴ τοὺς περὶ αὐτὸν καὶ καμήλους καὶ ἡμιόνους, ἐλθὼν ἐς ἱερὸν ἐγχωρίῳ πλούτῳ κεκοσμημένον ἔλαβεν ἀργυρίου τάλαντα τριάκοντα. ταῦτα ἐπὶ τῶν καμήλων καὶ τῶν ἡμιόνων ἤγαγεν ἐς τὸ στρατόπεδον ὀλίγα μὲν ἀγγεῖα πληρώσας, πολλὰ δὲ κατασκευάσας ὁμοίως τοῖς πεπληρωμένοις. ἐπεὶ δέ τινα τῶν πεπληρωμένων ἔδειξε τοῖς στρατιώταις, οἱ μὲν εὐέλπιδες ἐγένοντο ὡς χρήματα ἔχοντες, ὁ δὲ ἔφη δεῖν εἰς Ἀμισὸν ἀφικομένους κόψαι νόμισμα· ἦν δὲ ἄρα Ἀμισὸς ἡμερῶν πολλῶν ὁδὸν ἀπέχουσα καὶ χώρα δυσχείμερος. τὸν δὴ χειμῶνα ὅλον οἱ στρατιῶται ἡσύχασαν οὐκ ἀπαιτοῦντες.*

*Δατάμης ἐπιβουλεύων Σινωπεῦσι ναυτικὸν ἔχου-* 2
*σιν αὐτος ναυπηγῶν καὶ τεκτόνων ἀπορούμενος φιλίαν*

Cap. 21. De fontibus cf. J. p. 465—469.
Cap. 21. § 1. Cf. Aristot. oecon. 2, 25. — J. p. 466.
Cap. 21. § 2. Cf. Aen. Tact. 40.

2 [ὃν] Patakis, Hertlein ‖ 6 ὁδὸν om. M vulg. ‖ 7 ἐπειγώμεθα vulg.; ἐπειγόμεθα F ‖ 9 χώραν Cas.; χώρας F ‖ 10 αὐτὸν F ‖ 11 κεκοσμημένῳ F ‖ 12 ἀργυρίου M et Aristot. l. l.; ἀργύρου F vulg. ‖ 17 ἐγίγνοντο vulg. ‖ 18 Ἀμησὸν F ‖ 20 δὴ Cas.; δὲ F.

συνθέμενος πρὸς αὐτοὺς ἐπηγγείλατο Σήσαμον αὐτοῖς ἐκπολιορκήσας παραδώσειν, ἣν μάλιστα πολεμιωτάτην ἡγοῦντο. ἐπίστευσαν οἱ Σινωπεῖς καὶ παρεκάλεσαν, ὧν ἂν ἐς τὸν πόλεμον δέοιτο, παρ' αὐτῶν λαμβάνειν. ὁ δὲ ἄλλου μὲν οὐδενὸς ἔφη δεῖσθαι ὡς λαμπρὰν χορηγίαν ἔχων καὶ χρημάτων καὶ σωμάτων, τοὺς δὲ τὰ μηχανήματα, κριοὺς καὶ χελώνας, κατασκευάζοντας οὐκ ἔχειν, ἃ δὴ μάλιστα ὠφέλιμα τοῖς πολιορκοῦσιν. οἱ Σινωπεῖς πάντας τοὺς ἐν τῇ πόλει τεχνίτας καὶ ἀρχιτέκτονας ἔπεμψαν αὐτῷ. ὁ δὲ ταῖς τέχναις αὐτῶν χρησάμενος ναῦς πολλὰς καὶ μηχανήματα κατασκευάσας ἀντὶ Σησάμου τὴν Σινώπην ἐπολιόρκησεν.

c. 362 3 Δατάμης Εὐφράτην διαβὰς ἐπολέμει μεγάλῳ βα- e. 48 σιλεῖ· ὁ δὲ μετὰ πολλῆς δυνάμεως ἐπῄει οὐ πάνυ τῶν ἐπιτηδείων εὐπόρως ἔχων, σχολαίτερον ὁδεύων. Δατάμης ἄνω τοῦ ποταμοῦ πολλὴν ὁδὸν παρελάσας, τὰς ἁμάξας σύνδυο ζεύξας ἐπέθηκεν ἄλλας δύο κατ' αὐτῶν καὶ συνήλωσε πρὸς ἀλλήλας καὶ περὶ τοὺς κανθοὺς κάτω σανίδας προσήλωσεν, ὅπως οἱ τροχοὶ ἐς τὴν ἰλὺν τοῦ ποταμοῦ μὴ καταδύοιντο· ἄνδρας δὲ ἐρρωμενεστάτους τὰ γενναιότατα τῶν ὑποζυγίων ἐπισύροντας ἀπὸ κάλου διανήξασθαι προσέταξεν. ἔπειτα ἐνῆγε τὰς προσηλωμένας ἁμάξας εἰς τὸν ποταμόν, τῶν μὲν ὄπισθεν ὠθούντων, τῶν δὲ διανηξαμένων ἔμπροσθεν ἑλκόντων κάλοις μεγάλοις ἐξηρτημένοις, καὶ ἐπιβαλὼν

Cap. 21. § 3. Cf. J. p. 466 sq.

1 Σήσαμον Heringa, quod probat Hertlein, Iahnii annal. 1861, p. 256; Σηστὸν F, W coll. Xen. Ages. 2, 26; Corn. Nep. 13, 1; Philologus IV, 94 ‖ 17 ἄλλους vulg. ‖ ἐπ' αὐτῶν Patakis ‖ 21 ἐπισύροντας V, K, Seybold (cf. ἐφελκομένους H); ἐπισύροντα F ‖ 22 προσέταξεν K ex V *iussit;* προσέθηκεν F ‖ 25 ἐξηρτημένας K.

*ἄνω κλήματα καὶ ξύλα διέβη τὸν ποταμὸν μετὰ τῆς ἑαυτοῦ δυνάμεως· καὶ ἐς τὴν αὑτοῦ ἀφίκετο ἡμέραις δέκα πρότερον ἢ τὸν βασιλέα ἐπὶ τὸν ποταμὸν ἀφικέσθαι.*

4 c. 36 *Δατάμης μαθών, ὡς ἐπιβουλεύοιτο ὑπὸ στρατιωτῶν ἰδίων, [ἐν] Ἀσπενδίῳ [πεδίῳ] μέλλων συμβαλεῖν πολεμίοις ἄλλον διεσκεύασε τῇ αὑτοῦ πανοπλίᾳ, ἐν ἄλλῃ δὲ αὐτὸς ἐκινδύνευεν. οἱ δὲ ἐπιθέμενοι ἐγνώσθησαν ὑπὸ τοῦ σχήματος ἐξαπατηθέντες.*

5 *Δατάμης πολιορκῶν Σινώπην, γράμματα παρὰ βασιλέως δεξάμενος οὐκ ἐῶντος πολιορκεῖν, ἀναγνοὺς προσεκύνησε τὴν ἐπιστολὴν καὶ ἔθυσεν εὐαγγέλια ὡς μεγάλα δὴ ἀγαθὰ παρὰ βασιλέως λαβών· καὶ νυκτὸς ἐπιβὰς τῆς νεὼς ἀπέπλευσεν.*

6 18, 8 *Δατάμης Αὐτοφραδάτην διώκοντα φεύγων ἧκεν ἐγγὺς ποταμοῦ· τὸν δὲ πόρον ἐκκλίνας προσεποιήσατο στρατοπεδεύειν τὰς μὲν μεγίστας καὶ ὑψηλοτάτας σκηνὰς κατὰ πρόσωπον σκηνώσας, τὰ δὲ σκευοφόρα λύειν ὄπισθεν οὐκ ἐάσας, ἀλλ᾽ οὐδὲ τοῖς στρατιώταις ἀποθέσθαι τὰ ὅπλα ἐπιτρέψας. οἱ πολέμιοι τὰς σκηνὰς ὁρῶντες καὶ αὐτοὶ κατεσκήνωσαν καὶ τὰ σκευοφόρα τ᾽ ἔλυσαν καὶ τοὺς ἵππους ἀφῆκαν ἐπὶ νομὴν καὶ παρασκευῇ τοῦ δείπνου προσεῖχον. Δατάμης ἑτοίμην καὶ διεσκευασμένην ἔχων τὴν δύναμιν διὰ τοῦ ποταμοῦ*

Cap. 21. § 4. Cf. Corn. Nep. Dat. 9. — J. p. 467.

2 *ἑαυτοῦ* F] *αὑτοῦ* vulg. ‖ *αὑτοῦ* F ‖ *ἡμέραις* K, Hertlein; *ἡμέρας* F ‖ 6 [*ἐν*] *Ἀσπενδίῳ* [*πεδίῳ*] Cas.; *ἀσπενδίῳ* F; *ἐμπεδίῳ* M; *in campo* V; *ἐν Ἀσπένδῳ* W ‖ *συμβαλεῖν* F] *συμβάλλειν* vulg. ‖ 18 *σκηνώσας* D; *σκηνῆσαι* F ‖ 19 *ὄπισθεν* vulg.; *ὄπιθεν* F ‖ 21 *τ᾽ ἔλυσαν* Hertlein; *ἔλυσαν* K; *διέλυσαν* F ‖ 22 [*τῇ*] *παρασκευῇ* K ‖ 24 *παρεσκευασμένην* M.

*διήγαγεν. οἱ πολέμιοι διεσκεδασμένην τὴν δύναμιν αὐτῶν ἕως ἀνεκάλουν καὶ συνέλεγον καὶ συνέταττον καὶ τοὺς ἵππους ἐνεσκεύαζον καὶ τὰ ὅπλα ἀνελάμβανον, οἱ περὶ Δατάμην φθάσαντες ᾤχοντο.*

p. 362 7 *Δατάμης πολεμίοις παρετάσσετο. ἐν τῷ κινδύνῳ* e. 4 *τῆς μάχης ἵππαρχος ἀπὸ κέρως εὐωνύμου τοὺς ἱππέας ἀναλαβὼν ηὐτομόλει πρὸς τοὺς ἐναντίους. ὁ δὲ τοῖς πεζοῖς καταπεπληγόσι τὴν προδοσίαν παραθέων ὅλην τὴν φάλαγγα θαρρεῖν παρεκελεύετο ὡς καὶ τῶν ἱππέων ἐν καιρῷ συνεπιθησομένων, ὃν αὐτὸς εἴη δεδωκώς. ἐπίστευσαν οἱ πεζοί, προλαβεῖν τῶν ἱππέων τὴν νίκην ἔσπευσαν καὶ αὐτοὶ πάντες εὐρώστως ἐμβαλόντες τοῖς πολεμίοις ἐνίκησαν· καὶ μετὰ τὴν νίκην ἔμαθον τὴν προδοσίαν τῶν ἱππέων.*

## 22. ΚΟΣΙΓΓΑΣ.

*Θράκια ἔθνη Κεβρήνιοι καὶ Συκαιβόαι. παρὰ τούτοις νόμος τῆς Ἥρας τοὺς ἱερεῖς ἡγεμόνας ἔχειν. ἦν αὐτοῖς ἱερεὺς καὶ ἡγεμὼν Κοσίγγας. οἱ Θρᾷκες οὐκ ἐπειθάρχουν. ὁ Κοσίγγας κλίμακας πολλὰς καὶ μεγάλας ξυλίνας ἤγειρε συνθεὶς ἄλλας ἐπ' ἄλλαις καὶ οἷος ἦν ἐς τὸν οὐρανὸν ἀναβῆναι κατερῶν πρὸς τὴν Ἥραν τῶν Θρᾳκῶν ὡς ἀπειθούντων. οἱ δέ, οἷα δὴ Θρᾷκες*

---

Cap. 21. § 7. Cf. Nep. Datam. 6; Diod. 15, 91; Front. strat. 2, 7, 9. — Wachsmuth, Mus. Rhen. 37, p. 156 sqq.

---

1 *διῆγεν* M ‖ 2 *αὑτῶν* F ‖ *ἂν ἐκάλουν* F ‖ 9 *θαρρεῖν* R, Patakis; *τηρεῖν* F: cf. 2, 2, 5. 2, 3, 12. 2, 10, 1. 2, 18. 5, 2, 6 ‖ 11 *καὶ προλαβεῖν* vulg. ‖ 16 *Κεβρήνιοι* Maasv. coll. Strab. 13, p. 590; *Κερρήνιοι* F ‖ *Συκαιβόαι* F; *Σκαιβόαι* MV; . . . *βόαι* D; *Σκαῖοι* Strabo et Hecataeus ‖ 20 *οἷος* Cobet, var. lect. p. 195; *λόγος* F ‖ 21 *ἀναβῆναι* F] *ἀναβήσεται* K ‖ *κατερῶν* M; *καταίρων* F.

ἀνόητοι καὶ ἄλογοι, δείσαντες τὴν εἰς οὐρανὸν τοῦ ἡγεμόνος ἀνάβασιν ἱκέτευσαν καὶ ὤμοσαν, ἦ μὴν ὑπακούσεσθαι πᾶσιν αὐτοῦ τοῖς προστάγμασιν.

## 23. ΜΑΤΣΩΛΟΣ. 375—35

Μαύσωλος βασιλεὺς Καρίας χρήματα παρὰ τῶν 1 φίλων ἐβούλετο λαβεῖν καὶ φανερῶς αἰτεῖν ὀκνῶν. ὑπεκρίνατο ʽβασιλεὺς ἀφαιρεῖταί με τὴν ἀρχήνʼ. καὶ καλέσας τοὺς φίλους ἀντίον αὐτῶν προκομίζει τὰ κειμήλια, χρυσόν, ἄργυρον, ἐσθῆτα καὶ ὅσα τοιάδε, ὡς ταῦτα πάντα βασιλεῖ πέμψων, ἐφʼ ᾧ τε μὴ ἀφαιρεθῆναι τὴν πατρῴαν ἀρχήν. οἱ φίλοι πιστεύουσι Μαυσώλῳ ταῦτα λέγοντι καὶ αὐτῆς ἡμέρας πλῆθος ἀμήχανον αὐτῷ χρημάτων ἔπεμψαν.

Μαύσωλος βουλόμενος λαβεῖν Λάτμον πόλιν ὀχυρὰν 2 προσεποιεῖτο φιλικῶς ἔχειν πρὸς τοὺς Λατμίους. ἀπέδωκε μὲν αὐτοῖς τὰ ὅμηρα, ὅσα πολεμῶν Ἱδριεὺς ἔλαβε, φύλακας δὲ περὶ τὸ σῶμα Λατμίους εἶχεν ὡς μόνους πιστούς· ὑπηρέτει δὴ αὐτοῖς προθύμως ὅσα ἐβούλοντο. καὶ δὴ χειρωσάμενος αὐτοὺς ἐς ἀκρότατον εὐνοίας ᾔτησε παρʼ αὐτῶν ἄνδρας τριακοσίους φύλακας, ἐς Πύγελα παριὼν ὡς δεδιὼς Ἡρόφυτον Ἐφέσιον. οἱ δὲ παραχρῆμα ἐπιλέξαντες τοὺς τριακοσίους ἔπεμψαν.

---

Cap. 23. § 1. Cf. Aristot. oecon. 2, 13.
Cap. 23. § 2. Cf. Polyaen. 8, 53, 4. — J. p. 470 sq.

---

1 τὸν οὐρανὸν M ‖ 6 φανερῶς αἰτεῖν ὀκνῶν W; φανερῶσαι τὸν ὄκνον F ‖ 7 με vulg.; μὲν F ‖ 8 φίλους RK ut v. 11; ἵππους F; ἴσως φίλους η ἱππεῖς m ‖ ἐναντίων M ‖ 9 ὅσα τοιάδε W coll. 1, 34, 2; ὅσα δὴ F; ὅσα δὴ τοιαῦτα vulg. ‖ 13 ἔπεμψεν $F_1$ ‖ 17 φύλακας $F_2$; φυλακὰς $F_1$ ‖ 18 ὑπηρέτει F] ὑπηρετεῖτο M ‖ δὴ αὐτοῖς M; διʼ αὐτοῖς F; διʼ αὐτῶν D ‖ ἐβουλοντο M; ἐβούλετο F ‖ 21 Ἡρόφυτον Roth, quod etiam in Arrian. anab. 1, 7, 11 restituendum pro Ἡρόπυθος; Προφυτὸν F.

*Μαύσωλος λαβὼν τούτους καὶ τὴν ἄλλην δύναμιν ἔχων παρὰ τὴν Λάτμον ἐπορεύετο βαδίζων ἐς τὰ Πύγελα. οἱ δὲ ἐκ τῆς πόλεως πάντες ἐξελθόντες ἐπὶ τὴν θέαν τῆς παριούσης δυνάμεως [συνέδραμον]. ἐνέδρα δὲ Μαυσώλου πολυάνθρωπος προπαρεσκευασμένη νύκτωρ προκατελάβετο τὴν πόλιν κενήν, ἀνεῳγμένων τῶν πυλῶν, καὶ ὁ Μαύσωλος ἐπιστρέψας εἰσῆλθε μετὰ τῆς δυνάμεως ἁπάσης καὶ Λάτμου κύριος κατέστη.*

## 24. ΒΟΓΗΣ.

476 *Βόγης Ἠϊόνος τῆς ἐπὶ Στρυμόνος ἦρχε δόντος αὐτῷ τὴν ἀρχὴν μεγάλου βασιλέως. Ἕλληνες ἐπολιόρκουν τὴν Ἠϊόνα, ὁ δὲ Βόγης ἐπὶ μακρὸν ἀντέσχε τῇ πολιορκίᾳ. ὡς δὲ ἀπηγόρευεν, οὐχ ὑπομένων τὸ πιστευθὲν ἐκ βασιλέως χωρίον πολεμίοις προέσθαι τῇ πόλει πῦρ ἐνῆκεν, ὥστε αὐτός τε καὶ γυνὴ καὶ τέκνα καὶ ἡ πόλις ὁμοῦ συγκατεφλέγησαν.*

## 25. ΔΡΟΜΙΧΑΙΤΗΣ.

291 *Δρομιχαίτης Θρᾳκῶν βασιλεύς, Λυσίμαχος Μακεδόνων. ἐστράτευσεν ὁ Μακεδὼν ἐπὶ τὴν Θρᾴκην. ὁ Θρᾷξ τὸν Μακεδόνα ἐξηπάτησε. στρατηγὸς αὐτοῦ Σεύθης αὐτόμολος δὴ πρὸς Λυσίμαχον ἥκειν ἐσκήψατο καὶ πιστὸς εἶναι δόξας ἐς δυσχωρίας ἐμβάλλει τοὺς*

---

Cap. 24. Cf. Herod. 7, 107; Plut. Cimon. 7.
Cap. 23. Cf. Droysen II, 2, p. 276 et not. 1; J. p. 652.

---

3 *ἐξελθόντες* F vulg.] *ἐξῆλθον* V *egrediebantur* ‖ 4 [*συνέδραμον*]. *ἐνέδρα δὲ* RK; *ἐνέδρα δὲ* F; *ἐνέδραμον* D ‖ 9 *Βόγης* Herod.; *Βόργης* F constanter; *Βούτης* Plut. ‖ 10 *Στρυμῶνος* F ‖ 15 *καὶ ἡ γυνὴ καὶ τὰ τέκνα* M Herod. ‖ 20 *αὐτοῦ Σεύθης* Maasv.; *αὐτοὺς αἰθεὶς* F; *αὐτοῦ Αἴθης* vulg.: cf. Droysen l. l., *not. 1.*

*Μακεδόνας, ἔνθα λιμῷ καὶ δίψει κακοπαθοῦντας Δρομιχαίτης προσπεσὼν αὐτόν τε Λυσίμαχον καὶ τοὺς μετ' αὐτοῦ πάντας ἀνεῖλεν. ἦσαν οἱ πεσόντες Λυσιμαχειοι ἀνδρῶν μυριάδες δέκα.*

## 26. ΑΡΙΟΒΑΡΖΑΝΗΣ.

e. 56, 8 *Ἀριοβαρζάνης Ἀδραμύττιον κατέχων ἐπολιορκεῖτο* c. 36 *ὑπ' Αὐτοφραδάτου καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν. βουλόμενος δὲ τὰ ἐπιτήδεια καὶ στρατιώτας εἰσαγαγεῖν καὶ ὑπὸ τῶν πολιορκούντων εἰργόμενος ἐντέλλεται τῷ φρουροῦντι Πτελεοῦντα τὴν προκειμένην νῆσον ὑποκρίνασθαι προδιδόναι τῷ Αὐτοφραδάτῃ. ὁ μὲν πιστεύει τῷ φρουράρχῳ καὶ πέμπει τὸ ναυτικόν, ὡς ἂν παραλάβῃ τὸ χωρίον· ὁ δὲ Ἀριοβαρζάνης, ἕως αἱ νῆες πρὸς τὴν νῆσον ἔπλεον, ἔφθασεν εἰσκομίσας πλῆθος ἐπιτηδείων καὶ συμμάχων.*

## 27. ΑΥΤΟΦΡΑΔΑΤΗΣ.

. 31, 15 *Αὐτοφραδάτης ἐμβαλεῖν Πισίδαις βουλόμενος τὴν* 1 *εἰσβολὴν στενόπορον καὶ φυλαττομένην ὁρῶν προσήγαγε μὲν τὸ στρατόπεδον, πάλιν δὲ ἀπήγαγεν ὀπίσω μέχρι σταδίων ἐνενήκοντα. νὺξ ἐπῆλθεν. οἱ μὲν φυλάττοντες τῶν Πισιδῶν ἀπηλλάγησαν οἰόμενοι τοὺς πολεμίους ἀπεληλυθέναι, ὁ δὲ τῶν ψιλῶν καὶ τῶν ὁπλιτῶν τοὺς ἐλαφροτάτους λαβών, πολλῇ σπουδῇ δρα-*

---

Cap. 27. § 1. Cf. Front. strat. 1, 4, 5.

---

1 *κακαπαθοῦντες* F ‖ 3 *Λυσιμάχειοι* K et censor Ienensis; *Λυσιμάχιοι* F: cf. ad 2, 2, 9 ‖ 6 *Ἀδραμύττιον* $F_2$M; *ἄνδρα μύττιον* $F_1$; *Ἀδραμύτειον* vulg. ‖ 9 *καὶ* om. M ‖ 10 *Πτελεοῦντι* F, corr. Cas. ‖ 12 *ὡς ἂν* vulg.; *ἕως ἂν* F ‖ 17 *Πισίδαις* vulg.; *Πισίδας* F ‖ 20 *ἐνενήκοντα* (i. e. ϙ') H; ϛ' (i. e. ἓξ) F.

*μὼν διῆλθε τὰ στενὰ καὶ τῶν Πισιδῶν χώραν ἐπόρθησεν.*

2 *Αὐτοφραδάτης Ἐφεσίων ἀντιστρατοπεδευόντων ὁρῶν τοὺς πλείονας ἀδολεσχοῦντας καὶ περιπατοῦντας προὐκαλέσατο τοὺς ἄρχοντας αὐτῶν προελθεῖν καὶ διαλέξασθαι περὶ τῶν κοινῇ συμφερόντων. οἱ μὲν προῆλθον καὶ διελέγοντο, οἱ δὲ ἡγεμόνες τῶν ἱππέων καὶ τῶν ὁπλιτῶν πρὸ πολλοῦ παράγγελμα εἶχον, τῶν ἀρχόντων διαλεγομένων ἐμβαλεῖν εἰς τοὺς Ἐφεσίους ἀτάκτως καὶ ἀμελῶς ἔχοντας. καὶ δὴ πολλοὶ τῶν Ἐφεσίων οἱ μὲν ἀνῃρέθησαν, οἱ δὲ ζωγρηθέντες ἑάλωσαν.* c. 31, 1

3 *Αὐτοφραδάτης μισθοφόρους ἐξαγαγεῖν βουλόμενος ἐπὶ μάχην λογοποιοὺς καθῆκεν, ὡς ἕνεκα ἀριθμοῦ ποιοῖτο τὴν ἔξοδον, ἵνα τῶν μὴ παραγενομένων μηδὲ καθοπλισαμένων τὸν μισθὸν ἀποστερήσειεν. οἱ στρατιῶται σπουδῇ πάντες ἐξωπλίσαντο καὶ προῆλθον. ἦν δὲ ἄρα οὐκ ἐπίδειξις ἀριθμοῦ τὸ δρώμενον, ἀλλὰ παρασκευὴ πολέμου τῷ πλήθει τοὺς ἐναντίους ἐκπλήττουσα.* c. 12, 1

## 28. ΑΡΣΑΜΗΣ.

.450 1 *Ἀρσάμης ἐπολιόρκει Βαρκαίους. τῶν δὲ πρὸς αὐτὸν πρεσβευσαμένων περὶ διαλύσεως ὡμολόγησε καὶ δεξιὰν αὐτοῖς ἔπεμψε νόμῳ Περσικῷ καὶ τὴν πολιορκίαν διαλύσας παρεκάλει Βαρκαίους, βασιλεῖ κοινωνῆσαι* c. 31, 1

Cap. 28. De Arsame eiusque tempore cf. C. Wachsmuth, Mus. Rhen. 37, p. 156 sq.

1 *τῶν* F] *τὴν* vulg. ‖ 5 *προσεκαλέσατο* H ‖ 10 *ἀμελῶς* Cas.; *ὁμαλῶς* F ‖ 11 *οἱ μὲν* FH; *μὲν* vulg. ‖ 14 *τῶν μὴ* Cas.; *μὴ τῶν* F ‖ 20 *Ἀρσάμης* F pr. H; *Ἀρσάβης* F corr. (idem infra 21 et *p. 341, 10*).

τῆς ἐπὶ τὴν Ἑλλάδα στρατείας καὶ πέμπειν αὐτῷ τὴν τῶν ἁρμάτων βοήθειαν. οἱ δὲ τοὺς ἄρχοντας ἔπεμψαν βουλευσομένους μετ' αὐτοῦ περὶ τῆς συμμαχίας. Ἀρσάμης λαμπρὰν ὑποδοχὴν παρασκευασάμενος εἱστία τοὺς ἄρχοντας καὶ προέθηκεν ἀγορὰν πᾶσι Βαρκαίοις ἐπιτηδείων ἄφθονον. τῶν δὲ ἐπὶ τὴν ἀγορὰν προελθόντων σημεῖον ἦρε τοῖς Πέρσαις· οἱ δὲ μετὰ ἐγχειριδίων καταλαβόμενοι τὰς πύλας καὶ εἰσπεσόντες διήρπασαν τὴν πόλιν τοὺς ἐγχειροῦντας κωλύειν φονεύοντες.

. 44, 2 Ἀρσάμης ἀποστὰς βασιλέως, Φρυγίας τῆς μεγάλης 2
κρατῶν, συμβαλεῖν μάχην ἔμελλε τοῖς ἐκ βασιλέως ἐπ' αὐτὸν ἥκουσιν. Ἵππαρχος ἱππέων συνέθετο τοῖς πολεμίοις, ἐπειδὰν προσαγάγῃ, αὐτομολήσειν πρὸς αὐτούς. τὴν προδοσίαν ἔμαθεν Ἀρσάμης καὶ νύκτωρ ἐπὶ τὴν σκηνὴν ἀφικόμενος ἐβασάνισε τὸν ἵππαρχον. ἐπεὶ δὲ ὡμολόγησε, τὰ ὅπλα τῶν ἱππέων καὶ τὰς ἐσθῆτας περιέθηκεν ἄλλοις μάλιστα δὴ πιστοῖς καὶ τῇ τοῦ ἱππάρχου σκευῇ ἄλλον ὥπλισεν ἵππαρχον καὶ προσέταξεν αὐτοῖς, ὅταν ἴδωσι τὸ σημεῖον ἀρθὲν ἀπὸ τῶν ἐναντίων αὐτομολεῖν παριππεύσαντας δὲ καὶ παραλλάξαντας αὐτῶν τὴν φάλαγγα ἐπιστρέψαντας κατὰ νώτου τὴν ἐμβολὴν ποιήσασθαι. τούτων οὕτω συγκειμένων κατὰ νώτου μὲν ἐνέβαλον οὗτοι, ἐξ ἐναντίου δὲ τὴν δύναμιν Ἀρσάμης προσήγαγεν· οἱ πολέμιοι δὲ λύσαντες τὴν τάξιν ἔφευγον, καὶ οἱ πλείονες αὐτῶν ἐν τῇ φυγῇ διεφθείροντο.

---

1 αὐτῶν F ‖ 3 Ἀρσάβης F ‖ 4 ἠσθία F, corr. vulg. ‖ 5 παρέθηκεν vulg. ‖ τῶν ἐπιτηδείων H ‖ 6 ἄφθονον HV; ἀφθόνων F ‖ 8 καταλαβόντες H ‖ καὶ om. M ‖ 13 προσαγάγῃ F; προσάγοι vulg.; προάγοιεν sc. οἱ πολέμιοι Patakis ‖ 16 ἐπεὶ δὲ K; ἐπειδὴ F ‖ 21 φαλάγγαν F ‖ 23 ἐνέβαλον M; ἐνέβαλλον F ‖ οὗτοι M; οἵτω F.

## 29. ΜΙΘΡΙΔΑΤΗΣ.

1 *Μιθριδάτῃ βασιλεὺς προσέταξεν ʽἀποστάντα Δατάμην κτεῖνε ἢ ἄγε'. Μιθριδάτης ὑποκρίνεται καὶ αὐτὸς ἀποστῆναι βασιλέως· οὐ μὴν ὅγε Δατάμης ἐπίστευσεν, εἰ μὴ πρόσθεν πολλὰ λυμανεῖται τῇ βασιλέως ἀρχῇ. καὶ δὴ πολλὰ ἐλυμήνατο· φρούρια βασιλέως κατέσκαψε, κώμας κατέπρησε, φόρους ἥρπασε, λείαν ἤλασεν. ἔδειξεν ἄρα πολέμιος εἶναι βασιλεῖ. ἄμφω δὴ τότε συνηλθέτην γυμνὼ διαλεξομένω περὶ ὧν χρή. Μιθριδάτης ἐν τῷ χωρίῳ τούτῳ προκατεσκευάσατο νύκτωρ ἐγχειρίδια πολλά, κεκρυμμένον ἄλλο ἀλλαχοῦ, καὶ τούτοις ἐπέκειτο σημεῖον. διαλεγόμενος δὴ προσῆγεν αὐτὸν ἠρέμα βαδίζων. ἐπεὶ δὲ ἅλις ἦν τοῦ λόγου, Δατάμης ἀσπασάμενος ἀπῄει. Μιθριδάτης ἓν τῶν ἐγχειριδίων ἀνελόμενος διὰ τάχους καὶ ὑπὸ τῇ ἀριστερᾷ χειρὶ κρύψας ἀνεκαλέσατο Δατάμην ὡς ἐπιλαθόμενος δή τινων ὧν ἐχρῆν εἰπεῖν· προσελθόντα δὲ ἐκεῖνο τὸ ὅρος ἐκέλευσεν ἰχυρῶσαι μάλιστα. οὕτως ἀφορῶντα Δατάμην ἐς τὸ ὅρος τῷ ἐγχειριδίῳ Μιθριδάτης πλήξας ἀπέκτεινεν.* e. 51, 3

2 *Μιθριδάτης ἐν Παφλαγονίᾳ καταφυγὼν ἐς πόλιν, ὅπως ἂν προλάβοι ὡς πλείστην ὁδὸν τοὺς διώξοντας πολεμίους, ὅσα ἦν ἐν ταῖς οἰκίαις ἔπιπλα καὶ σκεύη προὔθηκεν ἔξω, καὶ νύκτωρ αὐτὸς ἀπέδρα. οἱ διώκοντες ἐμβαλόντες τῇ πόλει καὶ τὰ σκεύη προκείμενα*

---

Cap. 29. § 1. Cf. Corn. Nep. Dat. 10 sq.

---

2 *Μιθριδάτῃ* vulg.; *Μιθριδάτης* F ‖ *ὁ βασιλεὺς* vulg. ‖ *Δατάτμην* F ‖ 3 *κτεῖνε* p; *κτεῖναι* F: cf. 7, 14, 1 ‖ *Μιθριδάτην* F ‖ 4 *ἐπίστευεν* Patakis ‖ 7 *ἔδειξεν* F] *ἔδοξεν* vulg. ‖ 12 *προῆγεν* Hertlein ‖ 16 *δή τινων ὧν* M; *δὴ τίνων* F ‖ 17 *προσελθόντα* F; *προελθόντα P.*

ἰδόντες πρὸς ἁρπαγὴν ὥρμησαν· τῶν δὲ ἡγεμόνων διώκειν κελευόντων οὐχ ὑπήκουσαν ὠφέλειαν φανερὰν οὐ καλὸν ἡγούμενοι προέσθαι. Μιθριδάτης δὲ πολὺ τῆς ὁδοῦ προλαβὼν ἀπιὼν ᾤχετο.

### 30. ΜΕΜΨΙΣ.

.56, 9 Μέμψις Ἀριββαίου στρατεύσαντος, ὅπως τειχήρης 319
μὴ γένοιτο, πάντα ἔξω τείχους προήγαγεν καὶ πρὸ τῆς πόλεως ἔταξε γυναῖκας, τέκνα, χρήματα, τὰς δὲ πύλας τοῦ τείχους ἀπῳκοδόμησεν. Ἀριββαῖος τὴν παρασκευὴν τῆς ἀπονοίας αὐτῶν φοβηθεὶς καὶ ὅτι μέχρι θανάτου μαχοῦνται, τὴν στρατιὰν ἀπήγαγεν.

### 31. ΚΕΡΣΟΒΛΕΠΤΗΣ.

Κερσοβλέπτης ἀποστάντων αὐτοῦ συγγενῶν πολλὰ post 3
χρήματα ὑπεκτεθειμένων διαλυσάμενος πρὸς αὐτοὺς κατέστησε πόλεων ἄρχοντας, διαστήσας ἀπ' ἀλλήλων. ἐπεὶ δὲ χρόνου διαγενομένου τὰ ὑπεκκείμενα χρήματα μετεπέμψαντο, συλλαβὼν αὐτοὺς τῶν πόλεων ἐξήλασε καὶ τῶν χρημάτων αὐτὸς ἐκράτησεν.

### 32. ΣΕΥΘΗΣ.

Σεύθης, ὕπαρχος Κερσοβλέπτου, ἐν σπάνει χρη- post 3
μάτων προσέταξε τῶν γεωργῶν ἑκάστῳ πέντε μεδίμνων χωρίον αὐτῷ κατασπεῖραι. οἱ μὲν κατέσπειραν, πολὺ

---

Cap. 32. Cf. Aristot. oecon. 2, 27.

---

6 Ἀριββαίου F qui v. 9 Ἀριβαῖος; Ἀριβαίου M: cf. Droysen II, 1, 13, not. 2, qui docet genuinam nominis formam esse Ἀρραβαῖος; Diod. 18, 3. 26. 39. 51 etc. Ἀρριδαῖος ‖ 7 πρὸς ἤγαγεν F, corr. vulg. ‖ 16 ὑπεκκείμενα K; ὑποκείμενα F ‖ 17 μετεπέμψαντο K; μετεπέμψατο F ‖ πόλεων vulg.; πολεμίων F ‖ 20 ὕπαρχος F] ἵππαρχος vulg.

*πλῆθος γεωργῶν. σίτου δὲ παμπόλλου γενομένου, καταγαγὼν αὐτὸν ἐπὶ θάλατταν ἐπίπρασκεν ὑφέμενός τι τῆς τιμῆς, ὥστε ταχέως τῷ Κερσοβλέπτῃ πολλὰ χρήματα συνελέξατο.*

## 33. ΑΡΤΑΒΑΖΟΣ.

10,79 1 *Ἀρταβάζῳ πολιορκοῦντι Ποτίδαιαν Τιμόξενος Σκιωναῖος προεδίδου τὴν πόλιν. ἀμφότεροι συνέθεντο, τῷ βέλει προσάψαντας βραχὺ βιβλίδιον τοξεύειν εἴς τινα τόπον συγκείμενον κἀκεῖθεν τὰς ἐπιστολὰς ἀναλαμβάνειν.*

353 2 *Ἀρτάβαζος ὑποπτεύσας Παμμένη κοινολογεῖσθαι τοῖς πολεμίοις ἐκάλεσεν αὐτὸν ὡς δῶρα δώσων καὶ σῖτον τοῖς στρατιώταις μετρήσων. ἐλθόντα συλλαβὼν τὸ στρατόπεδον τοῖς ἀδελφοῖς Ὀξύθρᾳ καὶ Διβίκτῳ παρέδωκεν.*

479 3 *Ἀρτάβαζος Φαρνάκου φεύγων ἐκ Πλαταιῶν προῆλθεν ἐς Θετταλίαν. τῶν δὲ Θετταλῶν ἐρομένων περὶ τῆς μάχης δείσας ὁμολογῆσαι τὴν ἧτταν, αὐτὸς μὲν ἔφη σπεύδειν ἐς Θρᾴκην πράξων βασιλέως ἀπόρρητα, Μαρδόνιος δὲ νενικηκὼς ἕπεται καὶ τὰ ἔργα τῆς νίκης αὐτὸς ἀπαγγέλλει. Ἀρτάβαζος μὲν ἀπάτῃ νίκης Θεττα-*

---

Cap. 33. § 1. Cf. Herod. 8, 128; Aen. Tact. 31, 26.
Cap. 33. § 2. Hic Artabazus est nepos illius, qui in §§ 1 et 3 nominatur: cf. Diod. 16, 34. — Wachsmuth, Mus. Rhen. 34, p. 156; Schaefer, Demosth. I[1], p. 457 et not. 6.
Cap. 33. § 3. Ex Herod. 9, 89.

---

6 *Ποτίδειαν* Heringa coll. Herod. et Aen. Tact.; *τὴν πόλιν* F; *τινα πόλιν* vulg. ‖ 7 *Σκιωναῖος* F] *Σικιωναῖος* M; *Σικυώνιος* vulg. ‖ 8 *προσάψαντες* vulg.; *προσάψοντες* F ‖ 12 *ἐκάλεσεν* vulg.; *ἐκέλευσεν* F ‖ 14 *Διβίκτῳ*] *Σιβυρτίῳ* Roth ‖ 16 *Πλαταιῶν* M; *Πλαταιέων* vulg.; *Πλατέων* F ‖ 17 *ἐρωμένων* $F_1$ ‖ 21 *ἀπαγγελεῖ* Koen.

λίαν διεξῆλθε, Θετταλοὶ δὲ αὐτίκα τὴν Περσῶν ἧτταν ἐμάνθανον.

## 34. ΑΡΥΑΝΔΗΣ.

39, 7 Ἀρυάνδης τὴν Βαρκαίων πόλιν πολιορκῶν, νυκτὸς 518/12 ὀρύξας τάφρον, ξύλα ἀσθενῆ διατείνας καὶ γῆν ὀλίγην ἐπιβαλών, μεθ' ἡμέραν προκαλεῖται Βαρκαίους ἐπὶ σπονδάς· καὶ στὰς μετὰ τῶν τὰ ὅρκια τεμνόντων ἐπὶ τῆς κρυπτῆς τάφρου ὤμοσεν, ἐφ' ὅσον οὕτως ἡ γῆ μένει, φυλάξειν τὰ συγκείμενα. οἱ Βαρκαῖοι μετὰ τοὺς ὅρκους ἀνέῳξαν τὰς πύλας. οἱ περὶ τὸν Ἀρυάνδην καταρρήξαντες τὴν τάφρον κατελάβοντο τὴν πόλιν, ὡς οὐκέτι τῆς γῆς μενούσης, ἐφ' ἧς ὤμοσαν.

## 35. ΒΡΕΝΝΟΣ.

1, 22 Βρέννος, Γαλατῶν βασιλεύς, πεῖσαι βουλόμενος 1 279 αὐτοὺς ἐπὶ τὴν Ἑλλάδα στρατεῦσαι, συναγαγὼν ἐκκλησίαν ἀνδρῶν καὶ γυναικῶν προήγαγεν αἰχμαλώτους Ἕλληνας, ἐλαχίστους τὰ σώματα καὶ ἀσθενεστάτους, τὰς κεφαλὰς ἀπεξυρημένους, τριβώνια ῥυπῶντα περιβεβλημένους· καὶ παρέστησεν αὐτοῖς τῶν Γαλατῶν τοὺς μεγίστους καὶ τοὺς εὐειδεστάτους Γαλατικὴν ὅπλισιν ἔχοντας. τοῦτο ποιήσας 'ἡμεῖς', εἶπεν, 'οἱ τηλικοῦτοι καὶ τοιοῦτοι πρὸς τοὺς οὕτως ἀσθενεῖς καὶ μικροὺς πολεμήσομεν'. οὕτως ἐπείσθησαν Γαλάται καταφρονήσαντες Ἑλλήνων ἐλθεῖν ἐπὶ τὴν Ἑλλάδα.

Cap. 34. Ex Herod. 4, 201 coll. 167. — Cf. J. p. 473.
Cap. 35. De tempore cf. Droysen II, 2, p. 346 sq.

9 μενεῖ K || 11 καταρήξαντες F || 12 μηκέτι vulg. || 13. 14. Βρέννος H; Βρένος F || 23 πολεμήσωμεν F; ὀκνήσομεν πολεμεῖν; H.

278 2 Βρέννος Γαλάτας ἀγαγὼν ἐπὶ τὴν Ἑλλάδα, θεώ- e. 14
μενος τοὺς ἐν Δελφοῖς χρυσοῦς ἀνδριάντας, προσκαλεσάμενος Δελφοὺς αἰχμαλώτους διὰ τοῦ ἑρμηνέως ἤρετο, εἰ στερεὸν εἴη τὸ χρυσίον τῶν ἀναθημάτων. εἰπόντων δὲ ʽτὰ μὲν ἔνδον ἐστὶ χαλκός, τὰ δὲ ἔξωθεν χρυσὸς ἐπελήλαται λεπτός', ἠπειλήσατο θάνατον ἅπασιν, εἰ τοῦτο πρὸς ἄλλους ὁμολογήσειαν· ἀλλὰ καὶ τοὐναντίον λέγειν παρήγγειλεν, ὡς ἐστιν ἅπαντα χρυσὸς αὐτὸς δὴ σφυρήλατος. καὶ δὴ τῶν ἡγεμόνων ἔνδον τινὰς καλέσας τοὺς αἰχμαλώτους ὁμοίως ἤρετο. τῶν δὲ τὸ προσταχθὲν εἰπόντων, ὡς πάντα εἴη χρυσός, ἐκέλευσεν αὐτοὺς ἀναγγέλλειν τοῖς πλήθεσιν, ἵνα μάχοιντο προθυμότερον ὡς ἀποληψόμενοι χρυσοῦ μοίρας μεγίστας.

## 36. ΜΥΓΔΟΝΙΟΣ.

Μυγδόνιος πολεμίων προσκαθημένων λιμῷ πιε- e. 56
ζόμενος, σωροὺς ὑπερμεγέθεις γῆς καὶ λίθων ἐν τῇ ἀγορᾷ νήσας καὶ περιαλείψας πηλῷ, τοῖς μὲν πυρούς, τοῖς δὲ κριθὰς ἐπέβαλε καὶ θρέψας ἡμιόνους μεγίστους καὶ πιοτάτους ἐκτὸς τείχους ἀφῆκεν. τούτους μὲν οἱ πολέμιοι συνέλαβον. ὁ δὲ κήρυκα πέμψας ἠξίωσε πέμψαι τοὺς περὶ λύτρων συμβησομένους. κήρυκες ἧκον· πρὸς οὓς ἐπὶ τῆς ἀγορᾶς Μυγδόνιος συνέβαινεν. οἱ δὲ σωροὺς μεγάλους πυρῶν καὶ κριθῶν ἰδόντες καὶ ὑπηρέτας καὶ ἄλλους ἀλλαχόθεν ἀξιοῦντας μετρεῖσθαι

1 θεώμενος F; θεασάμενος H; θηρώμενος Sittl ‖ 7 ἄλλους V; ἀλλήλους F ‖ 9 αὐτὸς δὴ vel ἄπεφθος [καὶ] δὴ Sittl; αὐτοφυὴς Traube coll. Diod. 3, 45; αὐτῷ δὴ F; om. H; eiecit K ‖ σφυρήλατος H; σφυρηλάτης F ‖ 12 ἀναγγέλειν F ‖ προθυμότερον FH] εὐθυμότερον vulg. ‖ 13 ἀποληψόμενοι K; ἐπιληψόμενοι F; ληψόμενοι H ‖ 17 τοῖς] τοὺς F ‖ πυρροὺς F ‖ 18 ἐπέβαλε Cas.; ἔβαλεν F; ὅτι χρὴ σωροὺς ἀπὸ λίθων καὶ πηλῶν ἐπιχρίσαι H ‖ 24 καὶ ante ἄλλους del. K.

*ταῦτα ἐπανελθόντες τοῖς πολεμίοις ἤγγειλαν. οἱ δὲ καὶ τὸ εὔτραφὲς τῶν ἡμιόνων ἑωρακότες καὶ τὴν παρασκευὴν τῶν τροφῶν τοῖς κήρυξι πιστεύσαντες ὡς οὐκ ἂν δυνάμενοι χρόνῳ μακρῷ τὴν πόλιν ἑλεῖν ἀνέζευξαν.*

## 37. ΠΑΙΡΙΣΑΔΗΣ.

*Παιρισάδης Πόντου βασιλεὺς ἐν ἄλλῃ μὲν ἐσθῆτι τοὺς στρατιώτας ἐξέτασσεν, ἐν ἄλλῃ δὲ πρὸς τοὺς πολεμίους ἐκινδύνευεν, [ἐν] ἄλλῃ δέ, εἰ φυγῆς καιρὸς ἦν, ἔφευγεν. ἐκτάττων μὲν γὰρ ἐβούλετο εἶναι πᾶσιν ἐπιφανής, κινδυνεύων δὲ μηδενὶ τῶν πολεμίων καταφανής, φεύγων δὲ μήτε τοῖς οἰκείοις μήτε τοῖς ἐναντίοις γνώριμος.*

## 38. ΣΕΥΘΗΣ.

*Σεύθης Ἀθηναίων τὰ ἐπὶ θάλατταν διὰ τῆς Χερρονήσου πορθούντων μισθωσάμενος Γέτας ψιλοὺς δισχιλίους δι᾽ ἀπορρήτων συνέταξεν ὡς πολεμίους ἐμβαλόντας πυρπολεῖν τὴν χώραν καὶ βάλλειν τοὺς ἐπὶ τῶν τειχῶν. Ἀθηναῖοι ταῦτα ὁρῶντες καὶ πολεμίους τῶν Θρακῶν ἡγησάμενοι τοὺς Γέτας ἀπὸ τῶν δρωμένων ἐκβάντες θαρροῦντες τῶν νεῶν προσῆγον τοῖς τείχεσιν. ὁ μὲν Σεύθης προεξῆλθε τῶν τειχῶν ἐναντίος τοῖς Ἀθηναίοις, καὶ οἱ Γέται δὲ ὡς μετ᾽ αὐτῶν παρατάττεσθαι μέλλοντες· ἐπεὶ δὲ κατόπιν ἐγένοντο, λαβόντες ὀπίσω τοὺς πολεμίους ἔνθεν μὲν οἱ Θρᾷκες, ἔνθεν δὲ οἱ Γέται πάντας αὐτοὺς διέφθειραν.*

---

5. 6 *Παιρισάδης* K, Strabo, C. I. Gr. II, 2119; Eckhel, doctr. num. 2, 361; *Παρεισάδης* (*Παρισάδης* corr. $F_2$)F: cf. Schaefer, Mus. Rhen. 33, p. 418 sqq. ‖ 7 *ἐξέτασσεν* Heringa 130; *ἐξήταζεν* F: cf. v. 9 ‖ 8 [*ἐν*] K ‖ 14 *διὰ*] *ἐκ* Hertlein ‖ *Χειρονήσου* F ‖ 17 *βάλειν* F ‖ 22 *Ἀθηναίοις καὶ* in lacuna om. $F_1$, add. $F_2$.

## 39. ΣΕΙΛΗΣ.

*Σείλης τρισχιλίους Περσῶν νεωτερίζοντας κτεῖναι βουλόμενος ἐσκήψατο Σέλευκον αὐτῷ δι' ἐπιστολῆς χαλεπῶς ἀπειλεῖν· αὐτὸς δὲ τῇ τούτων συμμαχίᾳ χρησάμενος ἐθέλειν αὐτὸν προλαβεῖν. ὅπως δ' ἂν βουλὴν ἀγάγοιεν, συνέταξεν αὐτοῖς ἀπαντᾶν ἐς κώμην Ῥάνδα καλουμένην. οἱ μὲν πιστεύσαντες ἧκον, ὁ δέ, ἦν γὰρ ἕλος βαθὺ καὶ κοῖλον ὑπὸ τὴν κώμην, ἐνταῦθα Μακεδόνων καὶ Θρᾳκῶν ἱππεῖς τριακοσίους, ὁπλίτας τρισχιλίους ἀποκρύψας συνέταξεν, ὅταν ἴδωσι πέλτην χαλκῆν ἀρθεῖσαν, ἐκδραμόντας ἀναιρῆσαι πάντας τοὺς ἠθροισμένους. ἀνεδείχθη μὲν ἡ πέλτη, οἱ δὲ ἐκδραμόντες τοὺς τρισχιλίους Πέρσας κατεφόνευσαν.*

## 40. ΟΒΟΡΖΟΣ.

*Ὀβόρζος τρισχιλίους ἄνδρας τῶν ἐν τῇ Περσίδι κατοίκων ἐπιβουλεύοντας αἰσθόμενος ἀπεπέμψατο δοὺς ἡγεμόνας τῶν ὁδῶν, οἳ προήγαγον αὐτοὺς εἴς τινα τόπον τῆς Περσίδος, [ὃς] καλεῖται Κωμαστός, ἔνθα κῶμαι πυκναὶ καὶ λεὼς πολὺς καὶ σταθμοὶ πολλοί. ἐπεὶ δὲ ἄλλος ἐν ἄλλῳ σταθμῷ κατήγετο, φυλακῆς ἰσχυρᾶς κυκλωσαμένης τὰς κώμας, ἕκαστος τῶν σταθμούχων τὸν ἴδιον ἐπίσταθμον εὖ μάλα καταμεθύσας ἀπέκτεινε, τὰ δὲ σώματα τῶν τρισχιλίων ταφέντα διὰ νυκτὸς ἀφανῆ ἐγένοντο.*

---

Cap. 39. De tempore nihil constat: cf. Droysen III, 1, p. 255.

---

1 *Σείλης*] *Χείλης* vulg. ‖ 6 *αὐτοὺς* F ‖ 7 *Ῥάνδα* $F_1$ Maasv., coll. Ptolem. 6, 19; *Ῥάνδαν* $F_2$ ‖ 10 *τρισχιλίους ὁπλίτας*] *τρεῖς χιλιάδας ὁπλιτῶν* vulg. ‖ 14 *Ὄβορζος* F; *Βόρζος* vulg.; *Οἰόβαζος vel Ὀρόβαζος* coni. Roth ‖ 18 [ὃς] vulg. ‖ 24 *ἐγένετο* Roth.

## 41. ΣΟΥΡΗΝΑΣ.

*Σουρήνας Παρθυαίων ἡγούμενος Κράσσον μετὰ* 58 *πολλῆς ἥττης ἀναχωροῦντα καὶ διὰ τῶν ὀρειοτέρων ὁδεύειν πειρώμενον, τὴν ἐξ ἀπονοίας μάχην φοβούμενος ἔπεμψε πρεσβευτὴν ὡς αὐτὸν λέγοντα ʽσυντίθεταί σοι φιλίαν βασιλεὺς μέγας· δείξας Ῥωμαίοις ἀνδρίαν νῦν δεῖξαι βούλεται φιλανθρωπίαν᾿. Κράσσος δόλον ὑφορώμενος οὐκ ἐπείθετο. οἱ στρατιῶται ἀθυμοῦντες καὶ ἀπειρηκόντες ἐβιάσαντο αὐτὸν τὰ ὅπλα κρούσαντες πιστεῦσαι τῷ βαρβάρῳ. Κράσσος ἄκων πεζὸς ἐβάδιζε. Σουρήνας φιλοφρονούμενος δὴ ἵππον χρυσοχάλινον αὐτῷ παρέστησεν, ἐφ᾿ οὗ καθίσαι προσέταξεν. ὁ μὲν δὴ ἀναβαίνει τὸν ἵππον, ὁ δὲ βάρβαρος ἱπποκόμος κεντρίσας ἐπετάχυνε τοῦ ἵππου τὸν δρόμον, ὅπως τὸν Κράσσον ἐς τὸ πλῆθος ἐξενέγκοι τῶν Παρθυαίων. Ὀκτάουιος, τῶν περὶ Κράσσον ἡγεμόνων, συνεὶς τῆς ἀπάτης λαμβάνεται τῶν χαλινῶν, καὶ μετ᾿ ἐκεῖνον εἷς τῶν χιλιάρχων Πετρώνιος, ὥστε τὸν μὲν ἱπποκόμον Ὀκτάουιος κτινύει σπασάμενος τὸ ξίφος, τὸν δὲ Ὀκτάουιον ἄλλος τις τῶν Παρθυαίων, τὸν δὲ Κράσσον Ἐξάθρης Παρθυαῖος· καὶ τὴν κεφαλὴν αὐτοῦ καὶ τὴν δεξιὰν ἀποκόψας ἐκόμισε πρὸς μέγαν βασιλέα Παρ-*

---

Cap. 41. Ex Plut. Crass. 30—33; cf. Appian. Parthica; Dio Cass. 40, 26 sqq.

---

3 *ὁριωτέρων* F; *ὀρεινοτέρων* vulg. ‖ 6 *δείξας* vulg.; [*καὶ*] *δείξας* K; [*ὃς*] *δείξας* W; *δεῖξαι* F ‖ 16 *Ὀκτάνιος* F constanter ‖ 18 *Πετρόνιος* F ‖ 19 *κτινύει* lineola notatum in F; *κτείνει* vulg. ‖ 21 *ἐξαρθεὶς* F: cf. p. 350, 10; *Πομαξάθρης* Plut.; *ὁ Μαξάρθης* Appian. ‖ *Παρθυαῖος* [*ἀνεῖλε*] Cas. K.

*θυαίων Ὑρώδην. ἔτυχε δὲ βασιλεὺς κατ' ἐκεῖνο τῆς ὥρας ἑστιώμενος καὶ παρὰ τὸν πότον ἀκροώμενος Ἰάσονος Τραλλιανοῦ τραγῳδοῦ ὑποκρινομένου Βάκχας Εὐριπίδου. ὁ μὲν δὴ τραγῳδὸς ᾖδεν ἐκεῖνα τὰ μέλη*

*φέρομεν ἐξ ὄρεος*
*[ἕλικα] νεότομον ἐπὶ μέλαθρον,*
*μακάριον θήραν.*

*οἱ δὲ τὴν τοῦ Κράσσου κεφαλὴν κομίζοντες τῷ βασιλεῖ προσήνεγκαν. ἐπὶ τούτῳ μεγάλη βοὴ καὶ πολὺς κρότος ἐγένετο, ὥστε ὁ μὲν Ἐξάθρης ἀναπηδήσας ἔφη 'ἐμοὶ ταῦτα μᾶλλον τὰ μέλη προσήκει ᾄδειν ἢ τῷ τραγῳδῷ'. βασιλεὺς (μὲν) ἡσθεὶς τοῦτον μὲν ἐτίμησεν οἷς πάτριον ἦν, τῷ δὲ Ἰάσονι τῷ τραγῳδῷ τάλαντον ἔδωκεν.*

## 42. ΚΕΛΤΟΙ.

*Κελτοὶ στρατεύουσιν ἐπὶ Αὐταριάτας καὶ ἦν πόλεμος μακρός. οἱ μὲν Κελτοὶ τὰς τροφὰς καὶ τὸν οἶνον πόαις δηλητηρίοις καταφαρμακεύουσι καὶ καταλιπόντες ἐν ταῖς σκηναῖς αὐτοὶ νύκτωρ ἔφευγον· οἱ δὲ Αὐταριᾶται πιστεύσαντες, ὡς φοβηθέντες ἀποδιδράσκοιεν, κατελάβοντο τὰς σκηνὰς καὶ τῷ οἴνῳ καὶ ταῖς τροφαῖς ἀνέδην ἐχρήσαντο καὶ παραυτίκα ὑπὸ διαρροίας ἀκρατοῦς λυθέντες [ἔκειντο]. Κελτοὶ δὲ ἐπελθόντες κειμένους φονεύουσιν.*

---

Cap. 42. Cf. Theopomp. fr. 41 (Mueller fr. hist. graec. I.).

---

1 *Ὑρώδην* Plut.; *Ἡρώδην* F vulg.; *Ὀρώδης* Appian., Dio Cass. ‖ 5 *φέρων μὲν* F ‖ *ὄρεος* F, Plut.; *ὀρέων* Cas. ex Eurip. ‖ 6 *ἕλικα* om. F; ex Euripid. inser. Cas. ‖ *μέλανθρον* F; *μέλαθρα* Plut. ‖ 7 *θήραν* F, Plut.; *θήραμα* Mp, Euripid., Appian. ‖ 12 (*μὲν*) del. Cas. ‖ 13 *τῷ Ἰάσονι δὲ* vulg. ‖ 14 *Κέλτος* $F_1$ ‖ 15. 16 *Κέλτοι* F ‖ 22 *λυθέντες* Patakis: cf. 6, 13 *ἐκλυθέντες*; *ληφθέντες* *F* ‖ *[ἔκειντο]* Koen. p. 197: cf. 6, 13; 8, 25, 1; 8, 28.

## 43. ΘΡΑΙΚΕΣ.

Θρᾷκες παραταξάμενοι Βοιωτοῖς παρὰ τὴν Κωπαΐδα λίμνην, ἡττηθέντες, ἐς τὸν Ἑλικῶνα καταφυγόντες ἐσπείσαντο τοῖς Βοιωτοῖς ἡμέρας τινάς, ἐν αἷς βουλευσάμενοι ἀπαλλάξονται· οἱ Βοιωτοὶ τῇ νίκῃ θαρροῦντες καὶ ταῖς σπονδαῖς πιστεύοντες τῇ Ἀθηνᾷ τῇ Ἰτωνίᾳ θύοντες ἑώρταζον ἐπινίκια. οἱ Θρᾷκες θύουσι καὶ πανηγυρίζουσιν ἀόπλοις νύκτωρ ἐπιθέμενοι πολλοὺς μὲν ἀνεῖλον, πολλοὺς δὲ ζῶντας εἷλον. αἰτιωμένων δὲ τῶν Βοιωτῶν, ὅτι παρεσπόνδησαν, ἀπεκρίναντο οἱ Θρᾷκες, οὐδαμῶς παραβῆναι τὰς σπονδάς· ἡμέρας γὰρ συνθέσθαι ῥητὰς τῶν ἀνοχῶν, περὶ δὲ τῶν νυκτῶν μηδεμίαν συνθήκην πρὸς αὐτοὺς πεποιῆσθαι.

## 44. ΣΚΥΘΑΙ.

8 1 Σκύθαι Τριβαλλοῖς παρατάσσεσθαι μέλλοντες παρήγγειλαν τοῖς γεωργοῖς καὶ τοῖς ἱπποφορβοῖς, ἐπειδὰν αἴσθωνται συμβαλόντας αὐτοὺς τοῖς πολεμίοις, ἐπιφανῆναι πόρρωθεν τὰς ἀγέλας τῶν ἵππων ἐπελαύνοντας. οἱ μὲν ἐπεφάνησαν, οἱ δὲ Τριβαλλοὶ πολὺ πλῆθος ἀνθρώπων καὶ ἵππων πόρρωθεν ἰδόντες κονιορτὸν ἐγειρόμενον, βοὴν αἱρομένην, νομίσαντες τοὺς ἄνω Σκύθας ἥκειν αὐτοῖς συμμάχους ἔφυγον φοβηθέντες.

6 2 Σκύθαι τὴν Ἀσίαν κατέτρεχον. αἱ Σκυθίδες γημά-

Cap. 43. Ex Ephoro coll. Strab. 9, 2, 4, p. 401.
Cap. 44. § 1. Cf. Front. strat. 2, 4, 20.
Cap. 44. § 2. Cf. Herod. 4, 3 sq.; Iustin. 3, 5, 1 sq.

4 *τοῖς Βοιωτοῖς* vulg.; *τοὺς Βοιωτοὺς* F ‖ *τινὰς*] *ῥητὰς* K ‖ 6 *ἀθανάτῃ ἰτεωνία* F; corr. vulg. ‖ 15 *Τριβαλλοῖς* H; *Τριβάλλοις* F (id. v. 19) ‖ 17 *αἴσθονται* F ‖ *συμβάλλοντας* H ‖ 18 *ἐπελαύνοντας* Patakis ex Front. *admoveri*; *ἀπελαύνοντας* F ‖ 23 *Σκυθίδες* K; *Σκυθιάδες* FH.

μεναι τοῖς οἰκέταις ἐπαιδοποιήσαντο. ἐπανελθόντας οἱ δοῦλοι τοὺς δεσπότας οὐκ ἐδέξαντο. πόλεμος ἦν. οἱ μὲν οἰκέται φαλαγγηδὸν ἐπῄεσαν ὡπλισμένοι· Σκύθης δὲ ἀνὴρ δείσας αὐτῶν τὴν ἐξ ἀπονοίας μάχην συνεβούλευσεν ὅπλα μὲν καὶ τόξα καταβαλεῖν, μάστιγας δὲ ἀνατειναμένους ἐπὶ τοὺς οἰκέτας βαδίζειν. οἱ μὲν ἀνατεινάμενοι τὰς μάστιγας ἐφώρμησαν, οἱ δὲ τὸ συνειδὸς τῆς δουλείας οὐ φέροντες αὐτίκα φεύγοντες ᾤχοντο.

## 45. ΠΕΡΣΑΙ.

1 Πέρσαι περὶ Μυκάλην Σαμίους καὶ Μιλησίους ὑπόπτους ἔχοντες ἐκέλευσαν αὐτοὺς τὰ τῆς Μυκάλης ἄκρα φυλάττειν, λόγῳ μὲν ὡς ἐμπείρους τῆς χώρας, ἔργῳ δέ, ἵνα μὴ παρόντες διαφθείροιεν καὶ τοὺς ἄλλους Ἴωνας.

## ΠΕΡΣΙΔΕΣ.

558 2 Πέρσαι Μήδοις παρετάσσοντο. Περσῶν Κῦρος c. 14
ἡγεῖτο. Κύρου σατράπης Οἰβάρης ἦρξε φυγῆς, καὶ ὅσων ἡγεῖτο Περσῶν, πάντες τῷ σατράπῃ συνέφευγον. ἔνθα δὴ αἱ Περσίδες ἀπαντώμεναι τοῖς φεύγουσιν, ἀνασυράμεναι τοὺς χιτωνίσκους 'ποῖ' ἔφασαν 'φεύγετε; ἢ ὅθεν ἐξέδυτε, πάλιν ἐκεῖ καταδῦναι σπεύδετε;' ὁ

---

Cap. 45. § 1. Cf. Herod. 9, 99.

Cap. 45. § 2. Cf. Plut. Alex. 69; de virt. mul. 5; Nicol. Damasc. t. 3, p. 406 Mueller; Iust. 1, 6, 12 sq.; Anaxim. fr. 18; Strabo 15, p. 730 C.

---

3 ἐπῄεσαν F; ἀπήντησαν Cas. K ‖ 16 Περσίδες P; om. F ‖ 19 ὅσων vulg.; ὅσον F ‖ σατράπῃ F] Οἰβάρῃ vulg. ‖ 20 ἀπαντῶσαι *H: cf.* ad 1, 21, 1 ‖ 22 ἢ ὅθεν H; ἔωθεν F; ὅθεν vulg.

*λόγος τῶν γυναικῶν ᾔσχυνε τοὺς Πέρσας καὶ ἀναστρέψαντες ἐπὶ τὴν μάχην τοὺς Μήδους ἐς φυγὴν ἐτρέψαντο.*

## 46. ΤΑΥΡΟΙ.

*Ταῦροι Σκυθικὸν γένος ἀεὶ παρατάττεσθαι μέλλοντες τὰς ὄπισθεν ὁδοὺς ἀνασκάπτουσιν καὶ ποιήσαντες ἀβάτους οὕτως ἀγωνίζονται, ἵνα μὴ δυνάμενοι φυγεῖν ἢ κρατοῖεν ἢ ἀποθνήσκοιεν.*

## 47. ΤΡΩΙΑΔΕΣ.

*Πελληνεῖς ἀναπλέοντες ἐκ Τροίας κατέσχον εἰς τὴν Φλέγραν. αἰχμάλωτοι Τρωιάδες τῶν Ἑλλήνων ἐπὶ γῆν ἀποβάντων οὐ φέρουσαι τὴν ἄλην τὰς ναῦς κατέπρησαν. ἔπειθεν τὰς αἰχμαλώτους Αἰθία, Πριάμου ἀδελφή· οἱ δὲ Ἕλληνες ἀπορίᾳ σκαφῶν κατελάβοντο τὴν νῦν καλουμένην Σκιώνην καὶ πόλιν οἰκίσαντες τὴν χώραν ἀντὶ Φλέγρας Παλλήνην προσηγόρευσαν.*

## 48. ΣΑΛΜΑΤΙΔΕΣ.

*Ἀννίβας ἐν Ἰβηρίᾳ πόλιν μεγάλην Σαλματίδα* 220
*ἐπολιόρκει· καὶ δὴ συνθήκας ἐποιήσατο, λαβὼν ἀργυρίου τάλαντα τριακόσια καὶ τριακοσίους ὁμήρους*

---

Cap. 47. Cf. Conon. narrat. ap. Phot. 13 et Steph. Byz. s. v. *Σκιώνη*.
Cap. 48. Cf. Plut. de virt. mul. 10.

---

6 *ὄπισθεν* vulg.; *ὄπιθεν* F ‖ 9 *Τρῳάδες* F; *Πελληνεῖς* vulg. ‖ 10 *Πελλήνεις* F; *Παλληνεῖς* Cas. ‖ 12 *ἄλλην* $F_1$ ‖ 13 *ἔπειθεν τὰς* corr. $F_2$ ex *ἐπιθέντας* ‖ *Αἰθία* Roth; *Ἀνθία* F; *Αἴθυλλα* Rutgers. var. lect. p. 547 ex Conone ‖ 15 *νῦν*] *ναῦν* F ‖ 16 *Παλήνην* F.

*ἀνεῖναι τὴν πολιορκίαν. τῶν δὲ Σαλματαίων οὐκ ἀποδιδόντων τὰ συγκείμενα Ἀννίβας ἐπιστρέψας ἐπαφῆκε τοὺς στρατιώτας ὡς διαρπασομένους τὴν πόλιν. ἱκετεύουσιν οἱ βάρβαροι συγχωρῆσαι αὐτοῖς, ἐν ἱματίῳ μετὰ τῶν γυναικῶν ἐξελθεῖν, ὅπλα δὲ καὶ χρήματα καὶ ἀνδράποδα καταλιπεῖν. αἱ γυναῖκες ἐν τοῖς κόλποις κρύπτουσαι ξίφη τοῖς ἀνδράσι συνεξῆλθον. οἱ μὲν δὴ τοῦ Ἀννίβου στρατιῶται τὴν πόλιν διήρπαζον, αἱ δὲ γυναῖκες ἐμβοήσασαι τοῖς ἀνδράσι τὰ ξίφη παρέδωκαν· ἔνιοι δὲ καὶ αὐταὶ σπασάμεναι μετὰ τῶν ἀνδρῶν ἐπέθεντο τοῖς διαρπάσασι τὴν πόλιν, ὥστε τοὺς μὲν κατέβαλον, τοὺς δὲ ἐτρέψαντο καὶ ἀθρόοι διεξεπαίσαντο. Ἀννίβας τὴν ἀνδρείαν τῶν γυναικῶν θαυμάσας ἀπέδωκε δι' αὐτὰς τοῖς ἀνδράσιν αὐτῶν τήν τε πατρίδα καὶ τὰ χρήματα.*

## 49. ΤΥΡΡΗΝΙΔΕΣ.

*Τυρρηνῶν οἱ Λῆμνον καὶ Ἴμβρον κατασχόντες ἐξελασθέντες ὑπ' Ἀθηναίων, ἐς Ταίναρον κατασχόντες Σπαρτιάταις περὶ τὸν εἱλωτικὸν πόλεμον συνεμαχέ-*

---

Cap. 49. Cf. Plut. de virt. mul. 8; Herod. 4, 146; Polyaen. 8, 71. — G. Gilbert, Studien zur altspartan. Geschichte, p. 51.

---

1 *ἀνεῖναι* M; *ἀεῖναι* F; *ἀνείη* vulg. ‖ *Σαρματαίων* $F_1$, corr. $F_2$ ‖ *ἀποδιδόντων* M; *ἀποδωσόντων* F; *ἀποδόντων* K ‖ 3 *διαρπασομένους* Hertlein; *ἁρπασομένους* F: cf. infra vv. 8. 11 et Plut. *ἐπὶ διαρπαγῇ* ‖ 4 *ἐν ἱματίῳ* Plut.; *ἐνὶ ἱματίῳ* F: cf. 5, 19. 8, 64 ‖ 7 *τὰ ξίφη* vulg. ‖ 8 *Ἀννίβα* vulg. ‖ 9 *ἐμβοήσασαι* M Plut.; *ἐκβοήσασαι* F; *ἐκβοηθήσασαι* Valckenaer ‖ *παρέδωκαν* Patakis, Hertlein coll. Plut. *παρέδοσαν*; *προσέδωκαν* F ‖ 11 *διαρπάζουσι* p, K; *φρουροῦσι* Plut. ‖ *κατέβαλον* Plut.; *κατέλαβον* F ‖ 12 *διεξεπαίσαντο* K; *διεξεπέσαντο* F; *διεξέπεσον* Plut.: cf. 2, 2, 5. 3, 2, 14. 5, 16, 5 ‖ 14 *δι'* K; *δὴ* F ‖ 16 *τυρήννι . .* F pr., *τυρηννίδες* $F_2$ corr. ‖ 17 *τυρήννων*, corr. *τυρηννῶν* F ‖ 18 *Τέναρον* F ‖ *κατασχόντες*] *κατάραντες* Plut.

σαντο. πολιτείας δὲ καὶ ἐπιγαμίας τυχόντες, οὐ μὴν ἀρχῆς οὐδὲ βουλῆς μετασχόντες ὑπόνοιαν ἔσχον ὡς νεωτερίζοντες καὶ συλληφθέντες ὑπὸ Λακεδαιμονίων ἐφυλάσσοντο. αἱ δὲ τῶν φρουρουμένων γυναῖκες ἐπὶ τὴν εἱρκτὴν ἀφικόμεναι τοὺς φύλακας ἱκετεύουσι παρεῖναι αὐτάς, ὅσον ἰδεῖν καὶ προσειπεῖν τοὺς ἄνδρας. ἐπεὶ δὲ εἰσῆλθον, μετημφιέννυντο τὰς ἐσθῆτας· καὶ τὰς μὲν τῶν γυναικῶν οἱ ἄνδρες ἐνδύονται [καὶ] περικαλυψάμενοι προϊούσης ἑσπέρας ἐξίασι, τὰς δὲ τῶν ἀνδρῶν αἱ γυναῖκες λαβοῦσαι ὑπομένουσιν ἔνδον ἐπὶ τῷ πᾶν ὁτιοῦν παθεῖν διασωσάμεναι τοὺς ἄνδρας. οὐ τοίνυν οὐδὲ οἱ ἄνδρες τῶν γυναικῶν ἠμέλησαν, ἀλλὰ καὶ αὐτοὶ Ταΰγετον κατελάβοντο καὶ τὸ εἱλωτικὸν ἀπέστησαν, ὥστε δείσαντες οἱ Λάκωνες ἐπεκηρυκεύσαντο καὶ διαλλαγέντες ἀπέδωκαν αὐτοῖς τὰς γυναῖκας· ἔδωκαν δὲ καὶ χρήματα καὶ ναῦς καὶ ὡς ἀποίκους Λακεδαιμονίων ἐξέπεμψαν.

## 50. ΚΕΛΤΑΙ.

Κελτοῖς στάσις ἦν ἐμφύλιος. ἤδη δὲ καὶ ἐς πόλεμον ὡπλισμένων, αἱ γυναῖκες αὐτῶν [ἐν μέσῳ] στᾶσαι τῆς παρατάξεως τὰ ἐγκλήματα διῄτησαν καὶ διέκριναν, ὥστε τοὺς ἄνδρας φίλους γενομένους διαλλαγὰς ποιήσασθαι καὶ κατὰ οἴκους καὶ κατὰ πόλεις. αὖθις, εἴποτε

Cap. 50. Cf. Plut de virt. mul. 6.

6 προσειπεῖν Plut.; προσῆναι F ‖ 8 ἐνδύονται F] ἐνδύντες W ex Plut. et Herod. ‖ [καὶ] K; [δὲ] ante ἑσπέρας Cas. ‖ 13 Ταΰγετον W; ταυ ετὸν F; τὰ Ταΰγετα Cas. ex Plut.; ταυτὸν M ‖ 18 Κελταὶ V Plut.; Κέλται $F_1$, Κέλτοι corr. $F_2$: cf. 7, 42 ‖ 19 ἔμφυλος F ‖ καὶ del. K ‖ 20 [ἐν μέσῳ] Cas. ex Plut. ‖ 23 εἴποιτε F.

*Κελτοὶ βουλεύοιντο πολέμου πέρι καὶ εἰρήνης ἢ τῶν ἄλλων ὅσα κοινὰ πρὸς ἀλλήλους ἢ τοὺς συμμάχους, ἕκαστα γνώμῃ τῶν γυναικῶν ἐβραβεύετο. ἐν γοῦν ταῖς πρὸς Ἀννίβαν συνθήκαις γέγραπται, Κελτῶν μὲν ἐγκαλούντων Καρχηδονίοις τοὺς Καρχηδονίων ἐπάρχους καὶ στρατηγοὺς εἶναι δικαστάς, ἢν δὲ Καρχηδόνιοι Κελτοῖς ἐγκαλῶσι, τὰς Κελτῶν γυναῖκας δικάζειν.*

4 *Ἀνίβαν* F ‖ 5 *ἐπάρχους* Wyttenbach ex Plut., qui *τοὺς ἐν Ἰβηρίᾳ Καρχηδονίων ἐπάρχους*; *ἱππάρχους* F.

## *Τάδε ἔνεστιν ἐν τῷ ὀγδόῳ τῶν*

# *Πολυαίνου στρατηγημάτων.*


| | | | |
|---|---|---|---|
| *Ἀμούλιος* | α | *Σεμίραμις* | α |
| *Νεμέτωρ* | α | *Ῥοδογούνη* | α |
| *Ῥωμύλος* | β | *Τόμυρις* | α |
| *Νουμᾶς* | α | *Νίτητις* | α |
| *Τύλλος* | α | *Φιλῶτις* | α |
| *Ταρκυΐνιος* | α | *Κλοιλία* | α |
| *Κάμιλλος* | β | *Πορκία* | α |
| *Μούκιος* | α | *Τελέσιλλα* | α |
| *Σύλλας* | β | *Χειλωνὶς* | α |
| *Μάριος* | γ | *Πιερία* | α |
| *Μάρκελλος* | α | *Πολυκρίτη* | α |
| *Ἀτίλιος* | α | *Λαμψάκη* | α |
| *Γάϊος* | α | *Ἀρεταφίλα* | α |
| *Φάβιος* | δ | *Κάμμα* | α |
| *Κόϊντος* | α | *Τιμόκλεια* | α |
| *Σκιπίων* | η | *Ἐρυξὼ* | α |
| *Κάτων* | α | *Πυθόπολις* | α |
| *Δαῦνος* | α | *Χρυσάμη* | α |
| *Τίτος* | α | *Πολύκλεια* | α |
| *Γάϊος* | α | *Λέαινα* | α |
| *Πεινάριος* | α | *Θεμιστὼ* | α |
| *Σερτώριος* | α | *Φερετίμα* | α |
| *Καῖσαρ* | λγ | *Ἀξιοθέα* | α |
| *Σεβαστὸς* | ζ | *Ἀρχίδαμις* | α |
| *Ῥωμαῖοι* | γ | *Λαοδίκη* | α |


---

*Ἀμούλλιος* F ‖ *Νομήτωρ* vulg. ‖ *Τοῦλλος* $F_1$ ‖ *Κάμηλος* F ‖ *Ἀντίλιος* F ‖ *Γαῖος* V; *Γναῖος* F ‖ *Κόϊντος* α om. F ‖ *γεινάρος* $F_1$ ‖ *Φαῦνος* vulg. ‖ *Σκηπίων* F ‖ *Σεβαστὸς* ζ $F_1$; η $F_2$ ‖ *Ῥωμαῖοι* α′ $F_1$ ‖ *Νητιτις* F; hic desinit index libri VIII in F; quae sequuntur nomina, ex capitum titulis suppl. vulg. ‖ Χιλωνὶς F vulg. ‖ *Πολυκρήτη* F vulg. ‖ *Λαμψάκη* W; Φωκαεῖς F.

*Θεανὼ* . . . . . . . . . α
*Δηιδάμεια* . . . . . . . α
*Ἀρτεμισία* . . . . . . . . α
*Μανία* . . . . . . . . . α
*Τιργαταὼ* . . . . . . . . α
*Ἀμάγη* . . . . . . . . . α
*Ἀρσινόη* . . . . . . . . . α
*Κρατησίπολις* . . . . . . α
*Ἱέρεια* . . . . . . . . . α
*Κύννα* . . . . . . . . α
*Μύστα* . . . . . . . . . α
*Ἐπίχαρις* . . . . . . . . α
*Μιλησία* . . . . . . . . α
*Μηλίαι* . . . . . . . . . α
*Φωκίδες* . . . . . . . . α
*Χῖαι* . . . . . . . . . . α
*Θάσιαι* . . . . . . . . . α
*Ἀργολίδες* . . . . . . . . α
*Ἀκαρνανίδες* . . . . . . . α
*Κυρηναῖαι* . . . . . . . α
*Λάκαιναι* . . . . . . . . α

---

*Μανία* ex Xenoph. Hell. 3, 1, 10; *Τανία* F || *Ἱερία* F vulg. || *Κυννάνη* F, cf. ad 8, 60 || *Μύστα* H Phylarchus; *Πύστα* F || *Μιλησίαι* vulg. || *Ἀκαρνανίδες* W; *Ἀρκάδαι* F; *Ἀκαρνᾶνες* vulg. || *Κυρηναῖοι* vulg.

# ΒΙΒΛΙΟΝ ΟΓΔΟΟΝ.

*Καὶ τόδε ὑμῖν ὄγδοον βιβλίον, ἱερώτατοι βασιλεῖς Ἀντωνῖνε καὶ Οὐῆρε, προσφέρω τῶν Στρατηγημάτων· ὥστε συντετελεσμένης τῆς συντάξεως, ἣν ὑπεσχόμην, εὔχομαι ὑμῖν [μὲν] μετὰ τῆς στρατηγικῆς ἀρετῆς τέλος ἀγαθὸν ἐν τοῖς πολέμοις γενέσθαι, ἐμαυτῷ δὲ ψῆφον παρ' ὑμῶν δικαίαν, ὅτι προαιρέσει βίου καὶ λόγου δικανικοῦ χρώμενος οὐκ ἀμελῶ συγγράφειν, ὅσα γένοιτ' ἂν ὠφέλιμα ὑμῖν τε αὐτοῖς καὶ τῇ Ῥωμαίων ἀρχῇ καὶ τοῖς Ἕλλησιν, ἤν τε πολεμῶμεν ἤν τε τὴν εἰρήνην ἄγωμεν. ἐν μὲν γὰρ πολέμῳ ταῦτά ἐστι νίκης γυμνάσματα, ἐν δὲ εἰρήνῃ γνώμης παιδεύματα, τὴν δόξαν ἀθάνατον παρὰ τῆς ὑμετέρας βασιλείας λαβόντα.*

## 1. ΑΜΟΥΛΙΟΣ.

*Ἀμούλιος καὶ Νεμέτωρ ἀδελφοί. νεώτερος Ἀμούλιος δυνάμει βιασάμενος βασιλεὺς Ἄλβης ἐγένετο. τὸν μὲν δὴ Νεμέτορα τὸν ἀδελφὸν ἐφρούρει, θυγατέρα δὲ αὐτοῦ Σιλουίαν, ἵνα μὴ παῖδες ἐξ αὐτῆς γένοιντο, τιμωροὶ τῆς Ἀμουλίου παρανομίας, ἀπέφηνεν ἱέρειαν τῆς Ἑστίας, ἐπειδὴ νόμος ταῖς Ἑστιάσιν ἀεὶ παρθενεύεσθαι.*

---

4 *συντετελεωμένης* vulg. ‖ 5 [*μὲν*] Rud. Schoell; *καὶ ὑμῖν* M ‖ 6 *πολεμίοις* F ‖ 8 *ἀμελῶ* K; *ἀμελῶς* F ‖ *συγγράφειν* F] *συγγράφω* Cas. ‖ 10 *πολεμωμένην τὴν* F; *τὴν* om. vulg.: cf. praef. libri III ‖ 14 *Ἀμούλλιος* F constanter ‖ 15 *Νομήτωρ* D vulg. ‖ 18 *Σολπίαν* F ‖ 19 *ἱερίαν* F.

### 2. ΝΕΜΕΤΩΡ.

*Ῥέμος καὶ Ῥωμύλος Ἄρεως καὶ Σιλουΐας παῖδες ἐπέθεντο Ἀμουλίῳ. θόρυβος ἀπὸ τῆς ἄκρας ἐς τὴν πόλιν ἐφέρετο. Νεμέτωρ εἰδὼς τὰ δρώμενα πρὸς τοὺς πολίτας ἔφη 'πολεμίων ἔφοδος γέγονεν· Ἀμούλιος δὲ προδοὺς τὴν πόλιν πέφευγεν. ἀλλὰ ὁπλισάμενοι ἐς τὴν ἀγορὰν ἀθροιζώμεθα'. οἱ μὲν ὡπλίζοντο καὶ ἠθροίζοντο. Ῥέμος δὲ καὶ Ῥωμύλος ἀνελόντες Ἀμούλιον ἐξεπήδησαν τῆς ἄκρας καὶ τοῖς πολίταις ἠθροισμένοις ἀνήγγειλαν, οἵτινες ὄντες οἷα παθόντι τῷ πάππῳ δικαίως ἐτιμώρησαν. ὁ δὲ δῆμος ἐπαινέσας τὸ ἔργον Νεμέτορι τὴν βασιλεῖαν ἀπέδωκεν.*

### 3. ΡΩΜΥΛΟΣ.

1 *Ῥωμύλος Ῥωμαίων γυναῖκας οὐκ ἐχόντων ἐκήρυξεν ἀνὰ τὰς γείτονας πόλεις, ὡς ἑορτὴν ἄξοι δημοτελῆ Ποσειδῶνος Ἱππίου καὶ ἀγῶνας ἵππων ἐπὶ ἄθλοις μεγίστοις. πολλοὶ δὴ συνῆλθον ἐκ τῶν πόλεων ἐπὶ τὴν θέαν· πᾶν γένος ἀνδρῶν, γυναικῶν, παρθένων. Ῥωμύλος παράγγελμα ἔδωκεν, ἀπέχεσθαι μὲν ἀνδρῶν καὶ γυναικῶν, ἁρπάζειν δὲ μόνας παρθένους καὶ ταύτας οὐκ ἐς ὕβριν, ἀλλ' ἐς γάμον. οὗτος ὁ γάμος Ῥωμαίοις ἀρχὴ παιδοποιΐας ἐγένετο.*

2 *Ῥωμύλος τῆς Φιδηναίων πόλεως ἀποσχὼν δέκα που στάδια κατεστρατοπέδευσε. νύκτωρ δὲ τοῦ χάρακος ἐξαγαγὼν τὴν δύναμιν τοὺς ἡμίσεις τῶν λόχων*

Cap. 3. § 1. Cf. Liv. 1, 9; Plut. Romul. 14.
Cap. 3. § 2. Cf. Liv. 1, 14; Front. strat. 2, 5, 1.

2 *Ῥέμος* F] *Ῥῶμος* M, ut Dionys. Hal. ‖ 5 *Ἀμύλλιος* F ‖ 6 *ὡπλισάμενοι* F ‖ 7 *ἀθροιζώμεθα* vulg.; *ἀθροιζόμεθα* F ‖ 8 *Ῥέμος* F pr., *Ῥόμος* F corr. ‖ 10 *παθόντες* vulg. ‖ 15 *ἄξει* K ‖ 16 *Ἱππείου vulg.*

*εἰς μέτωπον καταστήσας, τοὺς δὲ λοιποὺς ὀρθίους ἐκτάξας καὶ τοῖς ἡγεμόσιν ἐν ἀπορρήτῳ παραγγείλας ἃ χρὴ πράττειν, αὐτὸς ὀλίγους ἔχων εὐζώνους πελέκεις φέροντας τοῖς τείχεσι προσῆλθεν κελεύσας τὴν ἄλλην δύναμιν ἐφεδρεύειν ἐγγύθεν. ἤδη δὲ ὑπαυγαζούσης ἕω προσέταξε τὰς πύλας ἐκκόπτειν. τῶν δὲ Φιδηναίων τῇ παραλόγῳ τόλμῃ ταραχθέντων καὶ τὰς πύλας ἀνοιξάντων καὶ τοῖς πολεμίοις ἐμπεσόντων ἀσυντάκτως Ῥωμαῖοι μὲν ὑπεχώρουν, Φιδηναῖοι δὲ τοὺς κατὰ μέτωπον ὁρῶντες, τοὺς δὲ ὄπισθειν οὐ βλέποντες, τῶν ὁρωμένων καταφρονοῦντες ἐνέκειντο σφοδρῶς τούτων οἰόμενοι κρατήσειν. ἐπεὶ δὲ περαιτέρω προῆλθον, οἱ μὲν ἡγεμόνες τοὺς ὀρθίους λόχους ταῖς κατὰ μέτωπον ὑπέταξαν καὶ συγκαθίσαι παρήγγειλαν, ὅπως ὑπὸ τῶν πολεμίων μὴ βλέποιντο. τούτων δὲ γενομένων οἱ μὲν κατὰ μέτωπον φυγόντες περιῆλθον τοὺς ὀρθίους λόχους καὶ ἀντιπρόσωποι τοῖς διώκουσιν ἐγένοντο, οἱ δὲ συγκαθήμενοι διαναστάντες μετὰ βοῆς ἐμβάλλουσι τοῖς πολεμίοις ἀκμῆτες κεκμηκόσι. μετὰ τούτων δὲ συμβάλλουσι καὶ οἱ πεφευγέναι δοκοῦντες, καὶ Φιδηναίους ἐς φυγὴν τραπομένους ἀνελόντες τῆς πόλεως αὐτῶν ἐκράτησαν.*

### 4. ΝΟΥΜΑΣ.

*Νουμᾶς Ῥωμαίους ἐκ πολέμου καὶ φόνου βουλόμενος μεταβαλεῖν ἐς εἰρήνην καὶ νόμους, ἀναχωρῶν τῆς πόλεως εἰς τέμενος ἱερὸν Νυμφῶν, ἐν τούτῳ μόνος διαιτώμενος ἐπὶ συχνὰς ἡμέρας ἐπανῄει παρὰ τῶν*

---

4 *προσῆλθεν* pV; *προσῆλθον* F, quod defendit Hertlein, Iahnii annal. 1861, p. 257 ‖ 9 *Φηδιναῖοι* F ‖ 17 *ἀντιπρόσωποι* vulg.; *ἀντιπρόσωπον* F ‖ 23 *Νούμας* F ubique; cf. Dittenberger, Hermes 6, p. 290 ‖ 25 *μεταλαβεῖν* F, corr. vulg.

*Νυμφῶν θεοπρόπια κομίζων, ἃ συνεβούλευεν ἡγεῖσθαι νόμους. τούτοις ἐπείθοντο Ῥωμαῖοι. ὅσαι μέχρι νῦν ἑορταί, θυσίαι, τελεταί, ἱερουργίαι, ταῦτα πάντα Νουμᾶς οἷα δὴ νόμους Νυμφῶν κατεστήσατο. δοκεῖν δὲ ἐμοὶ ζηλωτὴς ἐγένετο Μίνω καὶ Λυκούργου· καὶ γὰρ οὗτοι τοὺς νόμους, ὁ μὲν παρὰ Διός, ὁ δὲ παρὰ Ἀπόλλωνος μαθόντες ἢ μαθεῖν φάσκοντες ἔπεισαν αὐτοῖς χρῆσθαι, ὁ μὲν Κρῆτας, ὁ δὲ Λάκωνας.*

## 5. ΤΥΛΛΟΣ.

*Τύλλος ἦρχε Ῥωμαίων παραταssομένων Φιδηναίοις· Ῥωμαίους προδόντες Ἀλβανοὶ τὸ λαιὸν κέρας λιπόντες ἐς τὰ ὄρη παρεχώρουν. ἱππεὺς διὰ τάχους Τύλλῳ προσδραμὼν ἤγγειλε τὴν προδοσίαν. ὁ δὲ ἀνεβόησε μέγιστον· ‘ἀλλὰ σὺ μὲν τὴν σαυτοῦ τάξιν φύλαττε, Ἀλβανοὶ δὲ ἀπίασι κυκλωσόμενοι τοὺς πολεμίους ἐμοῦ προστάξαντος’. τοῦτ’ ἀκούσαντες Ῥωμαῖοι λαμπρὸν ἠλάλαξαν. οὐ μὴν οὐδὲ Φιδηναίους ἔλαθεν ἡ τῶν ἀλαλαξάντων χαρά, σπουδῇ δὲ καὶ τάχει φεύγειν ὥρμησαν ὑπ’ Ἀλβανῶν κυκλωθῆναι φοβηθέντες.* c. 40,

## 6. ΤΑΡΚΥΙΝΙΟΣ.

*Ταρκυΐνιος Γαβίους πολιορκῶν χρόνῳ μακρῷ, μὴ δυνάμενος ἑλεῖν, τὸν νεώτατον τῶν παίδων Σέξστον* c. 44,

---

Cap. 5. Cf. Front. strat. 2, 7, 1; Liv. 1, 27; Dionys. Hal. 3, 24.
Cap. 6. Cf. Front. strat. 1, 1, 4; Liv. 1, 54; Zonar. 7, 10; Dionys. Hal. 4, 63.

---

4 *νόμους* corr. $F_2$ ex *νομέα* ‖ 5 *ἐγένοντο Μίνω καὶ Λυκούργῳ* F, corr. vulg. ‖ 6 *οὗτοι* K; *οὕτω* F ‖ 7 *ἔπεισαν* F] *ἔπειθον* vulg. ‖ 9 *Τύλος* F ‖ 10 *Φιδιναίους Ῥωμαίοις* F ‖ 12 *προεχώρουν* H ‖ *ἵππους* F ‖ 17 *Φιδηνέους* F ‖ 20 *Ταρκυΐνιος* F] *Ταρκύνιος* vulg. (et sic infra) ‖ 21 *μακρῷ χρόνῳ* M ‖ *καὶ μὴ* H ‖ 22 *Σέξτον* H et *censor Ienensis*, at cf. Meineke praef. Strab. vol. 3, p. VII et *Philol. 12, p. 621.*

πληγαῖς αἰκισάμενος αὐτόμολον ἔπεμψεν. οἱ δὲ τὸ σῶμα πικρῶς ᾐκισμένον ἰδόντες ἐδέξαντο πολλὰ καὶ μεγάλα ἐπαγγειλάμενον κατὰ τοῦ πατρός· ὧν τὰ πλεῖστα δράσας πιστὸς ἦν. ἐλῄζετο Ῥωμαίους, ἐς φυγὴν ἐτρέπετο, αἰχμαλώτους ἐλάμβανε, μάχας ἐνίκα πολλάς, ὥστε οἱ Γάβιοι θαυμάσαντες αὐτοκράτορα στρατηγὸν αὐτὸν ἀπεφήναντο. ὁ δὲ ἄγγελον κρύφα πέμψας τὸν πατέρα ἤρετο, τί δρᾶν κελεύοι· Ταρκύνιος δέ, καὶ γὰρ ἔτυχεν ὁμιλῶν ἐν κήπῳ, τοὺς ὑψηλοτάτους μήκωνας ἀποκλάσας ἔφη πρὸς τὸν ἄγγελον 'φράζε μου τῷ παιδὶ ταὐτὸ πράττειν'. ὁ μὲν ἤγγειλεν, ὁ δὲ Σέξστος τῶν Γαβίων τοὺς προέχοντας διαφθείρας, οὕτω μηχανησάμενος ἐρημίαν καὶ ἀσθένειαν Γαβίοις τὴν πόλιν αὐτῶν παρέδωκε Ῥωμαίοις.

## 7. ΚΑΜΙΛΛΟΣ.

4, 12 Κάμιλλος Φαλερίοις ἐπολέμει. τῶν Φαλερίων παί- 1
δων ὁ διδάσκαλος προαγαγὼν αὐτοὺς ἔξω τείχους ὡς γυμνασομένους παρέδωκε Ῥωμαίοις, Κάμιλλος δὲ ἀσεβῆ τὴν τοῦ διδασκάλου προδοσίαν ἡγησάμενος προσέταξεν ὀπίσω τὼ χεῖρε αὐτοῦ περιαχθῆναι καὶ δεθῆναι καὶ τοῖς παισὶν ἐπέτρεψεν ἀπάγειν τὸν προδότην ὡς τοὺς πατέρας. Φαλέριοι τὸν μὲν διδάσκαλον αἰκισάμενοι κατέφθειραν, τοῦ δὲ Καμίλλου θαυμάσαντες τὴν εὐσέβειαν καὶ τὴν δικαιοσύνην σφᾶς αὐτοὺς ἄνευ μάχης

---

Cap. 7. § 1. Ex Plut. Camill. 10; cf. Liv. 5, 27; Front. strat. 4, 4, 1; Dionys. Hal. 13, 1 sq.; Dio Cass. fr. 24, 2 (Zonar. 7, 22).

---

2 *ἐδέξαντο ἐν τῇ πόλει* H ‖ 7 *ἀπέφηναν* H ‖ *τῷ πατρὶ* H ‖ 9 *μήκονας ἀποκλείσας* F ‖ 10 *τὸν παῖδα* H ‖ *ταὐτὸ* Cas.; *τοῦτο* FH ‖ 16 *Φαλλερίων* F ‖ 20 *αὐτὸν* p, Patakis ‖ *δεηθῆναι* F ‖ 23 *Καμίλον* F (et sic saepius).

παρέδωκαν· Κάμιλλος δὲ τοὺς πολλῷ χρόνῳ ἁλῶναι μὴ δυναμένους εὐσεβεῖ στρατηγήματι παρεστήσατο.

367 2 Κελτοὶ Βρέννου βασιλέως ἡγουμένου κατα κράτος τὴν Ῥώμην ἑλόντες ἑπτὰ μησὶ κατέσχον· Κάμιλλος τοὺς ἔξω τῆς πόλεως Ῥωμαίους συναγαγὼν ἐξήλασε Κελτοὺς καὶ τὴν πόλιν ἀνέστησε. πάλιν αὖ Κελτοὶ μετὰ τρία ἔτη καὶ δέκα εἰς τὴν Ῥώμην ἐμβαλεῖν τολμήσαντες ἐστρατοπεδεύσαντο περὶ τὸν Ἀνίωνα ποταμὸν ἐλάχιστον τῆς πόλεως ἀπέχοντα. Κάμιλλος αἱρεθεὶς πέμπτον δικτάτωρ καὶ τὴν στρατηγίαν ἀναλαβὼν πρὸς μὲν τὰς τῶν Κελτῶν μαχαίρας, αἷς καταφέροντες τὰς κεφαλὰς διέκοπτον, ἐκέλευσεν ἀντιχαλκεύσασθαι τὰ κράνη ὁλοσίδηρα καὶ λεῖα, ὅπως αἱ μάχαιραι ἀπολισθάνοιεν ἢ κατεάγνοιντο· τοῖς δὲ θυρεοῖς κύκλῳ περιήρμοσε λεπίδα χαλκῆν, τοῦ ξύλου τὰς πληγὰς μὴ στέγοντος. τοὺς δὲ στρατιώτας ἐδίδαξε τοῖς ξυστοῖς μακροῖς ἀπὸ χειρὸς χρῆσθαι καὶ τοῖς ξίφεσι τῶν πολεμίων σφᾶς αὐτοὺς ὑποβάλλοντας ἐκδέχεσθαι τὰς καταφοράς. ὅ τε γὰρ σίδηρος τῶν Κελτῶν μαλακὸς ὢν καὶ πονηρῶς ἐληλασμένος ἐκάμπτετο ταχέως, αἵ τε μάχαιραι αὐτῶν ἐδιπλοῦντο καὶ ἦσαν ἄχρηστοι πρὸς τὴν μάχην. οὕτως γέ τοι καὶ ῥᾳδίως ἡττηθέντες οἱ πλεῖστοι μὲν αὐτῶν ἔπιπτον, οἱ λοιποὶ δὲ φυγόντες ᾤχοντο.

---

Cap. 7. § 2. Ex Plut. Camill. 40. — Cf. J. p. 666.

---

3 *Βρένου* F ‖ 7 *δέκα*] *εἴκοσι* Plut., quod restituendum censet W ‖ 8 *Ἀνίωνα* K ex Plut.; *Ἀννίωνα* F ‖ 10 *στρατηγίαν* C. Fr. Hermann coll. Plut. *ὑποστὰς τὴν στρατηγίαν*; *στρατείαν* F; *στρατιὰν* vulg. ‖ 14 *κατεάγνοιντο* F; *κατάγνοιντο* p; *κατάγνυσθαι* Plut. ‖ 17 *χρῆσθαι* Plut.; *χρήσασθαι* F ‖ 18 *ὑποβάλλοντας* Plut.; *ὑποβαλλόντας* F; *ὑποβαλόντας* MD.

## 8. ΜΟΥΚΙΟΣ.

3, 6 Τυρρηνοὶ Ῥωμαίοις ἐπολέμουν. Τυρρηνῶν βασιλεὺς ἦν Πορσίνας, Ῥωμαίων ἦρχε Ποπλικόλας τρίτον ὑπατεύων. Μούκιος Ῥωμαῖος ἀνήρ, ἄριστος τὰ πολεμικά, Πορσίναν βουλόμενος ἀνελεῖν ἐς τὸ Τυρρηνικὸν στρατόπεδον ἦλθεν, ἐσθῆτα ἔχων Τυρρηνίδα καὶ τῇ φωνῇ τυρρηνίζων· καὶ δὴ παρελθὼν ἐπὶ τὸ βῆμα, τὸν βασιλέα τὸν Πορσίναν οὐκ εἰδὼς ὅστις ἦν, ὃν ᾠήθη μάλιστα τῶν καθεζομένων ἐοικέναι βασιλεῖ καὶ δὴ τοῦτον ἔκτεινε σπασάμενος τὸ ξίφος. συλληφθεὶς ὡμολόγησεν ὅστις ἦν. Πορσίνας μὲν δὴ ἔθυεν ἐπὶ τῇ σωτηρίᾳ τοῖς θεοῖς, Μούκιος δὲ τῆς ἐσχάρας πῦρ ἐχούσης ὑπερέσχε τὴν χεῖρα τὴν δεξιὰν καὶ τῆς χειρὸς καιομένης εἱστήκει τῷ Πορσίνᾳ διαλεγόμενος φαιδρῷ καὶ ἀτρέπτῳ τῷ προσώπῳ. ὡς δὲ Πορσίνας τὴν ἀρετὴν ὑπερεθαύμαζε, Μούκιος ‘μηδαμῶς’ ἔφη ‘θαυμάσῃς· τριακόσιοι Ῥωμαῖοι τὴν αὐτὴν ἐμοὶ καρτερίαν ἔχοντες ἐν τῷ στρατοπέδῳ σου πλανῶνται καιρὸν παραφυλάσσοντες τῆς σῆς ἀναιρέσεως’. Πορσίνας πιστεύσας τοῖς λεγομένοις καὶ φοβηθεὶς τὸν πόλεμον πρὸς Ῥωμαίους διελύσατο.

## 9. ΣΥΛΛΑΣ.

Σύλλας ἐν τῷ συμμαχικῷ πολέμῳ τῶν [στρατιω- 1 90 89
τῶν αὐτοῦ] στρατηγικὸν ἄνδρα καὶ πρεσβευτήν, Ἀλ-

---

Cap. 8. Ex Plut. Publicola 17 (Zonar. 7, 12); cf. Liv. 2, 12.
Cap. 9. § 1. Ex Plut. Sulla 6.

---

2 Τυρηνοὶ et Τυρηνῶν F ‖ 4 Ῥωμαίοις F ‖ πολεμικὰ W coll. Plut. et Zonar.; πολέμια F vulg. ‖ 5 τυρηννικὸν F ‖ 7 περιελθὼν τὸ βῆμα Plut. ‖ 23 τῶν [στρατιωτῶν αὐτοῦ] suppl. vulg.; τὸν F ‖ 24 πρεσβύτην F.

*βῖνον, λίθοις καὶ ξύλοις διαχρησαμένων οὐκ ἐπεξῆλθεν, ἀλλὰ παρεῖδε τοὺς ἀποκτείναντας φάσκων ποιεῖν αὐτοὺς ἐν τούτῳ προθυμοτέρους ἐς τὸν πόλεμον ὡς ὀφείλοντας ὑπὲρ ἁμαρτήματος μεγάλου διὰ μεγάλης ἀνδραγαθίας ἀπολογήσασθαι. τοιγάρτοι καὶ ἐν ταῖς μάχαις πολλῷ γενναιότερον ἠγωνίσαντο, ὥστε καὶ λήθην ἐμποιῆσαι τῆς εἰς τὸν Ἀλβῖνον παρανομίας.*

85 2 *Σύλλας Ἀρχελάῳ τῷ Μιθριδάτου στρατηγῷ περὶ* e. 1
*Ὀρχομενὸν παρετάσσετο. ὁρῶν δὲ τοὺς Ῥωμαίους ἡττωμένους καὶ φεύγοντας αὐτὸς ἀποπηδήσας τοῦ ἵππου καὶ σημεῖον ἁρπάσας ὠθεῖτο διὰ τῶν φευγόντων ἐς τοὺς πολεμίους βοῶν ‘ἐμοὶ μὲν ἐνταῦθα καλόν, ὦ Ῥωμαῖοι, τελευτᾶν, ὑμεῖς δὲ τοῖς πυνθανομένοις, ποῦ προδεδώκατε Σύλλαν, μέμνησθε φράζειν ἐν Ὀρχομενῷ’. τοῦτον τὸν λόγον Ῥωμαῖοι καταιδεσθέντες ἀνέστρεψαν καὶ προθύμως ἐμβαλόντες ἐτρέψαντο τοὺς πολεμίους.*

## 10. ΜΑΡΙΟΣ.

8/102 1 *Μάριος Κιμβρίων καὶ Τευτόνων ἐς τὴν Ἰταλίαν* e. 1
*ἐμβαλόντων, ἀγρίων ἀνθρώπων, μεγάλων, τὰς ὄψεις ἀλλοκότων, θηριώδη τὴν φωνὴν ἐχόντων, ἐπὶ πλεῖστον ὅσον οὐ συνέβαλεν ἐς μάχην, ἀλλὰ ἐκώλυσε τοὺς στρατιώτας τοῦ χάρακος προϊόντας ἐμβάλλειν, πόρρωθεν*

---

Cap. 9. § 2. Ex Plut. Sulla 21; cf. Appian. Mithrid. 49; Front. strat. 2, 8, 12.
Cap. 10. § 1. Ex Plut. Mario 16.

---

2 *παρίδε* F ‖ *ἀποκτείνοντας* F, corr. vulg. ‖ 8 *τῷ Μιθρηδάτου τῷ στρατηγῷ* F ‖ 14 *μέμνησθε* H; *μεμνῆσθαι* F ‖ 21 *ἐκώλυσε* Hertlein; *ἐκέλευσε* H; *ἐκέλευεν* F vulg. ‖ 22 *προϊόντας ἐμβάλλειν* W; *ἐμβάλλειν προσιόντας* F ‖ *πόρρωθεν* [*δ’*] Hertlein; [*καὶ*] *πόρρωθεν* K.

[δ'] ἱσταμένους, ὁρῶντας τοὺς πολεμίους εἴθιξε τῆς μορφῆς αὐτῶν ἀνέχεσθαι καὶ τὴν φωνὴν ὑπομένειν καὶ τὴν ὄψιν χειροήθη ποιεῖσθαι. οὕτως ἄρα οἱ στρατιῶται τὸ θάμβος τῶν βαρβάρων ἐκλύσαντες κατεφρόνησαν αὐτῶν καὶ τὸν Μάριον αὐτοὶ παρεκάλουν ἐξάγειν αὐτοὺς ἐπὶ τὴν μάχην· καὶ δὴ συμβαλόντες δέκα μυριάσι τῶν πολεμίων τοὺς μὲν ἔκτειναν, τοὺς δὲ ζῶντας ἔλαβον.

Μάριος Τεύτοσι καὶ Κιμβρίοις μέλλων συμβάλλειν 2 102
ἐν ὑπωρείαις ἀνωμάλοις Μάρκελλον διὰ νυκτὸς ἐκέλευσε τρισχιλίους ὁπλίτας ἄγοντα δι' ἀβάτων ὀρῶν περιελθόντα κατὰ νώτου τῶν πολεμίων γενέσθαι. ἐπεὶ δὲ συνέβαλε, παράγγελμα τοῖς στρατιώταις ἔδωκεν, ἐκ τῶν ἀνωμάλων ἠρέμα ὑποβαίνειν ἐς τὸ πεδίον, ὅπως οἱ πολέμιοι φεύγειν αὐτοὺς οἰόμενοι διώκειν ἐγχειροῖεν καὶ οὕτως ἐς τὸ ὁμαλὸν κατέλθοιεν. ὡς δὲ κατῆλθον, κατὰ προσώπου μὲν οἱ περὶ τὸν Μάριον, κατὰ νώτου δὲ οἱ περὶ τὸν Μάρκελλον συρρήξαντες κατέκοψαν τοὺς πολεμίους καὶ νίκην λαμπροτάτην ἐνίκησαν.

3, 9 Μάριος Κιμβρίοις συμβαλὼν ἀπὸ χειμερίων τόπων 3 101
ὡρμημένοις ἠπίστατο κρύος μὲν καὶ χιόνα φέρειν δυναμένους, καῦμα δὲ καὶ ἥλιον οὐδαμῶς. ἦν μὲν δὴ μὴν Αὔγουστος. Μάριος δὲ κατὰ νώτου τῶν πολεμίων προκατελάβετο τῆς μάχης τὸν τόπον. οἱ βάρβαροι δὲ ἐπιστραφέντες, κατὰ προσώπου τὸν ἥλιον ἔχοντες, ἀντι-

---

Cap. 10. § 2. Ex Plut. Mario 20 sq.; cf. Front. strat. 2, 4, 6.
Cap. 10. § 3. Ex Plut. Mario 26; cf. Front. strat. 2, 2, 8.

---

1 ἤθιζεν F ‖ τῆς μορφῆς F] τὴν μορφὴν M Plut. ‖ 10 ὑπωρείαις vulg.; ὑπωρίοις F ‖ 13 συνέβαλε K; συνέβαλλε Cas.; συνέβαλον Roth; συνέβαινε F ‖ 18 Μάρκελον F ‖ 21 ὡρμημένοις Roth; ὁρμωμένοις F ‖ 23 πολεμίων Patakis; στρατιωτῶν F.

λάμπουσαν τὴν αὐγὴν οὐ φέροντες, ὑπὸ τοῦ θάλπους ἱδρῶτα πολὺν μετὰ ἄσθματος ἀφιέντες τοὺς μὲν θυρεοὺς προεβάλοντο πρὸ τῶν προσώπων τὴν ἀκμὴν τοῦ ἡλίου μὴ φέροντες, τὰ δὲ σώματα αὐτῶν γυμνούμενα τιτρώσκοντες οἱ Ῥωμαῖοι κατέκοψαν. πίπτουσι τῶν βαρβάρων δωδεκάκις μύριοι, ἁλίσκονται ζῶντες ἑξάκις μύριοι.

## 11. ΜΑΡΚΕΛΛΟΣ.

212 Μάρκελλος Συρακούσας πολιορκῶν ὑπὸ τῶν τοῦ Ἀρχιμήδου μηχανημάτων ἡσσώμενος προσβάλλειν μὲν οὐκέτι τοῖς τείχεσιν ἐθάρσει, χρόνῳ δὲ τὴν πολιορκίαν ἐπέτρεψε. καὶ δὴ μετὰ πολὺ Δάμιππον Σπαρτιάτην Συρακουσσῶν ἐκπλέοντα ἑλὼν αἰχμάλωτον ἔμαθε παρὰ τούτου πύργον εἶναι τοῦ τείχους φυλασσόμενον ἀμελῶς, δυνάμενον ἄνδρας δέξασθαι συχνούς, τοῦ τείχους ἐπιβατοῦ ὄντος. πρὸς δὴ τὸ ὕψος αὐτοῦ συμμέτρους κλίμακας κατασκευάσας Μάρκελλος, Συρακουσίων ἑορτὴν ἀγόντων Ἀρτέμιδι καὶ περὶ μέθην καὶ παιδιὰν ἐχόντων, τόν τε πύργον κατέσχε καὶ κύκλῳ τὸ τεῖχος ὅπλων ἐπλήρωσε καὶ πρὸ τῆς ἕω τὰ Ἑξάπυλα διακόψας κατέσχε τὴν πόλιν. οἱ μὲν στρατιῶται γενναίως ἀγωνισάμενοι τῆς πόλεως ἁρπαγὴν ᾐτήσαντο· οὐ μὴν ἔδωκε Μάρκελλος, ὅτι μὴ ἀπὸ μόνων ἀνδραπόδων καὶ χρημάτων ὠφελεῖσθαι, τῶν δὲ ἱερῶν καὶ τῶν ἐλευθέρων σωμάτων ἀπέχεσθαι προσέταξεν.

---

Cap. 11. Ex Plut. Marcell. 18 sq.; cf. Polyb. 8, 37; Liv. 25, 23, 13; Front. strat. 3, 3, 2.

---

*3 προεβάλλοντο* vulg. ‖ 9 *τοῦ* om. M ‖ 13 *ἔμαθε* M; *ἔλαβεν* F.

## 12. ΑΤΙΛΙΟΣ.

42, 5 *Ἀτίλιος ἁλοὺς ὑπὸ Καρχηδονίων ὤμοσεν αὐτοῖς, ἢν ἀφεθῇ, πεῖσαι ἂν τὴν σύγκλητον διαλύσασθαι τὸν πόλεμον, μὴ πείσας δὲ ὡς αὐτοὺς ἀναστρέψαι. ἀφικόμενος ἐς Ῥώμην τοὐναντίον ἔπεισε τὴν σύγκλητον τότε δὴ καὶ μᾶλλον πολεμεῖν Καρχηδονίοις ὡς ἀπαγορεύουσι καὶ τὰ τῆς ἀσθενείας αὐτῶν ἀπόρρητα καὶ ὃν τρόπον εἶεν ἁλώσιμοι προηγόρευσε. τῆς δὲ συγκλήτου παρακαλούσης αὐτὸν μένειν καὶ τὸν ἐν ταῖς ἀνάγκαις ὅρκον ἀνώμοτον ἡγεῖσθαι, περιπλεκομένων τέκνων, γυναικὸς, φίλων, συγγενῶν, οὐχ ὑπέμεινε παραβῆναι τὸν ὅρκον, πλεύσας δὲ ὡς τοὺς Καρχηδονίους ἀνήγγειλεν αὐτοῖς τό τε αὐτοῦ στρατήγημα καὶ τὴν Ῥωμαίων γνώμην. οἱ δὲ καθείρξαντες αὐτὸν εἰς γαλεάγραν, αἰκίσαντες χρόνῳ μακρῷ, βασανίσαντες ἔκτειναν.*

## 13. ΓΑΙΟΣ.

e. 3, 7 *Γάϊος παράγγελμα ἔδωκε τοῖς ἐν τῷ στρατοπέδῳ μένειν ἐπὶ τῶν ὅπλων. ἐπεὶ δὲ ὥρᾳ θέρους υἱὸς αὐτοῦ τὸν ἵππον διψῶντα ἤγαγεν ἐπὶ ποταμὸν παραρρέοντα, προσέταξεν ἀφελεῖν αὐτοῦ τὴν κεφαλὴν ὡς οὐ πεισθέντος τῷ παραγγέλματι. τούτῳ τῷ ἔργῳ τοὺς στρατιώτας ἐδίδαξε μηδέποτε παρακοῦσαι παραγγέλματος.*

---

Cap. 12. Cf. Appian. Pun. 4; Dio Cass. fr. 43, 26 sqq. (Zonar. 8, 15); Liv. epit. 18.

---

3 *ἢν*] *ἵν'* F ‖ 6 *τότε* F] *τοῦτο* Cas. ‖ *πολεμεῖν* H; om. F; [*συμβάλλειν*] W ‖ *ὡς Καρχηδόνιοι ἀπαγορεύουσι* vulg. ‖ *ἀγορεύουσι* F ‖ 8 *εἶεν* W; *εἶναι* F; *οἱ ἐν* (sic) H; *εἴησαν* vulg.; cf. 4, 6, 2. 5, 2. 15 ‖ *ἁλώσιμοι* H; *ἁλώσιμον* F ‖ 10 *ἀνόμοτον* F ‖ 13 *αὐτοῦ* F ‖ 15 *αἰκίσαντές τε* P ‖ *καὶ βασανίσαντες* vulg. (*καθείρξαντες καὶ βασανίσαντες ἔκτειναν* H) ‖ 16 *Γάϊος* om. F ‖ 18 *ἐπεὶ* vulg.] *ἐπὶ* F ‖ 19 *παραρέοντα* F.

## 14. ΦΑΒΙΟΣ.

1 *Φάβιος ἐν τῷ πρὸς Ἀννίβαν πολέμῳ μὴ παρατασσόμενος κακῶς ἤκουεν ἐν τῇ συγκλήτῳ. τοῦ δὲ υἱοῦ παρακαλοῦντος ἀποτρίψασθαι τὴν ἀδοξίαν, ἐπέδειξεν αὐτῷ μέρος ἕκαστον τῆς φάλαγγος. ἐνίων δὲ οὐκ ἐρρωμένως ἐχόντων ‘ὁρᾷς’ ἔφη ‘ὡς οὐ καλὸν συμβαλόντας ἀποκυβεῦσαι περὶ τῶν ὅλων· πολλάκις γὰρ ὅλη μὲν ἡ φάλαγξ οὐκ εἴληφεν ἀγῶνος πεῖραν, κατὰ μέρος δὲ τὸν ἔμπειρον οὐκ ἔλαθεν ἡττᾶσθαι δυναμένη. τοιγάρτοι συμβουλεύω μὴ συμβαλεῖν, ἀλλ’ ἕπεσθαι τὰς ὑπωρείας κατέχοντα καὶ τὰς πόλεις ἀφιστάντα’. ταῦτα λέγων καὶ πράσσων ἐν μὲν τῷ παραυτίκα ἐνομίσθη δειλός, ὕστερον δὲ ἄλλων πολλὰς δυνάμεις ἀπολλύντων πάλιν οἱ Ῥωμαῖοι κατέφυγον ἐπὶ Φάβιον καὶ τὴν αὐτοῦ στρατηγίαν, ὥστε καὶ δικτάτωρ ἀπεδείχθη καὶ Μάξιμος ἀνηγορεύθη· τοῦτο δ’ ἂν εἴη Μέγιστος.*

2 *Φάβιος ἐπεκλήθη Μέγιστος, Σκιπίων Μέγας· ἐζηλοτύπει τῆς δόξης ὁ Σκιπίων τὸν Φάβιον, ὥστε καὶ ἤρετο· ‘τί δή ποτε σὺ μὲν διατηρήσας μόνον τὰ στρατόπεδα κλήζῃ Μέγιστος, ἐγὼ δὲ Μέγας ὁ συμβαλὼν κατὰ στόμα καὶ νικήσας Ἀννίβαν;’ Φάβιος ἔφη ‘ἀλλ’ εἰ μὴ ἐγώ σοι διεφύλαξα τοὺς στρατιώτας, οὐκ ἂν ἔσχες μεθ’ ὧν μαχόμενος νικήσεις’.*

---

Cap. 14. § 1. Cf. Dio Cass. fr. 57, 9.
Cap. 14. § 2. Cf. J. p. 668 sq.

---

3 κακὸς F ‖ 4 ἀποτρίψασθαι Cas.; ἀποτρέψασθαι F ‖ 7 ὅλων vulg.; ὅπλων F: cf. Plut. Fab. 14 περὶ τῶν ὅλων ἀναρρίψων κύβον ‖ 10 συμβουλὴν vulg. ‖ 11 κατέχοντας et ἀφιστάντας K ‖ *16 τοῦτο δ’ ἂν εἴη Μέγιστος* Hertlein utpote glossema delevit, *sed cf. Polyb. 3, 87, 6* ‖ μέγιστον F ‖ 18 Σκηπίων vulg. ‖ 21 κατὰ στόμα καὶ νικήσας K; καὶ κατὰ στόμα νικήσας F.

*Φάβιος εἷλε τὴν Ταραντίνων πόλιν Ἀννίβου συμμαχοῦντος αὐτοῖς δόλῳ καὶ τέχνῃ. στρατιώτης Ταραντῖνος ἦν παρὰ Φαβίῳ. τούτου τῆς ἀδελφῆς καλῆς οὔσης ἐν Τάραντι Βρέττιος ἤρα ἀνὴρ ὑπὸ Ἀννίβου τὰ τείχη φυλάττειν πεπιστευμένος. τοῦτο μαθὼν Φάβιος τὸν Ταραντῖνον στρατιώτην ἐσέπεμψε πρὸς τὴν ἀδελφήν. ὁ δὲ δι' αὐτῆς τὸν Βρέττιον φίλον ποιησάμενος ἔπεισε τὰ Ῥωμαίων φρονεῖν, ὥστε καὶ συνθέμενος ὁ Βρέττιος ἔδειξε, καθ' ὃ μέρος χρὴ προσβαλεῖν τοῖς τείχεσι. Φάβιος κλίμακας προσθεὶς ἐπαναβὰς κατὰ κράτος αἱρεῖ τὴν πόλιν. ἐπὶ τούτῳ μάλιστα πάντων ἐθαυμάσθη στρατηγήματι κρατήσας Ἀννίβου τοῦ τέχναις καὶ δόλοις τὰ πλεῖστα νικῶντος.* 3 209

15. ΚΟΙΝΤΟΣ.

*Κόιντος Φάβιος τὸν υἱὸν αἱρεθῆναι στρατηγὸν βουλόμενος αὐτὸς ἤδη γεγηρακὼς ἐδεῖτο Ῥωμαίων μηδαμῶς αὐτῷ δοῦναι τὴν ἀρχήν, ἵνα μὴ ἀναγκάζοιτο συναποδημεῖν ἐπὶ τὸν πόλεμον ἐν γήρᾳ μακρῷ· οἱ δὲ νομίσαντες ἄμεινον ἕξειν τὰ τῆς πόλεως τούτου παρόντος ἐψηφίσαντο τὸν νεανίσκον ἄρχοντα. ὁ δὲ Φάβιος οὐ συναπεδήμησεν, ἵνα μὴ παρέληται τὸν υἱὸν τὴν δόξαν τῆς ἀρχῆς.*

---

Cap. 14. § 3. Ex Plut. Fabio 21; cf. Liv. 27, 15; Appian. Hannib. 49.

---

1 *Ταραντηνῶν* F ‖ 4 *Τάραντι Βρέττιος ἤρα ἀνὴρ* Maasv. ex Plut.; *Τάραντι* (*Ταραντίνῳ* $F_1$) *ἀβρέντιος ἤρα ἀνὴρ* F ‖ 5 *τούτῳ* F ‖ 7 *Ἀβρέντιον* F ‖ 9 *ὁ Βρέττιος* K; *Ἀβρέντιος* F ‖ 14 *Κόϊντος* om. F ‖ 21 *παρέληται* FM; *παρέλκηται* P.

## 16. ΣΚΙΠΙΩΝ.

1 *Σκιπίων ἐν Ἰβηρίᾳ μαθών, ὡς τὸ τῶν πολεμίων στρατόπεδον ἄσιτον ἀφίκοιτο ἐς τὴν μάχην, ἐμήκυνεν ἐξάγων καὶ παρατάσσων τὴν αὑτοῦ φάλαγγα. ἀμφὶ δὲ ὥραν ἑβδόμην πιεζομένοις ἤδη λιμῷ καὶ δίψει συμβαλὼν ῥᾳδίως ἐκράτησεν.*

134 2 *Σκιπίων τοῦ στρατοπέδου τὰς πόρνας ἐξήλασε* e. 3, 8 *κελεύσας ἐς πόλιν ἀπιέναι πανηγυρίζουσαν. προσέταξε δὲ ἀποπέμψασθαι κλίνας, τραπέζας, ἐκπώματα καὶ σκεύη πάντα πλὴν χύτρας καὶ ὀβελίσκου καὶ ποτηρίου, ἀργυροῦν δὲ ἔκπωμα μὴ ἔχειν πλέον δικοτύλου, καὶ λούεσθαι μηδένα, τῶν δὲ ἀλειφομένων ἕκαστον τρίβειν ἑαυτόν, τὰ γὰρ ὑποζύγια δεῖσθαι τῶν τριβόντων· ἀριστᾶν δὲ ὀρθοὺς ἄπυρον ὄψον, δειπνοῦντας δὲ προσφέρεσθαι καὶ κρέας ὀπτὸν ἢ ἑφθόν· ἱματίῳ δὲ χρῆσθαι σισύρᾳ Γαλατικῇ. καὶ πρῶτος ἐνεπορπήσατο σισύραν μέλαιναν, τοῖς δὲ στρατηγοῖς ἐπὶ στιβάδος ἀνακείμενος ἑωρᾶτο φάσκων πενθεῖν τὴν τοῦ στρατεύματος ἀσωτίαν καὶ μαλακίαν.*

134/33 3 *Σκιπίων στρατιώτην ἰδὼν χάρακα κομίζοντα 'θλί-* e. 14, *βεσθαί μοι δοκεῖς' εἶπεν 'ὦ συστρατιῶτα'. τοῦ δὲ 'καὶ*

---

Cap. 16. § 1. Cf. Front. strat. 2, 1, 1.

Cap. 16. § 2. Cf. Plut. apophth. reg. et imp. Scip. min. 16; Appian. Iber. 85; Front. strat. 4, 1, 1; Liv. epitom. 57.

Cap. 16. § 3. Cf. Plut. apophth. ibid. 19; Liv. epitom. 57.

---

1 *Σκιπίων*] titulum om. et v. 7 demum posuit F ‖ 4 *αὑτοῦ* F ‖ 9 *κλίνας* Gronovius ex Appiano; *καινὰς* F ‖ 10 *χύτρας* M Plut. (cf. *χύτρας χαλκῆς* Appian. et Leo Tact. 20, 80); *κύθρας* F ‖ 12 *λούεσθαι* vulg.; *λου σθαι* (sic) F ‖ 14 *ὀρθοὺς* F: cf. Plut. *ἀριστᾶν ἑστῶτας*; *ὀρθροὺς* H; *ὀρθροῦ* Leo Tact. ‖ 16 *σισύραι* F ‖ 17 *τοῖς δὲ στρατηγοῖς* Rud. Schoell; *τοὺς δὲ στρατηγοὺς* F ‖ 18 *ἀνακείμενος* $F_1$; *ἀνακειμένους* corr. $F_2$ ‖ [*περιιὼν*] *ἑωρᾶτο* K ex *V circumiens inspexit.*

πάνυ' φήσαντος, 'εἰκότως' ἔφη· 'ἐν γὰρ τῷ ξύλῳ τὴν ἐλπίδα τῆς σωτηρίας ἔχεις, οὐκ ἐν τῇ μαχαίρᾳ.'

4 134/3 Σκιπίων στρατιώτην ἰδὼν μέγα φρονοῦντα ἐπὶ θυρεῷ κεκοσμημένῳ 'αἰσχρὸν' ἔφη '"Ρωμαῖον ἄνδρα τῇ ἀριστερᾷ χειρὶ μᾶλλον ἢ τῇ δεξιᾷ πιστεύειν'.

4, 28 5 132 Σκιπίων ὑπὸ τοῦ δήμου θορυβούμενος 'ἐμὲ' ἔφη 'οὐδὲ στρατιωτῶν ἐνόπλων ἀλαλαγμὸς ἐξέπληξεν, οὔτι γε συγκλύδων ἀνθρώπων θόρυβος, ὧν οἶδά γε τὴν Ἰταλίαν μητρυιάν, οὐ μητέρα'. τούτῳ τῷ λόγῳ συνεστάλησαν καὶ τοῦ θορυβεῖν ἐπαύσαντο.

4, 13 6 209 Σκιπίων δορυάλωτον λαβὼν ἐν Ἰβηρίᾳ πόλιν Οἴνυσσαν, ὡς οἱ λαφυραγωγοὶ παρθένον ἤγαγον κάλλους ὑπερφυῶς ἔχουσαν, τὸν πατέρα αὐτῆς ἀναζητήσας ἐχαρίσατο αὐτῷ τὴν θυγατέρα. τοῦ δὲ δῶρα προσκομίσαντες, ὁ δὲ καὶ ταῦτα συνεδωρήσατο προῖκα φήσας ἐπιδιδόναι τῇ κόρῃ. ὅσαι δὲ καὶ ἄλλαι γυναῖκες τῶν εὖ γεγονότων ἢ θυγατέρες ἢ παῖδες ὥραν ἔχοντες ἑάλωσαν, τούτοις ἐπέστησε δύο Ῥωμαίων σωφρονεστάτους ἐκ τῶν πρεσβυτέρων, οἱ θεραπευτῆρες καὶ χορηγίαν

---

Cap. 16. § 4. Cf. Plut. apophth. ibid. 18; Front. strat. 4, 1, 5; Aelian. v. h. 11, 9, 5; Liv. epitom. 57.
Cap. 16. § 5. Cf. Plut. apophth. ibid. 22; Val. Max. 6, 2, 4; Vell. Pat. 2, 4; Aurel. Vict. de vir. illustr. 58, 8.
Cap. 16. § 6. Cf. Polyb. 10, 19; Liv. 26, 49; Front. strat. 2, 11, 5; Dio Cass. fr. 57, 43 sq.

---

5 χειρὶ om. H Plut.; cf. 1, 17. 1, 31. 7, 29, 1 ‖ 8 οἶδά γε scripsi; ὧν οἴδατε F; οἶδα vulg. ‖ 9 μητρυὰν F ‖ 12 Οἰνύσσαν F; Οἰνοῦσσα vel Οἰνουσα Steph. Byz. s. v.: cf. H. J. Müller, Onusa, Histor. Unters. z. Jubil. Schaefers, Bonn 1882, p. 148 sqq. ‖ λαφυραγωγοὶ Lobeck, Phryn. 383; φυγαγωγοὶ F; νυμφαγωγοὶ H: cf. Polyb. 10, 17, 6. 18, 6 ‖ 13 ὑπερφυὲς H ‖ 15 ὁ δὲ] αὐτὸς H ‖ συνεχαρίσατο vulg. ‖ 16 καὶ inclus. K ‖ 17 εὐγενεστάτων W ut 8, 31; εὖ γεγονότων F; εὐγενῶν H ‖ 19 θεραπευτῆρες [εἶεν] vel [γίγνοιντο] καὶ Cas.; θερ. [ἦσαν] καὶ K.

ἔνεμον τοῖς αἰχμαλώτοις κατὰ τὴν ἀξίαν αὐτῶν. Σκιπίωνος ἡ σωφροσύνη πολλὰς πόλεις Ἰβηρικὰς Ῥωμαίοις φίλας καὶ συμμάχους ἑκούσας ἐποίησεν.

205 7 Σκιπίων Σόφακα τὸν Μασαισυλίων βασιλέα σύμμαχον ποιησάμενος διέβαλεν εἰς Σικελίαν. Ἀσδρούβας θυγατέρα παρθένον ἔχων, θαυμαστὴν τὸ κάλλος, ἐκδώσειν ὑπέσχετο τῷ Σόφακι τῆς Ῥωμαίων συμμαχίας ἀποστάντι. ὁ δὲ γήμας τὴν κόρην προσέθετο Καρχηδονίοις καὶ παραχρῆμα ἐπέστειλε Σκιπίωνι ἀπαγορεύων ἐπιβῆναι Λιβύης. Σκιπίων εἰδὼς Ῥωμαίους ἐπὶ τῇ Σόφακος συμμαχίᾳ μέγα φρονοῦντας, εἰ δὲ μάθοιεν προστεθειμένον τοῖς πολεμίοις οὐκ ἂν τολμήσαντας εἰς Λιβύην διαβαίνειν, ἐκκλησίαν αὐτῶν συναγαγὼν ἐς τοὐναντίον μετεποίησε τὰ γράμματα τοῦ Σόφακος ὡς καλοῦντος Ῥωμαίους ἐπὶ τὴν Λιβύην καὶ ὡς θαυμάζοντος, ὅτι καὶ νῦν βραδύνοιεν, καὶ ὡς δέον μὴ ἐκλύειν αὐτοῦ τὴν ἀκμὴν τῆς συμμαχίας. τοιαῦτα εἰπὼν ὁρμὴν καὶ θάρσος τοῖς Ῥωμαίοις ἐνεποίησεν· οἱ δὲ εὐθὺς ἡμέραν ᾔτησαν, καθ' ἣν διαπλεῦσαι προσήκοι.

202 8 Σκιπίων κατασκόπους Καρχηδονίων τρεῖς συλ- c. 7, 5
ληφθέντας, νόμου Ῥωμαίων κελεύοντος πολεμίων κατασκόπους ἀναιρεῖσθαι, τοῦτο μὲν οὐκ ἐποίησε, προσέταξε δ' αὐτοῖς περιελθεῖν τὴν στρατιὰν ἅπασαν. οἱ δὲ ἰδόντες Ῥωμαίους τοὺς μὲν βάλλοντας, τοὺς δὲ

Cap. 16. § 7. Cf. Liv. 29, 23 sq.; Front. strat. 2, 7, 4; Zonar. 9, 12.
Cap. 16. § 8. Cf. Polyb. 15, 5; Appian. Pun. 39; Liv. 30, 29.

1 αὐτὴν F ‖ 4 Σύφακα vulg. ‖ Μασαισυλίων Cas.; Μασασυαίων F ‖ 5 Ἀστρούβας F ‖ 12 τολμήσαντας Hertlein: cf. 4, 3, 9; τολμησόντων F ‖ 15 τοὺς Ῥωμαίους vulg. ‖ 17 ταῦτα K ‖ 19 προσήκοι vulg.; προσήκει F ‖ 20 τρὶς F ‖ 22 προσέταξε δ' vulg.; προσέταξεν F ‖ 24 βάλοντας F.

ἀκοντίζοντας, τοὺς δὲ πηδῶντας, τοὺς δὲ ὅπλα ἐπισκευάζοντας, τοὺς δὲ ξίφη ἀκονῶντας πάλιν ἤχθησαν ἐπὶ τὸν Σκιπίωνα. ὁ δὲ δοὺς ἄριστον αὐτοῖς 'ἀπαγγείλατε', εἶπεν, 'ἃ τεθέασθε πρὸς τὸν πέμψαντα ὑμᾶς'. οἱ δὲ ἐπανελθόντες τῷ τε Ἀννίβᾳ καὶ τοῖς ἄλλοις Καρχηδονίοις ταῦτα ἀπαγγείλαντες ἐξέπληξαν αὐτοὺς καὶ τῇ Ῥωμαίων παρασκευῇ καὶ τῇ Σκιπίωνος μεγαλοψυχίᾳ.

## 17. ΠΟΡΚΙΟΣ.

3.43,2 Πόρκιος Κάτων ἐνέβαλεν εἰς τὴν Ἰβήρων· ἐκ δὲ 195
τῶν πόλεων ἁπασῶν ἧκον πρεσβευταὶ σφᾶς αὐτοὺς ἐγχειρίζοντας αὐτῷ τε καὶ Ῥωμαίοις. ὁ δὲ προσέταξεν αὐτοῖς ἀγαγεῖν ὅμηρα ἐπὶ ὥραν ὡρισμένην. ἐπεὶ δὲ ἤγαγον, ἑκάστης πόλεως δυσὶν ἀνδράσι μίαν ἐπιστολὴν ἔδωκε κελεύσας ἅπαντας κατὰ τὴν αὐτὴν ἡμέραν ἐπανελθόντας τοῖς πολίταις ἀναγνῶναι. ἐπεὶ δὲ ἐπανῆλθον, ἀνέγνωσαν τὰ γεγραμμένα 'κατασκάψατε τὰ τείχη σήμερον'. ἑκάστη τοίνυν πόλις καιρὸν οὐκ ἔχουσα πρὸς τὰς πλησίον πόλεις διαπέμψασθαι, φοβούμενοι δὲ ἕκαστοι, μὴ τῶν ἄλλων ὑπακουσάντων αὐτοὶ μόνοι μὴ πεισθέντες ἐξανδραποδισθῶσιν, οὕτως ὁμοῦ πάντες Ἴβηρες τὰ τείχη κατέσκαψαν ἡμέρᾳ μιᾷ.

## 18. ΔΑΥΝΟΣ.

Δαῦνος Διομήδους ἐν Ἰταλίᾳ τελευτήσαντος ἐπιτάφιον ἀγῶνα ποιῶν πρώτῃ μὲν ἡμέρᾳ τῶν Ἑλλήνων

---

Cap. 17. Cf. Front. strat. 1, 1, 1; Zonar. 9, 17; Aurel. Vict., de viris illustr. 47; Plut. Cat. mai. 10.

---

1 τὰ ὅπλα ἐπισκευαζομένους H ‖ 2 ἀκονοῦντας vulg. ‖ 4 ἅπερ ἐθεάσαντο H, unde ἅτε ἐθέασθε W ‖ 9 Πόρκιος Κάτων vulg. ‖ 14 ἤγαγον H; ἦγον F ‖ 17 κατασκάψασθαι H ‖ 19 ἀλλὰ φοβούμενοι, μὴ H ‖ 22 Ἰβήρεις F ‖ 23 Δαῦνος K; Φαῦνος F vulg.

*ὡπλισμένων πομπὴν ἔπεμψε, δευτέρᾳ δὲ τῶν βαρβάρων· καὶ δὴ συνέταξε τοῖς βαρβάροις χρήσασθαι παρὰ τῶν Ἑλλήνων τὰ ὅπλα. οἱ δὲ χρήσαντες ὑπὸ τῶν βαρβάρων τοῖς ἰδίοις ὅπλοις ἀπώλοντο.*

## 19. ΤΙΤΟΣ.

*Τίτον αἰχμάλωτον λαβὼν Κλεώνυμος λύτρα ἐπράτ-* e. 52, 6
*τετο δύο πόλεις, Ἐπίδαμνον καὶ Ἀπολλωνίαν· ὁ τοῦ Τίτου πατὴρ οὐκ ἔδωκεν, ἀλλὰ σώζειν αὐτὸν ἐκέλευσε. Τίτος εἴδωλον αὐτοῦ κατασκευάσας καθεύδοντος ἐν τῷ οἴκῳ κατέθηκε καὶ αὐτὸς μὲν ἐπιβὰς ἀκατίου λαθὼν ἔφυγεν, οἱ δὲ φύλακες τὸ εἴδωλον ἐφύλαττον.*

## 20. ΓΑΙΟΣ.

257 *Γάϊος περὶ τὴν Τυνδαρίδα Καρχηδονίων ἐφορμούντων ὀγδοήκοντα ναυσὶν, αὐτὸς ἔχων διακοσίας τριήρεις, ἐπειδὴ οἱ πολέμιοι διὰ τὸ πλῆθος τῶν νεῶν οὐκ ἀντανήγοντο, τῶν ἑκατὸν τοὺς ἱστοὺς καταθέμενος, τῶν λοιπῶν ἐκπετάσας τὰ ἱστία καὶ διὰ τούτων ἀποκρυπτόμενος τὰς ἄλλας κάλοις ἐξηρτημένας ἐπέπλευσεν. οἱ δὲ Καρχηδόνιοι νομίσαντες ἴσας εἶναι τὰς ναῦς τῷ πλήθει τῶν φαινομένων ἱστίων θαρρήσαντες πρὸς τὸν κίνδυνον ὥρμησαν· Γάϊος πολλαῖς πρὸς ὀλίγας ἀγωνισάμενος ῥᾳδίως ἐνίκησεν.*

---

Cap. 20. Cf. Polyb. 1, 25.

---

9 *αὐτοῦ* F ‖ 10 *κατέθηκε* K; *καθῆκε* F ‖ 12 *Γάϊος*] i. e. *Γάϊος Ἀτίλιος Ῥήγουλος* coll. Polyb. 1, 25, unde etiam tempus concluditur ‖ 16 *καθέμενος* Patakis ‖ 18 *κάλοις* Gronovius; *καλῶς* F ‖ *ἐπέπλευσεν* Patakis; *ἀπέπλευσεν* F vulg.

## 21. ΠΕΙΝΑΡΙΟΣ.

*Πεινάριος φρούραρχος Ἐνναίων ἀποστάντων τῆς* 214 *Ῥωμαίων συμμαχίας καὶ τὰς κλεῖς τῶν πυλῶν ἀπαιτούντων ʽἐὰν ὁ δῆμος ἅπας' ἔφη ʽαὔριον εἰς ἐκκλησίαν συνελθὼν τοῦτο ψηφίσηται, πεισθήσομαι τῷ ψηφίσματι'. οἱ μὲν τῆς ὑστεραίας ἐς τὸ θέατρον συνελέγησαν, ὁ δὲ νύκτωρ ὑπὸ τὴν ἀκρόπολιν πολλοὺς στρατιώτας ἐφεδρεύειν ἔταξεν ὑπερδεξίους, ἄλλους δὲ περιστῆναι τὸ θέατρον καὶ τὰς διόδους, παραφυλάττοντας τὸ σημανθησόμενον. οἱ μὲν Ἐνναῖοι συνελθόντες τὴν ἀπόστασιν ἐψηφίζοντο· τοῦ δὲ φρουράρχου σημήναντος οἱ στρατιῶται οἱ μὲν ἄνωθεν ἀφιέντες τὰ βέλη, οἱ δὲ κατὰ τὰς διόδους προσπεσόντες καὶ σπασάμενοι τὰς μαχαίρας τὸν δῆμον κατέκοψαν, ὥστε σωρηδὸν ἐπ' ἀλλήλοις ἔπιπτον ἅπαντες πλὴν ὀλίγων, ὅσοι κατὰ τῶν τειχῶν αὑτοὺς καθῆκαν ἢ δι' ὑπονόμων ἔλαθον ἐκπεσόντες.*

## 22. ΣΕΡΤΩΡΙΟΣ.

*Σερτώριος, ἐν Ἰβηρίᾳ νεβρὸν ἐλάφου λευκῆς παρὰ* 80 et sq *κυνηγῶν δῶρον λαβὼν ἔθρεψε καὶ τιθασσὸν ἐποίησεν, ὥστε προϊόντι μὲν εἵπετο, ἐπὶ τὸ βῆμα δὲ ἀναβαίνοντι συνανέβαινεν καὶ δικάζοντι τὸ στόμα προσέφερεν. ἔπεισε δὴ τοὺς βαρβάρους, ὡς ἄρα τὸ ζῷον ἱερὸν*

---

Cap. 21. Cf. Liv. 24, 37—39; Front. strat. 4, 7, 22.
Cap. 22. Cf. Plut. Sertor. 11, 20; Front. strat. 1, 11, 13; Gell. 15, 22; Plin. n. h. 8, 32; Val. Max. 1, 2, 4.

---

1 *Πινάριος* F ‖ 8 *ἐν ὑπερδεξίοις* Patakis ex V *in superioribus locis* ‖ 16 *ὑπονόμου* vulg. ‖ 18. 19 *Σερτόριος* F ‖ 21 *προσιόντι* F, corr. Cas. ‖ 23 *ζωΐον* F ‖ *ἱερὸν* F] *δῶρον* W ex Plut.

*Ἀρτέμιδος, καὶ ἡ θεὸς δι' αὐτοῦ προλέγοι πάντα αὐτῷ τὰ μέλλοντα καὶ σύμμαχος ἐν τοῖς πολέμοις γίγνοιτο. ὅσα γε μὴν ὑπὸ κατασκόπων ἀπόρρητα ἠγγέλλετο ἀποκρυπτόμενος αὐτοὺς προέλεγεν ὡς διὰ τῆς νεβροῦ μανθάνων παρὰ τῆς θεοῦ, πολεμίων ἐφόδους, ἐνέδρας, αἰφνιδίους καταδρομάς· τούτων ἄγγελον ἔφασκεν ἔχειν τὴν νεβρόν. ὅσαι δὲ καὶ νίκαι πολέμων ἠλπίζοντο, καὶ ταῦτα διὰ τῆς νεβροῦ μανθάνειν παρὰ τῆς θεοῦ φάσκων ἐξέπλησσε τοὺς βαρβάρους καὶ προσεκυνεῖτο, καὶ πάντες αὐτῷ προσέφευγον ὡς δαιμονιωτέραν ἰσχὺν ἔχοντι.*

## 23. ΚΑΙΣΑΡ.

76 1 *Καῖσαρ ὡς Νικομήδη πλέων περὶ Μαλέαν ὑπὸ λῃστῶν ἥλω Κιλίκων. οἱ μὲν ᾔτησαν λύτρα μεγάλα, ὁ δὲ τὰ διπλάσια ἐπηγγείλατο. κατέσχον ἐς Μίλητον καὶ τειχῶν ἔξω προσωρμίσαντο. Καῖσαρ Ἐπικράτη Μιλήσιον οἰκέτην πέμπει πρὸς Μιλησίους παρακαλῶν χρήματα ἐπιδανεῖσαι· οἱ δὲ παραχρῆμα ἔπεμψαν. Ἐπικράτης ἐντολὴν ἔχων παρὰ Καίσαρος μετὰ τῶν χρημάτων παρασκευὴν εὐωχίας μεγάλης κομίζει καὶ ὑδρίαν πλήρη ξιφῶν καὶ οἶνον μανδραγόρᾳ κεκερασμένον. Καῖσαρ διπλᾶ τὰ λύτρα τοῖς λῃσταῖς ἀπαριθμήσας προὔθηκεν αὐτοῖς τὴν εὐωχίαν, οἱ δὲ ὑπερχαίροντες τῷ πλήθει τῶν χρημάτων ὥρμησαν ἀνέδην εὐωχεῖσθαι καὶ τὸν οἶνον πεφαρμακωμένον πιόντες ἀπεκοιμήθησαν.*

Cap. 23. De fontibus cf. J. p. 674—683.

1 *Ἀρτέμιδος* [*εἴη*] K ‖ 2 *πολέμοις* V *(bellis)*; *πολεμίοις* F ‖ 3 *ἠγγέλετο* F ‖ *ἀποκρυπτόμενος*] *ἄγγελον ἔκρυπτε* Plut. ‖ 4 *αὐτοὺς* W; *αὐτὸς* F ‖ 6 [*καὶ*] *τούτων* K ‖ 8 *ταύτας* K ‖ 18 *ἐπιδανῆσαι* F; *αὐτῷ δανεῖσαι* K ‖ 19 *ἔχων*] *εἶχεν* K ‖ 20 *κομίζει* Patakis; *κομίζειν* F ‖ *ὑδρίαν* K; *ὑδρείαν* F.

*Καῖσαρ καθεύδοντας ἀναιρεθῆναι κελεύσας παραυτίκα τοῖς Μιλησίοις ἀπέδωκε τὰ χρήματα.*

*Καῖσαρ ἐν Γαλατίᾳ προσῄει ταῖς Ἄλπεσιν. ἠγγέλη* 2 58
*στρατόπεδα τῶν ὀρείων βαρβάρων τὰς παρόδους φυλάττειν. ὁ δὲ τὴν φύσιν τῶν Ἄλπεων παρεφύλαξε. τοῦ ὄρους κάτω ποταμοὶ πολλοὶ διαρρέουσι καὶ πολλὰ ἕλη βαθύνεται· ἀπὸ τούτων ὁμίχλη ἐξαίρεται πολλὴ (καὶ ἅμα αὐγῆς) ἀρχομένης ἕω. κατὰ τήνδε τὴν ὥραν Καῖσαρ μέρος ἥμισυ τῆς στρατιᾶς ἀγαγὼν κύκλῳ το ὄρος περιήρχετο. οἱ μὲν δὴ βάρβαροι τῆς ὁμίχλης ἐπισκοτούσης οὐδὲν ὁρῶντες ἡσύχαζον, ὁ δὲ ὑπὲρ κορυφῆς τῶν πολεμίων γενόμενος ἠλάλαξεν. οἱ δὲ ἡμίσεις κάτωθεν ἀντηλάλαξαν, καὶ τὰ ὄρη πανταχόθεν συνεπηχήσαντα ἀμήχανον δεῖμα ἐνέβαλε τοῖς βαρβάροις. οἱ μὲν αὐτίκα φεύγοντες ᾤχοντο· Καῖσαρ ἀμαχεὶ τὰς Ἄλπεις ὑπερέβαλεν.*

*Καῖσαρ Ἑλουηττίοις ἐπολέμει. οὗτοι μοῖρα Γα-* 3 58
*λατῶν· καὶ Ῥωμαίοις ἐπῆεσαν τριάκοντα μυριάδες, ὧν εἴκοσι τὸ μάχιμον ἦσαν. Καῖσαρ ἀεὶ μίαν ἡμέραν ὑπανεχώρει· οἱ βάρβαροι ταύτῃ καὶ πλέον θαρροῦντες ἐδίωκον. ἐπεὶ δὲ ποταμὸν Ῥοδανὸν διαβαίνειν ἔμελλον, οὐ πρὸ πολλοῦ ὁ Καῖσαρ ἐστρατοπεδεύσατο. τῶν δὲ*

---

Cap. 23. § 2. Cf. Caes. de b. G. 1, 10.

Cap. 23. § 3. Cf. Caes. de b. G. 1, 12; Appian. Celt. 15; Plut. Caes. 18; Dio Cass. 38, 32.

---

3 *ταῖς σάλπισιν* F ‖ 4 *στρατόπεδα* F; *στρατόπεδον* vulg. ‖ *ὀρίων* F; corr. K ‖ 5 *Ἀλπαίων* F ‖ 7 *ἕλη* vulg.; *ἔτη* F ‖ *πλατύνεται* K ‖ 8 (*καὶ ἅμα αὐγῆς*) ut glossema incl. W; *ἅμα αὐγῇ* Cas. K ‖ 9 *ἄγων* Patakis ex V *ducens* ‖ 14 *συνεπηχήσαντα* L. Dindorf ad Steph. thes. VII, 1233; *συναπηχήσαντα* F ‖ *δεῖγμα* F ‖ 15 *Καῖσαρ* [*δ'*] K ‖ 17 *Ἐλουληττίοις* F ‖ 18 *τριάκοντα* Plut. Cas. 18; *η'* i. e. *ὀκτώ* F; *πεντήκοντα* M ‖ 19 *μάχιμον* K; *μαχικὸν* F ‖ 22 *οὐκ ἀπὸ πολλοῦ* Hertlein.

*βαρβάρων τραχὺν ποταμὸν σὺν πόνῳ πολλῷ διαβάντων οὐ πάντων, ἀλλὰ τρισμυρίων, τῆς ὑστεραίας τῶν λοιπῶν διαβαίνειν μελλόντων, οἱ μὲν διαβάντες παρὰ ταῖς ὄχθαις ἀνεπαύοντο κεκμηκότες, Καῖσαρ δὲ νύκτωρ ἐπιφανεὶς κατέκοψε πάντας ἀναχωρῆσαι διὰ τὸν ποταμὸν οὐκ ἔχοντας.*

58 4 *Καῖσαρ Γερμανῶν ἐπιόντων οὐ θαρρῶν συνάψαι μάχην, ὁπότε ἔγνω τοὺς παρ' αὐτοῖς μάντεις προειρηκότας πρὸ νέας σελήνης ἀπέχεσθαι μάχης, τότε τὴν αὑτοῦ στρατιὰν ἐπήγαγεν ὡς ἀθυμότερον διὰ τὴν μαντείαν μαχουμένοις. καὶ δὴ ἀρίστῳ καιρῷ χρησάμενος λαμπρῶς Γερμανοὺς ἐνίκησεν.*

55 5 *Καῖσαρ ἐν Βρεττανίᾳ ποταμὸν μέγαν ἐπεχείρει περαιοῦσθαι. βασιλεὺς Βρεττανῶν Κασοελλαῦνος ἀνεῖργε μετὰ πολλῶν ἱππέων καὶ ἁρμάτων· Καίσαρι μέγιστος ἐλέφας εἵπετο, ζῷον Βρεττανοῖς οὐχ ἑωραμένον. τοῦτον σιδηραῖς φολίσιν ὀχυρώσας καὶ πύργον ἐπ' αὐτοῦ μέγαν ὑψώσας καὶ τοξότας καὶ σφενδονήτας ἐπιστήσας ἐκέλευσεν ἐς τὸ ῥεῦμα ἐμβαίνειν· Βρεττανοὶ δὲ ἐξεπλάγησαν ἀόρατον καὶ ὑπερφυὲς θηρίον ἰδόντες. περὶ γὰρ τῶν ἵππων τί χρὴ καὶ γράφειν; ὅπου καὶ παρ' Ἕλλησιν, ἣν καὶ γυμνὸν ἐλέφαντα ἴδωσιν, ἵπποι φεύγουσι· πυργοφόρον δὲ καὶ ὡπλισμένον, βέλη καὶ σφενδόνας ἐξαφιέντα οὐδὲ ἰδεῖν τὴν ὄψιν ὑπέμειναν. Βρεττανοὶ*

---

Cap. 23. § 4. Cf. Caes. de b. G. 1, 50; Front. strat. 2, 1, 16; Plut. Caes. 19; Dio Cass. 38, 48.

Cap. 23. § 5. Cf. Caes. de b. G. 5, 18. — J. p. 677.

---

2 *ὑστερέας* F ‖ 10 *αὐτοῦ* F ‖ 12 *ἐνίκησαν* F ‖ 14 *Κασοελλαῦνος* scripsi coll. *Δομνοελλαῦνος (Dumnobellaunus)* in Monum. Ancyrano VI, 2; *Κασόλαυνος* F; *Κασουελλανὸς* Dio Cass. 40, 2; *Casivellaunus* Caes. ‖ 16 *οὐκ ἑωραμένον* F ‖ 21 *χρὴ καὶ* vulg.; *καὶ χρὴ F: cf.* ad praef. libri III ‖ 23 *ἱπποφόρον* F; corr. vulg.

μὲν δὴ αὐτοῖς ἵπποις καὶ ἅρμασιν ἔφευγον, Ῥωμαῖοι δὲ ἀκινδύνως τὸν ποταμὸν διέβησαν ἑνὶ ζῴῳ τοὺς πολεμίους φοβήσαντες.

Καῖσαρ πυθόμενος Κικέρωνα ὑπὸ Γαλατῶν πολι- 6 54
ορκούμενον ἀπαγορεύειν ἔπεμψε στρατιώτην (ἀκοντίσαι) κελεύσας ἐπιστολὴν προσδήσαντα τῇ λόγχῃ νύκτωρ βαλεῖν ὑπὲρ τὸ τεῖχος. ὁ μὲν ἠκόντισεν, οἱ δὲ τειχοφύλακες εὑρόντες ἐκόμισαν Κικέρωνι. ἀνέγνω δὴ 'Καῖσαρ Κικέρωνι θαρρεῖν. προσδέχου βοήθειαν.' μετ' ὀλίγον ἐφάνη καπνὸς καὶ κονιορτὸς Καίσαρος τὴν χώραν πορθοῦντος, ὥστε αὐτίκα τὴν πολιορκίαν διακόψας οὐ μόνον ἀνεσώσατο Κικέρωνα, ἀλλὰ καὶ τοὺς πολιορκοῦντας ἐτίσατο.

16, 2 Καῖσαρ ἑπτακισχιλίους ἔχων ἐπολέμει Γαλάταις. 7 54
ἐμποιῆσαι δόξαν βουλόμενος, ὡς καὶ τῶν ὄντων ὀλιγωτέρους ἔχοι, τὸν μὲν χάρακα στενώτατον ἐκέλευσε τειχίζειν, αὐτὸς δὲ χωρίον ὑπερδέξιον δασὺ καταλαβόμενος ἐν τούτῳ μετὰ τῶν πλειόνων στρατιωτῶν ἐκέκρυπτο. προῆλθον ἱππεῖς ὀλίγοι τοῦ χάρακος ἐκκαλούμενοι τοὺς βαρβάρους. οἱ δὲ κατασκιρτῶντες τῆς ὀλιγότητος τῶν ἱππέων ἐπῆλθον τῷ χάρακι· οἱ μὲν ἔχουν τὰς τάφρους, οἱ δὲ ἀνέσπων τὰ σταυρώματα. ἐν τούτῳ σημαίνει μὲν ἡ σάλπιγξ, ὁμοῦ δὲ συνεξώρμησαν ἐκ μὲν τοῦ χάρακος ἀντίοι πεζοί, ἀπὸ δὲ τοῦ ὑπερδεξίου μετὰ Καίσαρος ἱππεῖς κατὰ νώτου, ὥστε

---

Cap. 23. § 6. Cf. Caes. de b. G. 5, 48; Dio Cass. 40, 9.
Cap. 23. § 7. Cf. Caes. de b. G. 5, 49 sq.; Front. strat. 3, 17, 6.

---

4 πολιορκούμενος F ‖ 5 (ἀκοντίσαι) del. Hercher, Hermes 9, p. 113 ‖ 6 προσδήσαντα K; προδήσαντα F ‖ 7 βαλεῖν ut glossema seclusit W ‖ 8 δὴ F; δὲ vulg. ‖ 9 Κικκέρωνι F ‖ 24 ἀντίοι W; ἄρτιοι F; ἐναντίοι K.

*ἐν μέσῳ τοὺς βαρβάρους ἀπολεφθέντας διαφθαρῆναι τοὺς πλείονας.*

52 8 *Καῖσαρ ἐπολιόρκει φρούριον Γαλατικόν. τῶν δὲ* e. 54, 24 *βαρβάρων ἐπὶ μακρὸν ἀντεχόντων ὑετὸς ἀμήχανος κατερράγη, ὥστε καὶ ὅσοι φύλακες τειχῶν ἢ φρουροὶ λείπουσιν οἱ μὲν τὰς φυλακὰς, οἱ δὲ τὰς ἐπάλξεις. Καῖσαρ δὲ παρήγγειλεν ὁπλίσασθαι τότε καὶ παραχρῆμα τοῖς τείχεσι προσήγαγε καὶ ἀφύλακτα καταλαβὼν, εὐκόλως ὑπερβὰς ἐξεῖλε τὸ φρούριον.*

52 9 *Καῖσαρ ἐπὶ Γεργοβίην πόλιν τῶν ἐν Γαλατίᾳ μεγίστην ἐστράτευσεν· ἀντεστρατοπέδευεν αὐτῷ βασιλεὺς Γαλατῶν Οὐερκιγγετόριξ. μέσος ἦν ποταμὸς ναυσίπορος καὶ ἡ διάβασις ἀμήχανος. Καῖσαρ παρὰ τὴν ὄχθην πολλαῖς ἡμέραις ἀντιπαρεξῆγεν· οἱ βάρβαροι κατεφρόνουν ὡς διαβῆναι μὴ θαρροῦντος. ὁ δὲ νύκτωρ δύο τάγματα βαθείαις ὕλαις ἐγκατέκρυψεν, οἳ τῶν Γαλατῶν τοὺς ἀμφὶ τὸν Καίσαρα παραφυλαττόντων αὐτοὶ κατὰ τὸ ἄνω τοῦ ποταμοῦ μέρος ἀρχαίας γεφύρας διακεκομμένης, τὰ μὲν σταυρώματα πεπηγότα ἐχούσης, τὰς δὲ ἐπάνω δοκίδας ἀφῃρημένης, αὐτοὶ τεμόντες ἐκ τῆς ὕλης διὰ τάχους ἐγεφύρωσαν καὶ διῆλθον. οἱ δὲ Γαλάται τῷ παραλόγῳ τῆς διαβάσεως ἐκπλαγέντες ἔφευγον, Καῖσαρ δὲ μετὰ τῶν λοιπῶν διὰ τῆς αὐτοσχεδίου γεφύρας διαβὰς ἦν τοῖς Γαλάταις φοβερώτερος.*

---

Cap. 23. § 8. Cf. Caes. de b. G. 7, 27; Dio Cass. 40, 34, 3.
Cap. 23. § 9. Cf. Caes. de b. G. 7, 35.

---

1 *ἀπολειφθέντας* F, corr. K ‖ 7 *ὡπλίσασθαι* F ‖ 10 *Γεργυβίην* F, corr. vulg. ‖ 12 *Οὐερκιγγετόριξ* V, Dio Cassius; *Οὐεργετόριξ* F ‖ *μέσος* Seybold ex V *in medio; μέγας* F ‖ 15 *θαρροῦντες* F ‖ 18 *ἀρχαίας* p; *ἀρχαῖον* F ‖ 20 *ἀφῃρημένης* K; *ἀφῃρημένας* F ‖ 24 *διαβὰς ἦν* K; *διάβασιν* F.

*Καῖσαρ ἐπολιόρκει Γεργοβίην τὴν πόλιν καὶ τείχεσιν ἐχυρὰν καὶ τῇ φύσει ἐχυρωτάτην. ἦν γὰρ ἡ πόλις λόφος ἐρυμνὸς τὰς κορυφὰς ὁμαλὰς ἔχων· κατὰ δὲ τὸ λαιὸν μέρος ὗλαι χθαμαλαὶ καὶ πυκναὶ τῷ λόφῳ συνήντων, κατὰ δὲ τὸ δεξιὸν ἀπότομος ἦν στενὴν δίοδον ἔχων, καθ' ἣν οἱ Γεργοβιαῖοι μετὰ πολλῆς χειρὸς ἐφύλαττον. Καῖσαρ τῶν αὑτοῦ στρατιωτῶν τοὺς μάλιστα φιλοπόνους καὶ καρτερικοὺς ὡπλισμένους νύκτωρ ἐγκατέκρυψε ταῖς ὕλαις, κελεύσας ἔχειν ἀκόντια βραχέα καὶ ξιφίδια σύμμετρα, ὅπως τὰς χαμαιπετεῖς ὕλας μὴ ὑπερέχοιεν· ἀλλὰ μηδὲ αὐτοὺς ὀρθοὺς βαδίζειν, ἐς γόνυ δὲ ὀκλάσαντας ἠρέμα διαδύεσθαι. οἱ μὲν δὴ ἀρχομένης ἕω διὰ τῆς ὕλης ἕρποντες ἐπὶ τὸν λόφον κατὰ τὸ λαιὸν ἀνῄεσαν, ὁ δὲ Καῖσαρ κατὰ τὸ δεξιὸν προσῆγε τὴν στρατιὰν περισπῶν εἰς αὑτὸν τοὺς βαρβάρους. οἱ μὲν δὴ ἀπομάχεσθαι τοὺς φανερῶς προσβαλόντας ὥρμηντο, οἱ δὲ ἀφανῶς ἐκ τῆς ὕλης ἀνερπύσαντες ἐκράτησαν τοῦ λόφου.* 10

19, 6 *Καῖσαρ Ἀλεσίαν πόλιν τῆς Γαλατίας ἐπολιόρκει·* 11 *Γαλατῶν ἐπ' αὐτὸν ἀθροίζονται μάχιμοι μυριάδες εἴκοσι πέντε. ὁ δὲ νύκτωρ ὁπλίτας τρισχιλίους καὶ τοὺς ἱππέας πάντας διελὼν ἐκ πλαγίου μέρους ἑκατέρωθεν ἐκέλευσεν ἀναχωρήσαντας, τῆς ὑστεραίας ἀμφὶ δευτέραν ὥραν κατόπιν τῶν πολεμίων ἐπιφανέντας ἔργου ἔχεσθαι· αὐτὸς δὲ ἀρχομένης ἡμέρας ἐξῆγε τὴν στρατιὰν*

Cap. 23. § 10. Cf. Caes. de b. G. 7, 45.
Cap. 23. § 11. Cf. Caes. de b. G. 7, 77—88.

1 *Γεργιβόην τῆς πόλιν* F; *Γεργοβίην πόλιν* vulg. ‖ 2 *ἐχυρωτέραν* M ‖ *ἡ πόλις* del. Patakis ‖ 4 *τῷ λόφῳ] καὶ τῷ λόφῳ* F ‖ 6 *Γεργυβαῖοι* F ‖ 7 *αὑτοῦ* F ‖ 11 *ὑπερέχοιεν* Cas.; *περιέχοιεν* F ‖ 15 *αὐτὸν* K; *αὐτοὺς* F ‖ 17 *προσβαλλόντας* F, *προσβάλλοντας* vulg. ‖ 19 *Ἀλαισίαν* F ‖ 21 *δισχιλίους* H ‖ 23 *ὑστερέας* F.

ἐς μάχην, ὥστε οἱ βάρβαροι τῷ πλήθει θαρροῦντες γελῶντες ἐδέχοντο. τῶν δὲ κατὰ νώτου φανέντων καὶ ἀλαλαξάντων καὶ κυκλουμένων φυγεῖν ἀπογνόντες ἐξεπλάγησαν, ἐταράχθησαν. καὶ τότε πλεῖστος φόνος Γαλατῶν ὁμολογεῖται γεγενῆσθαι.

48 12 Καῖσαρ Δυρράχιον κρατούμενον ὑπὸ Πομπηΐου e. 15, βουλόμενος ἑλεῖν αὐτὸς μὲν ὀλίγους εἶχεν ἱππέας, τοῖς δὲ ἦν πολὺ πλῆθος ἱππέων· ἀλλὰ καὶ τοὺς πολλοὺς τέχνῃ χρησάμενος ἐτρέψατο. τοὺς ὀλίγους ἱππεῖς ἐπελαύνειν κελεύσας ἔμπροσθεν αὐτῶν λόχους τέσσαρας πεζῶν ἔταξε, παραγγείλας μηδὲν ἄλλο δρᾶν ἢ τοῖς ποσὶν ἀνεγείρειν κόνιν ὅσην πλείστην δύναιντο. πολὺ δὴ νέφος ἀρθὲν φαντασίαν πολλοῦ πλήθους ἱππέων ἐνεποίησε τοῖς πολεμίοις, ὥστε παραχρῆμα φοβηθέντες ἔφευγον.

48 13 Καῖσαρ ἀνεχώρει μετὰ τῆς στρατιᾶς διὰ στενῆς ὁδοῦ. κατὰ τὸ λαιὸν ἕλος ἦν, κατὰ τὸ δεξιὸν θάλασσα, κατὰ τὴν οὐραγίαν οἱ πολέμιοι προσέκειντο. τούτους μὲν δὴ ἀνέκοπτεν ἐπιδρομαῖς καὶ ἀναστροφαῖς, ἐκ δὲ θαλάσσης τὸ Πομπηΐου ναυτικὸν παραπλέον ἐτόξευε καὶ τοῖς βέλεσι κατετίτρωσκεν. ὁ δὲ Καῖσαρ ἐκέλευσε τοῖς στρατιώταις τοὺς θυρεοὺς ἀπὸ τῆς εὐωνύμου χειρὸς ἐς τὴν δεξιὰν μεταλαβεῖν. οὕτως ἐγένετο ἀχρεῖα τὰ βέλη τοῖς τοξεύουσιν ἐκ τῆς θαλάττης.

---

Cap. 23. § 12. Cf. J. p. 679 sq.
Cap. 23. § 13. Cf. Caes. de b. c. 3, 75—77; Dio Cass. 41, 50.

---

3 *ἀπογνῶντες* F ‖ 4 *καὶ ἐταράχθησαν* Maasv.; *ἐταράχθησαν* ut glossema incl. W ‖ 5 *γεγενῆσθαι* F] *γενέσθαι* K ‖ 23 *μεταλαβεῖν F] μεταβαλεῖν* vulg.

*Καῖσαρ καὶ Πομπήϊος ἐν Θεσσαλίᾳ ὁ μὲν ἐφυ-* 14 48
*γομάχει, ἀφθονίαν ἔχων ἐπιτηδείων, Πομπήϊος· [ὁ] δὲ ἔσπευδε μάχῃ κριθῆναι *** [Καῖσαρ]. Καῖσαρ ἐρεθίζει τοὺς πολεμίους ἀναζευγνύειν σκηψάμενος ἐπὶ σιτολογίᾳ καὶ διεκίνει τοὺς λόχους. οἱ δὲ τοῦ Πομπηΐου ὡς ὑπὸ δέους φευγόντων καταφρονήσαντες οὐ κατέσχον αὐτούς, ἀλλὰ παραχρῆμα ἐξεπήδησαν βιασάμενοι τὸν Πομπήϊον ἡγεῖσθαι. ἐπεὶ δὲ ἀναχωρῶν ὁ Καῖσαρ ἐς τὸ πεδίον αὐτοὺς προήγαγε, καὶ δὴ τότε ἀναστρέψας λαμπρῶς ἀγωνισάμενος ἐνίκησεν.*

*Καῖσαρ τῶν στρατιωτῶν στασιασάντων καὶ τῆς* 15 47
*στρατείας καταβοώντων προελθὼν ἐς τὸ πλῆθος εὐθαρσεῖ καὶ φαιδρῷ τῷ προσώπῳ 'τί, ὦ συστρατιῶται', ἔφη, 'βούλεσθε;' οἱ δὲ κατεβόησαν 'τῆς στρατείας ἀφεθῆναι'. ο δὲ ὑπολαβὼν εἶπεν 'ἀγαθῇ τύχῃ, παραινῶ, πολῖται, μὴ στασιάζειν'. οἱ δὲ πολῖται ἀκούσαντες ἀντὶ τοῦ στρατιῶται ἠγανάκτησαν καὶ παραχρῆμα τὰς γνώμας μετεβάλοντο καὶ πάλιν κατεβόησαν 'ἀλλ' ἡμεῖς γε συστρατιῶται μᾶλλον ἢ πολῖται καλεῖσθαι βουλόμεθα'. γελάσας ὁ Καῖσαρ 'οὐκοῦν', ἔφη, 'συστρατευώμεθα'.*

4 29 *Καῖσαρ παρατασσόμενος πρὸς Πομπήϊον τὸν νεώ-* 16 45

Cap. 23. § 14. Cf. Caes. de b. c. 3, 85.
Cap. 23. § 15. Cf. Front. strat. 4, 5, 2; Suet. Caes. 70; Appian. b. c. 2, 93 sq.; Dio Cass. 42, 53 sq.; Plut. Caes. 51.
Cap. 23. § 16. Cf. Front. strat. 2, 8, 13; Plut. Caes. 56; Velleius 2, 55.

2. 3 [ὁ] et [*Καῖσαρ*] Cas. add. coll. 4, 9, 2, sed ex membrorum concinnitate apparet alia quoque excidisse, quae respondeant verbis *ἀφθονίαν ἔχων ἐπιτηδείων*, quamobrem lacunam statui ‖ *ἐρεθίζει δὲ* F ‖ 4 *ἐπὶ σιτολογίᾳ* F] *ἐπὶ σιτολογίαν* vulg. ‖ 6 *αὐτὸν* F, corr. vulg. ‖ 8 *ἀναχωρῶν* Patakis; *ἀνεχώρουν* F ‖ 15 *εἶπεν* F] *ἔφη* vulg. ‖ *παραινῶ πολίταις* Cas. ex V; *παραινῶ τοῖς πολίταις* K ‖ 17 *συστρατιῶται* R. Schoell ‖ 18 *μετεβάλοντο* K; *μετεβάλλοντο* F.

*τερον ὁρῶν τοὺς αὐτοῦ στρατιώτας φεύγοντας αὐτίκα τοῦ ἵππου καταβὰς ἐξεβόησεν· 'ἐμὲ, ὦ συστρατιῶται, καταλιπόντες ταῖς χερσὶ τῶν πολεμίων φεύγειν [οὐκ] αἰδεῖσθε'. τὸν τοιοῦτον λόγον αἰδεσθέντες οἱ φεύγοντες ἀνέστρεφον ἐπὶ τὴν μάχην.*

17 *Καῖσαρ τοῖς στρατιώταις ἀεὶ παρεσκευάσθαι προσέτασσεν ὡς καὶ ἐν ἑορτῇ καὶ ἐν ὄμβρῳ καὶ νυκτὸς καὶ ἡμέρας μέλλων ἐξάγειν ἄφνω τὴν δύναμιν· καὶ διὰ τοῦτο οὔτε τὸν καιρὸν οὔτε τὴν ἡμέραν προέλεγεν.*

18 *Καῖσαρ τὰς ἐξόδους ἐποιεῖτο σὺν πολλῷ δρόμῳ, ἵνα μὴ καταλαμβάνοιτο πρὸς τῶν ὑστεριζόντων.*

19 *Καῖσαρ, εἰ τεθορυβημένους ἑώρα τοὺς στρατιώτας* c. 14, 3 *ὡς προσδοκωμένης τοῖς πολεμίοις μείζονος δυνάμεως, οὐ μόνον ἔξαρνος οὐκ ἦν, ἀλλ' ἔτι καὶ πλείονα ὄγκον προστιθεὶς καὶ μεγαλύνων ἐθάρρυνεν ὡς πρὸς πλείονας χρὴ γενναιότερον ἀγωνίζεσθαι.*

20 *Καῖσαρ τοῖς στρατιώταις παρήγγελλεν ὅπλα ἔχειν ἀργύρῳ καὶ χρυσῷ πεποικιλμένα, μάλιστα μὲν κόσμου χάριν, οὐχ ἥκιστα [δὲ], ὅπως καὶ οἱ στρατιῶται τὰ πολύτιμα περιμάχητα ἡγοῖντο.*

21 *Καῖσαρ τὰ ἁμαρτήματα τῶν στρατιωτῶν οὐ πάντα* c. 53, 1 *παρεφύλασσεν, ἀλλ' οὐδὲ τοὺς ἁμαρτάνοντας κατὰ*

---

Cap. 23. § 17. 18. Ex Suet. Divo Iulio 65.
Cap. 23. § 19. Ex Suet. ibid. 66.
Cap. 23. § 20. 21. Ex Suet. ibid. 67.

---

1 *τοὺς αὐτοῦ στρατιώτας* vulg.; *αὐτοῦ στρατιώτας* F ‖ 3 [*οὐκ*] K; [*μὴ*] vulg. ‖ 4 *τὸν τοιοῦτον* H; *τὸν* F; *τοῦτον τὸν* K coll. 8, 9, 2 ‖ 6 *συστρατιώταις* F ‖ *παρεσκευάσθαι* K; *παρασκευάσασθαι* F; cf. Leo Tact. 20, 41 *παρακελεύου τοῖς στρατιώταις εἶναι παρεσκευασμένους* ‖ 11 *προκαταλαμβάνοιτο* vulg. ‖ 14 *πλείονα* scripsi; *πλέον* F; *πλέονα* vulg. ‖ 15 *ἐθάρυνεν* F ‖ 17 *παρήγγελλεν* K; *παρήγγειλεν* F ‖ 19 *δὲ* add. vulg.

τὴν ἀξίαν ἐτιμωρεῖτο, τὴν συγγνώμην ἀνδρείας ποιητικὴν ἡγούμενος. εἰ μέντοι τις ἐστασίασεν ἢ τὴν τάξιν ἔλιπεν, οὐκ ἂν τοῦτον ἀτιμώρητον παρῆκεν.

14, 30 — 22 Καῖσαρ τοὺς στρατιώτας ἐκάλει συστρατιώτας τῷ ἰσοτίμῳ τοῦ ὀνόματος προθυμοτέρους ποιῶν ἐς τὰς μάχας.

c. 3, 10 — 23 Καῖσαρ πυθόμενος ἐν Γαλατίᾳ κατακοπῆναι φάλαγγας στρατιωτῶν ὤμοσε μὴ πρότερον [ἂν] ἀποκείρασθαι, πρὶν ἐπεξελθὼν τιμωρῆσαι τοῖς ἀνῃρημένοις. τούτῳ πλείστην εὔνοιαν αυτῷ παρὰ πάντων ἐπεσπάσατο.

c. 3, 9 — 24 Καῖσαρ ἐν λιμῷ τοῖς στρατιώταις ἄρτους διέδωκε σκευάσας ἐκ βοτάνης. Πομπήϊος δὲ πολεμῶν πρὸς αὐτὸν ἕνα ἄρτον προσενεχθέντα τοιοῦτον ἀπέκρυψεν οὐ βουλόμενος τοῖς ἑαυτοῦ στρατιώταις ἐπιδεῖξαι τὴν τῶν πολεμίων ἐγκράτειαν.

c. 18, 7 — 25 Καῖσαρ Πομπηΐῳ παρετάσσετο περὶ Φάρσαλον. ὁρῶν δὲ πολλοὺς τῶν πολεμίων νέους καὶ καλοὺς ἐπὶ τῷ κάλλει μέγα φρονοῦντας καὶ σοβαροὺς παρήγγειλε τοῖς ἰδίοις στρατιώταις τὰς λόγχας καὶ τοὺς ὑσσοὺς μὴ φέρειν ἐπὶ τὰ σώματα τῶν πολεμίων, ἀλλ' ἐς αὐτὰ τὰ πρόσωπα. οἱ δὲ λωβηθῆναι τὸ κάλλος τῶν προσώπων φοβηθέντες καὶ δὴ ἀποστραφέντες ἔφυγον.

26 Οἱ Καίσαρος στρατιῶται περὶ Δυρράχιον ἡττηθέντες ἑαυτοὺς δεκατευθησομένους παρέδωκαν. Καῖσαρ

---

Cap. 23. § 22. 23. Ex Suet. ibid. 67.
Cap. 23. § 24. 26. Ex Suet. ibid. 68.
Cap. 23. § 25. Ex Plut. Caes. 45.; cf. Front. strat. 4, 7, 32.

---

2 ἐστασίασεν F; ἐστασίαζεν K ‖ 3 ἔλειπεν vulg. ‖ 8 ὁμάσει F ‖ [ἂν] ins. Hertlein ‖ 9 ἐπεξελθὼν F] ἐπελθὼν M ‖ 10 τούτῳ M; τοῦτο F ‖ αὐτῷ F ‖ 18 κάλει F ‖ μέγα φρονοῦντας H; φρονοῦντας F ‖ 22 ἔφυγον F] ἔφευγον V.

οὐχ ὡς περὶ τιμωρίας αὐτῶν ἐβουλεύετο, ἀλλὰ καὶ παραμυθησόμενος ἀναμαχέσασθαι τὴν ἧτταν αὐτοὺς προέτρεψεν· οἱ δὲ ἐν ταῖς λοιπαῖς μάχαις ἀεὶ παραταξάμενοι πολὺ πλείοσιν ἐκράτησαν.

49 27 Καῖσαρ Πομπηΐου κηρύξαντος ἔχθραν καὶ τοῖς μηδετέρῳ προστιθεμένοις ἀντεκήρυξε καὶ φίλους ἡγήσεσθαι κατ' ἴσον τοῖς ἑαυτῷ συμμαχήσασιν.

49 28 Καῖσαρ ἦν ἐν Ἰβηρίᾳ πρὸς τῇ Ἰλέρδῃ. γενομένων ἀνοχῶν οἱ πολέμιοι προσπεσόντες πολλοὺς τῶν στρατιωτῶν ἀπροσδοκήτως κατέστρωσαν· αὐτὸς δὲ οὓς ἐκείνων εὗρεν ἐν τῷ στρατοπέδῳ σώους διῆκε καὶ πολλὴν εὔνοιαν ἐπὶ τούτῳ παρὰ τῶν πολεμίων ἐκτήσατο.

48 29 Καῖσαρ ἐν Φαρσάλῳ Πομπήϊον ἐνίκησε. θεασά- c. 4, 14
μενος τοὺς ἰδίους στρατιώτας ἀμέτρως τῇ νίκῃ χρωμένους ἀνέκραγε 'φείδεσθε τῶν πολιτῶν'.

30 Καῖσαρ τοὺς πολέμους ἅπαντας κατορθώσας ἑκάστῳ τῶν ἰδίων στρατιωτῶν ἐπέτρεψεν ἕνα, ὃν ἂν βούληται, τῶν πολεμίων διασώζειν. οὕτω δὴ τοὺς ἀντιστασιώτας Ῥωμαίους ἅπαντας ἐκ τῆς φυγῆς ἀνακαλεσάμενος εὐνουστάτους ἑαυτῷ κατεσκεύασεν ἐν τῇ πόλει.

31 Καῖσαρ τοὺς ἀνδριάντας Πομπηΐου καὶ Σύλλα τῶν ἐχθρῶν καταβληθέντας ὑπὸ τοῦ πλήθους αὐτὸς

---

Cap. 23. §§ 27—31. Ex Suet. Divo Iulio 75.

---

1 ὡς] ὅπως K ‖ τιμωρίας vulg.; τιμωρίαν F ‖ ἐβουλεύσατο K ‖ 2 παραμυθησάμενος vulg. ‖ 6 ἡγήσεσθαι Cas.; ἡγήσασθαι F ‖ 8 πρὸς τηδέρδῃ F ‖ 9 πολλοῖς F ‖ 11 ἀφῆκε Hertlein ‖ 12 τούτῳ Cas.; τοῦτο F ‖ 16 φείδεσθε H; φείδεσθαι F ‖ πολιτῶν *Hp;* *πολεμίων F* ‖ 17 πολεμίους F, corr. vulg. ‖ 22 Σύλα F.

*ἀνέστησε καὶ μεγάλην εὔνοιαν παρὰ τῶν Ῥωμαίων ἐκτήσατο.*

*Καῖσαρ τοῦ θύτου λέγοντος ‘ἀπαίσια τὰ ἱερὰ’,* 32
*καὶ μὴν ἀμείνω ἔφη γενήσεσθαι, ἐπειδὰν αὐτὸς ἐθελήσῃ· καὶ οὕτως ἐπέρρωσε τοὺς στρατιώτας.*

*Καῖσαρ ἀκαρδίου θύματος εὑρεθέντος ‘καὶ τί* 33
*παράδοξον’, ἔφη, ‘εἰ ἄλογον ζῷον καρδίαν οὐκ ἔχει;’ οἱ στρατιῶται τοῦτ’ ἀκούσαντες ἐθάρρησαν.*

## 24. ΣΕΒΑΣΤΟΣ.

e. 53, 2 *Σεβαστὸς τοὺς ἐν ταῖς μάχαις καθυφιεμένους οὐκ* 1
*ἀνῄρει πάντας, ἀλλ’ ἐδεκάτευεν.*

*Σεβαστὸς τοῖς διὰ δειλίαν ἀπολιπομένοις κριθὰς* 2
*ἀντὶ πυρῶν ἐκέλευε μετρεῖσθαι.*

e. 53, 3 *Σεβαστὸς τοὺς ἐπὶ στρατοπέδου τι ἁμαρτόντας ἐκέ-* 3
*λευσε πρὸ τοῦ στρατηγείου λυσιζώνους ἑστάναι, ἔστι δὲ ὅτε καὶ πλινθοφορεῖν δι’ ὅλης ἡμέρας.*

e. 1 *Σεβαστὸς τοῖς ἑαυτοῦ στρατηγοῖς παρήγγελλεν* 4
*ἀσφαλείας πεφροντικέναι μάλιστα καὶ συνεχῶς ἐπέλεγε τὸ ‘σπεῦδε βραδέως’ καὶ τὸ*
*‘ἀσφαλὴς γάρ ἐστ’ ἀμείνων ἢ θρασὺς στρατηλάτης’.*

---

Cap. 23. §§ 32. 33. Ex Suet. Divo Iulio 77.
Cap. 24. § 1. Ex Suet. Divo Augusto 24.
Cap. 24. §§ 2. 3. Ex eodem 24.
Cap. 24. §§ 4—6. Ex eodem 25.

---

1 *τῶν* om. vulg. ‖ 3 *τοῦ θύτου* Davisius (*vates* V); *τοιούτου* F ‖ 8 *ἐθάρησαν* F ‖ 12 *ἀπολειπομένοις* F ‖ 13 *πυρρῶν* F ‖ 14 *τι ἁμαρτόντας* Hertlein; *διαμαρτῶντας* F; *διαμαρτάνοντας* H ‖ *ἐκέλευσε* H; *ἐκέλευε* ‖ 15 *στρατηγείου* H; *στρατηγοῦ* F ‖ *λυσιζώνου* F ‖ *ἑστάναι καὶ θρηνεῖν δι’ ὅλης ἡμέρας, ἐνίοτε δὲ καὶ γυναικῶν στολὴν ἐδίδου φορεῖν* H: quae cum apud Suetonium desint, aliunde assuta esse existimat W, ut supra p. 154, not. e Plut. Phoc. 23 ‖ 17 *παρήγγελλεν* K; *παρήγγειλεν* F ‖ 20 Cf. Eurip. Phoen. v. 600.

5 Σεβαστὸς τοῖς ἀνδραγαθοῦσιν ἀργυρίου καὶ χρυσίου μεγάλας ἐδίδου δωρεάς. c. 53, 4

6 Σεβαστὸς τοὺς ἄνευ λυσιτελείας ῥιψοκινδύνους ἔλεγε μηδὲν διαφέρειν τῶν χρυσοῖς ἀγκίστροις ἁλιευομένων. c. 1

7 Σεβαστὸς ἐν τῷ πρὸς Κάσσιον καὶ Βροῦτον πολέμῳ περαιοῦσθαι τὸν Ἀδρίαν ἐβούλετο· Μούρκιος, ναύαρχος τῶν πολεμίων ἐφορμῶν ἐν τῇ νησῖδι τῇ κατὰ Βρεντήσιον, κωλύσων δῆλος ἦν. ὁ Σεβαστὸς ἐξαπατᾷ τὸν Μούρκιον ὡς μέλλων πρὸς αὐτὸν ναυμαχεῖν καὶ τὰς μὲν τριήρεις ἐν δεξιᾷ τοῦ Ἀδρίου παρὰ τὴν Ἰταλίαν ἔταξε πλεῖν ὡς τῇ νησῖδι ἐπιπλευσουμένας, αὐτὸς δὲ φορτίδας πύργων ἐπλήρου καὶ μηχανημάτων. Μούρκιος δὲ ἐξαπατηθεὶς τῇ παρασκευῇ τῆς ναυμαχίας ἐς τὸ πέλαγος ἀνεχώρησεν ὡς ἐν εὐρυτέρῳ μᾶλλον ἢ στενῷ ναυμαχήσων. ὁ δὲ Σεβαστὸς οὐ συνῆψε μάχην, ἀλλὰ ἐν τῇ νησῖδι καθωρμίσατο. Μουρκίου δὲ ἄλλον ὅρμον οὐκ ἔχοντος, ἀλλὰ βιασθέντος ὑπὸ τῶν πνευμάτων ἐς τὴν Θεσπρωτίδα περαιοῦσθαι, ο Σεβαστὸς τὸν Ἀδρίαν ἀκινδύνως διαπλεύσας τῇ Μακεδονίᾳ προσέσχεν.

## 25. ΡΩΜΑΙΟΙ.

1 Ῥωμαῖοι Κελτῶν τὴν Ῥώμην λαβόντων συνθήκας πρὸς αὐτοὺς ἐγράψαντο φόρους τελεῖν, πύλην ἀνε-

Cap. 24. § 7. Cf. Appian. b. civ. 4, 82. 86.
Cap. 25. § 1. Cf. Appian. Celt. fragm. 7.

1 *ἀνδραγαθήσασιν* H ‖ 3 cap. 24 § 4 in F perperam iteratur ‖ 6 *περεοῦσθαι* F (id. v. 18) ‖ *Ἀνδρίαν* F (sic etiam v. 19) ‖ *Μούρκιος* scripsi cum F v. 13; *Μοῦρκος* Wesseling, obs. crit. p. 42 coll. Appian. b. civ. 4, 82 sq.; *Μούκιος* F ‖ 7 *ἐφορμώντων* M, unde W coni. *ἐφορμούντων* ‖ *νησῖδι* Hertlein; *νησίδι* F (sic etiam vv. 11. 16) ‖ 9 *Μούκιον* F ‖ 11 *ἐπιπλευσομένας* vulg. ‖ 17 *Μορκίου F* ‖ 22 *Ῥώμην* F] *πόλιν* vulg. ‖ 23 *ἠνεῳγμένην* F, corr. *K: cf. 7, 5.*

ῳγμένην παρέχειν διὰ παντὸς καὶ γῆν ἐργάσιμον. Κελτοὶ μὲν ἐπὶ τούτοις ἐστρατοπέδευον, Ῥωμαῖοι δὲ ὡς φίλοις ξένια πολλὰ ἔπεμψαν καὶ οἶνον πάμπολυν. οἱ βάρβαροι, φύσει δὲ τὸ Κελτικὸν ὑπέροινον, πολὺν ἀρυσάμενοι τὸν οἶνον ὑπὸ μέθης ἔκειντο, Ῥωμαῖοι δὲ ἐπελθόντες ἅπαντας κατέκοψαν. ἵνα δὲ κατὰ τὰς συνθήκας ἅπαντα ποιῆσαι δοκοῖεν, ἐπὶ πέτρας ἀπροσβάτου πύλην ἀνεῳγμένην κατεσκεύασαν.

Οἱ περὶ Αἰνείαν Τρῶες φεύγοντες Ἰταλίᾳ προσ- 2
έσχον καὶ ἀμφὶ ταῖς ἐμβολαῖς τοῦ ποταμοῦ τοῦ Θύβριδος ἐναυλόχουν. οἱ μὲν δὴ Τρῶες ἀνὰ τὴν χώραν ἠλῶντο, αἱ δὲ γυναῖκες αὐτῶν βουλεύονται. Ῥώμη Τρῳὰς ἀγορεύει 'μέχρι ποῦ πλανώμεθα; μέχρι ποῦ πλέομεν; τὰ πλοῖα καταφλέξωμεν καὶ τοὺς ἄνδρας εἰς ἀνάγκην καταστήσωμεν τήνδε τὴν γῆν κατοικῆσαι.' ταῦτα εἰποῦσα πῦρ πρώτη ἐνῆκε ταῖς ναυσὶ καὶ μετ' αὐτὴν αἱ λοιπαὶ Τρῳάδες· οἱ δὲ Τρῶες ἀπορούμενοι νεῶν Ἰταλίαν κατῴκησαν.

Ῥωμαῖοι Κοριολανὸν ἐδίωξαν. ὁ δὲ φυγὰς ἧκεν 3
ὡς Τυρρηνοὺς νίκην κατὰ Ῥωμαίων ὑπισχνούμενος. πιστεύουσι Τυρρηνοὶ καὶ στρατηγὸν ἀποφαίνουσιν, ὁ δὲ νικήσας ἐν μάχαις πολλαῖς τέλος ἐπ' αὐτὴν ἐφέρετο τὴν πόλιν αἱρήσων κατὰ κράτος. Ῥωμαίων αἱ μητέρες — ἡγεῖτο δὲ αὐτῶν Οὐετηρία μήτηρ Κοριολανοῦ —

Cap. 25. § 2. Cf. Plut. de virt. mul. 1; Romul. 1; quaest. Rom. 6; Dionys. Halic. 1, 72; Festus p. 269 (Müller).

Cap. 25. § 3. Cf. Plut. Coriol. 36; Dionys. Halic. 8, 48; Dio Cass. fr. 18, 3 sqq.; Liv. 2, 39 sq.

5 ἀφυσάμενοι vulg., cf. 1, 3, 1 ‖ 10 ἐκβολαῖς Maasv. ‖ Οὔβριδος F; Θύμβριδος vulg. ‖ 11 δὴ F] om. M ‖ 13 Τρῶας F ‖ 14 πλέωμεν? W ‖ 15 κατοικῆσαι Roth; κατοικίσαι F ‖ 20 Τυρρηνοὺς K; Τυρήννην F ‖ 24 Οὐετηρία F; Οὐετουρία vulg.

*προελθοῦσαι τῆς πόλεως ἀπήντων τοῖς πολεμίοις ὡπλισμένοις καὶ Κοριολανῷ προσπεσοῦσαι ἱκετηρίας προΐσχουσι. τὸ δὲ κεφάλαιον τῆς ἱκεσίας ἦν· ‘[εἰ] τὴν πόλιν αἱρεῖν ἔγνωκας, πρότερον τὴν μητέρα τὴν σὴν καὶ πάσας τὰς Ῥωμαίων μητέρας ἀπόκτεινον.’ Κοριολανὸς ἔπαθεν, ἐδάκρυσεν, ἀνέζευξεν. ἡ μὲν ἀνάζευξις εὐσεβής, ὀλέθριος δὲ τῷ στρατηγῷ· Τυρρηνοὶ γὰρ ὡς προδόντα νίκην φανερὰν ἐψηφίσαντο θανάτῳ κολασθῆναι.*

## 26. ΣΕΜΙΡΑΜΙΣ.

*Σεμίραμις λουομένη τῶν Σιράκων ἤκουσε τὴν ἀπόστασιν καὶ παραυτίκα ἀνυπόδητος μηδὲ τὰς τρίχας ἀναπλεξαμένη ἐπὶ τὸν πόλεμον ἐξῆλθεν. τῇ δὲ στήλῃ αὐτῆς ἐπιγέγραπται τάδε· ‘ἐμὲ γυναῖκα μὲν ἡ φύσις ἐποίησεν, ἐγὼ δὲ τοῖς ἔργοις τῶν ἀγαθῶν ἀνδρῶν οὐδενὸς χείρων ἐγενόμην. ἐγὼ Νίνου βασιλεύσασα πρὸς ἕω μὲν ὥρισα ποταμὸν Ἰναμάμην, πρὸς δὲ μέσον ἡλίου τὴν φέρουσαν λιβανωτὸν καὶ σμύρναν, ἀπὸ δὲ χειμῶνος Σάκας καὶ Σόγδους. θάλασσαν πρότερον οὐδεὶς Ἀσσυρίων εἶδεν, ἐγὼ δὲ τέσσαρας, αἷς οὐκ ἔστι πόρρω πελάσαι· τίς γὰρ αὐτὰς ὁρμὴ περιέχει; ποταμοὺς ἠνάγκασα ῥεῖν ὅπου βουλοίμην, ἐβουλόμην δὲ ὅπου συνέφερε. γῆν ἄκαρπον ἐδίδαξα σπείρεσθαι·*

---

Cap. 26. Cf. Duncker, Gesch. d. Altert. II, p. 15 sq. et not. 1.

---

2 *Κοριανάλω* F ‖ 3 *εἰ* add. vulg.; *εἰ* pro *ἦν* scripsit W ‖ 9 *κολασθῆναι* vulg.; *κομισθῆναι* F ‖ 11 *Σιράκων* Cas. cum vulg.; *Σιρανῶν* F ‖ 17 *Ἰναμάμην* F; rectius *Iomanes* apud Plin. n. h. *6, 29; Γάγγης* p ‖ 19 *Σάκκας* vulg. ‖ 23 *σπείρεσθαι* K; *σπέρεσθαι F; σπαρέσθαι* vulg.

*ποταμοῖς γὰρ αὐτὴν ἔμαξα ἐμοῖς. ἀνάλωτα τὰ τείχη παρέσχον· πέτρας ἀβάτους σιδήρῳ κατειργασάμην· ὁδοὺς ἔτεμον ἐμοῖς ὀχήμασιν, ἃς οὐδὲ θηρία διῆλθεν. καὶ τῶν ἔργων χρόνος μοὶ περισσὸς ἐγένετο πολύς, ὃν ἐμαυτῇ καὶ φίλοις ἐχαρισάμην.'*

27. ΡΟΔΟΓΟΥΝΗ.

*Ῥοδογούνη λουομένη τὰς τρίχας ἐρρύπτετο. ἧκέ τις ἀγγέλλων 'ἔθνος ὑπήκοον ἀφέστηκεν'. ἡ δὲ οὐκ ἀπορρυψαμένη τὰς τρίχας, ἀλλὰ ὡς εἶχεν ἀναδησαμένη τόν τε ἵππον ἀνέβη καὶ τὴν στρατιὰν ἐξήγαγε καὶ ὤμοσε μὴ πρότερον ἀπορρύψαι τὰς τρίχας, εἰ μὴ κρατήσειε τῶν ἀποστάντων· καὶ δὴ πολλῷ χρόνῳ πολεμήσασα ἐκράτησε. μετὰ τὴν νίκην ἐλούσατο καὶ τὰς τρίχας ἀπερρύψατο. τοῖς Περσῶν βασιλεῦσι βασιλικὴ σφραγὶς εἰκών ἐστιν ἀναδεδεμένην τὰς τρίχας ἔχουσα Ῥοδογούνην.*

28. ΤΟΜΥΡΙΣ.

*Τόμυρις Κύρου στρατεύσαντος ἐπ' αὐτὴν προσεποιήσατο δεδοικέναι τοὺς πολεμίους. ἔφυγε μὲν τὸ Μασσαγετικόν, ἐπῆλθε δὲ τὸ Περσικὸν καὶ κατέλαβεν*

Cap. 27. Cf. Aeschines philosophus in Westerm. Paradox. gr. p. 215, 8.

Cap. 28. De mira Polyaeni narratione vide Duncker, Gesch. d. Altert. II, p. 378 sq., qui confert Herod. 1, 201 sq.; Diod. 2, 44; Iust. 1, 8, 2. 3, 37, 3; Front. strat. 2, 5, 5; Ctes. Pers. 6—9.

1 *ἔμαξα* Hertlein coll. Hemsterhuis. coniect. ad Xenoph. Cyrop. 6, 2, 28 *μεμαγμένην* pro *μεμιγμένην* codicum; *ἔμιξα* F; *ἔσμηξα* Heringa ‖ *τὰ* om. F, add. vulg. ‖ 7 *ἐρύπτετο* F ‖ 8 *ἀγγέλων* F ‖ 9 *ἀπορρυψαμένη* Oudendorp ad Thom. Magist. s. v. *ῥύπτεσθαι*; *ἀπορυψαμένη* F; *ἀποκρυψαμένη* vulg. ‖ 11 *ἀποκρύψαι* F ‖ 14 *ἀπερύψατο* F ‖ 15 *ἀναδεδεμένην* W; *ἀναδεδεμένη* F; *ἀναδεδυμένη* vulg.; *ἀναλελυμένην* Cas. ‖ 16 *Rhodogunem* V; *Ῥοδογούνη* F ‖ 19 *δεδοικέναι* vulg.; *δεδυκέναι* F.

*ἐν τῷ στρατοπέδῳ πλῆθος οἴνου, τροφῶν, ἱερείων, οἷς ἀνέδην ἐχρήσαντο καὶ δαψιλῶς διὰ νυκτὸς ὅλης ὥσπερ νενικηκότες. ἐπεὶ δὲ [μετὰ] πολὺν οἶνον καὶ τρυφὴν ἔκειντο καθεύδοντες, ἐπελθοῦσα Τόμυρις δυσκινήτως ἔχοντας Πέρσας αὐτῷ Κύρῳ διέφθειρεν.*

## 29. ΝΙΤΗΤΙΣ.

*Κῦρος Περσῶν βασιλεὺς Ἄμασιν Αἰγύπτου βασιλέα μίαν τῶν θυγατέρων ᾔτησε πρὸς γάμον· ὁ δὲ Νιτῆτιν θυγατέρα Ἀπρίου βασιλέως, ὃν καταλύσας αὐτὸς ἦρχεν, ἔπεμψεν ὡς αὐτόν. Νιτῆτις ὑποκριναμένη μεχρὶ πολλοῦ Κύρῳ συνῆν ὡς θυγάτηρ Ἀμάσιδος· ἡνίκα δὲ πολλῶν τέκνων ἐγένετο μήτηρ καὶ τὸν γήμαντα ἐς εὔνοιαν ἐκεχείρωτο, ὡμολόγησεν Ἀπρίην αὐτῇ πατέρα γενέσθαι, τὸν δεσπότην Ἀμάσιδος. ‘ἀλλ' εἰ καὶ τέθνηκεν Ἄμασις, τόν γε υἱὸν αὐτοῦ Ψαμμήτιχον τίσασθαι καλόν.’ πείθεται Κῦρος. ἀλλὰ καὶ Κῦρος μὲν πρὸ τῆς στρατείας ἐτελεύτησεν, ὁ δὲ παῖς αὐτοῦ Καμβύσης τῇ μητρὶ πεισθεὶς ἐστράτευσε καὶ τὴν Αἰγυπτίων ἀρχὴν ἐς τὸ Ἀπρίου γένος ἀνεκτήσατο.*

## 30. ΦΙΛΩΤΙΣ.

*Ἐπὶ Ῥωμαίους ἐστράτευσαν Λατῖνοι ἡγεμόνα Ποστούμιον ἔχοντες καὶ τὰς θυγατέρας αὐτῶν ἐξῄτουν*

---

Cap. 29. Ex Dinone (?) coll. Athen. 13, 10, p. 560 F. — Cf. Duncker, Gesch. d. Altert. IV, p. 399 sq.

Cap. 30. Cf. Plut. Romul. 29 et Camill. 33.

---

1 *στρατοπέδῳ* vulg.; *Περσικῷ* F ‖ 2 *ὥσπερ* F; *ὡς* H ‖ 3 [*μετὰ*] W; [*λαβόντες*] ante *ἔκειντο* vulg. ‖ 8 *θυγατέρων* Hertlein; *θυγατρῶν* F ‖ 11 *Ἀμάσσιδος* F ‖ 13 *ἐκχείρωτο* F; *ἐνεχύρωτο* vulg. ‖ 15 *τόν γε* K; *τὸν δὲ* F ‖ *Ψαμμήτειχον* F ‖ 16 *καὶ* del. K ‖ 19 *χώραν ἀρχὴν* vulg. ‖ 21 *Ποστούμιον* Plut.; *Ποστούμην* F ‖ 22 *ἐζήτουν F; ἐξῄτουν* vulg.

πρὸς γάμον, ὥσπερ αὐτοὶ τὰς Σαβίνων ἥρπασαν, ἐπὶ τῷ σπείσασθαι τὴν εἰρ'νην. Ῥωμαῖοι τὸν μὲν πόλεμον ἐφοβοῦντο, τὰς δὲ θυγατέρας οὐχ ὑπέμενον ἐκδοῦναι. ἔνθα δὴ Φιλῶτις θεράπαινα τὴν ὄψιν εὐπρεπὴς συνεβούλευσεν αὐτήν τε καὶ ἄλλας θεραπαίνας, ὅσαι τὴν ὄψιν ἀστεῖαι, κοσμῆσαι καὶ τοῖς πολεμίοις ὡς θυγατέρας ἐκπέμψαι, προσυνθεμένη, ἐπειδὰν οἱ πολέμιοι λαβόντες αὐτὰς ἀναπαύσωνται, νύκτωρ ἀνασχεῖν πυρσόν. οἱ μὲν Λατῖνοι συνεκάθευδον ταῖς κόραις, ἡ δὲ ἀνέσχε τὸν πυρσόν. οἱ Ῥωμαῖοι δὲ ἐπελθόντες τοὺς Λατίνους καθεύδοντας ἀπέκτειναν.

31. ΚΛΟΙΛΙΑ.

Ῥωμαῖοι Τυρρηνοῖς πολεμοῦντες ποιησάμενοι συνθήκας ἔδωκαν αὐτοῖς ὁμήρους τῶν εὐγενεστάτων ἀνδρῶν θυγατέρας παρθένους· αἱ δὲ ὁμηρεύουσαι προῆλθον ἐπὶ τὸν ποταμὸν τὸν Θύβριν λουσόμεναι. μία δὲ ἐξ αὐτῶν Κλοιλία προὔτρεψεν ἁπάσας ἀναδήσασθαι τοὺς χιτωνίσκους περὶ τὰς κεφαλὰς καὶ διανήξασθαι τὸ ῥεῦμα τοῦ ποταμοῦ δίναις βαθείαις δύσπορον. ἐπεὶ δὲ διενήξαντο, Ῥωμαῖοι τὴν μὲν ἀρετὴν αὐτῶν καὶ τὴν ἀνδρίαν ἐθαύμασαν, ἀνέπεμψαν δὲ αὐτὰς Τυρρηνοῖς τὸ πιστὸν τῶν συνθηκῶν φυλάσσοντες. Πορσίνας βασιλεὺς Τυρρηνῶν ἀνέκρινε τὰς κόρας, τίς ἦν αὐτῶν ἡ τοῦτο πρᾶξαι πείσασα· Κλοιλία προ-

Cap. 31. Cf. Plut. de virt. mul. 14 et Publicol. 19; Liv. 2, 13; Dionys. Hal. 5, 32.

6 ἀστίαι F ‖ 10 ἐπελθόντες Plut.; ἐπανελθόντες F ‖ 15 προῆλθον K; προσῆλθον F ‖ 16 Θύμβριν vulg. ‖ λουσόμεναι Plut. et V *loturae*; λουσάμεναι F ‖ 17 προὔπεμψεν vulg. ‖ 21 ἀνέπεμψαν K; ἀντέπεμψαν F ‖ αὐτοῖς F ‖ 23 Τυρήννων F.

*λαβοῦσα τὰς ἄλλας ὡμολόγησε. Πορσίνας ὑπεραγασθεὶς τὸ ἀνδρεῖον τῆς κόρης ἵππον αὐτῇ λαμπρῶς κεκοσμημένον ἐδωρήσατο καὶ τὰς παρθένους πάσας ἐπαινέσας Ῥωμαίοις ἀπέπεμψεν.*

32. ΠΟΡΚΙΑ.

*Πορκία θυγάτηρ Κάτωνος, γυνὴ Βρούτου τὸν ἄνδρα Βροῦτον ὑπονοοῦσα ἐπιβουλεύειν Καίσαρι μαχαιρίῳ κουρέως τὸν ἑαυτῆς μηρὸν ἀνέσχισεν ἐπιδεικνυμένη καρτερίαν σώματος καὶ ψυχῆς ἐγκράτειαν. τότε δὴ Βροῦτος ἐπίστευσεν αὐτῇ τὸ ἀπόρρητον. ἡ δὲ τοὺς χιτωνίσκους αὐτὴ προσεκόμισε τῷ ἀνδρὶ καὶ τῶν χιτώνων ἔνδον τὸ ξίφος. προσελθὼν Βροῦτος μετὰ τῶν κοινωνούντων ἐπιθέμενος κτιννύει Καίσαρα. ἐπεὶ δὲ μετὰ Κασσίου παραταξάμενος ἐν Μακεδονίᾳ πρὸς τὸν Σεβαστὸν ἥττης γενομένης αὐτὸς ἑαυτὸν ἀνεῖλεν, Πορκία τὸ μὲν πρῶτον ἀποκαρτερεῖν ἐπειρᾶτο. οἰκείων δὲ καὶ συγγενῶν οὐκ ἐώντων ἐσχάραν ἐκέλευσε κομισθῆναι πυρὸς ὡς ἀλειψομένη καὶ τῶν ἀνθράκων ἁρπάσασα πολλοὺς ταῖς χερσὶν ἐνέβαλεν ἐς τὸ στόμα καὶ κατέπιε φθάσασα, πρίν τινα τῶν παρόντων βοηθῆσαι δύνασθαι. οὕτως ἐτελεύτησε Πορκία στρατηγικὴ καὶ ἀνδρεία πρὸς θάνατον καὶ φίλανδρος γενομένη.*

---

Cf. 32. Ex Nicolao Damasc., ut videtur, coll. Plut. Bruto 53; cf. Appian. b. civ. 4, 136; Dio Cass. 44, 13 (47, 49).

---

8 *ἀνέσχισεν* K; *ἀπέσχισεν* F; *κατέτρωσεν* Dio Cass. ‖ 11 *αὐτὴ* F] *αὐτῆς* vulg. ‖ 18 *ἀλειψομένη* F, quod defendit Hertlein coll. Xenoph. anab. 4, 4, 12; Hell. 4, 5, 4; Aelian. v. h. 9, 30; *ἀλεαινομένη* Fuchs.

### 33. ΤΕΛΕΣΙΛΛΑ.

Κλεομένης Σπαρτιατῶν βασιλεὺς κτείνας ἐν παρατάξει Ἀργείων ἄνδρας ἑπτακισχιλίους ἑπτακοσίους ἑβδομήκοντα ἑπτὰ ἐβάδιζεν ἐπὶ τὸ Ἄργος ὡς κατὰ κράτος αἱρήσων τὴν πόλιν· Τελέσιλλα ἡ μουσικὴ τὰς Ἀργείας ὁπλίσασα προήγαγεν εἰς μάχην. αἱ δὲ ἔνοπλοι παρὰ ἔπαλξιν ἱστάμεναι, κύκλῳ τὰ τείχη φραξάμεναι Κλεομένη μὲν ἀπεκρούσαντο, Δημάρατον δὲ τὸν ἕτερον βασιλέα ἐξώσαντο καὶ τὴν πόλιν ἁλῶναι κινδυνεύουσαν ἀνέσωσαν. τοῦτο τὸ στρατήγημα τῶν γυναικῶν μέχρι νῦν Ἀργεῖοι τιμῶσι, νουμηνίᾳ μηνὸς Ἑρμαίου τὰς μὲν γυναῖκας ἀνδρείοις χιτῶσι καὶ χλαμύσι, τοὺς δὲ ἄνδρας πέπλοις γυναικείοις ἀμφιεννύντες.

### 34. ΧΕΙΛΩΝΙΣ.

.52,7 Χειλωνὶς Κλεάδα θυγάτηρ, Θεοπόμπου γυνή, μα- c. 600
θοῦσα τὸν ἄνδρα ὑπὸ Ἀρκάδων αἰχμάλωτον φυλάσσεσθαι ἦλθεν ἐς τοὺς πολεμίους ἑκοῦσα. θαυμάσαντες αὐτῆς τὸ φίλανδρον Ἀρκάδες ἐπέτρεψαν ἐς τὸ δεσμωτήριον αὐτὴν παρελθεῖν. ἡ δὲ τὴν αὑτῆς ἐσθῆτα τῷ ἀνδρὶ περιθεῖσα, τὴν ἐκείνου δὲ αὐτὴ λαβοῦσα ἔπεισεν αὐτὸν ὑπεξελθεῖν, αὐτὴ δὲ ἀντ' αὐτοῦ παρὰ τοῖς πολεμίοις ἔμεινε. Θεόπομπος τῷ στρατηγήματι τῆς γυναικὸς διασωθεὶς καὶ αὐτὸς τὴν ἱέρειαν τῆς Ἀρτέμιδος

Cap. 33. Cf. Plut. de virt. mul. 4; Paus. 2, 20, 8. — Kaegi, krit. Gesch. d. spart. Staates 500—431; Iahnii annal. suppl. 6, p. 446.

3 ἑπτὰ καὶ ἑβδομήκοντα καὶ ἑπτακοσίους πρὸς ἑπτακισχιλίους K cum Plut. ‖ 6 παρὰ τὴν ἔπαλξιν K; παρ' ἔπαλξιν Plut. ‖ 7 Κλεομένην F ‖ 10 ἀνέσωσεν F ‖ 14 Χιλωνίς F ‖ 17 πολέμους F ‖ 18 φίλανδρον H; φιλάνθρωπον F ‖ 19 αὐτὴν F; αὐτῇ K.

εἰς Φενεὸν πομπεύουσαν ἥρπασε· Τεγεᾶται ταύτην ἀπολαβεῖν θέλοντες ἀπέδωκαν αὐτῷ τὴν Χειλωνίδα.

### 35. ΠΙΕΡΙΑ.

Οἱ ἐν Μιλήτῳ Ἴωνες πρὸς τοὺς Νηλέως παῖδας στασιάσαντες ἀνεχώρησαν ἐς Μυοῦντα κἀκεῖθεν ἐπολέμουν· οὐ μὴν ὅγε πόλεμος ἄσπονδος ἦν, ἀλλὰ ἐν ταῖς ἑορταῖς ἦν αὐτοῖς ἐπιμιξία. Πύθου ἀνδρὸς ἐνδόξου θυγάτηρ Πιερία ἑορτῆς οὔσης παρὰ Μιλησίοις, ἣν Νηληΐδα κλῄζουσιν, ἧκεν ἐς Μίλητον. τῶν Νηλέως παίδων [ὁ δυνατώτατος] ὄνομα Φρύγιος Πιερίας ἐρασθεὶς ἤρετο, τί ἂν αὐτῇ μάλιστα γίγνοιτο κεχαρισμένον. ἡ δὲ ἔφη· ‘εἴ μοι διαπράξαιο τὸ πολλάκις καὶ μετὰ πολλῶν ἐνθάδε βαδίζειν δύνασθαι.’ συνῆκεν ὁ Φρύγιος, ὡς εἰρήνης καὶ φιλίας τοῖς πολίταις δέοιτο, καὶ τὸν πόλεμον ἔπαυσε· καὶ ἔνδοξος ὁ Φρυγίου καὶ Πιερίας ἔρως εἰρήνην ἀντὶ πολέμου παρασχών.

### 36. ΠΟΛΥΚΡΙΤΗ.

Μιλήσιοι Ναξίοις ἐπολέμουν· Ἐρυθραῖοι Μιλησίοις συνεμάχουν. Διόγνητος, Ἐρυθραίων στρατηγὸς, λείαν τῶν Ναξίων ἔλαβε πολλὴν καὶ δὴ γυναῖκας καὶ παρθένους πολλὰς, ὧν ἦν Πολυκρίτη· ταύτης ἐρασθεὶς οὐχ ὡς αἰχμαλώτῳ συνῆν, ἀλλ’ ὡς γαμετῇ γυναικί. ἦν ἐν τῷ στρατοπέδῳ τῶν Μιλησίων πάτριος ἑορτὴ,

Cap. 35. Cf. Plut. ibid. 16; Aristaenet. epistol. 1, 15.
Cap. 36. Cf. Plut. ibid. 17; Parthenius, narrat. amat. 9.

1 *Φενεὸν* F; *Ἀλφειὸν* Fuchs ‖ 9 *μηλήϊδα* F ‖ 10 [*ὁ δυνατώτατος*] Cas. W ex Plut.; [*εἷς*] K ‖ 12 *εἴ μοι διαπράξαιο τὸ* scripsi coll. Plut. *εἰ διαπράξαιό μοι τὸ* etc.; *ἐμοὶ διαπράξοιτο* F; *ἐμοὶ διαπράξαι τὸ* W; *εἰ ἐμοὶ διαπράξαιο* vulg. ‖ 17 *Πολυκρήτη* F *(id. infra).*

καὶ πάντες ἀνέκειντο μέθῃ καὶ θυμηδίᾳ. Πολυκρίτη παρεκάλει Διόγνητον ἐπιτρέψαι τῶν πεμμάτων μερίδας πέμψαι τοῖς ἀδελφοῖς. ἐπιτρέψαντος ἐμβάλλει μολιβοῦν γραμματεῖον ἐς τὸν πλακοῦντα τῷ κομίζοντι ἐντειλαμένη φράσαι τοῖς ἀδελφοῖς, ὅπως αὐτοὶ μόνοι φάγοιεν ἀπὸ στόματος τῆς ἀδελφῆς. οἱ δὲ εὑρόντες τὸν μόλιβον καὶ ἀναπτύξαντες ἀναγινώσκουσι ‘νύκτωρ ἐπίθεσθε τοῖς πολεμίοις διὰ τὴν ἑορτὴν μεθύουσι καὶ καθεύδουσι καὶ ἀφυλάκτοις’. οἱ στρατηγοὶ ταῦτα μαθόντες νύκτωρ ἐπέθεντο καὶ τῶν πολεμίων ἐκράτησαν· τὸν μέντοι Διόγνητον ἡ Πολυκρίτη γέρας παρὰ τῶν πολιτῶν ᾐτήσατο.

### 37. ΛΑΜΨΑΚΗ.

Φωκαεῖς Φόξον ἡγεμόνα ἔχοντες Μάνδρωνι βασιλεῖ Βεβρύκων συνεμάχησαν ὑπὸ τῶν προσοίκων βαρβάρων πολεμουμένῳ· Μάνδρων ἔπεισε τοὺς Φωκαεῖς ἐποικεῖν μέρος τῆς χώρας καὶ τῆς πόλεως λαβόντας. ἐπεὶ δὲ πολλάκις μὲν ἐν ταῖς μάχαις ἐνίκων, πολλὰ δὲ λάφυρα ἐκτῶντο, ἐπίφθονοι τοῖς Βέβρυξιν ἐγένοντο, ὥστε ἀποδημοῦντος Μάνδρωνος λόχῳ καὶ δόλῳ τοὺς Ἕλληνας ἐβουλεύσαντο διαφθεῖραι. Μάνδρωνος θυγάτηρ Λαμψάκη παρθένος μαθοῦσα τὴν ἐπιβουλὴν

Cap. 37. Cf. Plut. ibid. 18; Chares Lamps. fr. 7 (Müller); Steph. Byz. s. v. Λαμψάκη. — A. v. Gutschmid, Philol. X, p. 524 not.; A. Schmidt, d. Perikl. Zeitalt. II, p. 120 sq.

1 ἀνεῖντο Hertlein ‖ 3 ἐμβάλει F ‖ μολιβοῦν (et v. 7 μόλιβον) F] μολιβδοῦν (et v. 7 μόλιβδον) Plut.; μολυβδοῦν (et v. 7 μόλυβδον) vulg. ‖ 5 αὐτὸν vulg. ‖ 8 ἐπίθεσθε Cas.; ἐπιθέσθαι F ‖ 9 οἱ δὲ στρατηγοὶ vulg. ‖ 13 Λαμψάκη W ex Plut.; Φωκαεῖς ἢ Λαμψάκη M; Φωκαεῖς F vulg. ‖ 14 Φόξον] Φόβον Plut. ‖ 17 ἐποικεῖν Hercher, Hermes 9, p. 112; ἐνοικεῖν F; συνοικεῖν Hertlein ‖ 20 ἀποδημοῦντας F.

ἀποτρέπειν ἐπειρᾶτο· ὡς δὲ οὐκ ἔπειθε, κρύφα τοῖς Ἕλλησι μηνύει τὰ κατ' αὐτῶν βεβουλευμένα. οἱ δὲ θυσίαν παρασκευάσαντες λαμπρὰν ἔξω τειχῶν καλοῦσι τοὺς βαρβάρους ἐς τὸ προάστειον. οἱ μὲν δὴ κατακλιθέντες εὐωχοῦντο, οἱ δὲ Φωκαεῖς δίχα διελόντες αὑτοὺς οἱ μὲν τὰ τείχη κατελάβοντο, οἱ δὲ τοὺς εὐωχουμένους ἀνεῖλον καὶ τὴν πόλιν αὐτοὶ κατέσχον. τὴν δὲ Λαμψάκην μεγαλοπρεπῶς ἐτίμησαν καὶ τὴν πόλιν ἀπ' αὐτῆς Λάμψακον προσηγόρευσαν.

## 38. ΑΡΕΤΑΦΙΛΑ.

Νικοκράτης Κυρηναίων τύραννος ἄλλα τε πολλὰ καὶ δεινὰ εἰργάσατο τοὺς πολίτας καὶ δὴ [καὶ] τὸν ἱερέα τοῦ Ἀπόλλωνος Μελάνιππον αὐτοχειρὶ κτείνας γυναῖκα αὐτοῦ Ἀρεταφίλαν καλὴν οὖσαν ἔγημεν· ἡ δὲ ὑπὲρ τῆς πατρίδος καὶ τοῦ ἀνδρὸς τίσασθαι τὸν τύραννον ἐσπούδαζεν. τὸ μὲν δὴ πρῶτον ἐπιβουλεύει φαρμάκοις· ἁλοῦσα δ' ἔφασκεν οὐ δηλητήριον, ἀλλὰ φίλτρον παρασκευάσαι, ὅπως ἐρῶντα αὐτῆς ἔχοι τὸν ἄνδρα. ἡ μήτηρ τοῦ τυράννου βασανίσαι τὴν Ἀρεταφίλαν συνεβούλευσε· καὶ δὴ βασανισθεῖσα μακροῖς καὶ πικροῖς βασανιστηρίοις ἀντέσχε μηδὲν πλέον ὁμολογοῦσα φίλτρου. ὁ τύραννος ὡς οὐδὲν ἀδικοῦσαν ἀφῆκε καὶ συνοῦσαν εἶχεν καὶ πλέον αὐτὴν ἐθερά-

Cap. 38. Cf. Plut. ibid. 19, qui de tempore: *ἐν τοῖς Μιθριδατικοῖς χρόνοις*.

4 *κατακλιθέντες* K; *κατακλεισθέντες* F ‖ 6 *αὐτοὺς* F ‖ *κατελ'βοντο* F et Plut.; *κατεβάλοντο* vulg. ‖ 7 *αὐτῶν* M ‖ 9 *Λάμψακον προσηγόρευσαν* scripsi cum Plut., cf. 8, 44 extr.; *Λάμψακον ἀνηγόρευσαν* vulg.; *λαμψακαν ἠγόρασαν* (sic) F ‖ 12 [*καὶ*] Hertlein, Iahnii annal. 1867, p. 607 ‖ 14 *καλὴν οὖσαν*] *ἄκουσαν* Plut., sed idem paulo ante *καλὴ δὲ τὴν ὄψιν ἦν* ‖ 18 *αὐτῆς* F ‖ 19 *Ἀρεταφίλα* F.

πευεν ὡς βασανισθεῖσαν οὐ δικαίως, ἡ δὲ θυγατέρα ἔχουσα ὥρᾳ καὶ κάλλει διαφέρουσαν, ταύτην ὑφῆκεν ἀδελφῷ τοῦ τυράννου μειρακίῳ Λαάνδρῳ. ὁ δὲ ἁλοὺς ἔρωτι παρακαλεῖ τὸν ἀδελφὸν γῆμαι τὴν κόρην. ἔγημε καὶ τῇ μητρὶ τῆς κόρης πειθαρχῶν ὑπ' αὐτῆς πείθεται τὴν πόλιν ἐλευθερῶσαι· ὁ δὲ διαφθείρας Δάφνιν, κατευναστὴν τοῦ τυράννου, διὰ τούτου τὸν Νικοκράτην διεχρήσατο.

## 39. ΚΑΜΜΑ.

Τῶν ἐν Γαλατίᾳ τετραρχῶν ἦσαν Σινόριξ καὶ Σινάτος. τοῦ Σινάτου γυνὴ κάλλει σώματος καὶ ἀρετῇ ψυχῆς εὐκλεεστάτη Κάμμα· καὶ γὰρ ἦν Ἀρτέμιδος ἱέρεια, ἣν μάλιστα Γαλάται σέβουσι, καὶ ἦν ἔν τε πομπαῖς καὶ θυσίαις ἀεὶ μεγαλοπρεπῶς καὶ σεμνῶς κεκοσμημένη. ταύτης ἐρᾷ Σινόριξ· καὶ ζῶντος τοῦ ἀνδρὸς οὔτε πείσειν ἐλπίζων οὔτε βιάσεσθαι τὸν Σινάτον ἐδολοφόνησεν, οὐκ εἰς μακρὰν δὲ Κάμμαν ἐμνᾶτο. ἡ δὲ ἐπὶ πλεῖστον μὲν ἀντέλεγεν, οἰκείων δὲ καὶ φίλων ἐγκειμένων καὶ λιπαρῶς θεραπευόντων ὑπεκρίνατο συγκατατίθεσθαι. καὶ δὴ συνέθεντο· 'ἡκέτω Σινόριξ εἰς τὸ ἱερὸν τῆς Ἀρτέμιδος, καὶ παρὰ τῇ θεῷ τὰς συνθήκας τοῦ γάμου ποιησώμεθα.' ἧκε Σινόριξ καὶ σὺν αὐτῷ πάντες ὅσοι Γαλατῶν ἐντελεῖς, ἄνδρες καὶ

---

Cap. 39. Cf. Plut. ibid. 20; iterata sunt haec in Plut. amator. p. 768 B.

---

3 *Λαάνδρῳ* F] *Λεάνδρῳ* vulg., Plut. ‖ 6 *ὁ δὲ διαφθείρας Δάφνιν* vulg.; *τὸ δὲ διαφθεῖραν Δάφιον* F ‖ 7 *κατεῦνα τὴν* F ‖ 8 *διεχρήσατο* vulg.; *ἐχρήσατο* F ‖ 10 *Σινόριξ* F] *Συνόριξ* M, Plut. ‖ 13 *ἱερία* F ‖ 16 *βιάσεσθαι* Patakis, Hertlein; *βιάσασθαι* F ‖ 20 *συνέθετο* Patakis ‖ *ἡκέτω* vulg.; *ἧκετο* F ‖ 22 *ποιησόμεθα* K ‖ 23 *ἐντελεῖς* F; *ἐν τέλει* K et Cobet, Mnemosyne 4, p. 240.

γυναῖκες. ἡ δὲ φιλοφρόνως αὐτὸν δεξαμένη προσάγει τῷ βωμῷ καὶ ἀπὸ χρυσῆς φιάλης ἔσπεισε καὶ τὸ μὲν ἐξέπιεν αὐτή, τὸ δὲ ἐκεῖνον ἐκέλευσεν (αὐτὸν) πιεῖν. ὁ δὲ οἷα δὴ νυμφίος παρὰ νύμφης λαβὼν ἡδέως πίνει· τὸ δὲ ποτὸν ἄρα ἦν μελίκρατον πεφαρμαγμένον. ἡ δὲ πεπωκότα ὡς εἶδεν, λαμπρὸν ἀνωλόλυξε καὶ τὴν θεὸν προσεκύνησεν εἰποῦσα 'χάριν οἶδά σοι, ὦ πολυτίμητε Ἄρτεμι, ὅτι μοι παρέσχες ἐν τῷ σῷ ἱερῷ δίκας ὑπὲρ τοῦ ἀνδρὸς λαβεῖν ἀδίκως δι' ἐμὲ ἀναιρεθέντος'. ταῦτα εἰποῦσα παραχρῆμα αὐτή τε ἀπέθνησκε, καὶ ὁ νυμφίος αὐτῇ συναπέθνησκε παρὰ τῷ βωμῷ τῆς θεοῦ.

## 40. ΤΙΜΟΚΛΕΙΑ.

335 Τιμόκλεια Θηβαία Θεαγένους ἀδελφὴ τοῦ παραταξαμένου Φιλίππῳ περὶ Χαιρώνειαν, ὃς καὶ πρὸς τὸν ἐμβοήσαντα 'μέχρι ποῦ διώκεις;' ἀπικρίνατο 'μέχρι τῆς Μακεδονίας'. τούτῳ τελευτήσαντι περιῆν ἀδελφή. Θήβας κατέσκαψεν Ἀλέξανδρος. ἄλλοι μὲν δὴ ἄλλα τῆς πόλεως ἐπόρθουν, Τιμοκλείας δὲ τὴν οἰκίαν κατελάβετο Θρᾷξ ἵππαρχος. οὗτος ὁ Θρᾷξ μετὰ τὸ δεῖπνον ἐκάλει τὴν Τιμόκλειαν ἐς τὸν θάλαμον καὶ οὐδὲ τοῦτο μόνον, ἀλλὰ καὶ χρυσὸν καὶ ἄργυρον εἴ που κεκρυμμένον ἔχοι, καὶ ταῦτα ὁμολογεῖν ἐβιάζετο. ἡ δὲ πολὺν

---

Cap. 40. Cf. Plut. ibid. 24 et Alex. 12; Zonar. 4, 9 (ex Plutarcho).

---

3 (αὐτὸν) om. M Plut. || 6 πεπτωκότα F || 7 πολυτίμητε Cobet, ibid. p. 240; πολύτιμε F || 8 Ἄρτεμις F || 13 Θεαγένους] Stratoclem Atheniensem haec exclamasse tradit Polyaen. 4, 2, 2 || 14 Χερωνίαν F || 19 ἵππαρχος] errasse videtur Polyaenus, cum equites Thraces in exercitu Alexandri nusquam occurrant (cf. Droysen I, 2, p. 393 sq.); ἦρχε δὲ Θρᾳκίου τινὸς ἴλης Plut.; Θρᾷξ τις τῶν ἡγεμόνων Zonar.

*μὲν κόσμον ἔχειν ἔφη ἀργύρου καὶ χρυσοῦ ἔν τε ὅρμοις καὶ ψελίοις καὶ ἐκπώμασι καὶ νομίσμασιν, ἁλισκομένης δὲ τῆς πόλεως πάντα ἐμβαλεῖν εἰς φρέαρ ὕδωρ οὐκ ἔχον. ὁ Θρᾷξ ἐπίστευσεν, ἡ δὲ ἤγαγεν αὐτὸν ἐς τὸν κῆπον τῆς οἰκίας, ἔνθα τὸ φρέαρ ἦν, καὶ καταβῆναι κελεύει. ὁ μὲν καταβὰς τὸν ἄργυρον καὶ τὸν χρυσὸν ἐξήτει, ἡ δὲ ἄνωθεν μετὰ τῶν θεραπαινίδων πολλοὺς αὐτῷ λίθους καὶ πέτρους ἐπεκύλισεν καὶ κατέχωσε τὸν βάρβαρον. οἱ Μακεδόνες συλλαβόντες ἤγαγον ἐπὶ τὸν βασιλέα Ἀλέξανδρον· ὁμολογήσασαν δὲ αὐτήν, ὡς παρανομοῦντα τὸν Θρᾷκα καὶ βιαζόμενον ἠμύνατο, θαυμάσας Ἀλέξανδρος αὐτήν τε ἐλευθέραν ἀφῆκε καὶ πάντας τοὺς κατὰ γένος αὐτῇ προσήκοντας.*

## 41. ΕΡΥΞΩ.

*Λάαρχος, Κυρηναίων βασιλεὺς ἀποδειχθεὶς ὡς Βάττῳ τῷ Ἀρκεσιλάου τὴν ἀρχὴν φυλάττων, ἐγένετο ἀντὶ βασιλέως τύραννος πάσῃ παρανομίᾳ χρησάμενος κατὰ τῶν πολιτῶν. τοῦ δὴ παιδὸς τοῦ Βάττου μήτηρ ἦν Ἐρυξώ, σώφρων γυνὴ καὶ δικαιοτάτη. ταύτης ἐρασθεὶς Λάαρχος ἐμνηστεύετο, ἡ δὲ τοῖς ἀδελφοῖς αὐτὸν ἠξίου διαλέγεσθαι. τῶν δὲ ἐπίτηδες ἀναβαλλομένων ἔπεμψεν Ἐρυξὼ θεράπαιναν ἀπαγγέλλουσαν, νῦν μὲν ἀντιλέγειν τοὺς ἀδελφούς, εἰ δὲ σύλλογος αὐτῶν καὶ*

Cap. 41. Cf. Plut. ibid. 25; Nicol. Damasc. fr. 52 (Müller).

2 *ψελίοις* Hertlein; *ψελλίοις* F ‖ 3 *εἰς φρέαρ* M Plut.; *εἰς τὸ φρέαρ* F ‖ 8 *ἐπεκύλισεν* Hertlein ex Plut. *ἐπέφερε*; *ἐκύλισεν* F ‖ 11 *παροινοῦντα* Patakis coll. Plut. *ἐνέπλησεν ἑαυτὸν οἴνου* ‖ 19 *Βάτου* F ‖ 21 *ἐμνηστεύετο* Plut. V; *ἐμνηστεύσατο* F ‖ 22 *ἐξεπίτηδες* vulg. ‖ 23 *Ἐρυθρὼ* F ‖ *ἀπαγγέλουσαν* F ‖ 24 *σύλλογος* F] *σύνοδος* Plut.

*ὁμιλία γένοιτο, καὶ δὴ συγχωρήσειν τοὺς ἀδελφοὺς τῆς ἀρχῆς τοῦ γάμου γενομένης. ἀσμένως δέχεται καὶ δὴ νύκτωρ ἄνευ τῶν δορυφόρων ἧκε πρὸς τὴν Ἐρυξὼ καὶ εἴς τι δωμάτιον εἰσελθὼν περιπίπτει Πολυάρχῳ τῷ πρεσβυτάτῳ τῶν Ἐρυξοῦς ἀδελφῶν ἔνδον λοχῶντι καὶ δύο νεανίσκους ξιφήρεις ἔχοντι, ὑφ᾽ ὧν κατακεντηθεὶς ἀπέθανε. τὸν δὲ Βάττον προαγαγόντες ἀπέφηναν βασιλέα καὶ Κυρηναίοις ἀπέδωκαν τὴν πάτριον πολιτείαν.*

42. ΠΥΘΟΠΟΛΙΣ.

*Πύθης χρύσεια μέταλλα εὑρὼν πάντας τοὺς πολίτας ἐκέλευσε μεταλλεύειν, ὀρύσσειν, καθαίρειν χρυσίον, ἄλλο μηδὲν δρᾶν μήτε ἐν τῇ γῇ μήτε ἐν τῇ θαλάσσῃ· πάντες ἀπηγόρευον οὔτε καρποὺς ἔχοντες οὔτε ἄλλο τι τῶν πρὸς τὸν βίον πράσσοντες. αἱ δὲ γυναῖκες αὐτῶν ἱκετεύουσι τὴν τοῦ Πύθου γυναῖκα Πυθόπολιν. ἡ δὲ ἐκέλευσεν ἐκείνας μὲν ἀπιέναι καὶ θαρρεῖν, αὐτὴ δὲ τοὺς δημιουργοὺς τοῦ χρυσίου καλέσασα ἐκέλευσε ποιεῖν ἰχθῦς χρυσοῦς, πέμματα, ὡραῖα, ὄψα, βρώματα πάντα χρυσᾶ. Πύθης ἧκεν ἐξ ἀποδημίας καὶ δεῖπνον ᾔτει. ἡ γυνὴ παρέθηκεν αὐτῷ χρυσῆν τράπεζαν, ἐφ᾽ ἧς παρέκειτο οὐδὲν ἐδώδιμον, ἀλλὰ πάντα χρυσᾶ ἐδωδίμοις ὅμοια. Πύθης ἐπαινέσας τὴν μίμησιν τῆς τέχνης ᾔτει φαγεῖν. ἡ δὲ προσέφερεν αὐτῷ ἄλλο τι χρυσοῦν ὅμοιον ἐδωδίμῳ καὶ τοῦτο*

---

Cap. 42. Cf. Plut. ibid. 27.

---

4 *δομάτιον* F ‖ 5 *Ἐρυξόους* F ‖ 7 *Βάτον* F ‖ 8 *πάτρειον* F ‖ 10 *Πυθόπολις* nomen non exstat apud Plutarchum, ubi constanter legitur *Πύθεω γυνή*, sed sub finem *Πυθοπολίτης* flumen nominatur et urbem *Πυθόπολιν* fuisse testis est Steph. Byz. *s. v.* ‖ 11 *χρύσια* F ‖ 25 *ἐδωδίμῳ* M; *ἐδώδιμον* F ‖ *τοῦτο*] *τοιοῦτο* *K, Hertlein.*

*πάλιν. δυσχεραίνοντος δὲ καὶ λιμώττειν ὁμολογοῦντος ʻἀλλὰ γεωργίαν μὲν᾿ [εἶπεν] ʻκαὶ τέχνην πᾶσαν κατέλυσας· ἐκέλευες δ᾿ ὀρύσσειν ἄχρηστον χρυσίον, οὗ τί τοῖς ἀνθρώποις ὄφελος, εἰ μὴ τοὺς σπειρομένους καὶ φυτευομένους καρποὺς ἔχοιεν;᾿ τῇ σοφίᾳ τῆς γυναικὸς ἐδιδάχθη Πύθης καταλῦσαι μὲν τὴν τῶν μετάλλων ἐργασίαν, ἀφεῖναι δὲ τοὺς πολίτας ἐπὶ γεωργίαν καὶ τὰς ἄλλας τέχνας.*

## 43. ΧΡΥΣΑΜΗ.

*Τῆς Ἰωνικῆς ἀποικίας ἐς τὴν Ἀσίαν ἀφικομένης τοῖς Ἐρυθρὰς κατέχουσιν ἐπολέμει Κνῶπος τοῦ Κοδριδῶν γένους. ὁ θεὸς ἔχρησεν αὐτῷ στρατηγὸν παρὰ Θεσσαλῶν λαβεῖν τὴν ἱέρειαν τῆς Ἐνοδίας· ὁ δὲ πρεσβεύεται πρὸς Θεσσαλοὺς καὶ μηνύει τὸ λόγιον τοῦ θεοῦ. οἱ δὲ ἔπεμψαν αὐτῷ τὴν ἱέρειαν τῆς θεοῦ Χρυσάμην. αὕτη φαρμάκων ἔμπειρος οὖσα, ταῦρον ἐξ ἀγέλης μέγιστον καὶ κάλλιστον συλλαβοῦσα, τὰ μὲν κέρατα κατεχρύσωσε καὶ τὸ σῶμα κατεκόσμησε στέμμασι καὶ χρυσοπάστοις ἁλουργίσι καὶ μετὰ τῆς τροφῆς ἀναμίξασα μανιοποιὸν φάρμακον ἔδωκεν αὐτῷ φαγεῖν· τὸ δὲ φάρμακον αὐτόν τε τὸν ταῦρον ἐξέμηνε καὶ τοὺς γευσαμένους αὐτοῦ μανιουργεῖν ἔμελλεν. οἱ μὲν δὴ πολέμιοι ἀντεστρατοπέδευον, ἡ δὲ ἐν ὄψει τῶν πολεμίων βωμὸν παραθεῖσα καὶ ὅσα πρὸς θυσίαν, ἐκέλευσε προσάγειν τὸν ταῦρον. ὁ δὲ ὑπὸ τοῦ φαρμάκου μεμηνὼς καὶ οἰστρῶν ἐξεπήδησε καὶ μέγα μυκώμενος*

2 [*εἶπεν*] K ‖ 3 *οὗ τί* W; *οὔτε* F; *οὗ οὔτι* vulg. ‖ 4 *σπειρομένους* vulg.; *πειρωμένους* F ‖ 13 *ἱερίαν* (et sic semper) F ‖ 18 *καὶ τὸ*] *τὸ δὲ* K ‖ 22 *γευσαμένους* F] *γενομένους* M ‖ 23 *ἀντεστρατοπεδεύοντο* vulg.; cf. 3, 9, 52 ‖ 24 *παραθεῖσα* K; *παρατιθεῖσα* F ‖ *ἐκέλευσε* vulg.; *ἐκέλευε* F ‖ 26 *κυμώμενος* F pr.

ἔφυγεν. οἱ πολέμιοι χρυσόκερων κατεστεμμένον ὁρῶντες καὶ φερόμενον ἐς τὸ ἑαυτῶν στρατόπεδον ἀπὸ τῆς θυσίας τῶν ἐναντίων ὡς ἀγαθὸν σημεῖον καὶ οἰώνισμα αἴσιον ἐδέξαντο καὶ συλλαβόντες καλλιεροῦσι τοῖς θεοῖς καὶ τῶν κρεῶν ἕκαστος φιλοτίμως ἐδαίσαντο ὡς δαιμονίου καὶ θείας ἱερουργίας μεταλαγχάνοντες. αὐτίκα δὴ πᾶν τὸ στρατόπεδον ὑπὸ μανίας καὶ παραφροσύνης ἐξίστατο· πάντες ἀνεπήδων, διέθεον, ἀνεσκίρτων, τὰς φυλακὰς ἀπέλειπον. Χρυσάμη ταῦτα ἰδοῦσα τὸν Κνῶπον ἐκέλευσε διὰ τάχους ὁπλίσαι τὴν στρατιὰν καὶ τοῖς πολεμίοις ἐπάγειν ἀμύνασθαι μὴ δυναμένοις. οὕτω δὴ Κνῶπος ἀνελὼν ἅπαντας ἐκράτησε τῆς Ἐρυθραίων πόλεως μεγάλης τε καὶ εὐδαίμονος.

## 44. ΠΟΛΥΚΛΕΙΑ.

Ἐπὶ Βοιωτοὺς, οἳ πάλαι Θεσσαλίαν ᾤκουν, ἐστράτευσεν Αἴατος ὁ Φειδίππου Πολύκλειαν ἀδελφὴν ἔχων, Ἡρακλεῖδαι τὸ γένος ἄμφω. χρησμὸς ἦν ἄρξειν, ὃς ἂν ἐκ τοῦ γένους πρῶτος διαβὰς τὸν Ἀχελῷον ἐπιβῇ τῆς πολεμίας. ἡ μὲν στρατιὰ τὸν ποταμὸν διαβαίνειν ἔμελλε, Πολύκλεια δὲ τὸν πόδα ἐπιδησαμένη φάσκουσα τετρῶσθαι τὸ σφυρὸν παρακαλεῖ τὸν ἀδελφὸν Αἴατον διενεγκεῖν αὐτὴν ὑπὲρ τὸν ποταμόν. ὁ δὲ μηδὲν ὑποπτεύσας, ἀλλ᾽ ὡς ἀδελφῇ βουλόμενος ὑπουργῆσαι τὴν μὲν ἀσπίδα ἐπέδωκε τοῖς ὁπλοφόροις, τὴν δὲ Πολύκλειαν ἀράμενος ἐβάδιζε διὰ τοῦ ποταμοῦ προθύμως. ἡ δὲ γενομένου πλησίον τῆς ὄχθης φθάσασα ἐξήλατο

5 ἐδαίσαντο K; ἐδέξαντο F ‖ 9 ἀπέλειπον F] ἀπέλιπον vulg. ‖ 13 τε p vulg.; τέ τε F; τότε M ‖ 16 Φειδίππου Roth, coll. Hom. Il. 2, 678; Φιλίππου F ‖ 17 ἄρξειν, ὃς ἂν ἐκ Maasv.; ἄρξινος ἄνεκ F ‖ 22 αὐτὴν F] αὑτὴν vulg. ‖ 26 ἐξήλατο M; ἐξήλετο vulg.; ἐξείλετο F.

καὶ μεταστραφεῖσα πρὸς τὸν ἀδελφὸν ἔφη· ʽἐμὸν γέρας ἡ βασιλεία κατὰ τὸν τοῦ θεοῦ χρησμόν· πρώτη γὰρ ἁπάντων τῆς χώρας ἐπέβην.ʼ Αἴατος αἰσθόμενος τῆς ἀπάτης οὐκ ἐχαλέπηνεν, τὸ δὲ φρόνημα τῆς κόρης ἀγάμενος αὐτὴν ἔγημε· καὶ ὁμοῦ βασιλεύοντες παῖδα Θεσσαλὸν ἐποιήσαντο, ἀφʼ οὗ καὶ τὴν πόλιν Θεσσαλίαν προσηγόρευσαν.

### 45. ΛΕΑΙΝΑ.

Ἀριστογείτων καὶ Ἁρμόδιος πῶς ἐπέθεντο τοῖς 514 τυράννοις, οὐδεὶς Ἑλλήνων ἀγνοεῖ. Ἦν γοῦν Ἀριστογείτονι ἑταίρα, ὄνομα Λέαινα· Ἱππίας τὴν Λέαιναν συλλαβὼν ἐβασάνισεν ἐφʼ ᾧ τε ἐξειπεῖν τοὺς κοινωνήσαντας τῆς ἐπιθέσεως. ἡ δὲ πλεῖστον ὅσον ἀντεῖχεν, ἐκνικωμένη δὲ ὑπὸ τῶν βασάνων, ἵνα μὴ ἐξείποι, αὐτὴ τὴν αὑτῆς γλῶτταν ἀπέδακεν. Ἀθηναῖοι τὴν ἑταίραν τιμῆσαι θέλοντες αὐτὴν μὲν οὐκ ἔστησαν ἐν ἀκροπόλει, τὸ δὲ ζῷον λέαιναν χαλκῆν δημιουργήσαντες ἀνέθηκαν. εἴ τις ἀνῆλθεν εἰς ἀκρόπολιν, ἑώρακεν ἐν τῷ προπυλαίῳ λέαιναν χαλκῆν γλῶσσαν οὐκ ἔχουσαν, ὑπόμνημα τοῦ διηγήματος.

### 46. ΘΕΜΙΣΤΩ.

Θεμιστὼ Κρίθωνος Οἰανθίου θυγάτηρ. ταύτης ἦρα Φρικοδήμου τοῦ τυράννου παῖς Φίλων. ὁ τύ-

Cap. 45. Cf. R. Jacobi, Iahnii annal. 1873, p. 366 sq. et locos ibi laudatos.

4 *ἐχαλέπηνεν* F] *ἐχαλέπαινεν* M ‖ 10 *γοῦν* F] *γὰρ* M ‖ 12 *ἐβασάνιζεν* K ‖ *κοινωνήσοντας* F ‖ 13 *ἀντεῖχεν* vulg.; *ἀντεῖπεν* F ‖ 14 *αὐτὴν τὴν αὑτῆς* F ‖ 15 *ἀπέδακεν* Meursius; *ἀπέδωκεν* F ‖ 17 *τὴν λέαιναν* vulg. ‖ 18 *εἴ τις . . . διηγήματος* Hercher, Hermes 9, p. 113 interpolata esse censuit ‖ 19 *τὴν λέαιναν* vulg. ‖ 23 *ὁ* om. vulg.

ραννος ἐξήτει πρὸς γάμον τὴν κόρην. ὁ πατὴρ ἀντέλεγεν. ὁ τύραννος τοὺς υἱοὺς τοῦ Κρίθωνος ἀποσπάσας ἐν ὄψει τοῦ πατρὸς καὶ τῆς μητρὸς παρέβαλε θηρίοις πεινῶσι, τὴν δὲ κόρην ἀποσπάσας ἐπετέλει τὸν γάμον. Θεμιστὼ διὰ τὴν ἀνάγκην ὑποκριναμένη ξίφος εἰσεκόμισεν ὑπὸ τῷ χιτωνίσκῳ καὶ τὸν νυμφίον καθεύδοντα ἐν τῷ θαλάμῳ παρακλίνασα τὸν τράχηλον εὐκόλως ἀπέσφαξεν, ὡς μηδὲ φωνὴν τοῦ φονευομένου γενέσθαι. ταῦτα δὲ πάντα νύκτωρ λαθοῦσα, πάλιν ἐπὶ θάλασσαν κατελθοῦσα, ἀκάτιον εὑροῦσα, πνεύματος ἐπιτυχοῦσα, τὸ ἀπόγειον ἐκλύσασα, μόνη ἀναχθεῖσα κατέπλευσεν ἐς Ἑλίκην πόλιν τῆς Ἀχαΐας, ἔνθα Ποσειδῶνος ἱερὸν ἅγιον ἦν· τούτῳ προσέφυγεν ἱκέτις. Φρικόδημος τὸν ἕτερον τῶν υἱῶν, ἀδελφὸν τοῦ φονευθέντος, Ἡρακῶντα, ἔπεμψεν ἐξαιτήσοντα παρὰ τῶν Ἑλικέων τὴν κόρην. οἱ μὲν δὴ ἐξέδωκαν, ἐπεὶ δὲ ἀνήχθησαν, χειμὼν μέγας ἐξέωσε τὸ σκάφος ἐπὶ τὸ Ῥίον τῆς Ἀχαΐας· οὗ προσορμισαμένοις ἐπεφάνησαν ἡμιολίαι δύο Ἀκαρνάνων ἐχθρῶς ἐχόντων πρὸς τὸν τύραννον, οἳ τὸ σκάφος ἐξαψάμενοι κατῆγον ἐς Ἀκαρνανίαν. τὸ πλῆθος τῶν Ἀκαρνάνων μαθόντες τὰ πεπραγμένα οἰκτείρουσι τὴν κόρην καὶ τὸν Ἡρακῶντα δήσαντες αὐτῇ παρέδωκαν. ὁ τύραννος πρεσβεύεται πρὸς αὐτὴν ὑπὲρ τοῦ παιδός, ἡ δέ, εἰ τοὺς γονέας ἀπολάβοι, τότε ἀποδώσειν τὸν υἱὸν ἐπηγγείλατο. Φρικόδημος πιστεύσας ἐξέπεμψεν αὐτῇ τοὺς γονέας, οἱ δὲ Ἀκαρνᾶνες οὐδὲν

5 τὸν M; πρὸς F ‖ 11 ἐκλύσασα scripsi; ἑλκύσασα F; λύσασα Hercher, Hermes 9, p. 113 ‖ 12 Ἑλίκην Maasv.; Ἑλληνικὴν F ‖ 15 Ἡρακῶντα scribendum esse ostendit K. Keil, Iahnii annal. suppl. 4, p. 633 ex inscriptione Boeotica coll. C. I. G. I, p. 502 (n. 654, v. 5); ηρακωντα F; Ἡράκοντα vulg. ‖ Ἑλικέων Hercher, *Hermes 9, p. 113*; Ἑλικαίων F ‖ 20 κατήγαγον K ‖ Ἀκαρνίαν F.

ἔλαττον τὸν Ἡρακῶντα αἰκισάμενοι πικρῶς ἀπέκτειναν. τὸν δὲ Φρικόδημον οὐ μετὰ πολλὰς ἡμέρας οἱ πολῖται διέφθειραν. οἱ δὲ τὴν Ἑλίκην οἰκοῦντες οὐκ εἰς μακρὰν κατεπόθησαν αὐτοί τε καὶ ἡ πόλις, τῆς μὲν γῆς σεισθείσης, τοῦ δὲ πελάγους ἐπικλύσαντος. ἔδοξε τὸ μήνιμα γενέσθαι τοῦ Ποσειδῶνος, ὅτι τὴν ἱκέτιν αὐτοῦ παρθένον τοῖς πολεμίοις ἐξέδωκαν.

## 47. ΦΕΡΕΤΙΜΑ.

Ἀρκεσίλαος Βάττου Κυρηναίων βασιλέως καταστασιασθεὶς ὑπὸ τοῦ πλήθους ἐξέπεσε τῆς ἀρχῆς· ἡ δὲ μήτηρ αὐτοῦ Φερετίμα πρὸς Εὐέλθοντα βασιλέα Σαλαμῖνος τῆς ἐν Κύπρῳ πλεύσασα ἱκέτευσεν αἰτουμένη συμμαχίαν. ὁ μὲν Κύπριος τῆς ἱκεσίας ἠμέλησεν, ἐν δὲ τῷ τέως Ἀρκεσίλαος Ἑλλήνων συμμάχων εὐπορήσας, κατελθὼν, τὴν ἀρχὴν ἀναλαβὼν, πικρῶς τιμωρούμενος τοὺς λελυπηκότας ὑπὸ τῶν ὁμόρων Βαρκαίων ἀνῃρέθη. Φερετίμα πρὸς τὸ δεινὸν οὐκ ἀπηγόρευσεν, ἀλλὰ ὡς τὸν Αἰγύπτου σατράπην Ἀρυάνδην καταφυγοῦσα καί τινας εὐεργεσίας ἐς Καμβύσην προβαλομένη, πολλὴν δύναμιν πεζικὴν καὶ ναυτικὴν συλλαβοῦσα, προσβαλοῦσα τοῖς Κυρηναίοις ἀνυπόστατος ἐγένετο, ὥστε καὶ δίκας ὑπὲρ τοῦ παιδὸς λαβεῖν καὶ τῷ γένει τὴν ἀρχὴν ἀπολαβεῖν.

---

Cap. 47. Cf. Herodot. 4, 162—167; Anonym. ap. Westerm. Paradoxogr. p. 216. — Knott, de fide ac fontibus Polyaeni, p. 66 sq.

---

1 *ηρακωντα* $F_1$ *ἡράκοντα* $F_2$ vulg. ‖ 6 *ἱκέτιν* Cas., K ex V *supplicem; ἱκετείαν* F ‖ 9 *Κυρηναίων* K; *Κυρηναίου* F; *τοῦ Κυρηναίου* vulg. ‖ 11 *Εὐέλθοντα* Cas. ex Herod.; *προελθόντα* F ‖ 16 *Βαρκαίων* scripsi (cf. J. p. 478); *βαρβάρων* F ‖ 19 *προβαλλομένη* vulg. ‖ 20 *λαβοῦσα* K.

## 48. ΑΞΙΟΘΕΑ.

310 *Ἀξιοθέα Νικοκλέους γυνὴ Κυπρίων βασιλέως πολλῶν ἡκόντων παρὰ Πτολεμαίου βασιλέως Αἰγύπτου καταλυσόντων τὴν ἀρχήν, ἐπειδὴ Νικοκλῆς μὲν αὐτὸν ἀνεκρέμασεν, οἱ δὲ ἀδελφοὶ αὐτοῦ σφᾶς αὐτοὺς κατέσφαξαν, αὕτη τὰς τῶν τετελευτηκότων ἀρετὰς ἐζήλωσε· καὶ τάς τε ἀδελφὰς αὐτῶν καὶ μητέρας καὶ γυναῖκας συγκαλέσασα ἔπεισε μηδὲν ἀνάξιον ὑπομεῖναι τοῦ γένους. αἱ δὲ πεισθεῖσαι συνέκλεισαν μὲν ἀσφαλῶς τῆς γυναικωνίτιδος τὰς θύρας, ἀναδραμοῦσαι δὲ ἐπὶ τὰ στέγη, τοῦ πλήθους τῶν πολιτῶν συνδεδραμηκότος, τὰ μὲν τέκνα φερόμενα ἐν ταῖς ἀγκάλαις ἀπέσφαξαν, πῦρ δὲ ἐνεῖσαι τοῖς ὀρόφοις, αἱ μὲν τοῖς ξίφεσιν αὑτὰς διεχρήσαντο, αἱ δὲ εὐθαρσῶς τῇ φλογὶ προστρέχουσαι διεφθείροντο. Ἀξιοθέα δὲ στρατηγὸς ἦν ἐν τοῖς δεινοῖς ἀρίστη· ὅτε γὰρ εἶδεν εὐγενῶς ἁπάσας κειμένας, τότε καὶ αὐτὴ τὸ ξίφος καθεῖσα διὰ τῆς σφαγῆς αὑτὴν ἔρριψεν ἐς τὴν φλόγα, ἵνα μηδὲ νεκροῦ τοῦ σώματος οἱ πολέμιοι κρατήσωσιν.*

## 49. ΑΡΧΙΔΑΜΙΣ.

272 *Πύρρος Ἠπειρώτης ἐστράτευσεν ἐπὶ Λακεδαίμονα. μάχης ἰσχυρᾶς πρὸ τῆς πόλεως γενομένης ἀναχωρήσαντες οἱ Λάκωνες ἐβουλεύσαντο παῖδας μὲν καὶ γυναῖκας ἐς Κρήτην ὑπεκθέσθαι, αὐτοὶ δὲ κινδυνεύειν μέχρι*

---

Cap. 48. Cf. Diod. 20, 21. — Droysen II, 2, p. 80 sq.
Cap. 49. Cf. Plut. Pyrrh. 27; Iustin. 25, 4, 6. — Droysen III, 1, p. 210.

---

12 *φερόμενα* F] *φερόμεναι* K ‖ 18 *τοῦ* om. vulg. ‖ 20 *Ἀρχιδαμία Plut.* Pyrrh. 27, Agis 20 ‖ 24 *κινδυνεύσειν* K.

νίκης ἢ θανάτου. Ἀρχίδαμις Κλεάδα βασιλέως θυγάτηρ ἀντεῖπε τῇ γνώμῃ, ὡς καλὸν ταῖς Λακαίναις μετὰ τῶν ἀνδρῶν ἀποθανεῖν ἢ ζῆν μετ' αὐτῶν. καὶ δὴ πρὸς αὐτὰς ἐνείμαντο τὰ ἔργα τοῦ πολέμου· ἐτάφρευον, ὤρυττον, ὅπλα προσέφερον, δόρατα ἔθηγον, τοὺς τιτρωσκομένους ἐθεράπευον, ὥστε καὶ οἱ Λάκωνες εὐτολμότεροι πρὸς τὸν ἀγῶνα ἐγένοντο τὴν ἀνδρίαν τῶν γυναικῶν ὁρῶντες καὶ τὸν Πύρρον ἀπεκρούσαντο.

## 50. ΛΑΟΔΙΚΗ.

Ἀντίοχος ὁ προσαγορευθεὶς Θεὸς ἔγημε Λαοδίκην 247
ὁμοπάτριον ἀδελφήν, ἐξ ἧς αὐτῷ παῖς ἐγένετο Σέλευκος. δευτέραν ἔγημε Βερενίκην, Πτολεμαίου βασιλέως θυγατέρα, ἐξ ἧς ἀπολιπὼν παῖδα νήπιον ἐτελεύτησε διάδοχον τῆς ἀρχῆς ἀποδείξας Σέλευκον. Λαοδίκη τὸν ἐκ τῆς Βερενίκης ὑποτρεφόμενον ἀναιρεθῆναι διεπράξατο. Βερενίκη προῆλθεν ἐς τὸ πλῆθος ἱκέτις ἔλεον καὶ βοήθειαν παρὰ τῶν ἀρχομένων αἰτουμένη. οἱ δὲ τὸν παῖδα πεφονευκότες ἕτερον ἐπιεικῶς ὅμοιον προήγαγον ἐς τὸ πλῆθος, ὡς αὐτὸν ἐκεῖνον ὄντα, περιστήσαντες αὐτῷ τὴν βασιλικὴν δορυφορίαν· τῇ δὲ Βερενίκῃ φυλακὴν μισθοφόρων Γαλατῶν ἐπέστησαν καὶ τόπον ἔδωκαν τῶν βασιλείων ὀχυρώτατον καὶ ὅρκους

Cap. 50. Cf. Iustin. 27, 1. — Droysen III, 1, p. 377 sq. et not. p. 378.

1 *Κλεάδα* F] *Κλεομένους* Manso, Sparta, p. 254 et Droysen l. l., sed cf. Knott, de fide et font. Polyaeni, p. 80 sq. ‖ 2 *ὡς καλὸν* F] *καὶ καλὸν* [*ἔφη*] vulg., Cas. ‖ 4 *αὐτοὺς* F ‖ 7 *εὐτολμώτεροι* F ‖ 11 *ὁμοπάτριον* scripsi cum W; *ὁμοπατρίαν* F; erat tamen filia Achaei, cf. Müller, fr. hist. gr. III, p. 707; Droysen III, 1, p. 349, not. 1; eundem de Lagidarum regno p. 10 ‖ 12 *Βερενίκη* et *Βερονίκη* F promiscue ‖ 15 *ὑποστρεφόμενον* F ‖ 17 *ἀρχουμένων* F ‖ 22 *ὀχυρότατον* F.

*καὶ συνθήκας ἐσπείσαντο. Ἀριστάρχου δὲ ἰατροῦ Βερενίκῃ συνόντος καὶ πείσαντος αὐτὴν συνθέσθαι ἡ μὲν ἐπίστευσεν, οἱ δὲ τῷ ὅρκῳ στρατηγήματι χρησάμενοι τὴν Βερενίκην αὐτίκα προσπεσόντες ἔκτειναν. αἱ δὲ ἀμφ' αὐτὴν γυναῖκες ὑπερασπίζουσαι προσαπέθανον αἱ πλείονες, Παναρίστη δὲ καὶ Μανία καὶ Γηθοσύνη τὸ σῶμα τῆς Βερενίκης κρύψασαι κατὰ γῆν ἑτέραν κατέκλιναν ὡς ἐκείνην ἔτι ζῶσαν καὶ τὸ τραῦμα θεραπευομένην ὑπὸ τούτων. καὶ ἐπὶ τοσοῦτον ἔπεισαν τοὺς ὑπηκόους, ἐφ' ὅσον μεταπεμφθεὶς ὑπ' αὐτῶν Πτολεμαῖος ἧκεν ὁ πατὴρ τῆς ἀνηρημένης καὶ διαπέμπων ἀπὸ τῆς προσηγορίας τοῦ πεφονευμένου παιδὸς καὶ τῆς ἀνηρημένης Βερενίκης ὡς ἔτι ζώντων ἐπιστολὰς ἀπὸ τοῦ Ταύρου μέχρι τῆς Ἰνδικῆς χωρὶς πολέμου καὶ μάχης ἐκράτησε τῷ στρατηγήματι τῆς Παναρίστης χρησάμενος.*

## 51. ΘΕΑΝΩ.

466 *Θεανὼ Παυσανίου μήτηρ, ἡνίκα Παυσανίας μηδίζων ἁλοὺς κατέφυγεν ἱκέτης ἐς τὸ ἱερὸν τῆς Ἀθηνᾶς τῆς Χαλκιοίκου, ὅθεν ἀποσπάσαι τὸν ἱκέτην οὐκ ἦν θέμις, αὕτη πρὸ τῶν ἄλλων ἀφικομένη πλίνθον πρὸς ταῖς θύραις ἀπηρείσατο. οἱ Λάκωνες θαυμάσαντες τὴν ἀνδρίαν ὁμοῦ καὶ τὴν σοφίαν ἕκαστος πλίνθον ἐνήρμοσε ταῖς θύραις, ὥστε ἄμφω γενέσθαι, οὔτε τὸν ἱκέτην ἀπέσπασαν καὶ τὸν προδότην ἐναποικοδομήσαντες διέφθειραν.*

---

Cap. 51. Cf. Diod. 11, 45; Nep. Paus. 5. — De tempore cf. Duncker, Gesch. d. Altert. VIII, p. 166, not. 1.

---

7 *κατὰ γῆς* Patakis ‖ 9 *ὑπὸ* K; *ἀπὸ* F ‖ 10 *ὑπ'* K; *ἀπ'* F ‖ *18 μειδίζων* F ‖ 20 *τὸν* om. D, K ‖ 23 *ἀνδρείαν* vulg.

## 52. ΔΗΙΔΑΜΕΙΑ.

*Δηϊδάμεια Πύρρου θυγάτηρ Ἀμβρακίαν κατα-* 235
*λαβομένη, τιμωρῆσαι Πτολεμαίῳ δολοφονηθέντι προελομένη, πρεσβευσαμένων Ἠπειρωτῶν τὸν πόλεμον κατέθετο ἐπὶ τῷ τὸν κλῆρον καὶ τὰς τιμὰς τῶν προγόνων ἔχειν. καὶ λαβοῦσα πίστεις ἐξηπατήθη· συνταξάμενοι γὰρ τῶν Ἠπειρωτῶν τινὲς Νέστορα τῶν Ἀλεξάνδρου σωματοφυλάκων ἀναιρήσοντα αὐτὴν εἰσέπεμψαν. ὁ δὲ κάτω νεύσασαν αἰδεσθεὶς καὶ καταπλαγεὶς ἀνέστρεψεν. ἡ δὲ κατέφυγεν ἐς τὸ ἱερὸν τῆς Ἡγεμόνης Ἀρτέμιδος, Μίλων δὲ αἰτίαν ἔχων ὡς τὴν αὑτοῦ μητέρα Φιλωτέραν ἀποκτείνας ὥρμησεν ἐπ' αὐτὴν ὡπλισμένος. ἡ δὲ ἀνεβόησεν·*

*'ὁ μητροφόντης ἐπὶ φόνῳ πράσσει φόνον.'*

*τοῦτο μόνον αὐτὴν ἐκβοήσασαν ὁ Μίλων ἀπέκτεινεν ἐν τῷ τεμένει τῆς θεοῦ.*

## 53. ΑΡΤΕΜΙΣΙΑ.

*Ἀρτεμισία περὶ Σαλαμῖνα συνεναυμάχει [Ξέρξῃ]·* 1 480
*τοὺς Πέρσας ἤδη φεύγοντας οἱ Ἕλληνες ἐδίωκον. ἡ δὲ [ἤδη] καταλαμβανομένη προσέταξε τοῖς μὲν ἐπιβάταις ἀφελεῖν τῆς νεὼς τὰ σημεῖα τὰ Περσικά, τῷ κυβερνήτῃ δέ, ἐμβαλεῖν εἰς τὴν ναῦν τὴν προπλέουσαν Περσικήν. οἱ Ἕλληνες ταῦτα ὁρῶντες, οἰηθέντες μίαν*

---

Cap. 52. Cf. Iustin. 28, 3.
Cap. 53. Cf. Herod. 8, 87 sq. — J. p. 480—483.

---

1 *Δηϊδάμεια* F] *Laudamia* Iustin. l. l. ‖ 3 *δολοφονηθέντι* W coll. 8, 39; *δόλῳ φονευθέντι* vulg.; *δούλῳ φονευθέντι* F ‖ 6 *πίστις* F ‖ 14 Cf. Euripid. Orest. v. 1587 ‖ 17. 18 *Ἀρτεμησία* F ‖ 18 *Σαλαμῆνα* F ‖ [*Ξέρξῃ*] W coll. infra § 5 ‖ 19 *τοῖς Πέρσαις, οὓς ἤδη* etc. K ‖ 20 [*ἤδη*] ins. W coll. 1, 39, 4. 3, 4, 3. 4, 8, 1 ‖ 22 *ἐμβαλεῖν* Patakis; *ἐπιβαλεῖν* F.

*εἶναι τῶν συμμαχίδων νεῶν, ἀπολιπόντες ταύτην ἐπὶ τὰς ἄλλας ἐτράποντο, Ἀρτεμισία δὲ τὸν κίνδυνον [τὸν] ἐπικείμενον ἐκφυγοῦσα εἰς Καρίαν ἀποπλέουσα ᾤχετο.*

480 2 *Ἀρτεμισία Λυγδάμιδος κατέδυσε ναῦν συμμαχίδα* c. 53,
*Καλυνδίδα καὶ τριήραρχον Δαμασίθυμον. ἔπεμψεν αὐτῇ βασιλεὺς ἀριστεῖον πανοπλίαν Ἑλληνικήν, τῷ δὲ ναυάρχῳ τοῦ στόλου ἄτρακτον καὶ ἠλακάτην.*

480 3 *Ἀρτεμισία τριηραρχοῦσα νεὼς μακρᾶς οὐ μονον τὸ τῶν βαρβάρων, ἀλλὰ καὶ τὸ τῶν Ἑλλήνων σημεῖον εἶχεν. εἰ μὲν ἐδίωκεν αὐτὴ ναῦν Ἑλληνίδα, τὸ βαρβαρικὸν ἀνέτεινε σημεῖον, εἰ δὲ ὑπὸ Ἑλληνίδος νεὼς ἐδιώκετο, ἀνέτεινε τὸ Ἑλληνικόν, ἵνα οἱ διώκοντες ὡς Ἑλληνικῆς νεὼς ἀπέχωνται.*

352—349 4 *Ἀρτεμισία Λάτμον κατελάβετο τὴν μὲν ὡπλισμένην δύναμιν ἀποκρυψαμένη, αὐτὴ δὲ μετὰ εὐνούχων καὶ γυναικῶν καὶ αὐλητῶν καὶ τυμπανιστῶν ἐς τὸ ἄλσος τῆς Μητρὸς τῶν θεῶν ἀπέχον τῆς πόλεως ἑπτὰ στάδια παρῆλθεν ὀργιάζουσα. τῶν δὲ Λατμίων προελθόντων καὶ τὴν εὐσέβειαν αὐτῆς θεωμένων καὶ θαυμαζόντων οἱ ἀποκεκρυμμένοι ἐξαναστάντες κατελάβοντο τὴν πόλιν κρατήσαντες αὐλοῖς καὶ τυμπάνοις, ἧς οὐκ ἐκράτησαν τοῖς ὅπλοις.*

480 5 *Ἀρτεμισία βασιλεύουσα Καρίας Ξέρξῃ βασιλεῖ συνεμάχησε κατὰ τῶν Ἑλλήνων, ὥστε καὶ τὰ ἀριστεῖα*

---

Cap. 53. § 2. Cf. Anon. ap. Westerm. Paradox. p. 217.
Cap. 53. § 4. Cf. supra 7, 23, 2. — J. p. 470 sq.
Cap. 53. § 5. Cf. Herod. 8, 88; Iustin. 2, 12.

---

2 [*τὸν*] Hertlein, Iahnii annal., 1867, p. 607 ‖ 5 *Δαμασίθυμον* Herod.; *Θαυμασίουμον* F ‖ 6 *αὐτῇ* H; om. F ‖ *ἀριστεῖον* H; *ἀριστείων* F ‖ *δὲ* H; om. F ‖ 7 *ἠλεκάτην* F ‖ 20 *ἐξαναστάντες* Hertlein; *ἐπαναστάντες* F ‖ 22 *τοῖς* om. vulg.

τῆς ἐν Σαλαμῖνι ναυμαχίας ταύτῃ βασιλεὺς ἔδωκεν. καὶ ἐν αὐτῷ δὲ τῷ καιρῷ τοῦ ναυμαχεῖν βασιλεὺς ὁρῶν τὴν μὲν γενναίως ἀγωνιζομένην, τοὺς δὲ ἄνδρας ἀγεννῶς ἀνεβόησεν· ‛ὦ Ζεῦ, τοὺς μὲν ἄνδρας γυναῖκας πεποίηκας, τὰς δὲ γυναῖκας ἄνδρας’.

## 54. ΜΑΝΙΑ.

Μανία γυνὴ Ζήνιδος ἄρχοντος τῶν περὶ Δάρ- 399
δανον πόλεων νόσῳ τελευτήσαντος τοῦ ἀνδρὸς αὐτὴ κατέσχε τὴν ἀρχὴν Φαρναβάζῳ χρησαμένη συμμάχῳ· αὐτὴ δὲ καὶ ἐπὶ τὰς μάχας ἐπὶ ἁρμαμάξης ἐπορεύετο καὶ τὰ παραγγέλματα ἐδίδου τοῖς μαχομένοις καὶ διέταττε τὰς τάξεις καὶ τὰ τῆς νίκης ἆθλα κατὰ τὴν ἀξίαν διένεμε τοῖς στρατιώταις. πολέμιος μὲν οὐδεὶς ἐκράτησεν αὐτῆς, ὁ δὲ τὴν θυγατέρα (πρὸς) αὐτῆς πρὸς γάμον λαβὼν Μειδίας, πιστὸς εἶναι διὰ τὸ κῆδος δοκῶν, ὑπεισελθὼν αὐτὴν διεχρήσατο.

## 55. ΤΙΡΓΑΤΑΩ.

Τιργαταὼ Μαιῶτις ἐγήματο Ἑκαταίῳ βασιλεῖ Σίνδων, οἳ νέμονται μικρὸν ἄνω Βοσπόρου. τοῦτον τὸν Ἑκαταῖον ἐκπεσόντα τῆς ἀρχῆς κατήγαγε Σάτυρος ὁ Βοσπόρου τύραννος καὶ τὴν ἑαυτοῦ θυγατέρα πρὸς γάμον ἐξέδωκεν ἀξιώσας τὴν προτέραν ἀποκτεῖναι. ὁ δὲ τὴν Μαιῶτιν στέργων ἀνελεῖν μὲν οὐχ ὑπέμεινεν, ἐς ὀχυρὸν δὲ φρούριον καθείρξας ἐκέλευσε διάγειν φρουρουμένην·

---

Cap. 54. Cf. Xenoph. Hellen. 3, 1, 10 sqq.

---

6. 7 *Μανία* Cas. ex Xenoph.; *Τανία* F; *Φανία* M ‖ 10 *αὔτη* F ‖ 14 (*πρὸς*) secl. vulg. ‖ 16 *ὑπεισελθὼν clam ingressus* V; *ἐπεισελθὼν* F ‖ 18 *ἐγείματο* vulg. ‖ *Σίνδων* Cas.; *Σίντων* F ‖ 20 *ἑκάτεον* F.

ἡ δὲ Τιργαταὼ λαθοῦσα τοὺς φύλακας διέδρα. τῶν δὲ περὶ τὸν Ἑκαταῖον καὶ τὸν Σάτυρον πολλῇ σπουδῇ ζητούντων — ἐδεδοίκεσαν γάρ, μὴ κινήσῃ τοὺς Μαιώτας ἐς πόλεμον — οὐ μὴν εὑρεῖν δυνηθέντων, ἡ Μαιῶτις ἐρήμους καὶ τραχείας ὁδοὺς ὑπερβάλλουσα καὶ μεθ' ἡμέραν μὲν ἐν ταῖς ὕλαις κρυπτομένη, ταῖς δὲ νυξὶ βαδίζουσα τέλος ἧκεν εἰς τοὺς καλουμένους Ἰξομάτας, ἔνθα ἦν αὐτῆς τὰ βασίλεια τῶν οἰκείων. τὸν μὲν δὴ πατέρα τετελευτηκότα κατέλαβε, τῷ δὲ διαδεξαμένῳ τὴν ἀρχὴν συνοικήσασα τοὺς Ἰξομάτας εἰς πόλεμον ἐκίνησε. καὶ πολλὰ μὲν τῶν περὶ Μαιῶτιν μαχίμων ἐθνῶν προσήγετο, μάλιστα δὲ τὴν Ἑκαταίου Σινδικὴν κατέτρεχε καὶ Σατύρου τὴν ἀρχὴν ἐλυμαίνετο, ὥστε ἱκετηρίας ἀμφότεροι πέμψαντες καὶ ὅμηρον δόντες παῖδα Σατύρου Μητρόδωρον ἐδεήθησαν εἰρήνης τυχεῖν. ἡ δὲ συνέθετο μέν, οὐ μὴν οἵ γε συνθέμενοι τοὺς ὅρκους ἐφύλαξαν. ὁ γὰρ δὴ Σάτυρος ἔπεισε δύο φίλους ἱκέτας καταφυγόντας πρὸς αὐτὴν ἐπιβουλεῦσαι. οἱ μὲν κατέφυγον, ὁ δὲ Σάτυρος ἐξῄτει· ἡ δὲ τὸν τῆς ἱκεσίας νόμον τιμῶσα πολλάκις ἀντέγραφε σωτηρίαν πράττουσα τοῖς ἱκέταις. οἱ δὲ ἐπέθεντο, ὁ μὲν ὡς περὶ μεγάλων αὐτῇ διαλεγόμενος πραγμάτων, ὁ δὲ σπασάμενος τὸ ξίφος ἀπέτυχε τῆς ἐπιβουλῆς τοῦ ζωστῆρος ἀποδεξαμένου τὴν πληγήν. οἱ δορυφόροι συνδραμόντες ἀμφοτέρους ἐβασάνισαν. οἱ δὲ τὴν ἐπιβουλὴν

1 *τῶν* vulg.; *τὸν* F ‖ 5 *ὑπερβάλουσα* F, corr. vulg. ‖ 7 *Ἰξομάτας* F ut Ammian. Marc. 22, 8, 31; *Exomatae* Val. Flacc. 6, 144. 146. 569; *Examatae* vel *Ixamatae* Pomp. Mela 1, 19, 13; *Ἰξιβάται* Hecataeus ap. Steph. Byz.; *Ἰαζαβάται* vel *Ἰαζαμάται* Ephor. ap. Steph. Byz., Scymn. et Peripl. Anonymi; *Ἰαξαμάται* Demetrius Callatianus ap. Scymn. 880, Ptolem. geogr. 5, 9. 16, 17 ‖ 10 *συνοικήσασαν* F ‖ 12 *Σινδικὴν* Cas.; *Σιντικὴν* F ‖ 19 *ἐξῄτει* vulg. ‖ 21 *πράττουσαν* F.

ὡμολόγησαν τοῦ καθεικότος τυράννου. πάλιν ἡ Τιργαταὼ τὸν πόλεμον ἐξήνεγκε τὸν ὅμηρον ἀποκτείνασα καὶ πάντων τῶν δεινῶν ἁρπαγῆς καὶ φόνου πληροῦσα τὴν χώραν, ἕως αὐτὸς μὲν ὁ Σάτυρος ἀθυμήσας ἐτελεύτησε, Γόργιππος δὲ υἱὸς αὐτοῦ τὴν ἀρχὴν διαδεξάμενος ἱκέτης αὐτὸς ἐλθὼν καὶ δῶρα δοὺς αὐτῇ μέγιστα τὸν πόλεμον διελύσατο.

## 56. ΑΜΑΓΗ.

Ἀμάγη γυνὴ Μηδοσάκκου βασιλέως Σαρματῶν τῶν ἐπὶ τὴν Ποντικὴν παραλίαν καθηκόντων ὁρῶσα τὸν ἄνδρα τρυφῇ προσέχοντα καὶ μέθῃ αὐτὴ μὲν τα πολλὰ ἐδίκαζεν, αὐτὴ δὲ καὶ τὰς φυλακὰς τῆς χώρας καθίστατο καὶ τὰς ἐπιδρομὰς τῶν πολεμίων ἀνέστελλε καὶ τοῖς ἀδικουμένοις τῶν προσοίκων συνεμάχει. καὶ τὸ κλέος αὐτῆς λαμπρὸν ἦν ἀνὰ πάντας τοὺς Σκύθας, ὥστε καὶ οἱ [τὴν] Ταυρικὴν κατοικοῦντες Χερρονησῖται κακῶς πάσχοντες ὑπὸ τοῦ βασιλέως τῶν παρακειμένων Σκυθῶν ἐδεήθησαν αὐτῆς γενέσθαι σύμμαχοι. ἡ δὲ τὸ μὲν πρῶτον ἐπέστειλεν ἀπέχεσθαι Χερρονήσου κελεύουσα, ὡς δὲ κατεφρόνησεν ὁ Σκύθης, παραλαβοῦσα ἑκατὸν εἴκοσιν ἄνδρας τοὺς ψυχὴν καὶ σῶμα ἀλκιμωτάτους, τρεῖς ἵππους ἑκάστῳ παραδοῦσα διέδραμε νυκτὸς μιᾶς καὶ ἡμέρας χίλια καὶ διακόσια στάδια καὶ τοῖς βασιλείοις ἐξαίφνης ἐπιστᾶσα τοὺς μὲν ἐπὶ θυρῶν ἅπαντας ἀπέκτεινε, τῶν δὲ Σκυθῶν ὡς ἐν ἀπροσδοκήτῳ δεινῷ ταραχθέντων καὶ νομισάντων οὐχ ὅσους ἔβλεπον ἥκειν, ἀλλὰ πολλῷ πλείονας εἶναι τοὺς ἐπερχομένους, Ἀμάγη μεθ' ἧς εἶχεν ὁρμῆς ἐς τὸ βασίλειον

---

1 καθεικότος K; καθήκοντος F ‖ 3 τῶν del. K ‖ 8 Ἀμόργη coni. Roth ‖ 16 [τὴν] K ‖ 18 αὐτοῖς γενέσθαι σύμμαχον Pataki.

*ἐμπεσοῦσα τὸν Σκύθην καὶ τοὺς συνόντας αὐτῷ συγγενεῖς καὶ φίλους ἀποκτείνασα Χερρονησίταις μὲν ἀπέδωκε τὴν χώραν, τῷ δὲ παιδὶ τοῦ πεφονευμένου τὴν βασιλείαν ἐνεχείρισε παρεγγυήσασα δικαίως ἄρχειν καὶ ἀπέχεσθαι τῶν προσοικούντων Ἑλλήνων καὶ βαρβάρων ὁρῶντα τὸ τέλος τοῦ πατρός.*

## 57. ΑΡΣΙΝΟΗ.

281 *Ἀρσινόη Λυσιμάχου τοῦ ἀνδρὸς τελευτήσαντος* c. 52,
*μεγάλης ταραχῆς οὔσης ἐν Ἐφέσῳ καὶ τῶν σελευκιζόντων τὰ τείχη καταβαλλόντων καὶ τὰς πύλας ἀνοιγόντων εἰς μὲν τὸ φορεῖον τὸ βασιλικὸν κατέκλινε θεράπαιναν στολὴν περιθεῖσα βασιλικὴν καὶ περιέστησε πολλοὺς τῶν ὑπασπιστῶν, αὐτὴ δὲ περιβαλομένη ῥάκια καὶ προσωπεῖον ἐρρυπωμένον καθ' ἑτέραν θύραν ἐξῆλθε μόνη καὶ δραμοῦσα ἐπὶ τὰς ναῦς ἀπέπλευσε. Μενεκράτης, εἷς τῶν ἡγεμόνων, τῷ φορείῳ προσπεσὼν κατεκέντησε τὴν θεράπαιναν οἰόμενος Ἀρσινόην φονεύειν.*

## 58. ΚΡΑΤΗΣΙΠΟΛΙΣ.

308 *Κρατησίπολις Πτολεμαίῳ τὸν Ἀκροκόρινθον ἐνδοῦναι βουλομένη φυλαττόμενον ὑπὸ μισθοφόρων, οἳ πολλάκις ἔπειθον αὐτὴν χρῆναι φυλάττειν τὸν τόπον, ἐπαινέσασα αὐτοὺς ὡς ἀνδρείους καὶ πιστούς, ἀλλὰ*

---

Cap. 57. Cf. Droysen II, 2, p. 330 et eundem, Hermes 11, p. 464 sq., Zu Duris u. Hieronymus.
Cap. 58. Cf. Diod. 20, 37, 1. — Droysen II, 2, p. 86.

---

1 *τὸν Σκύθην* m; *τῶν Σκυθῶν* F ‖ 2 *Χερρονησίταις* F ‖ 10 *καταβαλόντων* F ‖ 14 *ῥερυπωμένον* F; corr. vulg. ‖ 15 *ἀπέπλευσε* K; *ἔπλευσε* F ‖ 17 *κατεκέντισεν* F ‖ 21 *ὑπὸ* K; *ἀπὸ* F.

*καὶ ἀπὸ Σικυῶνος ἔφη μεταπέμψεσθαι συμμάχους, οἳ μετ' αὐτῶν ἀσφαλέστερον φυλάξουσιν. ἔπεμψε μὲν πρὸς Σικυωνίους φανερῶς, κρύφα δὲ πρὸς Πτολεμαῖον, καὶ τοὺς παρ' αὐτοῦ στρατιώτας νύκτωρ ἥκοντας ὡς τοὺς ἀπὸ Σικυῶνος συμμάχους ἐδέξατο. καὶ παρέλαβε Πτολεμαῖος Ἀκροκόρινθον ἀκόντων τῶν φυλασσόντων.*

### 59. ΙΕΡΕΙΑ.

*Αἰτωλοὶ Πελληνεῦσιν ἐπεστράτευον. πρὸ τῆς Πελλήνης ὄχθος ἐστὶν ὑψηλὸς ἀντικρὺ τῆς ἀκροπόλεως, ἐφ' ὃν οἱ Πελληνεῖς συνελθόντες ὡπλίζοντο. τῆς Ἀθηνᾶς ἱέρεια κατά τι νόμιμον ἐκείνης τῆς ἡμέρας πανοπλίαν ἔχουσα καὶ τρίλοφον κράνος, ἡ καλλίστη καὶ μεγίστη τῶν παρθένων, ἀπὸ τῆς ἀκροπόλεως ἀπέβλεπεν ἐς τὸ πλῆθος τῶν ὁπλιζομένων πολιτῶν. Αἰτωλοὶ παρθένον ὡπλισμένην ἐκ τοῦ ἱεροῦ τῆς Ἀθηνᾶς προελθοῦσαν ἰδόντες αὐτὴν τὴν Ἀθηνᾶν σύμμαχον ἥκειν Πελληνεῦσι νομίσαντες ἀνέστρεψαν, Πελληνεῖς δὲ ἐπιδιώξαντες οὐκ ὀλίγους Αἰτωλῶν ἔκτειναν.*

### 60. ΚΥΝΝΑ.

*Κύννα Φιλίππου θυγάτηρ τὰ πολεμικὰ ἤσκει καὶ στρατοπέδων ἡγεῖτο καὶ πολεμίοις παρετάσσετο· καὶ*

---

Cap. 59. Cf. Plut. Arat. 32. — Droysen III, 1, p. 433 et not. 1.
Cap. 60. Cf. J. p. 659.

---

1 *μεταπέμψεσθαι* vulg.; *μεταπέμψασθαι* F ‖ 4 *αὐτοῦ* vulg.; *αὐτῷ* F ‖ 7 *ἱερία* F (et sic constanter) ‖ 8 *Πελληνεύουσιν* F ‖ 10 *ἱέρεια Ἀθηνᾶς*] *μία τῶν αἰχμαλώτων ἐν τῷ ἱερῷ καθεζομένη τῆς Ἀρτέμιδος* Plut. ‖ 11 *κατά τι* K; *κατὰ τὴν* F ‖ 13 *ἀπέβλεπεν* F] *ἐπέβλεπεν* vulg. ‖ 19. 20 *Κύννα* Wesseling ad Diod. 19, 52 et Cobet, var. lect. p. 202: cf. Athen. 4, 155 A; *Κυνάννη* F; *Κυνάνη* vulg. ‖ 20 *ἤσκει* Hercher, Herm. 9, p. 112; *ἤσκησε* F ‖ 21 Alterum *καὶ* del. K.

Ἰλλυριοῖς παραταssομένη τὴν βασιλεύουσαν αὐτῶν καιρίαν ἐς τὸν αὐχένα πλήξασα κατέβαλε καὶ πολλοὺς τῶν Ἰλλυριῶν φεύγοντας ἔκτεινε. γημαμένη δὲ Ἀμύντᾳ τῷ Περδίκκου ταχέως τοῦτον ἀποβαλοῦσα οὐχ ὑπέμεινεν ἀνδρὸς πειραθῆναι δευτέρου, ἀλλὰ μίαν ἔχουσα θυγατέρα ἐξ Ἀμύντου Εὐρυδίκην καὶ ταύτην τὰ πολεμικὰ ἤσκησεν. Ἀλεξάνδρου δὲ ἐν Βαβυλῶνι τελευτήσαντος καὶ τῶν διαδόχων νεωτεριζόντων ἐτόλμησεν αὐτὴ διαβῆναι τὸν Στρυμόνα, Ἀντιπάτρου δὲ κωλύοντος βιασαμένη τοὺς κωλύοντας τὸν ποταμὸν διῆλθε καὶ τοὺς ἐμποδὼν γιγνομένους καταγωνισαμένη διέβη τὸν Ἑλλήσποντον συμμῖξαι τῷ Μακεδόνων στρατεύματι προθυμουμένη. Ἀλκέτα δὲ μετὰ τῆς δυνάμεως ἀπαντήσαντος οἱ Μακεδόνες ἰδόντες τὴν Φιλίππου θυγατέρα καὶ ἀδελφὴν Ἀλεξάνδρου, αἰδεσθέντες τὴν γνώμην μετεβάλοντο. ἡ δὲ τὸν Ἀλκέταν ὀνειδίσασα τῆς ἀχαριστίας οὔτε τὸ πλῆθος τῶν ἀνδρῶν οὔτε τὴν παρασκευὴν τῶν ὅπλων κατεπλάγη, ἀλλ' εὐγενῶς ἤνεγκε τὴν σφαγὴν τεθνάναι μᾶλλον ἢ τὸ Φιλίππου γένος ἐκπεπτωκὸς τῆς ἀρχῆς ὁρᾶν αἱρουμένη.

## 61. ΜΥΣΤΑ.

241 Μύστα γυνὴ Σελεύκου τοῦ Καλλινίκου κληθέντος c. 52, 9
περὶ Ἄγκυραν ὑπὸ Γαλατῶν ἡττηθέντος, ὑπὸ τῶν πολεμίων ἁλοῦσα, τὴν βασιλικὴν ἐσθῆτα μεταμφιασαμένη,

---

Cap. 61. Ex Phylarcho coll. Athen. 13, 64, p. 593 E.

---

2 κατέβαλε K; κατέβαλλεν F ‖ 4 ἀποβαλλοῦσα F ‖ 9 Στρυμῶνα F ‖ 16 μετεβάλοντο F] μετεβάλλοντο M vulg. ‖ Ante ἡ δὲ lacunam statuit Hertlein ‖ 21. 22 Μύστα H, Phylarchus; Πύστα V: *cf. Cobet,* var. lect. p. 202.

*θεραπαινίδος ἀθλιωτάτης ῥάκια λαβοῦσα ἐν τοῖς αἰχμαλώτοις ἐπράθη. ἀχθεῖσα δὲ εἰς Ῥόδον μετὰ ἄλλων ἀνδραπόδων ἐξηγόρευσεν ἥτις ἦν. Ῥόδιοι τῷ πριαμένῳ τὸ ἀργύριον ἀποδόντες λαμπρῶς κομίσαντες ἐς Ἀντιόχειαν ἐξέπεμψαν.*

62. ΕΠΙΧΑΡΙΣ.

*Πείσων καὶ Σενέκας ἐπιβουλὴν συνεστήσαντο κατὰ* 65 p. 01 *Νέρωνος. ἦν ἀδελφὸς Σενέκα Μέλας, ὃς ἑταίραν εἶχεν Ἐπίχαριν. ταύτην τὴν Ἐπίχαριν ὁ Νέρων ὡς μετέχουσαν τῶν ἀπορρήτων ἐβασάνισε πικρῶς, ἡ δὲ ἀντέσχεν οὐδενὸς κατειποῦσα. Νέρων ἀνέθετο ὡς αὖθις βασανίσων. μετὰ τρεῖς ἡμέρας τὴν Ἐπίχαριν ἐκομίζετο ἐν φορείῳ, ἡ δὲ λυσαμένη τὴν ζώνην ἀπεβρόχισεν ἑαυτὴν ἐν αὐτῷ τῷ φορείῳ. οἱ κομίζοντες ἐγγὺς τῶν βασανιστήρων γενόμενοι ἀποθέμενοι προελθεῖν αὐτὴν ἐκέλευον· τῆς δ' ἄρα τὸ σῶμα εὑρέθη νεκρὸν, καὶ ὁ τύραννος πολλὰ ἐσχετλίαζεν ὡς ὑπὸ τῆς ἑταίρας νενικημένος.*

63. ΜΙΛΗΣΙΑ.

*Ἐν Μιλήτῳ τὰς παρθένους μανικὸν πάθος κατέσχεν· αἱ πλεῖσται γὰρ οὐδεμιᾶς οὔσης συμφορᾶς ἐξαίφνης αὐτὰς ἀπεβρόχιζον. Μιλησία γυνὴ συνεβούλευσε*

---

Cap. 62. Cf. Tacit. annal. 15, 57; Dio Cass. 62, 27.
Cap. 63. Cf. Plut. de virt. mul. 11; Gell. 15, 10.

---

1 *ταῖς* Patakis ‖ 3 *ἐξηγόρευσεν* vulg.; *ἐξαγορεύσασα* H; *ἐξηγόρευεν* F ‖ *ἥτις* vulg.; *εἴ τις* F ‖ 4 *κομίσαντες* F; *κοσμήσαντες* vulg. ‖ 8 *Σενέκα* vulg.; *Σενέκας* F ‖ *Μέλας* Maasv.; *Σκελάος* F; *ὁ Μέλας* W ‖ 12 *ἐκομίζετο ἐν* Patakis; *ἐκομίζετο μὲν* F; *ἐκόμιζον ἐν* K ‖ 13 *φορίῳ* F ‖ 15 *βασανιστήρων* Roth; *βασανιστηρίων* F ‖ 19 *Μιλησίαι* vulg.; *μιλισία* F ‖ 20 *πάθος* Plut.; *πένθος* F.

ἡ δὲ Τιργαταὼ λαθοῦσα τοὺς φύλακας διέδρα. τῶν δὲ περὶ τὸν Ἑκαταῖον καὶ τὸν Σάτυρον πολλῇ σπουδῇ ζητούντων — ἐδεδοίκεσαν γάρ, μὴ κινήσῃ τοὺς Μαιώτας ἐς πόλεμον — οὐ μὴν εὑρεῖν δυνηθέντων, ἡ Μαιῶτις ἐρήμους καὶ τραχείας ὁδοὺς ὑπερβάλλουσα καὶ μεθ' ἡμέραν μὲν ἐν ταῖς ὕλαις κρυπτομένη, ταῖς δὲ νυξὶ βαδίζουσα τέλος ἧκεν εἰς τοὺς καλουμένους Ἰξομάτας, ἔνθα ἦν αὐτῆς τὰ βασίλεια τῶν οἰκείων. τὸν μὲν δὴ πατέρα τετελευτηκότα κατέλαβε, τῷ δὲ διαδεξαμένῳ τὴν ἀρχὴν συνοικήσασα τοὺς Ἰξομάτας εἰς πόλεμον ἐκίνησε. καὶ πολλὰ μὲν τῶν περὶ Μαιῶτιν μαχίμων ἐθνῶν προσήγετο, μάλιστα δὲ τὴν Ἑκαταίου Σινδικὴν κατέτρεχε καὶ Σατύρου τὴν ἀρχὴν ἐλυμαίνετο, ὥστε ἱκετηρίας ἀμφότεροι πέμψαντες καὶ ὅμηρον δόντες παῖδα Σατύρου Μητρόδωρον ἐδεήθησαν εἰρήνης τυχεῖν. ἡ δὲ συνέθετο μέν, οὐ μὴν οἵ γε συνθέμενοι τοὺς ὅρκους ἐφύλαξαν. ὁ γὰρ δὴ Σάτυρος ἔπεισε δύο φίλους ἱκέτας καταφυγόντας πρὸς αὐτὴν ἐπιβουλεῦσαι. οἱ μὲν κατέφυγον, ὁ δὲ Σάτυρος ἐξῄτει· ἡ δὲ τὸν τῆς ἱκεσίας νόμον τιμῶσα πολλάκις ἀντέγραφε σωτηρίαν πράττουσα τοῖς ἱκέταις. οἱ δὲ ἐπέθεντο, ὁ μὲν ὡς περὶ μεγάλων αὐτῇ διαλεγόμενος πραγμάτων, ὁ δὲ σπασάμενος τὸ ξίφος ἀπέτυχε τῆς ἐπιβουλῆς τοῦ ζωστῆρος ἀποδεξαμένου τὴν πληγήν. οἱ δορυφόροι συνδραμόντες ἀμφοτέρους ἐβασάνισαν. οἱ δὲ τὴν ἐπιβουλὴν

1 τῶν vulg.; τὸν F ‖ 5 ὑπερβάλουσα F, corr. vulg. ‖ 7 Ἰξομάτας F ut Ammian. Marc. 22, 8, 31; *Exomatae* Val. Flacc. 6, 144. 146. 569; *Examatae* vel *Ixamatae* Pomp. Mela 1, 19, 13; Ἰξιβάται Hecataeus ap. Steph. Byz.; Ἰαζαβάται vel Ἰαζαμάται Ephor. ap. Steph. Byz., Scymn. et Peripl. Anonymi; Ἰαξαμάται Demetrius Callatianus ap. Scymn. 880, Ptolem. geogr. 5, 9. 16, 17 ‖ 10 συνοικήσασαν *F* ‖ 12 Σινδικὴν Cas.; Σιντικὴν F ‖ 19 ἐξήτει vulg. ‖ 21 πράττουσαν *F*.

ὡμολόγησαν τοῦ καθεικότος τυράννου. πάλιν ἡ Τιργαταὼ τὸν πόλεμον ἐξήνεγκε τὸν ὅμηρον ἀποκτείνασα καὶ πάντων τῶν δεινῶν ἁρπαγῆς καὶ φόνου πληροῦσα τὴν χώραν, ἕως αὐτὸς μὲν ὁ Σάτυρος ἀθυμήσας ἐτελεύτησε, Γόργιππος δὲ υἱὸς αὐτοῦ τὴν ἀρχὴν διαδεξάμενος ἱκέτης αὐτὸς ἐλθὼν καὶ δῶρα δοὺς αὐτῇ μέγιστα τὸν πόλεμον διελύσατο.

### 56. ΑΜΑΓΗ.

Ἀμάγη γυνὴ Μηδοσάκκου βασιλέως Σαρματῶν τῶν ἐπὶ τὴν Ποντικὴν παραλίαν καθηκόντων ὁρῶσα τὸν ἄνδρα τρυφῇ προσέχοντα καὶ μέθῃ αὐτὴ μὲν τα πολλὰ ἐδίκαζεν, αὐτὴ δὲ καὶ τὰς φυλακὰς τῆς χώρας καθίστατο καὶ τὰς ἐπιδρομὰς τῶν πολεμίων ἀνέστελλε καὶ τοῖς ἀδικουμένοις τῶν προσοίκων συνεμάχει. καὶ τὸ κλέος αὐτῆς λαμπρὸν ἦν ἀνὰ πάντας τοὺς Σκύθας, ὥστε καὶ οἱ [τὴν] Ταυρικὴν κατοικοῦντες Χερρονησῖται κακῶς πάσχοντες ὑπὸ τοῦ βασιλέως τῶν παρακειμένων Σκυθῶν ἐδεήθησαν αὐτῆς γενέσθαι σύμμαχοι. ἡ δὲ τὸ μὲν πρῶτον ἐπέστειλεν ἀπέχεσθαι Χερρονήσου κελεύουσα, ὡς δὲ κατεφρόνησεν ὁ Σκύθης, παραλαβοῦσα ἑκατὸν εἴκοσιν ἄνδρας τοὺς ψυχὴν καὶ σῶμα ἀλκιμωτάτους, τρεῖς ἵππους ἑκάστῳ παραδοῦσα διέδραμε νυκτὸς μιᾶς καὶ ἡμέρας χίλια καὶ διακόσια στάδια καὶ τοῖς βασιλείοις ἐξαίφνης ἐπιστᾶσα τοὺς μὲν ἐπὶ θυρῶν ἅπαντας ἀπέκτεινε, τῶν δὲ Σκυθῶν ὡς ἐν ἀπροσδοκήτῳ δεινῷ ταραχθέντων καὶ νομισάντων οὐχ ὅσους ἔβλεπον ἥκειν, ἀλλὰ πολλῷ πλείονας εἶναι τοὺς ἐπερχομένους, Ἀμάγη μεθ' ἧς εἶχεν ὁρμῆς ἐς τὸ βασίλειον

1 καθεικότος K; καθήκοντος F ‖ 3 τῶν del. K ‖ 8 Ἀμόργη *coni. Roth* ‖ 16 [τὴν] K ‖ 18 αὐτοῖς γενέσθαι σύμμαχον Patakis.

ἐμπεσοῦσα τὸν Σκύθην καὶ τοὺς συνόντας αὐτῷ συγγενεῖς καὶ φίλους ἀποκτείνασα Χερρονησίταις μὲν ἀπέδωκε τὴν χώραν, τῷ δὲ παιδὶ τοῦ πεφονευμένου τὴν βασιλείαν ἐνεχείρισε παρεγγυήσασα δικαίως ἄρχειν καὶ ἀπέχεσθαι τῶν προσοικούντων Ἑλλήνων καὶ βαρβάρων ὁρῶντα τὸ τέλος τοῦ πατρός.

## 57. ΑΡΣΙΝΟΗ.

281 Ἀρσινόη Λυσιμάχου τοῦ ἀνδρὸς τελευτήσαντος c. 52, 8
μεγάλης ταραχῆς οὔσης ἐν Ἐφέσῳ καὶ τῶν σελευκιζόντων τὰ τείχη καταβαλλόντων καὶ τὰς πύλας ἀνοιγόντων εἰς μὲν τὸ φορεῖον τὸ βασιλικὸν κατέκλινε θεράπαιναν στολὴν περιθεῖσα βασιλικὴν καὶ περιέστησε πολλοὺς τῶν ὑπασπιστῶν, αὐτὴ δὲ περιβαλομένη ῥάκια καὶ προσωπεῖον ἐρρυπωμένον καθ' ἑτέραν θύραν ἐξῆλθε μόνη καὶ δραμοῦσα ἐπὶ τὰς ναῦς ἀπέπλευσε. Μενεκράτης, εἷς τῶν ἡγεμόνων, τῷ φορείῳ προσπεσὼν κατεκέντησε τὴν θεράπαιναν οἰόμενος Ἀρσινόην φονεύειν.

## 58. ΚΡΑΤΗΣΙΠΟΛΙΣ.

308 Κρατησίπολις Πτολεμαίῳ τὸν Ἀκροκόρινθον ἐνδοῦναι βουλομένη φυλαττόμενον ὑπὸ μισθοφόρων, οἳ πολλάκις ἔπειθον αὐτὴν χρῆναι φυλάττειν τὸν τόπον, ἐπαινέσασα αὐτοὺς ὡς ἀνδρείους καὶ πιστούς, ἀλλὰ

---

Cap. 57. Cf. Droysen II, 2, p. 330 et eundem, Hermes 11, p. 464 sq., Zu Duris u. Hieronymus.
Cap. 58. Cf. Diod. 20, 37, 1. — Droysen II, 2, p. 86.

---

1 τὸν Σκύθην m; τῶν Σκυθῶν F ‖ 2 Χερονησίταις F ‖ 10 καταβαλόντων F ‖ 14 ῥερυπωμένον F; corr. vulg. ‖ 15 ἀπέπλευσε K; ἔπλευσε F ‖ 17 κατεκέντισεν F ‖ 21 ὑπὸ K; ἀπὸ F.

καὶ ἀπὸ Σικυῶνος ἔφη μεταπέμψεσθαι συμμάχους, οἳ μετ' αὐτῶν ἀσφαλέστερον φυλάξουσιν. ἔπεμψε μὲν πρὸς Σικυωνίους φανερῶς, κρύφα δὲ πρὸς Πτολεμαῖον, καὶ τοὺς παρ' αὐτοῦ στρατιώτας νύκτωρ ἥκοντας ὡς τοὺς ἀπὸ Σικυῶνος συμμάχους ἐδέξατο. καὶ παρέλαβε Πτολεμαῖος Ἀκροκόρινθον ἀκόντων τῶν φυλασσόντων.

## 59. ΙΕΡΕΙΑ.

Αἰτωλοὶ Πελληνεῦσιν ἐπεστράτευον. πρὸ τῆς Πελλήνης ὄχθος ἐστὶν ὑψηλὸς ἀντικρὺ τῆς ἀκροπόλεως, ἐφ' ὃν οἱ Πελληνεῖς συνελθόντες ὡπλίζοντο. τῆς Ἀθηνᾶς ἱέρεια κατά τι νόμιμον ἐκείνης τῆς ἡμέρας πανοπλίαν ἔχουσα καὶ τρίλοφον κράνος, ἡ καλλίστη καὶ μεγίστη τῶν παρθένων, ἀπὸ τῆς ἀκροπόλεως ἀπέβλεπεν ἐς τὸ πλῆθος τῶν ὁπλιζομένων πολιτῶν. Αἰτωλοὶ παρθένον ὡπλισμένην ἐκ τοῦ ἱεροῦ τῆς Ἀθηνᾶς προελθοῦσαν ἰδόντες αὐτὴν τὴν Ἀθηνᾶν σύμμαχον ἥκειν Πελληνεῦσι νομίσαντες ἀνέστρεψαν, Πελληνεῖς δὲ ἐπιδιώξαντες οὐκ ὀλίγους Αἰτωλῶν ἔκτειναν.

## 60. ΚΥΝΝΑ.

Κύννα Φιλίππου θυγάτηρ τὰ πολεμικὰ ἤσκει καὶ στρατοπέδων ἡγεῖτο καὶ πολεμίοις παρετάσσετο· καὶ

---

Cap. 59. Cf. Plut. Arat. 32. — Droysen III, 1, p. 433 et not. 1.
Cap. 60. Cf. J. p. 659.

---

1 μεταπέμψεσθαι vulg.; μεταπέμψασθαι F || 4 αὐτοῦ vulg.; αὐτῷ F || 7 ἱερία F (et sic constanter) || 8 Πελληνεύουσιν F || 10 ἱέρεια Ἀθηνᾶς] μία τῶν αἰχμαλώτων ἐν τῷ ἱερῷ καθεζομένη τῆς Ἀρτέμιδος Plut. || 11 κατά τι K; κατὰ τὴν F || 13 ἀπέβλεπεν F] ἐπέβλεπεν vulg. || 19. 20 Κύννα Wesseling ad Diod. 19, 52 et Cobet, var. lect. p. 202: cf. Athen. 4, 155 A; Κυνάννη F; Κυνάνη vulg. || 20 ἤσκει Hercher, Herm. 9, p. 112; ἤσκησε F || 21 Alterum καὶ del. K.

Ἰλλυριοῖς παραταssομένη τὴν βασιλεύουσαν αὐτῶν καιρίαν ἐς τὸν αὐχένα πλήξασα κατέβαλε καὶ πολλοὺς τῶν Ἰλλυριῶν φεύγοντας ἔκτεινε. γημαμένη δὲ Ἀμύντᾳ τῷ Περδίκκου ταχέως τοῦτον ἀποβαλοῦσα οὐχ ὑπέμεινεν ἀνδρὸς πειραθῆναι δευτέρου, ἀλλὰ μίαν ἔχουσα θυγατέρα ἐξ Ἀμύντου Εὐρυδίκην καὶ ταύτην τὰ πολεμικὰ ἤσκησεν. Ἀλεξάνδρου δὲ ἐν Βαβυλῶνι τελευτήσαντος καὶ τῶν διαδόχων νεωτεριζόντων ἐτόλμησεν αὐτὴ διαβῆναι τὸν Στρυμόνα, Ἀντιπάτρου δὲ κωλύοντος βιασαμένη τοὺς κωλύοντας τὸν ποταμὸν διῆλθε καὶ τοὺς ἐμποδὼν γιγνομένους καταγωνισαμένη διέβη τὸν Ἑλλήσποντον συμμῖξαι τῷ Μακεδόνων στρατεύματι προθυμουμένη. Ἀλκέτα δὲ μετὰ τῆς δυνάμεως ἀπαντήσαντος οἱ Μακεδόνες ἰδόντες τὴν Φιλίππου θυγατέρα καὶ ἀδελφὴν Ἀλεξάνδρου, αἰδεσθέντες τὴν γνώμην μετεβάλοντο. ἡ δὲ τὸν Ἀλκέταν ὀνειδίσασα τῆς ἀχαριστίας οὔτε τὸ πλῆθος τῶν ἀνδρῶν οὔτε τὴν παρασκευὴν τῶν ὅπλων κατεπλάγη, ἀλλ' εὐγενῶς ἤνεγκε τὴν σφαγὴν τεθνάναι μᾶλλον ἢ τὸ Φιλίππου γένος ἐκπεπτωκὸς τῆς ἀρχῆς ὁρᾶν αἱρουμένη.

## 61. ΜΥΣΤΑ.

241 Μύστα γυνὴ Σελεύκου τοῦ Καλλινίκου κληθέντος c. 52, 9
περὶ Ἄγκυραν ὑπὸ Γαλατῶν ἡττηθέντος, ὑπὸ τῶν πολεμίων ἁλοῦσα, τὴν βασιλικὴν ἐσθῆτα μεταμφιασαμένη,

---

Cap. 61. Ex Phylarcho coll. Athen. 13, 64, p. 593 E.

---

2 *κατέβαλε* K; *κατέβαλλεν* F ‖ 4 *ἀποβαλλοῦσα* F ‖ 9 *Στρυμῶνα* F ‖ 16 *μετεβάλοντο* F] *μετεβάλλοντο* M vulg. ‖ Ante *ἡ δὲ* *lacunam statuit* Hertlein ‖ 21. 22 *Μύστα* H, Phylarchus; *Πύστα* *F: cf. Cobet,* var. lect. p. 202.

*θεραπαινίδος ἀθλιωτάτης ῥάκια λαβοῦσα ἐν τοῖς αἰχμαλώτοις ἐπράθη. ἀχθεῖσα δὲ εἰς Ῥόδον μετὰ ἄλλων ἀνδραπόδων ἐξηγόρευσεν ἥτις ἦν. Ῥόδιοι τῷ πριαμένῳ τὸ ἀργύριον ἀποδόντες λαμπρῶς κομίσαντες ἐς Ἀντιόχειαν ἐξέπεμψαν.*

### 62. ΕΠΙΧΑΡΙΣ.

*Πείσων καὶ Σενέκας ἐπιβουλὴν συνεστήσαντο κατὰ* 65 p. O1 *Νέρωνος. ἦν ἀδελφὸς Σενέκᾳ Μέλας, ὃς ἑταίραν εἶχεν Ἐπίχαριν. ταύτην τὴν Ἐπίχαριν ὁ Νέρων ὡς μετέχουσαν τῶν ἀπορρήτων ἐβασάνισε πικρῶς, ἡ δὲ ἀντέσχεν οὐδενὸς κατειποῦσα. Νέρων ἀνέθετο ὡς αὖθις βασανίσων. μετὰ τρεῖς ἡμέρας τὴν Ἐπίχαριν ἐκομίζετο ἐν φορείῳ, ἡ δὲ λυσαμένη τὴν ζώνην ἀπεβρόχισεν ἑαυτὴν ἐν αὐτῷ τῷ φορείῳ. οἱ κομίζοντες ἐγγὺς τῶν βασανιστήρων γενόμενοι ἀποθέμενοι προελθεῖν αὐτὴν ἐκέλευον· τῆς δ' ἄρα τὸ σῶμα εὑρέθη νεκρὸν, καὶ ὁ τύραννος πολλὰ ἐσχετλίαζεν ὡς ὑπὸ τῆς ἑταίρας νενικημένος.*

### 63. ΜΙΛΗΣΙΑ.

*Ἐν Μιλήτῳ τὰς παρθένους μανικὸν πάθος κατέσχεν· αἱ πλεῖσται γὰρ οὐδεμιᾶς οὔσης συμφορᾶς ἐξαίφνης αὑτὰς ἀπεβρόχιζον. Μιλησία γυνὴ συνεβούλευσε*

---

Cap. 62. Cf. Tacit. annal. 15, 57; Dio Cass. 62, 27.
Cap. 63. Cf. Plut. de virt. mul. 11; Gell. 15, 10.

---

1 *ταῖς* Patakis ‖ 3 *ἐξηγόρευσεν* vulg.; *ἐξαγορεύσασα* H; *ἐξηγόρευεν* F ‖ *ἥτις* vulg.; *εἴ τις* F ‖ 4 *κομίσαντες* F; *κοσμήσαντες* vulg. ‖ 8 *Σενέκᾳ* vulg.; *Σενέκας* F ‖ *Μέλας* Maasv.; *Σκελάος* F; *ὁ Μέλας* W ‖ 12 *ἐκομίζετο ἐν* Patakis; *ἐκομίζετο μὲν* F; *ἐκόμιζον ἐν* K ‖ 13 *φορίῳ* F ‖ 15 βασανιστήρων Roth; βασανιστηρίων F ‖ 19 *Μιλησίαι* vulg.; *μιλισία* F ‖ 20 πάθος Plut.; πένθος F.

τὰς ἀπαγχομένας [γυμνὰς] διὰ τῆς ἀγορᾶς ἐκκομίζεσθαι. τοῦτο κυρωθὲν ἐπέσχε θανατώσας τὰς παρθένους· τὴν γὰρ μετὰ θάνατον αἰσχύνην καὶ τὴν διὰ τῆς ἀγορᾶς πομπὴν οὐ φέρουσαι τῶν βρόχων ἀπέσχοντο.

## 64. ΜΗΛΙΑΙ.

Μήλιοι Καρίαν ἐπῴκισαν ἡγεμόνα Νυμφαῖον ἔχοντες· Κᾶρες οἱ Κρυασσὸν οἰκοῦντες ἐπιβουλεύοντες Μηλίοις καλοῦσιν αὐτοὺς ἐπὶ δημοσίαν ἑορτήν. Καρίνη παρθένος ἐρῶσα Νυμφαίου τὴν ἐπιβουλὴν ἐξηγόρευσεν. ὁ δὲ πρὸς τοὺς Κᾶρας ἔφη, νόμον Ἕλλησιν εἶναι μετὰ γυναικῶν ἐπὶ δεῖπνον βαδίζειν. οἱ μὲν δὴ Κᾶρες ἐκέλευσαν ἄγειν καὶ τὰς γυναῖκας, οἱ Μήλιοι δὲ αὐτοὶ μὲν ἄνευ ὅπλων ἐν ἱματίοις βαδίζουσιν, αἱ δὲ γυναῖκες ἑκάστη ξίφος ἐν τῷ κόλπῳ κομίζουσα παρὰ τὸν αὑτῆς ἄνδρα πᾶσαι καθιζάνουσιν. ὡς δὲ δειπνοῦντες τοῦ Καρίου συνθήματος ᾔσθοντο, αἱ μὲν γυναῖκες ὁμοῦ πᾶσαι τοὺς κόλπους ἀνέρρηξαν, οἱ δὲ ἄνδρες τὰ ξίφη λαβόντες ἐπέθεντο τοῖς βαρβάροις καὶ διαχρησάμενοι πάντας τήν τε πόλιν αὐτῶν καὶ τὴν χώραν κατῴκησαν.

## 65. ΦΩΚΙΔΕΣ.

Φωκεῦσι καὶ Θετταλοῖς πόλεμος ἄσπονδος ἦν, ὥστε καὶ Θετταλοὶ δόγμα ἐκύρωσαν, μηδενὸς ἀπέχε-

---

Cap. 64. Cf. Plut. ibid. 7.
Cap. 65. Cf. Plut. ibid. 2.

---

1 [γυμνὰς] inser. W et Hercher, Hermes 9, p. 112 ex Plut. et Gell. ‖ 5 Μιλίαι F ‖ 6 ἐπῴκησαν F ‖ Νυμφαῖον (cf. infra v. 9) Plut.; Συμφαῖον F ‖ 8 Καρίνη Plut.; Καρήνη F ‖ 9 Νιμφαίου F ‖ 14 κομίζουσα K; κομίζουσιν F ‖ αὑτῆς F ‖ 19 κατῴκησαν F: cf. 5, 5, 2; κατῴκισαν K ‖ 22 καὶ del. K.

σθαι τῶν ἐν ἡλικίᾳ, παῖδας δὲ καὶ γυναῖκας ἀνδραποδίσασθαι. Φωκέων μελλόντων συμβάλλειν ἐς μάχην αἱ Φωκίδες ἐψηφίσαντο· ʻὕλην παμμεγέθη νησώμεθα· ἐπειδὰν δὲ αἰσθώμεθα τοὺς ἄνδρας ἡττωμένους, αὐταὶ τῆς πυρᾶς μετὰ τῶν τέκνων ἐπιβῶμεν καὶ τὴν ὕλην ὑφάψασαι καταπρήσωμεν.ʼ τοῦτο τὸ ψήφισμα τῶν γυναικῶν τοὺς Φωκέας ἐποίησεν ἀνδρειότερον παρατάξασθαι καὶ κρατῆσαι τῇ μάχῃ.

## 66. ΧΙΑΙ.

Χίοις πρὸς Ἐρυθραίους πόλεμος ἦν Λευκωνίας πέρι· καὶ δὴ συνέθεντο Χῖοι μὴ δυνάμενοι τοῖς πολεμίοις ἀντέχειν ἐξελθεῖν ὑπόσπονδοι χλαῖναν μίαν ἕκαστος καὶ ἱμάτιον ἔχοντες. αἱ Χῖαι γυναῖκες ἐσχετλίαζον, εἰ τὰ ὅπλα προέμενοι γυμνοὶ φευξοῦνται. τῶν δὲ ὀμωμοκέναι φασκόντων αἱ γυναῖκες συνεβούλευσαν τὰ μὲν ὅπλα μηδαμῶς ἀφιέναι, λέγειν δὲ ὡς ἔθος αὐτοῖς χλαῖναν μὲν καλεῖν τὸ ξυστόν, χιτῶνα δὲ τὴν ἀσπίδα. ταῖς γυναιξὶν ἐπείσθησαν οἱ Χῖοι καὶ τὰ ὅπλα κατασχόντες φοβερώτεροι τοῖς Ἐρυθραίοις ἐγένοντο.

## 67. ΘΑΣΙΑΙ.

56, 11 Θάσιοι πολιορκούμενοι μηχανήματα ἔνδον τῶν 464—
τειχῶν ἐπαναστῆσαι τοῖς πολεμίοις βουλόμενοι σπάρτων ἠπόρουν, οἷς τὰ μηχανήματα συνδεῖν ἐχρῆν. αἱ Θάσιαι τὰς κεφαλὰς ἀπεκείραντο καὶ σύνδεσμοι τῶν μηχανημάτων ἐγένοντο τῶν γυναικῶν αἱ τρίχες.

---

Cap. 66. Cf. Plut. ibid. 3.
Cap. 67. De tempore cf. Duncker, Gesch. d. Altert. IX, p. 218, not. 4.

---

4 αὐταὶ F ‖ 5 πνῆρας (sic) F ‖ 7 ἐποίησεν F; ἔπεισεν W ‖ 12 ἀντέχειν] ἐξελθεῖν ἀντέχειν F ‖ 14 εἶτα F.

τὰς ἀπαγχομένας [γυμνὰς] διὰ τῆς ἀγορᾶς ἐκκομίζεσθαι. τοῦτο κυρωθὲν ἐπέσχε θανατώσας τὰς παρθένους· τὴν γὰρ μετὰ θάνατον αἰσχύνην καὶ τὴν διὰ τῆς ἀγορᾶς πομπὴν οὐ φέρουσαι τῶν βρόχων ἀπέσχοντο.

## 64. ΜΗΛΙΑΙ.

*Μήλιοι Καρίαν ἐπῴκισαν ἡγεμόνα Νυμφαῖον ἔχοντες· Κᾶρες οἱ Κρυασσὸν οἰκοῦντες ἐπιβουλεύοντες Μηλίοις καλοῦσιν αὐτοὺς ἐπὶ δημοσίαν ἑορτήν. Καρίνη παρθένος ἐρῶσα Νυμφαίου τὴν ἐπιβουλὴν ἐξηγόρευσεν. ὁ δὲ πρὸς τοὺς Κᾶρας ἔφη, νόμον Ἕλλησιν εἶναι μετὰ γυναικῶν ἐπὶ δεῖπνον βαδίζειν. οἱ μὲν δὴ Κᾶρες ἐκέλευσαν ἄγειν καὶ τὰς γυναῖκας, οἱ Μήλιοι δὲ αὐτοὶ μὲν ἄνευ ὅπλων ἐν ἱματίοις βαδίζουσιν, αἱ δὲ γυναῖκες ἑκάστη ξίφος ἐν τῷ κόλπῳ κομίζουσα παρὰ τὸν αὑτῆς ἄνδρα πᾶσαι καθιζάνουσιν. ὡς δὲ δειπνοῦντες τοῦ Καρίου συνθήματος ᾔσθοντο, αἱ μὲν γυναῖκες ὁμοῦ πᾶσαι τοὺς κόλπους ἀνέρρηξαν, οἱ δὲ ἄνδρες τὰ ξίφη λαβόντες ἐπέθεντο τοῖς βαρβάροις καὶ διαχρησάμενοι πάντας τήν τε πόλιν αὐτῶν καὶ τὴν χώραν κατῴκησαν.*

## 65. ΦΩΚΙΔΕΣ.

*Φωκεῦσι καὶ Θετταλοῖς πόλεμος ἄσπονδος ἦν, ὥστε καὶ Θετταλοὶ δόγμα ἐκύρωσαν, μηδενὸς ἀπέχε-*

Cap. 64. Cf. Plut. ibid. 7.
Cap. 65. Cf. Plut. ibid. 2.

1 [γυμνὰς] inser. W et Hercher, Hermes 9, p. 112 ex Plut. et Gell. || 5 *Μιλίαι* F || 6 *ἐπῴκησαν* F || *Νυμφαῖον* (cf. infra v. 9) Plut.; *Συμφαῖον* F || 8 *Καρίνη* Plut.; *Καρήνη* F || 9 *Νιμφαίου* F || 14 *κομίζουσα* K; *κομίζουσιν* F || *αὐτῆς* F || 19 *κατῴκησαν* F: *cf. 5, 5, 2; κατῴκισαν* K || 22 *καὶ* del. K.

σθαι τῶν ἐν ἡλικίᾳ, παῖδας δὲ καὶ γυναῖκας ἀνδραποδίσασθαι. Φωκέων μελλόντων συμβάλλειν ἐς μάχην αἱ Φωκίδες ἐψηφίσαντο· ʽὕλην παμμεγέθη νησώμεθα· ἐπειδὰν δὲ αἰσθώμεθα τοὺς ἄνδρας ἡττωμένους, αὐταὶ τῆς πυρᾶς μετὰ τῶν τέκνων ἐπιβῶμεν καὶ τὴν ὕλην ὑφάψασαι καταπρήσωμεν.ʼ τοῦτο τὸ ψήφισμα τῶν γυναικῶν τοὺς Φωκέας ἐποίησεν ἀνδρειότερον παρατάξασθαι καὶ κρατῆσαι τῇ μάχῃ.

## 66. ΧΙΑΙ.

Χίοις πρὸς Ἐρυθραίους πόλεμος ἦν Λευκωνίας πέρι· καὶ δὴ συνέθεντο Χῖοι μὴ δυνάμενοι τοῖς πολεμίοις ἀντέχειν ἐξελθεῖν ὑπόσπονδοι χλαῖναν μίαν ἕκαστος καὶ ἱμάτιον ἔχοντες. αἱ Χῖαι γυναῖκες ἐσχετλίαζον, εἰ τὰ ὅπλα προέμενοι γυμνοὶ φευξοῦνται. τῶν δὲ ὀμωμοκέναι φασκόντων αἱ γυναῖκες συνεβούλευσαν τὰ μὲν ὅπλα μηδαμῶς ἀφιέναι, λέγειν δὲ ὡς ἔθος αὐτοῖς χλαῖναν μὲν καλεῖν τὸ ξυστὸν, χιτῶνα δὲ τὴν ἀσπίδα. ταῖς γυναιξὶν ἐπείσθησαν οἱ Χῖοι καὶ τὰ ὅπλα κατασχόντες φοβερώτεροι τοῖς Ἐρυθραίοις ἐγένοντο.

## 67. ΘΑΣΙΑΙ.

3, 11 Θάσιοι πολιορκούμενοι μηχανήματα ἔνδον τῶν 464—46
τειχῶν ἐπαναστῆσαι τοῖς πολεμίοις βουλόμενοι σπάρτων ἠπόρουν, οἷς τὰ μηχανήματα συνδεῖν ἐχρῆν. αἱ Θάσιαι τὰς κεφαλὰς ἀπεκείραντο καὶ σύνδεσμοι τῶν μηχανημάτων ἐγένοντο τῶν γυναικῶν αἱ τρίχες.

---

Cap. 66. Cf. Plut. ibid. 3.
Cap. 67. De tempore cf. Duncker, Gesch. d. Altert. IX, p. 218, not. 4.

---

4 αὐταὶ F ‖ 5 πυῆρας (sic) F ‖ 7 ἐποίησεν F; ἔπεισεν W ‖ 12 ἀντέχειν] ἐξελθεῖν ἀντέχειν F ‖ 14 εἶτα F.

## 68. ΑΡΓΟΛΙΔΕΣ.

272 *Πύρρος Ἠπειρώτης ἐνέβαλεν εἰς Ἄργος καλέσαντος αὐτὸν Ἀριστέως Ἀργείου. οἱ μὲν Ἀργεῖοι συνέδραμον ἐς τὴν ἀγορὰν μετὰ τῶν ὅπλων, αἱ δὲ γυναῖκες αὐτῶν προκαταλαβόμεναι τὰ τέγη τοὺς Ἠπειρώτας ἄνωθεν βάλλουσαι ἀναχωρῆσαι βιάζονται, ὥστε καὶ Πύρρος, ὁ δεινότατος τῶν στρατηγῶν, αὐτὸς ἔπεσεν ἐμπεσούσης ἐπὶ τὴν κεφαλὴν αὐτοῦ κεραμίδος. αἱ δὲ Αργολίδες μέγιστον κλέος ἐν τοῖς Ἕλλησιν ἤραντο Πύρρου τοῦ πολεμικωτάτου μηδὲ ὑπ' ἀνδρῶν, ἀλλὰ ὑπὸ γυναικῶν Ἀργολίδων πεσόντος.*

## 69. ΑΚΑΡΝΑΝΙΔΕΣ.

211 *Αἰτωλῶν Ἀκαρνᾶσι μακρῷ χρόνῳ πολεμούντων, τέλος δὲ κατὰ προδοσίαν ἐς τὴν πόλιν παραπεσόντων οἱ μὲν ἄνδρες εὐρώστως ἐν παραλόγῳ κινδύνῳ παρετάσσοντο, αἱ δὲ γυναῖκες ἐπὶ τὰς στέγας ἀναδραμοῦσαι, αἱ μὲν λίθους, αἱ δὲ κεράμους βάλλουσαι πολλοὺς τῶν πολεμίων ἀνῄρουν. τοὺς δὲ ἄνδρας ἐνδιδόντας καὶ ἡττωμένους αὗται ποτὲ μὲν παρακαλοῦσαι, ποτὲ δὲ ὀνειδίζουσαι, ποτὲ δὲ ἱκετεύουσαι ἀνέστρεψαν ἐπὶ τὴν μάχην. ἐπεὶ δὲ πάλιν ἀγωνισάμενοι γενναίως ἑάλωσαν, αἱ γυναῖκες ἐπὶ τοσοῦτον περιεπλέκοντο τοῖς σώμασι τῶν ἀνδρῶν ἢ ἀδελφῶν ἢ πατέρων, ὥστε αὐτὰς ἐξαρτωμένας ἀποσπᾶν οἱ πολέμιοι μὴ δυνάμενοι συγκατεφόνευσαν τοῖς ἀνδράσιν.*

---

Cap. 68. Cf. Plut. Pyrrh. 34; Pausan. 1, 13, 7; Iustin. 25, 5, 1 sq. — Droysen III, 1, p. 217.

---

1 *Ἀργολίδες* corr. $F_2$; *Ἀργολίδαι* $F_1$ ‖ 3 *Ἀριστέως* F; *Ἀριστέου* Plut. ‖ 6 *βάλουσαι* F ‖ 11 *πεσόντες* $F_1$ ‖ 12 *Ἀκαρνανίδες* W ex Steph. Byz. s. v.; *Ἀκαρνάνισσαι* C. I. A. II, 983; *Ἀρκάδαι* F ‖ 15 *εὐρώστως ὡς Patakis* ‖ 25 *συγκατεφόνευσαν* corr. $F_2$ ex *οὐ κατεφόνευσαν*.

## 70. ΚΥΡΗΝΑΙΑΙ.

*Κυρηναίοις ἐπολέμει Πτολεμαῖος. οἱ δὲ ἡγεμόνα ἐξ Αἰτωλίας Λυκωπὸν μεταπεμψάμενοι τούτῳ τὴν προστασίαν τῶν κοινῶν ἐνεχείρισαν. ἐν δὲ ταῖς μάχαις οἱ μὲν Κυρηναῖοι προεκινδύνευον, αἱ δὲ γυναῖκες αὐτῶν χάρακας περιέβαλλον, τάφρους ὤρυττον, βέλη προσέφερον, λίθους προσεκόμιζον, τοὺς τραυματίας ἐθεράπευον, τροφὴν παρεσκεύαζον. σφαλέντων δὲ τῶν ἀνδρῶν, τοῦ Λυκωποῦ τὰ πράγματα μεταστήσαντος ἐς μοναρχίαν, ἐπὶ τοσοῦτον ἐβλασφήμησαν τὸν μόναρχον, ὥστε παροξυνθεὶς τὰς πλείστας αὐτῶν ἀπέκτεινεν ἑκούσας ἐπὶ τὴν σφαγὴν θεούσας.*

## 71. ΛΑΚΑΙΝΑΙ.

*Λακεδαιμονίων αἱ θυγατέρες ἐγήμαντο Μινύαις τοῖς ἀπὸ τῶν Ἀργοναυτῶν γεγονόσιν. οἱ δὲ κοινωνοῦντες τῆς πολιτείας ἤδη καὶ τῆς βασιλείας ἀντεποιοῦντο. τοὺς μὲν δὴ καθεῖρξαν οἱ Σπαρτιᾶται, αἱ δὲ θυγατέρες τῶν* * * * *

Cap. 71. Cf. Herodot. 4, 145 sq.; Polyaen. 7, 47. — J. p. 483.

1 *Κυρηναῖαι* F] *Κυρηναῖοι* vulg. ‖ 6 *περιέβαλλον* W; *περιέβαλον* F ‖ 12 *τὴν* om. M ‖ 15 *ἀπὸ* Valcken. ad Herod.; *ὑπὸ* F ‖ *τὸν ἄργον αὐτῶν* F; corr. vulg. ‖ 17 *καθειρ αν* (sic) F.

# EXCERPTA POLYAENI

## E CODICE TACTICORVM FLORENTINO

### NVNC PRIMVM EDITA.

## *Πίναξ ὑποθέσεων τῶν ἐκ τῶν στρατηγικῶν πράξεων.*


1. *Περὶ τοῦ ποῖον δεῖ τὸν στρατηγὸν εἶναι.*
2. *Περὶ τῆς τῶν ὑπηκόων εὐνοίας.*
3. *Περὶ τῆς τῶν πολεμίων ἀσκήσεως καὶ σωφροσύνης.*
4. *Περὶ τοῦ πῶς ἄν τις τοῖς πολεμίοις προσάγοιτο.*
5. *Δειλῶν διάκρισις.*
6. *Φίλων δοκιμασία.*
7. *Περὶ κατασκόπων.*
8. *Ὅτι δεῖ τοῖς πολεμίοις ἄλλους πολεμίους κατασκευάζειν.*
9. *Περὶ ἀπιστίας εὐκαίρου.*
10. *Περὶ χάρακος.*
11. *Περὶ μονομαχιῶν.*
12. *Κατάπληξις πολεμίων.*
13. *Περὶ τοῦ καιροῦ καὶ τόπου τῆς μάχης.*
14. *Προτροπὴ εἰς ἀνδρείαν καὶ πειθανάγκην.*
15. *Φαντασία πλήθους.*
16. *Φαντασία ὀλιγότητος.*
17. *Τακτικά.*
18. *Περὶ τῆς παρατάξεως.*
19. *Πῶς δεῖ κυκλῶσαι πολεμίους.*
20. *Περὶ συνθημάτων.*
21. *Περὶ πυρσῶν.*
22. *Ἐκ πυρὸς βοήθεια.*
23. *Ἐξ ἀνέμων βοήθεια.*
24. *Δῄωσις καὶ φειδὼ τῆς τῶν πολεμίων χώρας.*
25. *Πῶς ἄν τις ἀγρυπνίαν τοῖς πολεμίοις ποιήσειεν.*
26. *Κώλυσις ὁρμῆς ἀλογίστου.*
27. *Πανικοῦ φόβου λύσις.*
28. *Περὶ τῆς κατὰ τὴν ὁμοιότητα τῶν σχημάτων ἀπάτης.*


---

In titulo *ἐκ τῶν Πολυαίνου* add. $H_p$ rec. m. in marg.

29. Περὶ τῆς ἐκ τοῦ ἐναντίου ἀπάτης.
30. Περὶ τοῦ ψεύδους τοῦ πρὸς τοὺς οἰκείους ἐπὶ συμφέροντι.
31. Περὶ αἰφνιδίων ἐπιθέσεων.
32. Ὅτι δεῖ τὰς ἐξ ἀπονοίας μάχας φυλάττεσθαι.
33. Προσποίησις φυγῆς.
34. Ὅτι δεῖ κρύπτειν τὰ οἰκεῖα κακά.
35. Προφυλακὴ ἐνέδρας.
36. Ἐνέδραι διάφοροι καὶ ποικίλαι.
37. Ὅσα κατὰ ἱππέων.
38. Περὶ τόπου.
39. Περὶ ὅρκων καὶ συνθηκῶν.
40. Περὶ προδοτῶν.
41. Περὶ ψευδοπροδοτῶν.
42. Περὶ αἰχμαλώτων.
43. Περὶ ὁμήρων.
44. Περὶ αὐτομόλων.
45. Περὶ διώξεων.
46. Περὶ τῆς ἐν τῇ ἀναχωρήσει ἀσφαλείας.
47. Φυγὴ ἐκ τόπων ἐπικινδύνων.
48. Ποταμῶν διαβάσεις.
49. Ὀρῶν ἀποτόμων ἀναβάσεις.
50. Περὶ ἀποσκευῆς.
51. Ἅλωσις ἑνὸς ἀνδρός.
52. Φυγὴ ἑνὸς καὶ μιᾶς.
53. Τιμαὶ καὶ κολάσεις στρατιωτῶν.
54. Πόλεων ἁλώσεις.
55. Πέτρας ἀποτόμου ἅλωσις.
56. Ἀσφάλεια πόλεων.
57. Ναυμαχικά.
58. Κατάληψις παραλίων τόπων καὶ πόλεων.

---

58 πολεμίων H.

ὁπότε τὴν στενόχωρον καὶ ἄνυδρον ἐπορευόμεθα· τὸ γὰρ βούλεσθαι πονεῖν πάντων κρατεῖν πέφυκεν.

3, 9, 32 Ὅτι Ἰφικράτης ποικίλως ἐγύμναζε τοὺς στρατιώτας μη- 2
χανώμενος ψευδοενέδρας, ψευδοπροδοσίας, ψευδαυτομολίας, ψευδοεφόδους, ἵνα, κἂν συμβῇ τι, ἐξ αὐτῶν μὴ ἐκπλήττοιντο.

4, 2, 1 Ὅτι Φίλιππος τὸν ἴδιον στρατηγὸν ἀπεχειροτόνησε τῆς 3
ἀρχῆς χρησάμενον λουτρῷ ἐπειπὼν αὐτῷ· ‘ἀγνοεῖν μοι δοκεῖς τὰ τῶν Μακεδόνων, παρ’ οἷς οὐδὲ γυνὴ τεκοῦσα θερμῷ λούεται.’

4, 2, 3 Ὅτι ἑτέρους ἀπεχειροτόνησε ψάλτριαν εἰς τὸ στρατόπεδον 4
καταδεξαμένους εἰσελθεῖν.

4, 3, 32 extr. Ὅτι καὶ Ἀλέξανδρος τὸ τοῦ Δαρείου δεῖπνον ἀναγιγνω- 5
σκόντων τῶν Μακεδόνων καὶ θαυμαζόντων διὰ τὴν πολυτέλειαν κατέγνω εἰπών, ὡς οὐδαμῶς συμφέρει τοῖς στρατηγοῖς οὕτως ἀσώτως δειπνεῖν διδάσκεσθαι. ἀνάγκη γὰρ τῇ πολλῇ ἀσωτίᾳ καὶ τρυφῇ πολλὴν ἀνανδρίαν καὶ μαλακίαν ἕπεσθαι.

8, 8 Ὅτι Μούκιος ὁ Ῥωμαῖος ἀνὴρ βουλόμενος δι’ οἰκείας 6
αὐτομολήσεως τὸν Τυρρηνῶν βασιλέα ἀνελεῖν, ἀμφιασάμενος Τυρρηνικὴν στολὴν καὶ τυρρηνίζων τῇ φωνῇ εἰσῆλθεν πρὸς Τυρρηνούς. φωραθεὶς δὲ ἐπειδὴ ἔμελλε τῆς τόλμης ὑπέχειν δίκην, τῆς παρακειμένης ἐσχάρας πῦρ ἐχούσης ὑπερέσχε τὴν δεξιὰν καὶ φλεγομένης τῆς χειρὸς εἱστήκει διαλεγόμενος τῷ βασιλεῖ ἀτρέπτῳ τῷ προσώπῳ· ὡς δὲ ἐθαυμάζετο, ‘μηδαμῶς, ἔφη, θαυμάσῃς· τριακόσιοι γὰρ Ῥωμαῖοι τὴν ὁμοίαν ἐμοὶ ἀρετὴν ἔχοντες ἀνὰ τὸ σὸν περιπολοῦσι στρατόπεδον τὸν σὸν ἐπιτηδευόμενοι θάνατον.’ ἐξ οὗ συνέβη φοβηθέντα τὸν βασιλέα πρὸς Ῥωμαίους σπείσασθαι.

8, 13 Ὅτι καὶ Γάϊος παράγγελμα δοὺς τοῦ ἐν καιρῷ θέρους 7
μένειν τὸ στρατόπεδον ἐπὶ τῶν ὅπλων, ἐπειδὴ ἐθεάσατο τὸν ἴδιον υἱὸν διψῶντα τὸν ἵππον μέλλοντα ποτίζειν, κατεψηφίσατο αὐτῷ καρατομίαν, ὅπως μὴ παρορῶνται τὰ τούτου παραγγέλματα παρὰ τῶν λοιπῶν στρατιωτῶν.

*τινων διεγείρειν ἐπιτηδευμάτων, οἷον ἐν καιρῷ χειμῶνος λέ- γεται ποιῆσαι τὸν Ἰφικράτην ἀθλιωτέραν τῶν στρατιωτῶν στολὴν ἐνδυσάμενον καὶ παρακαλοῦντα πάντας προθύμως ἀπιέναι εἰς τὸν προκείμενον ἀγῶνα. ἀλλὰ καὶ Ἀλέξανδρον ἐν τῇ πρὸς Τύρον πολιορκίᾳ κόφινον πληρώσαντα χοῦν ἀπάξαι πρότερον, καὶ ἀλλαχοῦ ἐν ἀνύδρῳ τὸ εὑρεθὲν ὑδάτιον μὴ θελήσαντα πιεῖν, ἀλλ' ἐνώπιον πάντων ἐκχέαι. χρὴ δὲ μετὰ πάντων ἀποσημειοῦσθαι μὴ μόνον τοὺς ἀποξενωμένους τόπους, ἀλλὰ καὶ τὰς μετὰ διαφόρων γενομένας ὁμιλίας, ἵνα χρείας καλούσης ἀναμνημονεύων ταῦτα πάντας ἐκπλήσσῃ ὡς πολυμνήμων.*

3, 9, 34 — 4, 3, 3 — 4, 3, 25 — 4, 6, 2

## 2. *Περὶ τῆς τῶν ὑπηκόων εὐνοίας.*

*Τοῦτο γίγνεται, ὅταν τις τοὺς εἰς αὐτὸν πταίοντας συγχωρῇ ἢ καὶ μικρὰ ἐπιτιμᾷ, ὁποῖα λέγουσι τὸν Γέσκωνα ἐκεῖνον τοὺς τοῦ ἀδελφοῦ φονεῖς καὶ αὐτοῦ ἐκείνου ἐπιβούλους ἐργάσασθαι, ἐλαφρῷ ποδὶ ἐπὶ τὸν τράχηλον τῶν ἐχθρῶν ἐπιβάντα εἰπεῖν ἱκανὴν ἔχειν τιμωρίαν τῆς τοῦ ἀδελφοῦ ἀναιρέσεως, ὅτι οὐ κακῷ κακὸν ἠμυνάμην, ἀλλ' ἀγαθῷ κακόν. χρὴ δὲ καὶ τὰς πρὸς τοὺς ἐχθροὺς ἀποκινήσεις σπουδῇ ποιεῖν εἰς τὸ μὴ χυδαιοῦν τὸν ἴδιον στρατόν.*

5, 11

## 3. *Περὶ τῆς τῶν πολεμίων ἀσκήσεως καὶ σωφροσύνης.*

1 *Ὅτι Ἀρχίδαμος διὰ στενοχώρου καὶ ἀνύδρου ὁδοῦ διαβιβάζων τὸν λαὸν καὶ παραμυθούμενος τοῦ μὴ ἀγανακτεῖν λάθρᾳ ἐπελθὼν τοῖς πολεμίοις λείαν πολλὴν ἐλάβετο. εἶτα ἐπὶ τῇ νίκῃ γεγηθότας ὁρῶν τοὺς στρατιώτας ἠρώτησεν, ὁπότε λέγουσι καὶ διὰ ποίων ἔργων κατεπράχθη τὸ ἀνδραγάθημα. ἀποκριναμένων δὲ τῶν μέν, ἡνίκα προσεβάλλομεν, τῶν δέ, ἡνίκα ἠκοντίζομεν, τῶν δέ, ἡνίκα ἐτοξεύομεν, οὐδαμῶς ἔφη αὐτὸς ἐκ τούτων δοκεῖν τὸ κατόρθωμα, ἀλλὰ τότε,*

1, 41, 5

---

10 *ἀναμνημονεύοντα* H ‖ 14 *ἐπιτιμᾶν* H.

ὁπότε τὴν στενόχωρον καὶ ἄνυδρον ἐπορευόμεθα· τὸ γὰρ
βούλεσθαι πονεῖν πάντων κρατεῖν πέφυκεν.

32 Ὅτι Ἰφικράτης ποικίλως ἐγύμναζε τοὺς στρατιώτας μη- 2
χανώμενος ψευδοενέδρας, ψευδοπροδοσίας, ψευδαυτομολίας,
ψευδοεφόδους, ἵνα, κἂν συμβῇ τι, ἐξ αὐτῶν μὴ ἐκπλήτ-
τοιντο.

2, 1 Ὅτι Φίλιππος τὸν ἴδιον στρατηγὸν ἀπεχειροτόνησε τῆς 3
ἀρχῆς χρησάμενον λουτρῷ ἐπειπὼν αὐτῷ· ‘ἀγνοεῖν μοι δοκεῖς
τὰ τῶν Μακεδόνων, παρ’ οἷς οὐδὲ γυνὴ τεκοῦσα θερμῷ
λούεται.’

2, 3 Ὅτι ἑτέρους ἀπεχειροτόνησε ψάλτριαν εἰς τὸ στρατόπεδον 4
καταδεξαμένους εἰσελθεῖν.

32 tr. Ὅτι καὶ Ἀλέξανδρος τὸ τοῦ Δαρείου δεῖπνον ἀναγιγνω- 5
σκόντων τῶν Μακεδόνων καὶ θαυμαζόντων διὰ τὴν πολυ-
τέλειαν κατέγνω εἰπὼν, ὡς οὐδαμῶς συμφέρει τοῖς στρατη-
γοῖς οὕτως ἀσώτως δειπνεῖν διδάσκεσθαι. ἀνάγκη γὰρ τῇ
πολλῇ ἀσωτίᾳ καὶ τρυφῇ πολλὴν ἀνανδρίαν καὶ μαλακίαν
ἕπεσθαι.

8, 8 Ὅτι Μούκιος ὁ Ῥωμαῖος ἀνὴρ βουλόμενος δι’ οἰκείας 6
αὐτομολήσεως τὸν Τυρρηνῶν βασιλέα ἀνελεῖν, ἀμφιασάμενος
Τυρρηνικὴν στολὴν καὶ τυρρηνίζων τῇ φωνῇ εἰσῆλθεν πρὸς
Τυρρηνούς. φωραθεὶς δὲ ἐπειδὴ ἔμελλε τῆς τόλμης ὑπέχειν
δίκην, τῆς παρακειμένης ἐσχάρας πῦρ ἐχούσης ὑπερέσχε τὴν
δεξιὰν καὶ φλεγομένης τῆς χειρὸς εἱστήκει διαλεγόμενος τῷ
βασιλεῖ ἀτρέπτῳ τῷ προσώπῳ· ὡς δὲ ἐθαυμάζετο, ‘μηδαμῶς,
ἔφη, θαυμάσῃς· τριακόσιοι γὰρ Ῥωμαῖοι τὴν ὁμοίαν ἐμοὶ
ἀρετὴν ἔχοντες ἀνὰ τὸ σὸν περιπολοῦσι στρατόπεδον τὸν σὸν
ἐπιτηδευόμενοι θάνατον.’ ἐξ οὗ συνέβη φοβηθέντα τὸν βασι-
λέα πρὸς Ῥωμαίους σπείσασθαι.

1, 13 Ὅτι καὶ Γάϊος παράγγελμα δοὺς τοῦ ἐν καιρῷ θέρους 7
31 μένειν τὸ στρατόπεδον ἐπὶ τῶν ὅπλων, ἐπειδὴ ἐθεάσατο τὸν
ἴδιον υἱὸν διψῶντα τὸν ἵππον μέλλοντα ποτίζειν, κατεψηφί-
σατο αὐτῷ καρατομίαν, ὅπως μὴ παρορῶνται τὰ τούτου
παραγγέλματα παρὰ τῶν λοιπῶν στρατιωτῶν.

8 Ὅτι καὶ Σκιπίων οὐ παρεχώρει πλὴν τῶν ἀναγκαίων ἐπισύρεσθαί τινα ἐν τῷ στρατοπέδῳ, παρεσκεύαζεν δὲ ἐθίζεσθαι τὸν στρατὸν ἀριστᾶν μὲν ὀρθοὺς ἄπυρον ὄψον, ἐν δὲ τῷ δείπνῳ προσφέρεσθαι καὶ κρέας ἑφθὸν ἢ ὀπτόν. 8, 16,

9 Ὅτι καὶ Καῖσαρ ἐν λιμῷ σκευάσας τοῖς στρατιώταις ἐκ βοτάνης ἄρτους διέδωκεν, οὓς εὑρὼν Πομπήϊος ἀπέκρυψε τοῖς ἰδίοις στρατιώταις τοῦ μὴ ἐπιδεῖξαι τὴν τῶν πολεμίων ἐγκράτειαν. 8, 23,

10 Ὅτι ὁ αὐτὸς ἐκκοπείσης αὐτοῦ στρατιᾶς ὤμοσε μὴ πρότερον ἀποκείρασθαι, πρὶν τὴν ἐκδίκησιν τῶν ἀνῃρημένων ποιήσασθαι. 8, 23,

## 4. Πῶς ἂν τις τοῖς πολεμίοις προσάγοιτο.

1 Ὅτι Πεισίστρατος μέρος πολεμίων ἀπαντήσας καὶ τροπωσάμενος, ἐπειδὴ ἔμελλεν προσυπαντᾶν καὶ ἑτέρους πολεμίους, ἐσχηματίσατο σπονδὰς πεποιηκέναι πρὸς τοὺς προτέρους. τούτῳ τῷ σχήματι κατηγωνίσατο καὶ αὐτῶν. 1, 21, 1

2 Ὅτι καὶ Βρασίδας τὰς ἐξ ἀπονοίας μάχας φεύγων διασταγμὸν ἐνεποίει οἷς ἔμελλε πολιορκεῖν. οἷον ἐποίησεν εἰς Ἀμφίπολιν κηρύξας τοῖς μὲν Ἀθηναίοις ὑποσπόνδοις ἀπιοῦσιν ἄδειαν καὶ τὸ ἔχειν τὰ ἴδια, Ἀμφιπολίταις δὲ αὐτόνομον τὴν πατρίδα, εἰ σύμμαχοι Λακεδαιμονίων γένοιντο. 1, 38,

3 Ὅτι καὶ Τιμόθεος πόλιν περιστρατοπεδεύσας ἀφώρισε τόπον τοῖς στρατιώταις προνομεύειν, τὸ δὲ λοιπὸν παραφυλάττειν μήτε οἰκίαν μήτε ἔπαυλιν καθαιροῦντας ἢ ἥμερον δένδρον ἐκκόπτειν, εἰ μὴ μόνον τοὺς καρποὺς, ὅπως, εἰ μὲν περιγένηται, κέρδος ἐκεῖθεν συλλέγοι, εἰ δὲ ὁ πόλεμος ἐκταθῇ, τροφὰς καὶ καταγωγὰς ἔχοι. 3, 10,

4 Ὅτι καὶ Φίλιππος οὐ τοσοῦτον ἐμεγαλαύχει τοῖς ὅπλοις κρατῶν, ὅσον τῇ ὁμιλίᾳ καὶ φρονήσει. ἡγεῖτο γὰρ ἐκεῖ 4, 2, 9

---

1 σκηπίων H (et sic semper) ‖ 9 ἐκκοπήσεις H ‖ 20 τοῦ ἔχειν H ‖ 27 ἔχειν H.

τοὺς ἀπομείναντας· ‘νῦν, ὦ ἄνδρες, τῶν ἀνδραπόδων ἀπηλλαγμένων ἡμεῖς τοῖς πολεμίοις συνάψωμεν, ἵνα καὶ μόνοι τοὺς καρποὺς τῆς ἀνδραγαθίας λάβωμεν.’ καὶ ἐκ τούτου κατὰ κράτος ἐνίκησεν.

5, 3, 5 Ὅτι καὶ Ἀγαθοκλῆς βουλόμενος ἐπὶ Καρχηδόνα δια- 3
πλεῦσαι δοκιμάζων τὸ πρόθυμον τῶν στρατιωτῶν ἐκήρυξεν· ‘ἐπιτρέπω τοῖς βουλομένοις ἑαυτοὺς σώζειν ἐξιέναι τῶν νεῶν μετὰ τῶν οἰκείων κτημάτων’, καὶ ἐξελθόντας αὐτοὺς ἀπέκτεινε πάντας· τοὺς δὲ μείναντας ἐπαινέσας ὡς ἀνδρείους καὶ πιστοὺς ἀπέπλευσεν εἰς Καρχηδόνα καὶ παραχρῆμα τὰς ναῦς ἐνέπρησεν, ὅπως ἀγωνίζωνται γενναιότερον τὸ φυγεῖν ἐπὶ τῶν νεῶν ἀπεγνωκότες. τούτῳ τῷ στρατηγήματι αὐτῶν τε Καρχηδονίων καὶ πολλῶν ἄλλων ἐκράτησε πόλεων.

## 6. Φίλων δοκίμασις.

1, 40, 1 Ὅτι Ἀλκιβιάδης εἴδωλον ἀνδρὸς ἐν οἰκίσκῳ σκοτεινῷ 1
κρύψας ἕκαστον τῶν φίλων ἰδίᾳ προσάγων ἐδείκνυεν, ὡς αὐτὸς εἴη ὁ τὸν ἄνδρα πεφονευκώς, καὶ παρεκάλει συμπράττειν, ὅπως τὸ δοκοῦν λάθοι δεινόν. ὅσοι μὲν οὖν προσετίθεντο, φίλους πιστοὺς τούτους ἡγεῖτο.

5, 2, 12 Ὅτι Διονύσιος βουλόμενος ἐπιθέσθαι πόλιν κατὰ θά- 2
λατταν καὶ γνῶναι τοὺς πιστοὺς τῶν τριηράρχων βιβλίον ἄγραφον ἐσφραγισμένον ἑκάστῳ ἔδωκε προστάξας, ἐπειδὰν ἀναχθέντων ἀρθῇ τὸ σημεῖον, τότε λύειν τὰ βιβλία καὶ μαθόντας ἐκεῖσε πλεῖν, ὅπου κελεύει τὰ γεγραμμένα. Οἱ μὲν δὴ ἀνήχθησαν, ὁ δὲ πρὶν ἆραι τὸ σημεῖον [παρ’] ἑκάστου τριηράρχου τὸ βιβλίον ἀπῄτει. καὶ ὅσους εὗρε τὴν σφραγῖδα παραλελυκότας, ὡς προδότας ἀπέκτεινε καὶ τότε ἕτερα βιβλία δοὺς τοῖς ἐγκαταλειφθεῖσιν ἐξέπλευσεν. καὶ παραφυλαχθὲν ἐκ τούτου τὸ ἀπόρρητον ἀφύλακτον τὴν πόλιν εὑρὼν κατέλαβεν.

---

14 δοκιμασίας H ‖ 20 πόλει Polyaen. ‖ 25 [παρ’] inserui.

11 Ὅτι Ἀρταξέρξης ἀγωνοθετῶν τοῖς Ἕλλησι τὸν πόλεμον 7, 16, 2 ἀεὶ προστιθέμενος τοῖς ἡττωμένοις ἐπανίσου τὸ ἐλαττούμενον καὶ ἐκ τούτου ἐκράτησεν.

12 Ὅτι Κάμιλλος πολεμῶν Φαληρεῖς ἐπειδὴ εἶδεν Φαλη- 8, 7, 1 ρέων παίδων διδάσκαλον τοὺς ὑπ' αὐτὸν προδόντα παῖδας αὐτῷ, ἀντιπαραδοὺς αὐτὸν τοῖς παισὶ προσέταξεν ὀπίσω τὼ χεῖρε δεδεμένον ἀποκομίσαι πρὸς τοὺς πατέρας ὡς προδότην. οἱ δὲ τοῦτον καταφθείραντες, Καμίλλου δὲ τὴν ἀρετὴν θαυμάσαντες ἑαυτοὺς ἄνευ μάχης παρέδωκαν.

13 Ὅτι καὶ Σκιπίων δορυάλωτον πόλιν λαβών, ἐπειδὴ οἱ 8, 16, 6 νυμφαγωγοὶ παρθένον αὐτῷ ἤγαγον κάλλος ὑπερφυὲς ἔχουσαν, αὐτὸς τὸν πατέρα τῆς κόρης ἀναζητήσας ἐχαρίσατο τὴν θυγατέρα. τοῦ δὲ δῶρα προσκομίσαντος αὐτὸς καὶ ταῦτα συνεδωρήσατο προῖκα φήσας ἐπιδιδόναι τῇ κόρῃ. ὅσαι δὲ καὶ ἄλλαι τῶν εὐγενῶν θυγατέρες ἢ παῖδες ἑάλωσαν, τούτοις ἐφίστα σωφρονεστάτους ἐκ τῶν πρεσβυτέρων εἰς θεραπείαν πᾶσαν καὶ χορηγίαν. ἡ τοιαύτη Σκιπίωνος σωφροσύνη πολλὰς πόλεις Ἰβηρικὰς Ῥωμαίοις φίλας ἀπειργάσατο.

14 Ὅτι Καῖσαρ Πομπήϊον νικήσας καὶ θεασάμενος τοὺς 8, 23, 2 στρατιώτας ἀμέτρως τῇ νίκῃ χρωμένους ἀνέκραξε 'φείδεσθε τῶν πολιτῶν'.

## 5. Δειλῶν διάκρισις.

1 Ὅτι Ἐπαμινώνδας ὑποπτεύσας ἐθελοκακοῦντας ἀκο- 2, 3, 3 λουθεῖν τινας τῶν αὐτοῦ στρατιωτῶν ἐκήρυξεν ἀπιέναι τοὺς βουλομένους καὶ μετὰ τῶν προθύμων ὁπλιτῶν παραταξάμενος εὐκλεῶς ἐνίκησεν.

2 Ἀλλὰ καὶ Ἰφικράτης θεασάμενος ὀκνηροὺς καὶ δειλούς 3, 9, 1 τινας ἐπακολουθοῦντας αὐτῷ ἐκήρυξεν τῆς ἐξόδου γενομένης ἄφνω· 'εἴ τις ἀπολέλοιπέν τι, ἀναστρεφέτω καὶ παρασκευασάμενος καλῶς ἐπανηκέτω.' μὴ ἀναμείνας δὲ τούτους ἔφη πρὸς

4 Φαλερίοις Polyaen. ‖ Φαλερίων Polyaen. ‖ 15 τούτους H ‖ 24 αὐτοῦ H.

*τοὺς ἀπομείναντας· ‘νῦν, ὦ ἄνδρες, τῶν ἀνδραπόδων ἀπηλλαγμένων ἡμεῖς τοῖς πολεμίοις συνάψωμεν, ἵνα καὶ μόνοι τοὺς καρποὺς τῆς ἀνδραγαθίας λάβωμεν.’ καὶ ἐκ τούτου κατὰ κράτος ἐνίκησεν.*

5, 3, 5 *Ὅτι καὶ Ἀγαθοκλῆς βουλόμενος ἐπὶ Καρχηδόνα δια-* 3 *πλεῦσαι δοκιμάζων τὸ πρόθυμον τῶν στρατιωτῶν ἐκήρυξεν· ‘ἐπιτρέπω τοῖς βουλομένοις ἑαυτοὺς σώζειν ἐξιέναι τῶν νεῶν μετὰ τῶν οἰκείων κτημάτων’, καὶ ἐξελθόντας αὐτοὺς ἀπέκτεινε πάντας· τοὺς δὲ μείναντας ἐπαινέσας ὡς ἀνδρείους καὶ πιστοὺς ἀπέπλευσεν εἰς Καρχηδόνα καὶ παραχρῆμα τὰς ναῦς ἐνέπρησεν, ὅπως ἀγωνίζωνται γενναιότερον τὸ φυγεῖν ἐπὶ τῶν νεῶν ἀπεγνωκότες. τούτῳ τῷ στρατηγήματι αὐτῶν τε Καρχηδονίων καὶ πολλῶν ἄλλων ἐκράτησε πόλεων.*

## 6. *Φίλων δοκίμασις.*

1, 40, 1 *Ὅτι Ἀλκιβιάδης εἴδωλον ἀνδρὸς ἐν οἰκίσκῳ σκοτεινῷ* 1 *κρύψας ἕκαστον τῶν φίλων ἰδίᾳ προσάγων ἐδείκνυεν, ὡς αὐτὸς εἴη ὁ τὸν ἄνδρα πεφονευκώς, καὶ παρεκάλει συμπράττειν, ὅπως τὸ δοκοῦν λάθοι δεινόν. ὅσοι μὲν οὖν προσετίθεντο, φίλους πιστοὺς τούτους ἡγεῖτο.*

5, 2, 12 *Ὅτι Διονύσιος βουλόμενος ἐπιθέσθαι πόλιν κατὰ θά-* 2 *λατταν καὶ γνῶναι τοὺς πιστοὺς τῶν τριηράρχων βιβλίον ἄγραφον ἐσφραγισμένον ἑκάστῳ ἔδωκε προστάξας, ἐπειδὰν ἀναχθέντων ἀρθῇ τὸ σημεῖον, τότε λύειν τὰ βιβλία καὶ μαθόντας ἐκεῖσε πλεῖν, ὅπου κελεύει τὰ γεγραμμένα. Οἱ μὲν δὴ ἀνήχθησαν, ὁ δὲ πρὶν ἄραι τὸ σημεῖον [παρ’] ἑκάστου τριηράρχου τὸ βιβλίον ἀπῄτει. καὶ ὅσους εὗρε τὴν σφραγίδα παραλελυκότας, ὡς προδότας ἀπέκτεινε καὶ τότε ἕτερα βιβλία δοὺς τοῖς ἐγκαταλειφθεῖσιν ἐξέπλευσεν. καὶ παραφυλαχθὲν ἐκ τούτου τὸ ἀπόρρητον ἀφύλακτον τὴν πόλιν εὑρὼν κατέλαβεν.*

---

14 *δοκιμασίας* H ‖ 20 *πόλει* Polyaen. ‖ 25 [*παρ’*] inserui.

3 Ὅτι καὶ Ἀλέξανδρος πυθόμενος μοχθηρὰ περὶ αὐτοῦ 4, 3, 19 τοὺς ὑπηκόους λογοποιουμένους συναγαγὼν τοὺς φίλους ἔφη· ‛ὁ βουλόμενος ἀποστελλέτω εἰς τοὺς οἴκοι γράμματα, ὡς ἐπανήξοι μετὰ χρόνον ἐτῶν τριῶν.’ οἱ μὲν δὴ πάντες ἔγραψαν, αὐτὸς δὲ ἐκ τῶν γραμματοφόρων ἀφελόμενος τὰς ἐπιστολὰς τὰ ἑκάστου διαβούλια ἔμαθεν.

## 7. Περὶ κατασκόπων.

1 Ὅτι Χάρης ἐν τῷ στρατοπέδῳ κατασκόπους ὑπονοήσας 3, 13, 1 φυλακὴν ἔξω τοῦ χάρακος ἐπέστησε καὶ προσέταξεν ἕκαστον ἐπιλαμβάνεσθαι τοῦ πλησίον καὶ μὴ πρότερον ἀφιέναι πρὶν εἰπεῖν, ὅστις εἴη καὶ ποίας τάξεως καὶ τίνος κοντουβερνίου.

2 Ὅτι καὶ Θέογνις ὑπονοήσας κατασκόπους παρήγγειλεν 5, 28, 2 ἕκαστον μένειν ἐπὶ τῶν ἰδίων ὅπλων, ἀνυπονοήτους δὲ ἔξω τοῦ χάρακος περιστήσας τοὺς χωριζομένους ἁλίσκεσθαι προσέταττεν καὶ ἀνερευνᾶσθαι.

3 Ὅτι καὶ Πομπίσκος κατασκόπους ἔπεμπεν ἀγνῶτας ἀλλή- 5, 33, 6 λων, ἵνα μὴ συντίθοιντο μηδὲ ψευδάγγελοι γίγνοιντο, παρήγγελλε δὲ μηδενὶ τῶν ἐν τῷ στρατοπέδῳ διαλέγεσθαι.

4 Ὅτι Μέμνων βουλόμενος μαθεῖν τὴν ὀχυρότητα τῶν 5, 44, 1 τειχῶν τῆς τῶν πολεμίων πόλεως καὶ τῶν λοιπῶν ἔπεμψεν Ἀρχιβιάδην πρεσβευτὴν ὡς ὑπὲρ φιλίας πρεσβευσόμενον. συνέπεμψεν δὲ αὐτῷ καὶ κιθαρῳδὸν ἄριστον, ὅπως συντρεχόντων πάντων τῇ τούτου κιθαρῳδίᾳ κατάδηλον τὸ πλῆθος τῷ πρεσβευτῇ γένοιτο.

5 Ὅτι Σκιπίων κατασκόπους Καρχηδονίων συλλαβών, 8, 16, 8 Ῥωμαίων νόμου κελεύοντος τούτους ἀναιρεῖσθαι, τοῦτο μὲν οὐκ ἐποίησεν, προσέταξε δὲ τρίτον περιελθεῖν τὴν στρατιάν. οἱ δὲ ἰδόντες Ῥωμαίους τοὺς μὲν βάλλοντας, τοὺς δὲ ἀκοντίζοντας, τοὺς δὲ πηδῶντας, τοὺς δὲ τὰ ὅπλα ἐπισκευαζο-

---

3 τὰ οἴκοι H ‖ 9 χάρακτος H ‖ 11 κουντουβερνίου H ‖ 12 Θεόγνης H ‖ 14 χαράκτος H ‖ 17 μηδένα H ‖ 22 ἄριστον] Ἀριστόνικον Polyaen.

μένους ἀπελύθησαν παρ' αὐτοῦ εἰπόντος αὐτοῖς ἀπαγγεῖλαι, ἅπερ ἐθεάσαντο, ὃ καὶ γεγονὸς ἐξέπληξε τοὺς ἀποστείλαντας.

## 8. Ὅτι δεῖ τοῖς πολεμίοις ἄλλους πολεμίους κατασκευάζειν.

1, 30, 7 Ὅτι Θεμιστοκλῆς Ἰώνων Ξέρξῃ συμμαχούντων ἐκέλευσε 1
τοῖς Ἕλλησι καταγράφειν ἐπὶ τοὺς τοίχους· ‛ἄνδρες Ἴωνες, οὐ δίκαια ποιεῖτε στρατεύοντες ἐπὶ τοὺς πατέρας ὑμῶν.' τούτων ἀναγιγνωσκομένων Ξέρξης τοὺς Ἴωνας ὑπόπτους ἡγήσατο.

2, 1, 33 Ὅτι Ἀγησίλαος ἐν ταῖς διαπρεσβείαις ἠξίου τῶν πολε- 2
μίων τοὺς μάλιστα δυνατοὺς πέμπεσθαι πρὸς αὐτὸν διαλέξεως ἕνεκεν τῶν κοινῇ συμφερόντων· οἷς ἐπὶ πλεῖστον συγγιγνόμενος καὶ κοινωνῶν ἑστίας καὶ σπονδῶν ταῖς πόλεσι στάσιν ἐνεποίει διὰ τὰς τῶν πολλῶν ὑποψίας.

2, 10, 1 Ὅτι Κλεανδρίδας ἐπὶ Τέριναν ἀγαγὼν τὴν στρατιὰν καὶ 3
λάθρᾳ προσπεσεῖν ἐπιχειρῶν, ἐπειδὴ δι' αὐτομόλου Τεριναῖοι προαισθόμενοι ὑπὲρ κεφαλῆς ἐγένοντο αὐτοῦ καὶ ἐκ τούτου συνέβαινε τὸν οἰκεῖον ἀθυμεῖν στρατὸν, τὸν κήρυκα διὰ τῆς στρατιᾶς ἦγε προστάξας ἀναβοᾶν, ὃς ἂν Τεριναίων τὸ σύνθημα λέγῃ τὸ προκείμενον, τοῦτον φίλον ἡγεῖσθαι. ἀκούσαντες οἱ Τεριναῖοι τοῦ συντάγματος ἔδοξάν τινας ἐξ αὐτῶν ἔχειν προδότας καὶ ἐκ τούτου πρὸς φυλακὴν τῆς οἰκείας ἐτράπησαν πόλεως ἀφέντες τὸν πρὸς Κλεανδρίδαν ἐξ ὑπερδεξίου αὐτῶν πόλεμον. ὁ δὲ ἀκινδύνως ἐκ τούτου ἐπὶ τὰ ὑψηλὰ τὴν στρατιὰν διαβιβάσας τὴν χώραν αὐτῶν κατεδῄωσεν.

2, 10, 3 Ὅτι ὁ αὐτὸς πάλιν τοὺς ἀρίστους τῶν Τεγεατῶν λακω- 4
νίζειν ὑποπτευομένους ἐποίησεν ὑποπτοτέρους τὰ τούτων χωρία μόνον μὴ δῃώσας, [τὰ δὲ] τῶν ἄλλων λυμαινόμενος. οἱ μὲν οὖν Τεγεᾶται σὺν πολλῇ ὀργῇ τοὺς ἄνδρας εἰς δίκην προδοσίας ὑπῆγον, οἱ δὲ ἁλῶναι δείσαντες προέδωκαν τὴν

---

28 [τὰ δὲ] inserui.

πόλιν τὴν ψευδῆ ὑποψίαν ἀληθῆ ποιῆσαι τῷ φόβῳ βιασθέντες.

5 Ὡσαύτως καὶ Ἀλέξανδρος πολεμῶν Πέρσας τὸν αὐτῶν στρατηγὸν Μέμνονα ἐποίησεν ὕποπτον παραγγείλας τοὺς ὑπ' αὐτὸν [μὴ] προνομεύειν τὰ τούτου χωρία. 4, 3, 15

6 Ὅτι καὶ Εὐρυπῶν δρῶν τὸν πρὸς Ἀρκάδας μηκυνόμενον πόλεμον στάσιν αὐτοῖς ἐμποιῆσαι μηχανώμενος κήρυκα ἔπεμψεν ἀγγέλλοντα, ὡς Λακεδαιμόνιοι παύσονται τοῦ πολέμου, ἐὰν τοὺς ἐναγεῖς ἐξελάσωσι, τούτους δὲ εἶναι τοὺς Ἆγιν ἀνῃρηκότας. οἱ δὴ τοῦ φόνου τὴν αἰτίαν ἔχοντες προσδοκῶντες ὑπὸ τοῦ δήμου διωχθήσεσθαι ἐπιθυμοῦντος τὴν εἰρήνην, σὺν ἐγχειριδίοις ἐλθόντες ἀπέσφαξαν ὅσους ἠδύναντο, πολλοὺς δὲ καὶ εἰς συμμαχίαν αὐτῶν προσεποιήσαντο. οἱ δὲ τῆς εἰρήνης ἐπιθυμοῦντες συνετάχθησαν κατ' αὐτῶν, ὥστε δίχα διαιρεθέντες παρετάξαντο πρὸς ἀλλήλους. ἐκ τούτου συνέβη ἡττηθέντας Ἀρκάδας ἀνοῖξαι τὰς πύλας καὶ προσδέξασθαι Λακεδαιμονίους, οἳ καὶ κατέσχον τὴν πόλιν, ἣν πολέμου νόμῳ κρατῆσαι οὐκ ἴσχυον. 2, 13

## 9. Περὶ ἀπιστίας εὐκαίρου.

1 Ὅτι Λύσανδρος τοῖς ἐν Μιλήτῳ φίλοις ὑποσχόμενος τὸν δῆμον συγκαταλύσειν ἧκεν εἰς Μίλητον καὶ τοῖς μὲν νεωτερίζουσι λόγῳ χαλεπὸς ἦν, τοῖς δὲ δημόταις ἐλευθερίαν ἐπηγγέλλετο, ᾧ καὶ πιστεύσας ὁ δῆμος ἀπαράσκευος ἤλπιζε τὰ βελτίονα. οἱ φίλοι κοινῷ συνθήματι ἐπανίστανται καὶ κτείνουσι πολλοὺς τοῦ δήμου, καὶ ἡ Μίλητος ἦν ὑπὸ τοῖς φίλοις τοῦ Λυσάνδρου. 1, 45, 1

2 Ὅτι Ἀντίοχος Σελεύκου τοῦ ἀδελφοῦ ἀποστὰς ἔφυγεν εἰς Μεσοποταμίαν. ὃν ὑπεδέξατο Ἀρσάμης φίλος ὤν. διωκόμενος οὖν ὑπ' Ἀχαίου καὶ Ἀνδρομάχου στρατηγῶν καὶ 4, 17

3 αὐτὸν H ‖ 5 [μὴ] inserui ‖ 6 Εὐρυτίων H ‖ μηκυνώμενον H ‖ 10 Αἴγιναν ἡρηκότας H ‖ 13 προσεποιήσατο H ‖ 29 ὑπ' Ἀχαίου] ὑπὸ Χέρου H.

πολεμηθεὶς ὑπ᾽ αὐτῶν, ἐπειδὴ ἔτυχε πληγῆναι ἐν τῷ τοιούτῳ πολέμῳ, μεθ᾽ ἡμέρας τοὺς οἰκείους στρατιώτας πρὸς ζήτησιν τοῦ οἰκείου σώματος ἐξαπέστειλεν ὑπισχνουμένους πάντα ποιήσειν, εἰ τοῦτο λάβοιειν. οἱ δὲ στρατηγοὶ νομίσαντες τεθνηκέναι Ἀντίοχον πρὸς ἀναζήτησιν τοῦ σώματος αὐτοῦ πλῆθος στρατιωτῶν ἀόπλων ἐξαπέστειλαν. ἐπεὶ δὲ ἄλλος ἀλλαχοῦ διεσπάρησαν ἀναψηλαφῶντες αὐτὸς Ἀντίοχος μετὰ τῶν στρατιωτῶν σχῆμα βασιλικὸν ἀναλαβὼν ἐπεφάνη δείξας ἑαυτὸν καὶ ζῶντα καὶ νικῶντα.

8, 8 Ὅτι Πομπίσκος εἴς τινα πόλιν στρατοπεδεύσας τὰ μὲν 3
λοιπὰ τῶν προαστείων τῆς πόλεως ληΐζεσθαι τοὺς οἰκείους στρατιώτας οὐκ ἐκώλυεν, ἐπὶ δὲ τόπον ἕνα οὐ συνεχώρει. οἱ μὲν ἐκ τῆς πόλεως ἀφόβως τῷ τοιούτῳ τόπῳ προσήεσαν, ὁ δὲ ἐπειδὴ συνηθροισμένους ἀνέμαθεν ἐκεῖσε πολλοὺς τῶν πολεμίων, ἐπιθέμενος παμπόλλους ἐχειρώσατο.

2, 2 Ὅτι Ἀλυάττης Κολοφωνίους πολλὴν δύναμιν ἱππικὴν 4
ἔχοντας ἀφελέσθαι βουλόμενος τοὺς ἵππους συμμαχίαν πρὸς αὐτοὺς ἐποιήσατο καὶ τοῖς ἱππεῦσι διπλᾶς ἐδίδου τὰς ἐκ τῆς λείας μοίρας. τέλος δὲ ὁ μὲν ἐν Σάρδεσιν ἣν λαμπρὰν ἀγορὰν παρασκευάζων καὶ διπλῆν τὴν μισθοφορίαν ἑτοιμάζων, οἱ δὲ ἱππεῖς ἔξω τῆς πόλεως τοῖς ἱπποκόμοις παραδόντες τοὺς ἵππους καὶ πρὸς τὴν μισθοφορίαν μετὰ σπουδῆς εἰσελθόντες ὑπ᾽ Ἀλυάττου ἀπεσφάγησαν κλείσαντος τὰ τείχη καὶ τοὺς ἰδίους ὁπλίτας παραστήσαντος· οἷς ἔδωκε καὶ τοὺς ἵππους μετὰ τὴν ἐκείνων ἀναίρεσιν.

## 10. Περὶ χάρακος.

2, 6 Ὅτι Κλέαρχος Θρᾴκην λεηλατῶν καὶ τὴν τῶν Θρᾳκῶν 1
δεδιὼς νυκτερινὴν ἐπίθεσιν προσέταξεν ἐν τοῖς ὅπλοις πάντας διάγειν καὶ τὰς ἐγέρσεις ποιῆσαι πυκνάς. αὐτὸς δὲ νυκτὸς

---

3 ὑπισχνημένους H.

οὔσης ἀφεγγοῦς λαβὼν μέρος τοῦ στρατεύματος ἐπεφαίνετο τύπτων τὰ ὅπλα τὸν Θρᾴκιον τρόπον. οἱ δὲ ὡς τῶν πολεμίων ἐπιφερομένων ἦσαν ἕτοιμοι· ἐν τούτῳ τῶν Θρᾳκῶν ποιησάντων ἐπίθεσιν, ἐπειδὴ εὑρέθησαν ἐγρηγορότες, πλείστους αὐτῶν ἀπέκτειναν.

2 Ὅτι Πομπίσκος στρατοπεδεύων τὰς ὁδοὺς τὰς ἐπὶ τὸ 5, 38, 1
στρατόπεδον ἀγούσας τὰς μὲν ἀπέσκαπτεν, τὰς δὲ ἀπεχαράκου, καινὰς δὲ κατεσκεύαζεν, ὅπως οἱ κατάσκοποι νύκτωρ ἐπιθέμενοι τὰς ἐξόδους ἀγνοοῦντες ἐμπίπτοιεν τοῖς ὀρύγμασιν.

## 11. Περὶ μονομαχιῶν.

1 Ὅτι συμβάλλεται ἀμφίβληστρον ὑπὸ τὴν ἀσπίδα δια- cf. 1, 2
κρυβὲν καὶ εἰς καιρὸν χρώμενον.

2 Ὅτι καὶ ἡ σφενδόνη μακροβολώτερον ὅπλον τοῦ τόξου. deest in
συνέβη γὰρ νικῆσαι Πυραίχμην μονομαχήσαντα μετὰ Αἰσχί- Pol. codicibus
νου τόξον μὲν κεκτημένου, τοῦ δὲ Πυραίχμου τὴν σφενδόνην.

## 12. Κατάπληξις πολεμίων.

1 Ὅτι πολλάκις ἐν ἐπιτηδείῳ τόπῳ, ἤγουν ἐν νάπῃ καὶ 1, 2
ἐν καταπέτρῳ καὶ κοίλῳ, μέγα συμβάλλεται ὁ ἀλαλαγμὸς καὶ ἦχος ὡς δυνάμενα καταπλήσσειν πολεμίους.

2 Ὅτι Θεσσαλὸς Βοιωτῶν Ἄρνην οἰκούντων καὶ Θεσσα- 1, 12
λοῖς πολεμούντων τέχνῃ ἐκράτησε χωρὶς μάχης. παραφυλάξας γὰρ νύκτα ἀσέληνον ἐκέλευσε τοὺς στρατιώτας διασπαρέντας ἄλλον ἀλλαχοῦ κατὰ κορυφὰς τῶν ὀρέων δᾷδας καὶ λύχνους ἀνάπτειν καὶ μετεωρίζειν καὶ πάλιν καθελεῖν, ὅπερ μέγαν φόβον τοῖς Βοιωτοῖς ἐμποιῆσαν πρὸς ἱκεσίαν τῶν Θεσσαλῶν ἔτρεψε.

3 Ὅτι καὶ τὴν προθυμίαν τοῦ ἰδίου λαοῦ, ἄν τε ἐξ ἀπο- 1, 17
νοίας, ἄν τε ἄλλως πως γένηται, χρὴ δι᾽ αὐτομόλων παρα-

---

15 τῇ σφενδόνῃ H ‖ 20 τοῖς ἄλλοις πολεμούντων H ‖ 24 καθέλκειν H.

3, 10, 3 Ὅτι Τιμόθεος μετὰ σπουδῆς ἐποίει τὰς πρὸς τοὺς πο- 5
λεμίους ἐκδρομάς, ἵνα τῶν ἀπροθύμων ἀπομενόντων μετὰ τῶν προθυμοτάτων μόνων μάχοιτο.

3, 11, 6 Ὅτι Χαβρίας εἰς πολεμίαν χώραν ἐμβαλὼν καὶ λείαν 6
πολλὴν συναθροίσας, ἐπειδὴ ὑφεωρᾶτο καταδιωχθῆναι ὑπὸ τῶν πολεμίων, τοὺς ἰδίους στρατιώτας δειπνοποιήσας καὶ συντάξας ἐπορεύετο· τῶν ἐναντίων δὲ καταλαβόντων μετὰ σπουδῆς καὶ διεσπαρμένων καὶ πρὸς μάχην ὄντων ἀχρήστων συμβαλὼν πόλεμον τοὺς πλείστους αὐτῶν διέφθειρεν.

4, 6, 5 Ὅτι Ἀντίγονος εἰ μὲν εἶχεν μείζονα δύναμιν, σχολαιό- 7
τερον τὸν πόλεμον ἐχρῆτο, εἰ δὲ ἀσθενεστέραν, νέους καὶ φιλοκινδύνους τὰς ἐπιθέσεις ποιεῖν προετρέπετο.

4, 6, 20 Ὅτι ὁ αὐτὸς βουλόμενος τὰς Ἀθήνας λαβεῖν τῷ τοῦ 8
φθινοπώρου καιρῷ ἐσπείσατο πρὸς Ἀθηναίους. οἱ δὲ εἰρήνην προσδοκῶντες καὶ σπείραντες τὸν σῖτον ὀλίγον ἐφύλαξαν προσδοκῶντες θερίσαι. ἐπεὶ δὲ ἤκμαζον οἱ καρποί, Ἀντίγονος δῃώσας τὰς χώρας ἄνευ μάχης ἔλαβεν τὰς Ἀθήνας.

8, 10, 3 Ὅτι Μάριος, ἡνίκα τοῖς ἀπὸ τῶν χειμερίων τόπων ὡρμη- 9
μένοις ἔμελλεν συνάπτειν πόλεμον, ἐν μεσούσῃ ἡμέρᾳ καύματος ἡλιακοῦ ὑπόντος συνῆπτε τὸν πόλεμον, ὡς ἂν τῷ ἀήθει τῆς ἡλιακῆς θέρμης καταθαλπόμενοι, οἳ πολλάκις καὶ τὰς ἀσπίδας ὑπὲρ κεφαλῆς ἐν τούτῳ προετίθουν, εὐαλωτότεροι γένοιντο.

## 14. Προτροπὴ εἰς ἀνδρείαν καὶ πειθανάγκην.

1, 33 Ὅτι Λεωτυχίδης περὶ Μυκάλην τῶν Ἑλλήνων ναυμα- 1
χούντων καὶ τὸ πλῆθος τῶν βαρβάρων φοβουμένων γνώμῃ μᾶλλον ἢ φόβῳ μετέβαλεν ἁπάντων τὸ φρόνημα πλασάμενος ἀγγελίαν ἥκειν, ὡς τῶν ἐν Πλαταιαῖς Ἑλλήνων τοὺς Πέρσας νενικηκότων. οἱ δὲ Ἴωνες τῇ ἀγγελίᾳ θαρρήσαντες θαρσαλεώτερον ἐπέθεντο τοῖς Ἕλλησι καὶ τῆς μάχης ἐκράτησαν.

---

5 ὑφορᾶτο H ‖ 11 τῷ πολέμῳ Polyaen. ‖ 13 ὁ αὐτὸς] αὐτὸς H ‖ 18 Μαρικὸς H.

10 Ὅτι Κῦρος ἡττώμενος Μήδων κατέφυγεν εἰς Πασαρ- 7, 6, 9
γάδας. πολλῶν δὲ Περσῶν αὐτομολούντων ἔφη πρὸς αὐτοὺς
'αὔριον ἀφίξονται ὑμῖν σύμμαχοι δέκα μυριάδες· ἀλλὰ πρὸς
τὴν ὑποδοχὴν τῶν συμμάχων ἕκαστος ὑμῶν κομισάτω φά-
κελλον ξύλων.' οἱ μὲν ἐκόμισαν, οἱ δὲ αὐτόμολοι ταῦτα
Μήδοις ἀπήγγειλαν. ἐπεὶ δὲ νὺξ ἦν, κελεύει Κῦρος ἕκα-
στον ὑφάψαι τὸν ἑαυτοῦ φάκελλον. Μῆδοι πιστεύσαντες
ἥκειν τοὺς συμμάχους ἔφυγον.

11 Ὅτι Κροῖσος βραδυνόντων τῶν Ἑλλήνων συμμάχων τοὺς 7, 8, 1
ἰσχυροτέρους καὶ μεγίστους Λυδῶν Ἑλληνικοῖς ὅπλοις κατ-
εσκεύασεν. ὁ δὲ Κῦρος πιστεύσας συμμαχίαν αὐτῷ προσελ-
θεῖν τριῶν μηνῶν σπονδὰς πρὸς Κροῖσον ἐποιήσατο.

12 Ὅτι Αὐτοφραδάτης πάντας τοὺς συμμισθοφόρους ἐξ- 7, 27, 3
αγαγεῖν βουλόμενος ἐπὶ μάχην ἐκήρυττεν, ὡς ἕνεκα ἀριθμοῦ
ποιοῖτο τὴν ἔξοδον. ἐκ τούτου σπουδῇ πάντες προῆλθον.
τῷ τοιούτῳ πλήθει τοὺς ἐναντίους ἐξέπληξεν.

## 13. Περὶ τοῦ καιροῦ καὶ τόπου τῆς μάχης.

1 Ὅτι Λυκοῦργος παρήγγειλεν ἐπὶ τοὺς αὐτοὺς μὴ πολ- 1, 16, 2
λάκις στρατεύειν λέγων πρὸς τοὺς οἰκείους· 'ἵνα μὴ τοὺς
πολεμίους πολεμεῖν διδάξωμεν.'

2 Ὅτι Λεωνίδας ἐν Θερμοπύλαις παραταξάμενος τῇ στε- 1, 32, 1
νότητι τοῦ χωρίου ἀχρεῖον ἐποίησε τὸ πλῆθος τῶν βαρβάρων.

3 Ὅτι Ἐπαμινώνδας ἀεὶ τὴν δύναμιν ἅμα ἡλίῳ προῆγεν 2, 3, 7
πείθων πάντας, ὡς οὐδέποτε κλέψαι βούλοιτο πόλεμον, ἐν
Πελοποννήσῳ δὲ νυκτὸς ἀναστὰς ἐπέθετο τοῖς πολεμίοις ἔτι
καθεύδουσιν.

4 Ὅτι Ἰφικράτης, εἰ μὲν ἀγυμνάστοις παρετάττετο ἔχων 3, 9, 13
ἠσκημένους, οὐ παραχρῆμα συνῆπτε τὸν πόλεμον, εἰ δὲ προ-
γεγυμνασμένοις ἔμελλε μάχεσθαι αὐτὸς ἔχων στρατιώτας ἀγυ-
μνάστους, συνεπλέκετο παραχρῆμα εἰς μάχην.

---

1 Περσαγάδας H.

3, 10, 3 Ὅτι Τιμόθεος μετὰ σπουδῆς ἐποίει τὰς πρὸς τοὺς πο- 5
λεμίους ἐκδρομάς, ἵνα τῶν ἀπροθύμων ἀπομενόντων μετὰ τῶν προθυμοτάτων μόνων μάχοιτο.

3, 11, 6 Ὅτι Χαβρίας εἰς πολεμίαν χώραν ἐμβαλὼν καὶ λείαν 6
πολλὴν συναθροίσας, ἐπειδὴ ὑφεωρᾶτο καταδιωχθῆναι ὑπὸ τῶν πολεμίων, τοὺς ἰδίους στρατιώτας δειπνοποιήσας καὶ συντάξας ἐπορεύετο· τῶν ἐναντίων δὲ καταλαβόντων μετὰ σπουδῆς καὶ διεσπαρμένων καὶ πρὸς μάχην ὄντων ἀχρήστων συμβαλὼν πόλεμον τοὺς πλείστους αὐτῶν διέφθειρεν.

4, 6, 5 Ὅτι Ἀντίγονος εἰ μὲν εἶχεν μείζονα δύναμιν, σχολαιό- 7
τερον τὸν πόλεμον ἐχρῆτο, εἰ δὲ ἀσθενεστέραν, νέους καὶ φιλοκινδύνους τὰς ἐπιθέσεις ποιεῖν προετρέπετο.

4, 6, 20 Ὅτι ὁ αὐτὸς βουλόμενος τὰς Ἀθήνας λαβεῖν τῷ τοῦ 8
φθινοπώρου καιρῷ ἐσπείσατο πρὸς Ἀθηναίους. οἱ δὲ εἰρήνην προσδοκῶντες καὶ σπείραντες τὸν σῖτον ὀλίγον ἐφύλαξαν προσδοκῶντες θερίσαι. ἐπεὶ δὲ ἤκμαζον οἱ καρποί, Ἀντίγονος δῃώσας τὰς χώρας ἄνευ μάχης ἔλαβεν τὰς Ἀθήνας.

8, 10, 3 Ὅτι Μάριος, ἡνίκα τοῖς ἀπὸ τῶν χειμερίων τόπων ὡρμη- 9
μένοις ἔμελλεν συνάπτειν πόλεμον, ἐν μεσούσῃ ἡμέρᾳ καύματος ἡλιακοῦ ὑπόντος συνῆπτε τὸν πόλεμον, ὡς ἂν τῷ ἀήθει τῆς ἡλιακῆς θέρμης καταθαλπόμενοι, οἳ πολλάκις καὶ τὰς ἀσπίδας ὑπὲρ κεφαλῆς ἐν τούτῳ προετίθουν, εὐαλωτότεροι γένοιντο.

## 14. Προτροπὴ εἰς ἀνδρείαν καὶ πειθανάγκην.

1, 33 Ὅτι Λεωτυχίδης περὶ Μυκάλην τῶν Ἑλλήνων ναυμα- 1
χούντων καὶ τὸ πλῆθος τῶν βαρβάρων φοβουμένων γνώμῃ μᾶλλον ἢ φόβῳ μετέβαλεν ἁπάντων τὸ φρόνημα πλασάμενος ἀγγελίαν ἥκειν, ὡς τῶν ἐν Πλαταιαῖς Ἑλλήνων τοὺς Πέρσας νενικηκότων. οἱ δὲ Ἴωνες τῇ ἀγγελίᾳ θαρρήσαντες θαρσαλεώτερον ἐπέθεντο τοῖς Ἕλλησι καὶ τῆς μάχης ἐκράτησαν.

---

5 ὑφορᾶτο H ‖ 11 τῷ πολέμῳ Polyaen. ‖ 13 ὁ αὐτὸς] αὐτὸς H ‖ 18 Μαρικὸς H.

2 Ὅτι Μυρωνίδης Ἀθηναίους ἦγεν ἐπὶ Θήβας καὶ προ- 1, 35, 2
ελθὼν εἴς τι πεδίον ἐκέλευσεν αὐτοὺς θεῖναι τὰ ὅπλα καὶ περισκοπεῖν ἐν κύκλῳ. τῶν δὲ περισκοπούντων ‘ὁρᾶτε, ἔφη, τὸ πεδίον ὅσον. πολεμίων ἵππους ἐχόντων, ἂν μὲν φεύγωμεν, ἀνάγκη διωκόντων τῶν ἱππέων ἁλῶναι, ἂν δὲ μένωμεν, πολλαὶ τοῦ νικᾶν ἐλπίδες.’ καὶ συμβαλὼν ἐνίκησεν.

3 Ὅτι Ἀγησίλαος περὶ Κορώνειαν παρετάσσετο· ἧκέν τις 2, 1, 3
ἀγγέλλων, ὡς ὁ ναύαρχος ἡττηθεὶς ὑπὸ Φαρναβάζου τέθνηκεν. ὅπως οὖν μὴ τῷ τούτου θανάτῳ ὁ λαὸς ἀθυμήσῃ, Ἀγησίλαος τἀναντία πρὸς τοὺς στρατιώτας ἀγγέλλεσθαι προσέταξεν, ὡς Λακεδαιμόνιοι ἐνίκησαν. ἀλλὰ μὴν καὶ αὐτὸς προῆλθεν ἐστεφανωμένος καὶ ἔθυεν χαριστήρια καὶ τοὺς φίλους ἐκ τῶν μερίδων ἐδεξιοῦτο. ἐκ τούτου προθυμότερον ὁ αὐτοῦ στρατὸς [ἐν] τῇ Κορωνείᾳ παρετάσσετο.

4 Ὅτι Ἐπαμινώνδας ἐν μάχῃ ἰσόρροπον τὸ ἔργον ἰδὼν 2, 3, 2
ᾐτήσατο ἓν βῆμα χαρισθῆναι αὐτῷ τοὺς στρατιώτας. οἱ δὲ τοῦτο ποιήσαντες ἐνίκησαν κατὰ κράτος.

5 Ὅτι ὁ αὐτὸς [τοῖς Θηβαίοις πρὸς] τοὺς ἐπιόντας Λακε- 2, 3, 6
δαιμονίων ἐν τοῖς γυμνασίοις παλαίειν προσέτασσεν. οἱ δὲ εὐκόλως καταβάλλοντες αὐτοὺς ἐδιδάχθησαν καταφρονεῖν αὐτῶν, καὶ ὡς ἀνδρειότεροι τὸν πρὸς αὐτοὺς πόλεμον θαρροῦντες ἐξήνεγκαν.

6 Ὅτι ὁ αὐτὸς μέλλων πρὸς πλείονας παρατάσσεσθαι παρ- 2, 3, 8
εσκεύασεν ἄνδρα ἀγνῶτα ἐστεφανωμένον προελθόντα ἀπαγγεῖλαι καὶ εἰπεῖν, ὡς Τροφώνιός σοι τὴν νίκην ἀγγέλλεται· καὶ τῷ τοιούτῳ τρόπῳ θαρσαλεωτέρους τοὺς στρατιώτας ποιήσας ἐκράτησε τῶν πλειόνων πολεμίων.

7 Ὅτι ὁ αὐτὸς προτρέπων Θηβαίους πρὸς Λακεδαιμονίους 2, 3, 15
ὁρμῆσαι μέγιστον ἔχιν συλλαβὼν καὶ τὴν κεφαλὴν συνθλάσας ἔδειξεν αὐτοῖς ‘ὁρᾶτε, εἰπών, ὅτι τῆς κεφαλῆς τοῦ θηρίου

---

1 *προσελθὼν* H ‖ 4 *πολεμίους* H ‖ 14 [*ἐν*] inserui ‖ 16 *τοῖς στρατιώταις* H ‖ 18 [*τοῖς Θηβαίοις πρὸς*] inserui ‖ 27 *ποιήσας ἐκράτησε* scripsi; *ἐποίησεν κρατήσας* H.

θλασθείσης ἄχρηστον τὸ λοιπόν. οὕτω δὴ ἐὰν τὰς πολεμίων κεφαλὰς συντρίψωμεν, οὐδὲν μέγα γένοιτο ἐκ τοῦ ὑποδεεστέρου τῶν συμμάχων πλήθους.’ τούτῳ τῷ παραδείγματι προθύμους ἀπεργασάμενος τοὺς στρατιώτας συμβαλὼν κατὰ κράτος ἐνίκησεν.

2, 5, 1 Ὅτι χρὴ τοὺς φιλοῦντας καὶ φιλουμένους καὶ συγγε- 8 νεῖς συντάσσειν ἐν ταῖς φάλαγξιν, ὅπως ὑπεραποθνήσκοιεν ἀλλήλων.

3, 9, 12 Ὅτι Ἰφικράτης μετὰ πλειόνων μέλλων συνάπτειν πόλε- 9 μον τάφρον βαθεῖαν ὀπίσω τῆς φάλαγγος ὤρυξεν, ὡς ἂν πάντες τὸ φεύγειν ἀπελπίσαντες γενναιότερον ἀγωνίζωνται.

3, 9, 14 Ὅτι ὁ αὐτὸς πολεμίους τρεψάμενος καὶ εἴς τινα στε- 10 νὸν τόπον συνελάσας ἔξοδον μὴ ἔχοντα προετρέψατο δοῦναι πάροδον φυγῆς τοῖς πολεμίοις εἰπών· ‘μὴ ἀναγκάσωμεν τοὺς πολεμίους ἀγαθοὺς γενέσθαι.’

3, 9, 21 Ὅτι ὁ αὐτὸς ὀλίγους ἔχων στρατιώτας καὶ τούτους ἀθυ- 11 μοῦντας βουλόμενος παραθαρρῦναι ἐκέλευσεν αὐτοὺς ὅσον ἕκαστος ἔχει ἀργύριον ἢ χρυσίον αὐτῷ παρασχεῖν ὡς δι’ αὐτοῦ προδοσίαν τοῖς πολεμίοις διαπράξεσθαι, ὅπερ καὶ ἀποστεῖλαι ἐσκήψατο. οἱ δὲ στρατιῶται πιστεύσαντες, ὡς ἔχοιεν τοὺς προδώσοντας θαρσαλεώτεροι πρὸς τὴν μάχην ἐγένοντο.

3, 9, 27 Ὅτι ὁ αὐτὸς ὑπέσχετο τοῖς στρατιώταις τὴν νίκην, ἐὰν 12 πιστεύσαντες αὐτῷ, ἡνίκα τὸ σημεῖον ἄρῃ, ἓν βῆμα μόνον προβῶσιν. ἦν μὲν ἐπὶ ῥοπῆς ὀξυτάτης ἡ μάχη. ὁ δὲ τὸ σημεῖον ἄρας προβάντων τῶν στρατιωτῶν καὶ τοὺς πολεμίους ὠσάντων εἰς φυγὴν ἔτρεψεν.

3, 9, 31 Ὅτι ὁ αὐτὸς οὐ μόνον ἐκ τῶν λαφύρων ἐφιλοφρονεῖτο 13 τοὺς στρατιώτας, ἀλλὰ καὶ ἐκ τῶν δωρεῶν, ἃ παρ’ ἑτέρων ἐδέχετο, κηρύττων δὲ ἐν αὐταῖς ταῖς μάχαις σιγὴν ἐπηγγέλλετο τῷ ἀριστεύοντι ἆθλον μεγαλοπρεπές.

---

7 τάσσειν H ‖ 19 διαπράξασθαι H ‖ 25 προσβῶσιν et 26 προσβάντων H ‖ 27 ἔτρεψαν H ‖ 28 ἐφιλοφρονείτω H.

14 Ὅτι Τιμόθεος ἐν ἑορτῇ μυρρίνῃ στεφανώσας τὰς τριήρεις 3, 10, 4
ἦρεν τὸ σημεῖον πληροφορήσας τοὺς στρατιώτας, ὡς ἐν ταύτῃ τῇ ἡμέρᾳ τὸ θεῖον ἕξουσι σύμμαχον.

15 Ὅτι Περδίκκας, ἐπειδὴ τῶν Μακεδόνων ἁλισκομένων 4, 10, 1
παρὰ τῶν ἐναντίων εἶδεν, ὅτι λύτροις ἀπελύοντο, ἐπεκηρυκεύσατο δι' αὐτομόλου ἀγγεῖλαι, ὡς οἱ πολέμιοι λύτρα μὴ προσίενται, ἀλλ' ἐψηφίσαντο τοὺς αἰχμαλώτους κτείνειν. οἱ Μακεδόνες ἀπογνόντες τὴν ἐκ τῶν λύτρων σωτηρίαν εὐτολμότεροι πρὸς τὰς μάχας ἐγένοντο ὡς ἐν μόνῳ τῷ νικᾶν ἔχοντες τὸ σώζεσθαι.

16 Ὅτι Πυλυσπέρχων μέλλων προθυμοτέρους ποιῆσαι τοὺς 4, 14
στρατιώτας πῖλον Ἀρκαδικὸν ἐπιθέμενος καὶ βακτηρίαν λαβὼν ἔφη· 'πρὸς οὓς μὲν κινδυνεύειν μέλλομεν, ὦ συστρατιῶται, τοιοῦτοι τυγχάνουσιν.' ταῦτα δὲ ἀποβαλὼν καὶ τὴν πανοπλίαν ἀναλαβὼν 'οἱ δὲ μέλλοντες πολεμεῖν πρὸς αὐτοὺς τοιοῦτοι.' ὅπερ ἀκούσαντες οἱ στρατιῶται ἠξίωσαν μηκέτι μέλλειν.

17 Ὅτι Δαφναῖος ἀπὸ τοῦ δεξιοῦ κέρως πρὸς τὸ εὐώνυμον 5, 7
ἐλθὼν ἤγγελλε τοῖς στρατιώταις ὡς τῶν δεξιῶν νενικηκότων. οἱ δὲ τὸν στρατηγὸν ἀληθῆ λέγειν ὑπολαβόντες προθυμοποιήσαντες ἑαυτοὺς ἐτρέψαντο τοὺς πολεμίους.

18 Ὅτι Κλείταρχος προσελθόντων τῶν πολεμίων, ἵνα μὴ 5, 24
γένηται τειχήρης, προήγαγε τὴν δύναμιν ἔξω τοῦ τείχους καὶ κλείσας τὰς πύλας καὶ βαλὼν βαλανάγρας ὑπόψιν πάντων εἰσήγαγε ταύτας εἰς τὴν πόλιν. οἱ δὲ μαθόντες, ὡς οὐκ ἔχοιεν ἐλπίδας ἔσω τῆς πόλεως φυγεῖν, ἐνίκων μαχόμενοι.

19 Ὅτι Λεύκων προτάξας τοὺς ὁπλίτας ὑπέταξεν αὐτοῖς ἐκ 6, 9, 4
τῶν Σκυθῶν ἑτέρους φανερῶς παραγγείλας ὡς, ἐὰν οἱ ὁπλῖται ὀκνῶσιν, τηνικαῦτα τοξεύειν καὶ κτιννύειν αὐτούς. τοῦτο μαθόντες οἱ ὁπλῖται εὐρώστως τοὺς πολεμίους μαχεσάμενοι ἐνίκησαν.

---

7 προσίονται H ‖ 9 τὸ νικᾶν H ‖ 18 Παφναιὸς H ‖ 21 ἐστρέψαντο H ‖ 23 προσήγαγεν H ‖ 29 κτειννύειν H.

## 15. Φαντασία πλήθους.

1, 46 Ὅτι τοῦτο ποιεῖ, εἰ τοῖς κτήνεσι ἀσιτεῖν πρὸς μίαν 1
ἡμέραν ποιήσῃ, νυκτὸς δὲ ἀρχομένης ἐάσῃ πρὸς τροφήν,
ὥστε τὰ κτήνη πεινῶντα, τῶν δεσμῶν ἀπολυθέντα, πόας καὶ
νομῆς λαβόμενα ἀνασκιρτῶσι καὶ ψόφον ἐγείρουσι πολύν.
πρὸς τούτοις δὲ καὶ στρατιώτας ἄλλον ἀλλαχοῦ σκεδασθέντες
διπλᾶ καὶ τριπλᾶ πυρὰ ἀνακαῦσαι.

2, 1, 17 Ὅτι Ἀγησίλαος πλῆθος ἱππέων βουλόμενος τοῖς πολε- 2
μίοις παραδεῖξαι εἰς διφαλαγγίαν τοὺς πρωτοστάτας τῶν
ἱππέων τάξας ὑπέταξεν ὄνους τε καὶ ἡμιόνους ἐπιβάσας
ἄνδρας μεθ' ὁπλίσεως ἱππικῆς καὶ τοὺς ἀχρηστοτέρους τῶν
ἵππων καὶ ἕτερα ζῷα φαντασίαν παρέχοντα πλήθους ἱππι-
κοῦ, ἣν καταπλαγεὶς Ἀέροπος ἐσπείσατο τὴν δίοδον.

3, 9, 19 Ὅτι Ἰφικράτης, εἰ μὲν πλείονας ἐκέκτητο στρατιώτας 3
καὶ λαθεῖν ἐβούλετο τοῖς πολεμίοις, δύο στρατιώτας μίαν
στιβάδα ποιεῖν προσέτασσεν, εἰ δὲ πολὺ πλῆθος παραδεῖξαι,
τὸν ἕνα στρατιώτην δύο στιβάδας ποιεῖν· καὶ ταχέως ἐξ
ἄλλου χωρίου εἰς ἄλλο μεθίστατο.

3, 9, 42 Ὅτι ὁ αὐτὸς νύκτωρ ἐπιθέσθαι μέλλων τοῖς πολεμίοις 4
προσέταξε σαλπιγκτὰς ἄλλον ἀλλαχοῦ διασκορπισθέντας κατὰ
διαφόρους τόπους σαλπίζειν διάφορα. τῶν δὲ πολεμίων ὧδε
κἀκεῖσε πρὸς τὰς φωνὰς χωριζομένων, ἐπειδὴ ὀλιγωθέντας
εἶδε τοὺς ἐν τῷ χάρακι, προσβαλὼν κατὰ κράτος ἐνίκησεν.

4, 8, 4 Ὅτι Εὐμένης τὴν δύναμιν κατὰ κώμας χειμάσουσαν 5
ἀποστείλας, τῶν πολεμίων αὐτῷ ἐξαίφνης περιελθόντων,
βουλόμενος πεῖσαι, ὡς πᾶσα ἡ δύναμις αὐτῷ περισυνέστη,
ἀποστείλας νύκτωρ τοὺς ἰδίους παῖδας πῦρ ἐν ἀγγείοις ἔχον-
τας εἰς τὰ μετέωρα καὶ ἄπωθεν ὄρεια διαστάντας ἀπ' ἀλλή-
λων ὅσον πήχεις εἴκοσιν ὕλην ἱκανὴν καῦσαι προσέταξεν, τὰ
δὲ πυρὰ πρώτης μὲν φυλακῆς ἐκκαῦσαι σφοδρότερον, δευ-

2 τοῖς κτήνεσι τοῖς H ‖ 13 Ἀερωπὸς H ‖ 24 χειμάσασαν H ‖ 28 ὅρια H.

*τοῦ ἵππου καταβὰς καὶ πρὸς τοὺς πολεμίους εἰσιὼν ἔφη τοῖς φεύγουσιν· ‘ἐμοὶ μὲν ἐνταῦθα καλόν, ὦ Ῥωμαῖοι, τελευτᾶν, ὑμεῖς δὲ τοῖς πυνθανομένοις “ποῦ προδεδώκατε Σύλλαν;” μέμνησθε λέγειν ὡς ἐν Ὀρχομενῷ.’ τοῦτον τὸν λόγον καταιδεσθέντες ἀνέστρεψαν καὶ προθύμως συμβαλόντες ἐτρέψαντο τοὺς πολεμίους.*

26 *Ὅτι Μάριος ἀήθεσι καὶ ἀγρίοις βαρβάροις μέλλων παρατάσσεσθαι οὐ συνέβαλεν εὐθέως τὴν μάχην, ἀλλ' ἐκέλευσε πόρρωθεν ἱσταμένους τοὺς στρατιώτας ἐθίζεσθαι τῆς τούτων μορφῆς, ὡς ἂν τὸ θάμβος αὐτῶν ἐκλύσαντες καταφρονῶσι. καὶ τούτου γενομένου δέκα μυριάδας τῶν πολεμίων ἔκτεινε, πολλοὺς δὲ καὶ ζῶντας ἔλαβεν.* 8, 10, 1

27 *Ὅτι Σκιπίων στρατιώτην ἰδὼν χάρακα κομίζοντα ‘θλίβεσθαί μοι δοκεῖς, εἶπεν, ὦ συστρατιῶτα, ἀχθοφορῶν’. τοῦ δὲ ‘καὶ πάνυ’ φήσαντος ‘εἰκότως, ἔφη, ἐν γὰρ τῷ ξύλῳ τὴν ἐλπίδα τῆς σωτηρίας ἔχεις, οὐκ ἐν τῇ μαχαίρᾳ’.* 8, 16, 3

28 *Ὅτι ὁ αὐτὸς στρατιώτην ἰδὼν μέγα φρονοῦντα ἐπὶ θυρεῷ κεκοσμημένῳ ‘αἰσχρόν, ἔφη, Ῥωμαῖον ἄνδρα τῇ ἀριστερᾷ μᾶλλον ἢ τῇ δεξιᾷ πιστεύειν’.* 8, 16, 4

29 *Ὅτι Καῖσαρ παρατασσόμενος ὁρῶν τοὺς στρατιώτας φεύγοντας τοῦ ἵππου καταβὰς ἐβόησεν ‘ἐμέ, ὦ συστρατιῶται, καταλιπόντες ταῖς χερσὶ τῶν πολεμίων φεύγειν μὴ αἰδεῖσθε;’ τὸν τοιοῦτον λόγον αἰδεσθέντες ἀνέστρεψαν πάλιν πρὸς τὴν μάχην.* 8, 23, 16

30 *Ὅτι ὁ αὐτὸς τοὺς στρατιώτας ἐκάλει συστρατιώτας τῷ ἰσοτίμῳ τοῦ ὀνόματος προθυμοτέρους ποιῶν.* 8, 23, 22

31 *Ὅτι ὁ αὐτός, ἡνίκα τεθορυβημένους ἑώρα τοὺς στρατιώτας ὡς προσδοκωμένης τοῖς πολεμίοις μείζονος δυνάμεως, οὐ μόνον ἔξαρνος οὐκ ἦν, ἀλλὰ καὶ πλείονα ὄγκον προστιθεὶς καὶ μεγαλύνων ἐθάρσυνεν, ὡς πρὸς πλείονας χρὴ γενναιότερον ἀγωνίζεσθαι.* 8, 23, 19

---

*10 καταφρονοῦσι* H ‖ 22 *αἰδῆσθε* H.

## 15. Φαντασία πλήθους.

1,46 Ὅτι τοῦτο ποιεῖ, εἰ τοῖς κτήνεσι ἀσιτεῖν πρὸς μίαν 1
ἡμέραν ποιήσῃ, νυκτὸς δὲ ἀρχομένης ἐάσῃ πρὸς τροφήν, ὥστε τὰ κτήνη πεινῶντα, τῶν δεσμῶν ἀπολυθέντα, πόας καὶ νομῆς λαβόμενα ἀνασκιρτῶσι καὶ ψόφον ἐγείρουσι πολύν. πρὸς τούτοις δὲ καὶ στρατιώτας ἄλλον ἀλλαχοῦ σκεδασθέντες διπλᾶ καὶ τριπλᾶ πυρὰ ἀνακαῦσαι.

2,1,17 Ὅτι Ἀγησίλαος πλῆθος ἱππέων βουλόμενος τοῖς πολε- 2
μίοις παραδεῖξαι εἰς διφαλαγγίαν τοὺς πρωτοστάτας τῶν ἱππέων τάξας ὑπέταξεν ὄνους τε καὶ ἡμιόνους ἐπιβάσας ἄνδρας μεθ' ὁπλίσεως ἱππικῆς καὶ τοὺς ἀχρηστοτέρους τῶν ἵππων καὶ ἕτερα ζῷα φαντασίαν παρέχοντα πλήθους ἱππικοῦ, ἣν καταπλαγεὶς Ἀέροπος ἐσπείσατο τὴν δίοδον.

3,9,19 Ὅτι Ἰφικράτης, εἰ μὲν πλείονας ἐκέκτητο στρατιώτας 3
καὶ λαθεῖν ἐβούλετο τοῖς πολεμίοις, δύο στρατιώτας μίαν στιβάδα ποιεῖν προσέτασσεν, εἰ δὲ πολὺ πλῆθος παραδεῖξαι, τὸν ἕνα στρατιώτην δύο στιβάδας ποιεῖν· καὶ ταχέως ἐξ ἄλλου χωρίου εἰς ἄλλο μεθίστατο.

3,9,42 Ὅτι ὁ αὐτὸς νύκτωρ ἐπιθέσθαι μέλλων τοῖς πολεμίοις 4
προσέταξε σαλπιγκτὰς ἄλλον ἀλλαχοῦ διασκορπισθέντας κατὰ διαφόρους τόπους σαλπίζειν διάφορα. τῶν δὲ πολεμίων ὧδε κἀκεῖσε πρὸς τὰς φωνὰς χωριζομένων, ἐπειδὴ ὀλιγωθέντας εἶδε τοὺς ἐν τῷ χάρακι, προσβαλὼν κατὰ κράτος ἐνίκησεν.

4,8,4 Ὅτι Εὐμένης τὴν δύναμιν κατὰ κώμας χειμάσουσαν 5
ἀποστείλας, τῶν πολεμίων αὐτῷ ἐξαίφνης περιελθόντων, βουλόμενος πεῖσαι, ὡς πᾶσα ἡ δύναμις αὐτῷ περισυνέστη, ἀποστείλας νύκτωρ τοὺς ἰδίους παῖδας πῦρ ἐν ἀγγείοις ἔχοντας εἰς τὰ μετέωρα καὶ ἄπωθεν ὄρεια διαστάντας ἀπ' ἀλλήλων ὅσον πήχεις εἴκοσιν ὕλην ἱκανὴν καῦσαι προσέταξεν, τὰ δὲ πυρὰ πρώτης μὲν φυλακῆς ἐκκαῦσαι σφοδρότερον, δευ-

2 τοῖς κτήνεσι τοῖς H || 13 Ἀερωπὸς H || 24 χειμάσασαν H || 28 ὅρια H.

*τέρας δὲ ἐλλαττότερον, τρίτης δὲ μικρὰ παντάπασιν ὡς τὴν μίμησιν ἀληθινῇ στρατοπεδείᾳ προσεοικέναι. ταῦτα ὁρῶντες οἱ πολέμιοι καὶ τὴν δύναμιν ἐπισυνῆφθαι τῷ Εὐμένει νομίσαντες μὴ θαρρήσαντες ἐπιθεῖν ἀνεχώρησαν.*

6 *Ὅτι Πτολεμαῖος Περδίκκου κατὰ Μέμφιν διαβαίνοντος* 4, 19 (18, 6) *τὸν ποταμὸν συναγαγὼν ἐκ τῆς χώρας συφόρβια, βουκόλια καὶ ἑτέρας κτηνῶν ἀγέλας προσέταξεν ἑκάστῳ ζῴῳ φρυγάνου φορτίον ἐκδῆσαι, ὅπως ἐπισυρόμενον κονιορτὸν ἐγείρῃ πλεῖστον, αὐτὸς δὲ ἀναλαβὼν τῶν ἱππέων τοὺς λοιπούς, ὅσους εἶχε, τολμηρῶς τοῖς πολεμίοις προσήνεγκεν. οἱ δὲ πολὺ πλῆθος ἐκ τοῦ κονιορτοῦ ἐπιέναι νομίσαντες, ἀλλὰ καὶ τὴν τοῦ Πτολεμαίου τόλμαν ἐκεῖθεν ὑποπτεύσαντες αὐτίκα ἔφυγον, καὶ οἱ πλεῖστοι αὐτῶν διεφθάρησαν.*

7 *Ὅτι Τύννιχος πόλεως αὐτῷ ἐν παραθαλασσίᾳ πολιορ-* 5, 23 *κουμένης βουλόμενος τῆς πολιορκίας ἀπολυτρώσασθαι μίαν ναῦν κεκτημένος καὶ ἀναχθεὶς ἐπ' αὐτῆς, ἐν διαφόροις σκάφεσιν ἀνὰ ἑνὸς ἐμβιβάσας ἀνδρὸς μετὰ ἑνὸς σαλπιγκτοῦ διαστήσας συμμέτρως ἐκέλευσεν, ἡνίκα αὐτὸς ἀποσημάνῃ, διαδεξαμένους καὶ αὐτοὺς ὑποσημαίνειν παραλλάσσοντας τοὺς χρόνους, ὡς μὴ σάλπιγγος μιᾶς προσπίπτειν ἦχον, ἀλλὰ πλειόνων. τούτῳ τῷ τρόπῳ οἱ πολιορκοῦντες νομίσαντες ἐπίπλουν εἶναι στόλου μείζονος καταλιπόντες τὴν πόλιν ᾤχοντο.*

8 *Ὅτι Τριβαλλοῖς Σκύθαι παρατάσσεσθαι μέλλοντες παρήγ-* 7, 44, 1 *γειλαν τοῖς γεωργοῖς καὶ τοῖς ἱπποφορβοῖς, ἐπειδὰν αἴσθωνται συμβάλλοντας αὐτούς, ἐπιφανῆναι πόρρωθεν τὰς ἀγέλας τῶν ἵππων ἐλαύνοντας. οὓς ἰδόντες οἱ πολέμιοι καὶ πλῆθος ἱππέων καὶ πεζῶν εἶναι νομίσαντες ἔφυγον.*

9 *Ὅτι καὶ Καῖσαρ τοὺς πολεμίους ὁρῶν πολλοὺς ἱππεῖς* 8, 23, 15 *ἔχοντας, αὐτὸς δὲ ὀλίγους ἔταξεν ἔμπροσθεν τῶν ἱππέων λόχους τέσσαρας πεζῶν παραγγείλας μηδὲν ἄλλο δρᾶν ἢ τοῖς ποσὶν ἐγείρειν πλῆθος κονιορτοῦ.*

---

14 *Τυρήννιχος* H ‖ 20 *εἶχον* H ‖ 22 *στόλον* H.

## 16. Φαντασία ὀλιγότητος.

cf. 1, 47, 1; 3, 11, 3; 5, 22, 2 — 1 Ὅτι ἐν μὲν ναυσὶ χρὴ συζεῦξαι τὰς ναῦς καὶ κατὰ δύο ἓν ἱστίον ἐξαρτῆσαι.

8, 23, 7 — 2 Ὅτι Καῖσαρ πολεμῶν Γαλάταις καὶ βουλόμενος δόξαν ἐμποιῆσαι, ὡς ὀλιγωτέρους ἔχοι, τὸν μὲν χάρακα στενώτατον διετείχισεν, αὐτὸς δὲ χωρίον ὑπερδέξιον δασὺ καταλαβόμενος μετὰ τῶν πλειόνων στρατιωτῶν ἐκέκρυπτο· ἐκ δὲ τοῦ χάρακος προελθόντες ὀλίγοι ἱππεῖς καὶ τοὺς πολεμίους ἐκκαλούμενοι σκιρτῶντες ἐπαναστῆναι προυτρέψαντο. αὐτὸς δὲ ἐξαίφνης προσπεσὼν κατὰ νώτου καὶ ἐν μέσῳ τοὺς βαρβάρους καταλαβὼν τοὺς πλείονας διέφθειρεν.

## 17. Τακτικά.

2, 1, 2 — 1 Ὅτι Λακεδαιμόνιοι Θηβαίοις καὶ Ἀθηναίοις παρετάσσοντο, ὧν ἡγεῖτο Χαβρίας καὶ Γοργίδας, οἳ καὶ παρήγγειλαν τοὺς αὐτῶν στρατιώτας μὴ προδραμεῖν, ἀλλὰ μένειν ἡσυχῇ τὰ δόρατα ὀρθὰ προτειναμένους. οἱ δὲ ἐναντίοι τὸ στάσιμον καταπλαγέντες τῆς μάχης ἀνεχώρησαν.

2, 10, 4 — 2 Ὅτι Κλεανδρίδας Λευκανοῖς πολεμῶν καὶ ὀλίγους παραδεῖξαι τοὺς οἰκείους μηχανώμενος πρὸς τὸ ἐκκαλέσασθαι τοὺς ἐναντίους παρήγγειλεν εἰς βάθος πυκνῶσαι τὴν φάλαγγα· οἱ δὲ πολέμιοι ὑπερκεράσαι βουλόμενοι, αὐτὸς τοὺς ἐπιστάτας μεταβαίνειν εἰς παράταξιν προτρεψάμενος κατὰ πολὺ ποιήσας ἐπιμηκεστέραν τὴν ἰδίαν φάλαγγα ὑπερφαλαγγήσας καὶ κυκλωσάμενος ἐνίκησεν.

4, 3, 22 — 3 Ὅτι Ἀλέξανδρος ἐν τῇ πρὸς Πῶρον μάχῃ τὸ μὲν ἱππικὸν ἐπὶ τοῦ δεξιοῦ μέρους ἔταξεν ἐν μετώπῳ, τὸ δὲ λοιπὸν ἐν ἐπικαμπίῳ, τὴν δὲ φάλαγγα καὶ τοὺς ἐλαφροὺς ἐπὶ τοῦ ἀριστεροῦ κέρως ἔστησε καὶ ἀπὸ τούτων ἐπικάμπιον ἔταξεν.

---

9 σκιρτῶντας H ‖ προυτρέψατο H ‖ 15 αὐτῶν H ‖ 23 ὑπερφαλαγγίσας H ‖ 27 καμπίῳ H.

## 18. Περὶ τῆς παρατάξεως.

1 Ὅτι χρήσιμος ὁ τῶν αὐλῶν ἦχος ἐν τοῖς πολέμοις ἀδιά- 1, 10
σπαστον καὶ καλῶς συντεταγμένην τὴν φάλαγγα δυνάμενος
συντηρεῖν. τούτου δὲ μαρτύριον, ὅτι ἐν Λεύκτροις οἱ Λά-
κωνες παραταξάμενοι ἐνίκων προησκημένοι τὸν αὐλόν, ἐπεὶ
δὲ ἄνευ τούτου τὸν πόλεμον ἠρέθισαν, εἰς φυγὴν ἐτράπησαν.

2 Ὅτι Κλεανδρίδας τὸν πόλεμον νικήσας προῆγε τοὺς 2, 10, 2
στρατιώτας εἰς τὰ σκηνώματα τῶν ἐναντίων, δεικνὺς ἄλλον
ἀλλαχοῦ πεπτωκότα ἐκ τοῦ διεσπάσθαι ἀπ' ἀλλήλων, παι-
δεύων τοὺς οἰκείους μὴ διασπᾶν τὴν παράταξιν ὡς μέγαν
φέροντα τὸν κίνδυνον τὸν τοιοῦτον διασπασμόν.

3 Ὅτι Φίλιππος, ἡνίκα πρὸς ἀγυμνάστους ἔμελλε τὴν παρά- 4, 2, 7
ταξιν ποιεῖν γεγυμνασμένους τοὺς οἰκείους ἔχων, ἐπὶ πολὺ
ἐξέτεινε τὸν χρόνον τῆς παρατάξεως, ὡς ἂν τῷ τοιούτῳ τρόπῳ
ἐκλύῃ τοὺς ἐναντίους. ἡνίκα δὲ ἀγυμνάστους κεκτημένος
γεγυμνασμένοις ἔμελλε παρατάσσεσθαι ἔσπευδε τὴν μάχην.

4 Ὅτι ζῴῳ ἀμάχῳ τὴν ἰσχὺν ἡ φάλαγξ ἔοικεν, ἕως μὲν cf. 3, 9, 22
ἐστι σῶμα καὶ τηρεῖ τὸν συνασπισμόν, διαλυθὲν δὲ καὶ τὴν
καθ' ἕνα ῥώμην ἀπόλλυσι τῶν μαχομένων ἕκαστος.

5 Ὅτι Ἀλέξανδρος Δαρείῳ παρατάσσεσθαι μέλλων παράγ- 4, 3, 5
γελμα τοῖς οἰκείοις δέδωκεν, ἵνα, ἡνίκα ἐγγὺς γένωνται τῶν
πολεμίων, γόνυ κλίναντες τοῖν χεροῖν διατρίβωσι τὴν γῆν,
ἡνίκα δὲ ἡ σάλπιγξ ὑποσημήνῃ, τότε μετὰ θυμοῦ καὶ ἀν-
δρείας τοῖς πολεμίοις προσβάλλειν. τοῦτο ποιήσαντες εἰς
ἔκπληξιν ἔφερον τοὺς πολεμίους σχῆμα προσκυνούντων τῶν
ἀντιπαραταττομένων νομίζοντας. καὶ διὰ τοῦτο τὴν ἰσχὺν
ἐξέλυσαν καὶ ταῖς γνώμαις ἐγένοντο μαλακώτεροι ἐπὶ τοσοῦ-
τον, ὥστε καὶ τὸν βασιλέα αὐτῶν μεγαλαυχεῖν ὡς ἀμαχητὶ
νενικηκότα τὸν πόλεμον. τοῦ δὲ συνθήματος γενομένου
ἐξαίφνης οἱ Μακεδόνες ἀναστάντες μετὰ τῆς προσηκούσης

---

6 ἠρέθισαν] ἐρέθησαν H || 15 ἐκλύει H || 26 νομίζοντες H.

*δευτέραν ὥραν κάτοπιν τῶν πολεμίων ἐπιφανέντας ἔργου ἔχεσθαι. αὐτὸς δὲ ἀρχομένης ἡμέρας ἐξῆγε τὴν στρατιὰν εἰς μάχην καὶ ἐκ τούτου πλεῖστον φόνον Γαλατῶν εἰργάσατο.*

## 20. *Περὶ συνθημάτων.*

1, 14 *Ὅτι Κλεομένης Λακεδαιμονίων βασιλεὺς Ἀργείοις ἐπολέμει καὶ ἀντεστρατοπέδευεν. ἦν τοῖς Ἀργείοις ἀκριβὴς φυλακὴ τῶν δρωμένων τοῖς πολεμίοις· καὶ πάντα ὅσα Κλεομένης ἐβούλετο, ὑπὸ κήρυκος ἐσήμαινε τῇ στρατιᾷ, καὶ αὐτοὶ τὰ ἴσα δρᾶν ἐσπούδαζον. ὁπλιζομένων ἀνθωπλίζοντο, ἐπεξιόντων ἀντεπεξῄεσαν, ἀναπαυομένων ἀντανεπαύοντο. Κλεομένης λάθρα παράγγελμα ἔδωκεν ‘ὅταν ἀριστοποιεῖσθαι κηρύξω, ὁπλίσασθε’. ὁ μὲν ἐκήρυξεν, οἱ δὲ Ἀργεῖοι πρὸς ἄριστον ἐτρέποντο. Κλεομένης ὡπλισμένους ἐπαγαγὼν εὐχερῶς ἀόπλους καὶ γυμνοὺς Ἀργείους προστυχὼν ἀπέκτεινεν.* 1

5, 16, 5 *Ὅτι Παμμένης ὀλίγην ἔχων δύναμιν ὑπὸ πλειόνων ἀποληφθεὶς ἔπεμψεν αὐτόμολον εἰς τὸ τῶν πολεμίων στρατόπεδον. καὶ δι' αὐτοῦ τὸ σύνθημα αὐτῶν ἐκμαθὼν νυκτὸς ἐπιθέμενος αὐτοῖς τοὺς πλείονας αὐτῶν διέφθειρεν. αὐτὸς μὲν γὰρ τὸ ἐκείνων ἠπίστατο σύνθημα, τοῖς δὲ ἦν ἀπορία γνωρίζειν ἐν σκότῳ τοὺς οἰκείους μὴ δυναμένοις διὰ τοῦ συνθήματος.* 2

5, 33, 2 *Ὅτι καὶ Πομπίσκος τῶν πολεμίων ἐγγύθεν ὄντων καὶ τὰ σημεῖα καὶ τὰ κηρύγματα αὐτοῦ παραφυλαττομένων ἐν ἀπορρήτῳ παρήγγειλε τοῖς φανεροῖς παραγγέλμασι καὶ κηρύγμασι χρῆσθαι τοὺς στρατιώτας εἰς τοὐναντίον.* 3

7, 11, 2 *Ὅτι Δαρεῖος μέλλων νύκτωρ τοῖς πολεμίοις ἐπιθέσθαι συνεβούλευσε τὸ τιαροδέσμιον, ὃ τῆς κεφαλῆς ὄπιθεν ἀποσφίγγει τὴν τιάραν, εἰς μέτωπον αὐτοὺς περιαγαγεῖν τοῦ ἔχειν σημεῖον εἰς τὸ γνωρίζειν ἀλλήλους.* 4

---

5 *Ἀργείους* H ‖ 8 *σημαίνειν* H ‖ 9 *ἐξιόντων* H ‖ 14 *ἁπλοὺς* H ‖ 15 *ἀπολειφθεὶς* H.

2 Ὅτι Ἰφικράτης λείαν ἔκ τινων χώρων συναρπάσας 3, 9, 48
πολλήν, ἐπειδὴ ἐδιώκετο παρὰ τοῦ φρουράρχου, πρὸ τῆς λείας τοὺς ὁπλίτας τάξας, κούφους καὶ ψιλοὺς κατ᾽ ὀλίγον ἄλλον ἀλλαχοῦ τῷ Λάκωνι ἀντετάσσετο καὶ τούτοις προσέχοντι αὐτὸς μετὰ ἀδείας περικυκλώσας καὶ κατὰ νώτου γενόμενος πάντας διέφθειρεν.

3 Ὅτι Παμμένης παραταssομένων αὐτῷ πολεμίων πολλὴν 5, 16, 2
ἵππον κεκτημένων αὐτὸς τὴν κούφην στρατιὰν ἔταξε κατὰ τὸ κράτιστον τῶν πολεμίων καὶ παρήγγειλεν ἑκόντας ὑποφεύγειν, τοὺς δὲ ἱππεῖς καθ᾽ ἑκάτερα μέρη τῶν κεράτων ἵστασθαι. τούτου γενομένου εὐχερῶς περικυκλώσας τῶν πολεμίων περιεγένετο ἀναστρεψάντων καὶ αὐτῶν φεύγειν δοκούντων.

4 Ὅτι καὶ Ἀννίβας παρατασσόμενος ἔταξεν τοὺς μὲν γεν- deest in Polyaeni codicibus
ναιοτέρους ἑκατέρωθεν τῆς φάλαγγος, τοὺς δὲ ἀσθενεστέρους ἐν μέσῳ προὔχοντας ὑπὲρ τὴν φάλαγγα, καὶ παράγγελμα ἔδωκεν, ἡνίκα τοὺς μέσους ὠσάμενοι διώκειν ἐπιχειροῖεν [οἱ πολέμιοι], συνάπτειν τὰ κέρατα. ἡ κύκλωσις αὕτη πεντακισμυρίους ἔκτεινεν ἐν τῇ μάχῃ.

5 Ὅτι Ὀρόντης ἀποστὰς ἐπολέμει τοῖς βασιλέως στρατη- 7, 14, 2
γοῖς καὶ παρήγγειλε τοῖς στρατιώταις ἐχυρὸν μάλιστα τὸ χαράκωμα ποιεῖν καὶ οὕτως δρᾶσθαι τοῖς πολεμίοις. αὐτὸς δὲ νύκτωρ ἐπιλέκτους λαβὼν ἱππέας ἐξώρμησεν καὶ διὰ τῆς ἐπὶ Σάρδεις ὁδοῦ λείαν πολλὴν ἀπήλασεν καὶ πέμψας ἄγγελον τοῖς ἐν τῷ χάρακι ταῦτα ἐμήνυσε καὶ συνέταξε τῇ ὑστεραίᾳ ἐπιθέσθαι τοῖς πολεμίοις. οἱ μὲν δὴ θαρροῦντες ἐπεξῆλθον, αὐτὸς δὲ κατὰ νώτου τῶν πολεμίων γενόμενος πλείστους αὐτῶν καὶ ἔκτεινε καὶ ἐζώγρησεν.

6 Ὅτι Καῖσαρ Γαλατίαν πόλιν πολιορκῶν τῶν Γαλατῶν 8, 23, 11
ἀθροισθέντων εἰς εἴκοσι πέντε μυριάδας αὐτὸς νύκτωρ δισχιλίους ὁπλίτας καὶ τοὺς ἱππέας διελὼν ἐκ πλαγίου μέρους ἑκατέρωθεν ἐκέλευσεν ἀναχωρήσαντας τῆς ὑστεραίας ἀμφὶ

17 [οἱ πολέμιοι] inseruit W ‖ 20 ἀποστείλας H ‖ 25 τοὺς H.

δευτέραν ὥραν κάτοπιν τῶν πολεμίων ἐπιφανέντας ἔργου ἔχεσθαι. αὐτὸς δὲ ἀρχομένης ἡμέρας ἐξῆγε τὴν στρατιὰν εἰς μάχην καὶ ἐκ τούτου πλεῖστον φόνον Γαλατῶν εἰργάσατο.

## 20. Περὶ συνθημάτων.

1, 14 Ὅτι Κλεομένης Λακεδαιμονίων βασιλεὺς Ἀργείοις ἐπο- 1
λέμει καὶ ἀντεστρατοπέδευεν. ἦν τοῖς Ἀργείοις ἀκριβὴς φυ-
λακὴ τῶν δρωμένων τοῖς πολεμίοις· καὶ πάντα ὅσα Κλεο-
μένης ἐβούλετο, ὑπὸ κήρυκος ἐσήμαινε τῇ στρατιᾷ, καὶ αὐτοὶ
τὰ ἴσα δρᾶν ἐσπούδαζον. ὁπλιζομένων ἀνθωπλίζοντο, ἐπεξ-
ιόντων ἀντεπεξῄεσαν, ἀναπαυομένων ἀντανεπαύοντο. Κλεο-
μένης λάθρα παράγγελμα ἔδωκεν ‘ὅταν ἀριστοποιεῖσθαι
κηρύξω, ὁπλίσασθε’. ὁ μὲν ἐκήρυξεν, οἱ δὲ Ἀργεῖοι πρὸς
ἄριστον ἐτρέποντο. Κλεομένης ὡπλισμένους ἐπαγαγὼν εὐχε-
ρῶς ἀόπλους καὶ γυμνοὺς Ἀργείους προστυχὼν ἀπέκτεινεν.

5, 16, 5 Ὅτι Παμμένης ὀλίγην ἔχων δύναμιν ὑπὸ πλειόνων ἀπο- 2
ληφθεὶς ἔπεμψεν αὐτόμολον εἰς τὸ τῶν πολεμίων στρατό-
πεδον. καὶ δι' αὐτοῦ τὸ σύνθημα αὐτῶν ἐκμαθὼν νυκτὸς
ἐπιθέμενος αὐτοῖς τοὺς πλείονας αὐτῶν διέφθειρεν. αὐτὸς
μὲν γὰρ τὸ ἐκείνων ἠπίστατο σύνθημα, τοῖς δὲ ἦν ἀπορία
γνωρίζειν ἐν σκότῳ τοὺς οἰκείους μὴ δυναμένοις διὰ τοῦ
συνθήματος.

5, 33, 2 Ὅτι καὶ Πομπίσκος τῶν πολεμίων ἐγγύθεν ὄντων καὶ 3
τὰ σημεῖα καὶ τὰ κηρύγματα αὐτοῦ παραφυλαττομένων ἐν
ἀπορρήτῳ παρήγγειλε τοῖς φανεροῖς παραγγέλμασι καὶ κηρύγ-
μασι χρῆσθαι τοὺς στρατιώτας εἰς τοὐναντίον.

7, 11, 2 Ὅτι Δαρεῖος μέλλων νύκτωρ τοῖς πολεμίοις ἐπιθέσθαι 4
συνεβούλευσε τὸ τιαροδέσμιον, ὃ τῆς κεφαλῆς ὄπιθεν ἀπο-
σφίγγει τὴν τιάραν, εἰς μέτωπον αὐτοὺς περιαγαγεῖν τοῦ
ἔχειν σημεῖον εἰς τὸ γνωρίζειν ἀλλήλους.

---

5 Ἀργείους H ‖ 8 σημαίνειν H ‖ 9 ἐξιόντων H ‖ 14 ἁπλοὺς H ‖ 15 ἀπολειφθεὶς H.

## 21. *Περὶ πυρσῶν.*

1 *Ὅτι Μάγας φρυκτωροὺς κατασχὼν προσέταξεν αὐτοῖς* 2, 28, 2 *πυρσὸν φίλιον ἑσπέρας καὶ πάλιν βαθέως ὄρθρου ποιῆσαι καὶ οὕτως τῇ τῶν πυρσῶν ἀπάτῃ προῆλθε τῆς χώρας καὶ πολλὴν λείαν συνῆξεν.*

2 *Ὅτι Ἀλέξανδρος Πάνορμον πολιορκοῦντος Λεωσθένους* 6, 2, 1 *πρὸς πάσας τὰς Ἀττικὰς ναῦς φανερῶς ναυμαχεῖν οὐκ ἔχων διεπέμψατο ἐπὶ ἀκατίου νύκτωρ πρὸς τοὺς ἔνδον στρατιώτας, ὅπως, εἴ τινες τῶν πολεμίων (τῶν) νεῶν ἐκλίποιεν τὴν φυλακήν, μετὰ τοῦ ἐξ ἔθους ἑνὸς πυρσοῦ ἀναδείξωσι καὶ δεύτερον τοῖς ἐν Μαγνησίᾳ κἀκεῖνοι τοῖς ἐν Παγασαῖς. τοῦ δὲ Λεωσθένους τὰς τριήρεις ἄλλας ἀλλαχοῦ ἐκπέμψαντος διὰ τῶν εἰρημένων πυρσῶν μεμαθηκὼς Ἀλέξανδρος καὶ ἐπιπλεύσας ἄφνω καὶ προσπεσὼν ἐνίκησε τῇ ναυμαχίᾳ τοὺς Ἀθηναίους.*

3 *Ὅτι Πλαταιεῖς ὑπὸ Λακεδαιμονίων πολιορκούμενοι πυρ-* 6, 19, 2 *σοὺς πολεμίους ἀνέσχον συμμαχίαν ἀπὸ Θηβῶν καλοῦντες. Πλαταιεῖς ἀντανέσχον πυρσοὺς φιλίους καὶ ἐκ τῆς τοιαύτης ἐπιπυρσείας ἀπατήσαντες Θηβαίους ἔπεισαν ἀποστῆναι τῆς συμμαχίας ἀμφιδοξήσαντας τοῖς ἐναντίοις πυρσοῖς.*

## 22. *Ἐκ πυρὸς βοήθεια.*

1 *Ὅτι Νικίας μετ' ὀλίγων στρατιωτῶν ἀπολειφθεὶς [ἐν τῷ]* 1, 39, 3 *κύκλῳ τοῦ τείχους τῆς ἄλλης δυνάμεως ἐπὶ Θάψον οὔσης, ἐπειδὴ οἱ Συρακούσιοι τὰ προπύργια τοῦ τείχους ἔλαβον, ἐν ᾧ πρόσοικα πολλὰ ἦν, οὐχ ἱκανὸς ὢν ἀμύνασθαι τὰ πρόσοικα ἐνέπρησεν. ἐξ οὗ συνέβη κωλυθῆναι τοὺς πολεμίους ἐν τῷ τέως, ἕως ἀπὸ Θάψου ἡ δύναμις ἐλθοῦσα προσεβοήθησεν.*

---

9 (*τῶν*) seclusi ‖ 18 *ἀντανίσχον* H ‖ 22 [*ἐν τῷ*] inserui.

1, 40, 7 Ὅτι Ἀλκιβιάδης πολεμῶν Συρακουσίοις, ἐπειδὴ μεταξὺ 2
τῶν στρατοπέδων ὕλη ἦν ξηρά, δαψιλής, ἀνέμου παμμεγέθους προσπεσόντος κατὰ πρόσωπον τῶν πολεμίων αὐτὸς τὴν ὕλην ἐμπρήσας τοὺς πολεμίους ἐτροπώσατο.

4, 7, 9 Ὅτι Δημήτριος τὸ αὐτὸ ἐργασαμένους Λακεδαιμονίους 3
ἐνίκησεν.

4, 9, 5 Ὅτι Σέλευκος Δημητρίου στρατοπεδευσαμένου ἐπὶ τὸν 4
λόφον τοῦ Ταύρου δεδοικώς, μὴ λαθὼν ἀναχωρήσῃ, ἔπεμψε Λυσίαν μετὰ πολλῶν Μακεδόνων πρὸς τὰ ὄρη τὰ ὑπερκείμενα, ὅπου καὶ τὴν πορείαν ἔμελλε ποιεῖν, προστάξας πυρὰ καῦσαι. Δημήτριος δὲ προκατειλημμένους δρῶν τοὺς τόπους τῆς πορείας ταύτης ἀπετράπετο.

## 23. Ἐξ ἀνέμων βοήθεια.

leest in
lyaeni
licibus Ὅτι Ἀννίβας περὶ Κάννας διάγων τῶν πεδίων ὑφάμμων ὄντων κατὰ νώτου τὸν ἄνεμον λαβὼν προήγαγε τὴν φάλαγγα. οἱ Ῥωμαῖοι τὴν ἄμμον ἐμπίπτουσαν τοῖς ὀφθαλμοῖς οὐ φέροντες εἰς φυγὴν ἐτρέποντο.

## 24. Δήωσις καὶ φειδὼ τῆς τῶν πολεμίων χώρας.

1, 36, 1 Ὅτι Λακεδαιμόνιοι τὴν Ἀττικὴν ἐδῄουν. Περικλῆς 1
ἐξέπεμψε τριήρεις Ἀθηναίων, οἳ δῃώσουσι τὰ παράλια τῆς Λακωνικῆς, ὅπως αὐτοῖς πλείω πάσχειν ἢ δρᾶν συμβῇ.

2, 1, 10 Ὅτι Ἀγησίλαος ἐς τὴν Ἀκαρνάνων ἐνέβαλεν. τῶν δὲ 2
ἀναφυγόντων εἰς τὰ ὄρη αὐτὸς οὐκ ὀξεῖαν τὴν ἐπιδρομὴν ἐποιήσατο, ἀλλ' ἐς τὰ πλάγια τῆς χώρας πέμπων ἐκέλευσεν ἐκ ῥιζῶν ἀνασπᾶν τὰ δένδρα. οἱ δὲ Ἀκαρνᾶνες καταφρονήσαντες αὐτοῦ τῆς βραδυτῆτος καὶ τῆς περὶ τὰ δένδρα ἀσχολίας ἐκ τῶν ὀρῶν κατέβησαν πρὸς τὰς πόλεις τὰς κατὰ τὸ πεδίον. ὁ δὲ ἑκατὸν ἑξήκοντα στάδια ὀλίγῳ μέρει τῆς

7 ὑπὸ τοῖς λόφοις Polyaen. ‖ 21 παρασχεῖν H.

μηδένα ὀρθὸν ἀνίστασθαι, ὁ δὲ ἀναστὰς ὡς πολέμιος ἀναιρείσθω. τὸ παράγγελμα τοῦτο ἐδίδαξε τοὺς στρατιώτας καταφρονεῖν νυκτερινοῦ φόβου. καὶ οὕτως ἐπαύσαντο ἀναπηδῶντες καὶ ταραττόμενοι.

## 28. Περὶ τῆς κατὰ τὴν ὁμοιότητα τῶν σχημάτων ἀπάτης.

1 Ὅτι Σόλων τροπώσασθαι μέλλων τοὺς πολεμίους, ἐπειδὴ 1, 20, 2
ἐν τῇ ἑορτῇ τῆς Δήμητρος ἔμελλον ἐξιέναι αἱ γυναῖκες ἑορτάσουσαι, δι' αὐτομόλου τοῖς πολεμίοις ὑπέθετο, ὡς, ἐὰν ταύταις ἐπιτηδεύσοιντο, πάσας λάβοιεν. αὐτὸς δὲ νέους στολίσας γυναικείαν στολὴν μετὰ ἐγχειριδίων προῆγεν ὡς πρὸς τὴν ἑορτὴν τῆς Δήμητρος. οἱ πολέμιοι ἐπιθέμενοι ὡς γυναῖκας ἁρπάσοντες ἐπεχείρουν ἀόπλως καὶ διεσπαρμένοι ποιεῖσθαι τὴν ἐπίθεσιν. οἱ δὲ ἀντὶ γυναικῶν ἄνδρες εὑρεθέντες πολλοὺς αὐτῶν ἀπέσφαξαν.

2 Ὅτι Ἰφικράτης μέλλων τροπώσασθαι πολεμίους μετημ- 3, 9, 52
φίασεν τὴν ἰδίαν δύναμιν τοῖς μὲν στρατιώταις περιθεὶς τὴν τῶν οἰκετῶν ἐσθῆτα, τοῖς δὲ οἰκέταις τὴν τῶν στρατιωτῶν.

3 Ὅτι Μέμνων Κυζικηνοῖς ἐπιὼν ἀπεκδεχομένοις Χάλκαν 5, 44, 5
τὸν Μακεδόνα πρὸς συμμαχίαν αὐτός τε καὶ οἱ μετ' αὐτοῦ σχῆμα Μακεδονικὸν περιθέμενοι ὑπὸ Κυζικηνῶν ὡς σύμμαχοι προσεδέχθησαν ἀνοιξάντων τὰς τοῦ ἄστεος πύλας.

4 Ὅτι καὶ Φιγαλεῖς πολιορκούμενοι πέμψαντες κήρυκα deest in Polyaeni codicibu
ἐξεκαλοῦντο Ἀργείους πρὸς συμμαχίαν, ὃν κρατήσαντες οἱ Λάκωνες Ἀργείων σχῆμα μεταμφιασάμενοι ἐφέροντο ὡς ἀπὸ τῆς ἐξ Ἀργείων ἀπαγούσης ὁδοῦ· οὓς ἰδόντες Φιγαλεῖς καὶ νομίσαντες τὴν συμμαχίαν ἥκειν ἀνοίξαντες τὰς πύλας ὑπεδέξαντο.

5 Ὅτι Δαρεῖος πολεμῶν Σάκας τριχῇ διῃρημένους, ἐπειδὴ 7, 11 6
μιᾶς ἐκράτησε μοίρας τῶν πεσόντων τὰς στολὰς καὶ τὰς

---

19 ἀπεκδεχόμενος H ‖ 21 συμμάχων H.

ὁπλίσεις Πέρσαις περιθεὶς προσῆγε τῇ δευτέρᾳ μοίρᾳ τῶν Σακῶν νόμῳ φιλίας ἠρέμα βαδίζοντας. οἱ δὲ Σάκαι τῷ σχήματι τῶν ἐσθήτων καὶ τῶν ὅπλων ἀπατώμενοι φιλοφρόνως ὡς πρὸς οἰκείους προσελθόντες ὑπ' αὐτῶν πάντες ἐφονεύθησαν, ὁμοίως δὲ καὶ οἱ τῆς τρίτης.

## 29. Περὶ τῆς ἐκ τοῦ ἐναντίου ἀπάτης.

1, 29, 1 Ὅτι Ἱέρων ποταμὸν περάσαι βουλόμενος τῶν πολεμίων 1
ἀντιστρατοπεδευομένων αὐτὸς τοὺς ἱππεῖς ἀνώτερον τάξας ἀπέστειλε διαπεράσαι, ὡσαύτως καὶ τοὺς ψιλοὺς ὑπερανωτέρω τῶν ἱππέων. οἱ γοῦν πολέμιοι πρὸς ἀμφοτέρους ἀντιπαραστάντες ὠλιγώθησαν εἰς τὴν τοῦ Ἱέρωνος ἀντιπαράστασιν. ὁ δὲ ὀλιγωθέντας ἰδὼν διεπέρασεν καὶ σημεῖον ἄρας τοῖς ψιλοῖς καὶ ἱππόταις ἀνέστρεψε καὶ διεπέρασεν ἐν τῷ τόπῳ, ἐν ᾧ καὶ αὐτὸς ἐπέρασεν.

1, 40, 5 Ὅτι Ἀλκιβιάδης [Κατάνην] κατασχὼν ἄνδρα Καταναῖον 2
Συρακουσίοις γνώριμον καθῆκε Συρακούσαις ὡς πεμφθέντα ὑπὸ τῶν ἐν Κατάνῃ φίλων ὄντων αὐτοῖς. οὗτος ἤγγειλεν Ἀθηναίους καταλιπόντας τὸ στρατόπεδον ἀόπλους εἴσω Κατάνης αὐλίζεσθαι, εἰ δὲ αὐτοὶ ἅμα ἕῳ καταλάβοιεν τῶν Ἀθηναίων τὸ στρατόπεδον, δύνασθαι τοὺς ἐν τῇ πόλει γυμνοὺς ἀποκλεισθέντας ἁλῶναι. ῥᾳδίως πιστεύσαντες οἱ Συρακούσιοι ἐξῄεσαν ἐπὶ Κατάνης. Ἀλκιβιάδης δὲ ὡς ᾔσθετο παριόντας αὐτούς, τὰς τριήρεις πληρώσας σπουδῇ προσέπλευσεν τῇ Συρακουσίων πόλει καὶ νικᾷ οὐδενὸς εἴργοντος.

2, 1, 9 Ὅτι Ἀγησίλαος ἐπὶ Σάρδεις ἐλαύνων καθῆκε λογοποιοὺς 3
ἐξαπατῶν Τισαφέρνην λέγοντας αὐτῷ, ὅτι στέλλεται μὲν φανερῶς Ἀγησίλαος ἐπὶ Λυδίας, τρέπεται δὲ ἀφανῶς ἐπὶ Καρίας. καὶ οὕτω πεισθεὶς Τισαφέρνης ὥρμησεν (ἐπὶ) Καρίαν φυλάττειν, ὁ δὲ Λάκων κατέδραμεν Λυδίαν καὶ λείαν πολλὴν κατέσχεν.

---

1 προῆγε H ‖ 11 Ἱέρακος H ‖ 15 [Κατάνην] inserui ‖ 18 Ἀθηναίοις καταλιποῦσι H ‖ 24 ἐν τῇ H ‖ 28 (ἐπὶ) seclusi.

4 Ὅτι Δημοσθένης ἐπὶ Πύλον ἐκπλεύσας ταύτην εἷλε 3, 1, 1
τρόπῳ τοιούτῳ· προσεποιήσατο γάρ, ὡς πρὸς τὴν ἄκραν ἔχει τὴν ὁρμὴν ἀποπλεῦσαι. οἱ δὲ τῆς Πύλου ἀφέντες τὴν πόλιν πρὸς τὰ ἐκεῖσε τὴν ὁρμὴν ἐποιοῦντο. αὐτὸς δὲ σπουδῇ ἀναχθεὶς καὶ τῇ Πύλῳ προσορμισθεὶς ἐπειδὴ κενὴν ἀνδρῶν εὗρε τὴν πόλιν, ταύτην ἔλαβεν ἀπονητί.

5 Ὅτι Δημήτριος ἐς Κόρινθον προδότας ἔχων νύκτωρ 4, 7, 8
προῆλθε καὶ τῶν προδοτῶν αὐτῷ τὰς κατὰ κορυφὴν πύλας ἀνοιξάντων, δεδιὼς αὐτός, μὴ μαθόντες οἱ πολῖται ἐπίθοιντο ταῖς κατὰ τὸ ἕτερον μέρος πύλαις, πολλῇ στρατιᾷ προσέβαλλεν. εἰς ἣν ἀντιπερισπασθέντες οἱ πολῖται ἡλώθησαν διὰ τῶν προδοθέντων πυλῶν ἐκ τοῦ ἑτέρου μέρους.

6 Ὅτι Ἀμίλκας Ἕλληνι τακτικῷ χρώμενος, τοῦτον αἰσθό- deest in Polyaen codicibus
μενος Ἀγαθοκλεῖ πάντα ἐξαγγέλλειν, ὅσα μέλλοι πράττειν, προεῖπεν, ὡς τὸ ναυτικὸν ἐκεῖ πέμψας βούλοιτο καταλαβέσθαι τὸ παρὰ Συρακούσαις Ὀλύμπιον. ὁ μὲν τακτικὸς ἐν ἀπορρήτῳ πέμψας Ἀγαθοκλεῖ τοῦτο προεμήνυσεν. ὁ δὲ Ἀμίλκας συνέταξε ταῖς ναυσὶν, ἐπειδὰν παραλλάξωσι μικρὸν, νυκτὸς πάλιν συντόνως ἐπανελθεῖν. Ἀγαθοκλῆς ἐξαπατηθεὶς ἔπεμψε μὲν ἐν Συρακούσαις τοὺς διαφυλάξοντας τὸ Ὀλύμπιον, αὐτὸς δὲ διὰ νυκτὸς ἐπῆγεν Ἀμίλκᾳ καταλειφθέντι. ὁ δὲ τοὺς ἀπὸ τῶν νεῶν ἐκβάντας πολλοὺς ἔχων μετὰ κραυγῆς καὶ θορύβου προσπεσὼν ἐφόνευσε τῶν Ἀγαθοκλείων στρατιωτῶν ἑπτακισχιλίους.

## 30. Περὶ τοῦ ψεύδους τοῦ πρὸς τοὺς οἰκείους ἐπὶ συμφέροντι.

1 Ὅτι Λακεδαίμονος σεισθείσης Ἀρχίδαμος τοὺς ἀνθρώ- 1, 41, 3
πους ὁρῶν ἐπὶ τὸ σώζειν τὰ ἐν ταῖς οἰκίαις τραπομένους δεδιώς, μή πως καὶ οἱ ἀπολειφθέντες ἀπόλοιντο, τῇ σάλπιγγι

1 ὁ δὲ H ‖ 19 συντόνως W; συντόμως H ‖ 20 διαφυλάξαντας H ‖ 21 ἀπῆγεν H.

πολεμίων ἔφοδον ἐσήμανεν. ᾗ καὶ πιστεύσαντες οἱ Λάκωνες ἐξῆλθον τῆς πόλεως καὶ οὕτως ἐσώθησαν τῶν οἰκιῶν καταπεσουσῶν.

4, 3, 28 Ὅτι Ἀλέξανδρος ὥρᾳ θέρους ἦγε τὴν στρατιὰν παρὰ 2
ποταμὸν προσκειμένων πολεμίων. ἵνα γοῦν μὴ λύσωσι τὸν συνασπισμόν, διήγγειλεν, ὡς θανάσιμον τὸ τοῦ ποταμοῦ ὕδωρ τοῖς προσιεμένοις. οἱ μὲν φεισάμενοι τὴν τάξιν διέσωζον ἀδιάλυτον, αὐτὸς δὲ μετὰ τὸ τροπώσασθαι τὸν πολέμιον ἐπ' ὄψει πάντων προσγελάσας ἐκ τοῦ ποταμοῦ ἔπιεν· οἱ Μακεδόνες τὸ στρατήγημα ἀποθαυμάσαντες ἀπεδέξαντο.

4, 2, 21 Ὅτι Φίλιππος Βυζαντίους πολιορκῶν συμμάχους ἔχοντας 3
πλείστους δι' αὐτομόλου ἐξεφήμισεν, ὡς τὰς τούτων χώρας δι' ἑτέρων αὐτὸς καταληΐζεται. ἀπόμοιράν τε τοῦ στρατοῦ ἐξέπεμψεν οὐκ ἐπὶ πρᾶξιν, λάθρα δὲ παραγγείλας ἐπανελθεῖν, ὡς ἂν τὴν τοιαύτην δόκησιν ἀληθῆ πιστώσηται εἶναι. καὶ οὕτω πεισθέντες οἱ σύμμαχοι ἀφέντες Βυζαντίους πρὸς τὸ φυλάξαι τὰ οἰκεῖα ἀνεχώρησαν.

## 31. *Αἰφνίδιοι ἐπιθέσεις.*

1, 45, 2 Ἀθηναῖοι ἐν Αἰγὸς ποταμοῖς τετράκις ἀνήχθησαν πρὸς 1
τὸ ναυμαχεῖν. Λύσανδρος ὁ Λάκων οὐκ ἀντανήγετο. οἱ μὲν ἀποπλέουσι γαννύμενοι παιῶνας ᾄδοντες, Λύσανδρος δὲ κατόπιν πέμπει δύο τριήρεις. οἱ τριήραρχοι τοὺς Ἀθηναίους ἐκβάντας ὡς εἶδον, σημεῖον μετέωρον αἴρουσι, Λύσανδρος αὐτίκα ὑπεσήμανεν ἐπίπλουν. καὶ οἱ Λάκωνες εἰρεσίᾳ πολλῇ ἐπιπλέουσι καὶ τοὺς Ἀθηναίους καταλαμβάνουσιν ἄρτι ἐκβάντας, καὶ οἱ μὲν ἀνεπαύσαντο, οἱ δὲ ἄλλος ἄλλο τι ἔδρα, γυμνοὶ πάντες. οἱ Λάκωνες ἄφνω προσπεσόντες ὡπλισμένοι καὶ συντεταγμένοι γυμνοῖς καὶ ἀσυντάκτοις ἐνίκησαν.

3, 4, 1 Ὅτι Φορμίων ἀποβὰς ἐς τὴν Χαλκιδέων ἁρπάσας οὐκ 2
ὀλίγα τῶν ἐκ τῆς χώρας ἀνέστρεψεν. Χαλκιδεῖς ἐπρεσβεύ-

3 καταπεσόντων H ‖ 8 πόλεμον H ‖ 27 ἀφ' ὧν H ‖ 29 Χαλκιδαίων H.

*σαντο ἀπαιτοῦντες, ὁ δὲ κρύφα καθῆκεν ὑπηρετικὸν ὡς Ἀθήνηθεν ἧκον, τοῦ δήμου καλοῦντος αὐτὸν διὰ τάχους. τοῖς μὲν οὖν πρεσβευταῖς ἀπέδωκεν ὅσα ἔτυχον ἀπαιτοῦντες, αὐτὸς δὲ ἀναχθεὶς ὑπὸ νησίον ὡρμίσατο τὴν νύκτα. οἱ Χαλκιδεῖς καὶ τῷ κομίσασθαι τὰ ἴδια καὶ τῷ νομίσαι τὸν Φορμίωνα Ἀθήναζε πεπλευκένα ἀφυλάκτως καὶ τῆς πόλεως καὶ τῆς χώρας εἶχον. ὁ δὲ ἀφυλάκτοις ἐπελθὼν ὀλίγου μὲν καὶ τὴν πόλιν κατέσχε, τὴν λείαν δὲ πᾶσαν ἐκράτησεν.*

3 *Ὅτι Ἰφικράτης ἐν Θρᾴκῃ προσκαθημένων πολεμίων* 3, 9, 4 *ἐνέπρησε νυκτὸς τὴν μεταξὺ ἀμφοτέρων ὕλην καὶ τὰ σκευοφόρα καὶ πολλὰ τετράποδα καταλιπὼν τοῦ καπνοῦ σκοτεινοτέραν τὴν νύκτα ποιοῦντος ἀνεχώρησεν ἐς τόπον δασὺ καὶ σύσκιον. ἡμέρας δὲ γενομένης οἱ Θρᾷκες ἐπὶ τὸ στρατόπεδον ἐλθόντες οὐδένα τῶν Ἑλλήνων εὑρόντες ὥρμησαν ἐπὶ ἁρπαγὴν τῶν τετραπόδων καὶ τῶν σκευοφόρων. Ἰφικράτης δὲ διεσπασμένοις ἐπιφανεὶς ἐκ τοῦ χωρίου συντεταγμένος καὶ τοὺς πολεμίους ἐνίκησε καὶ τὰ σκευοφόρα ἔσωσεν.*

4 *Ὅτι Ἰφικράτης ἐς Θρᾴκην ἀναβὰς μετὰ στρατιωτῶν* 3, 9, 4 *ὀκτακισχιλίων ἐστρατοπέδευσε· πυθόμενος τοὺς Θρᾷκας νύκτωρ ἐπιτίθεσθαι μέλλοντας ἀναλαβὼν τοὺς στρατιώτας ἀνεχώρησεν ἑσπέρας ὅσον στάδια τρία ἐς φάραγγα κρύψαι δυναμένην. οἱ Θρᾷκες ἐμπεσόντες εἰς τὸ στρατόπεδον διήρπαζον ἀτάκτως καταγελῶντες τῶν Ἑλλήνων ὡς φευγόντων. Ἰφικράτης ἐξ ἀφανοῦς ἐφορμήσας πολλοὺς μὲν αὐτῶν ἀπέκτεινεν, πολλοὺς δὲ καὶ αἰχμαλώτους ἔλαβεν.*

5 *Ὅτι Φιλοκλῆς Πτολεμαίου στρατηγὸς Καύνῳ προσ-* 3, 16 *εστρατοπέδευσε· καὶ χρήμασι διαφθείρας τοὺς σιτοφύλακας συνέθετο. οἱ μὲν ἐν τῇ πόλει παρήγγειλαν τοῖς στρατιώταις δώσειν [σῖτον], οἱ δὲ τὰς φυλακὰς τῶν τειχῶν ἀπολιπόντες τὸν σῖτον ἐμέτρουν. Φιλοκλῆς δὲ ἐν τῷ καιρῷ προσπεσὼν ἀφύλακτον ἔλαβεν τὴν πόλιν.*

---

4 *ὡρμήσατο* H ‖ 5 *τῷ*] *τὸ* (bis) H ‖ 26 *στρατηγοῦντος* H ‖ 29 [*σῖτον*] inserui.

4, 11, 4 *Ὅτι Κάσσανδρος ἀπὸ τῆς Ἰλλυρίδος ἐπανιὼν ἀποσχὼν* 6
*ὁδὸν ἡμέρας Ἐπιδάμνου, τὴν δύναμιν ἀποκρύψας ἱππέας καὶ πεζοὺς πέμψας ἐνέπρησεν ὕλας κειμένας ἐπὶ τῶν ὁρίων Ἰλλυρίδος καὶ Ἀτινταντίδος, αἳ καταφανεῖς ἦσαν τοῖς Ἐπιδαμνίοις. οἱ μὲν δὴ νομίσαντες ἀπεληλυθέναι Κάσσανδρον προελθόντες τῆς πόλεως ταῖς γεωργίαις προσεῖχον, ὁ δὲ τὴν κεκρυμμένην δύναμιν ἀναστήσας ἀπὸ μὲν τῶν ἔξω τῆς πόλεως ἔλαβεν οὐκ ἐλάττους ἀνδρῶν δισχιλίων, τὰς δὲ πύλας τῆς πόλεως ἀνεῳγμένας εὑρὼν καὶ ταύτην κατέσχεν.*

4, 7, 8 *Ὅτι Δημήτριος πόλιν πολιορκῆσαι βουλόμενος ἀνεχώ-* 7
*ρησε μικρὸν ἐξ αὐτῆς κἀκεῖσε διατρίβων ἡμέραις πλείοσι προσεῖχεν ἡδοναῖς καὶ τρυφαῖς, ὁπηνίκα δὲ πόρρω τῆς ὑπονοίας ἐγένοντο οἱ πολέμιοι, τηνικαῦτα ἀπόμοιραν μὲν μίαν νυκτὸς ἔταξε προσβαλεῖν πρός τινας τῶν πολεμίων πυλῶν τῆς πόλεως, ἑτέραν δὲ ἀλλαχοῦ, τὸ δὲ ναυτικὸν τοῖς λιμέσιν ἐπιφαίνεσθαι, αὐτὸς δὲ μετὰ τοῦ ὁπλιτικοῦ καὶ τῷ τοιούτῳ τρόπῳ κατέσχεν τὴν πόλιν.*

4, 15 *Ὅτι Ἀντίοχος βουλόμενος κρατῆσαι Δαμασκοῦ ἣν ἐφύ-* 8
*λασσεν Δίων, ἐπήγγειλε τῇ στρατιᾷ καὶ τῇ χώρᾳ πάσῃ Περσικὴν ἑορτὴν θαλιάζειν καὶ προσεῖχε ταῖς εὐωχίαις μετὰ πάντων τῶν ὑπ' αὐτόν. ἡ τοιαύτη δὲ φήμη ἔπεισε τὸν Δίωνα τὴν φυλακὴν κατολιγωρῆσαι τῆς πόλεως. Ἀντίοχος δὲ προστάξας ἄπυρα σιτία κομίζειν ἤγαγε τὴν στρατιὰν διά τε ἐρημίας καὶ ἀτραπῶν κρημνωδῶν καὶ ἀπροσδοκήτως ἐπιφανεὶς αἱρεῖ Δαμασκόν.*

5, 18 *Ὅτι Ῥόδιοι βασιλεῖ Πτολεμαίῳ πολεμοῦντες περὶ Ἔφε-* 9
*σον ἦσαν· Χρεμωνίδης, Πτολεμαίου ναύαρχος ἀνήχθη πολεμήσων. Ἀγαθόστρατος Ῥοδίους ἐξῆγεν ἐπὶ μίαν ναῦν καὶ φανερὸς γενόμενος τοῖς ἐπιπλέουσι μετέστρεψε μετωπηδὸν καὶ χρόνον ἐπισχὼν βραχὺν ἀνεχώρησεν ἐπὶ τὸν αὐτὸν ὅρμον.*

---

1 *Κάσανδρος* H ‖ 3 *ὀρίων* H ‖ 15 *τοῖς λιμέσιν*] *τῆς πόλεως* H ex dittographia ‖ 20 *θαλίζειν* H ‖ 26 *Ῥόδιοι*] *Ῥωμαῖοι* et 28 *Ῥωμαίους* H ‖ 27 *Χερμονίδης* H.

οἱ πολέμιοι νομίσαντες, ὅτι μὴ θαρροῦσι διαναυμαχεῖν, αὐτοὶ παιωνίσαντες ἐς λιμένα ἐπανῄεσαν. Ἀγαθόστρατος ἐπιστρέψας καὶ τὸ ναυτικὸν πυκνώσας ἐπ' ἀμφοτέρων τῶν κεράτων ἐπέπλευσε τοῖς πολεμίοις ἐκβαίνουσι περὶ τὸ τῆς Ἀφροδίτης τέμενος καὶ ἀπροσδοκήτως προσπεσὼν ἐνίκησεν.

10 5, 32, 1 Ὅτι Τελεσίνικος Κορίνθιος ἐν τῷ λιμένι τῶν Συρακουσίων ἐναυμάχει πρὸς Ἀθηναίους. ἐπεὶ δὲ ἐπὶ πλεῖστον τῆς ἡμέρας ναυμαχοῦντες ἐπόνουν, πέμψας εἰς τὴν πόλιν τῶν Συρακουσίων τὴν ἀγορὰν ἐκέλευσεν ἐπὶ τὸν λιμένα κατακομίσαι. ὡς δὲ κεκομισμένην εἶδεν, σημεῖον ἄρας ἀκρίτου τῆς ναυμαχίας οὔσης κατῆλθεν ἐπὶ τὸν λιμένα. οἱ δὲ Ἀθηναῖοι καὶ αὐτοὶ διὰ τάχους ἀσμένως ἀπαλλαγέντες ἐπὶ τὴν γῆν ἠριστοποιοῦντο ἄλλος ἄλλῃ διασπαρέντες, ὁ δὲ μετὰ τοῦ στρατοῦ ἑτοίμῃ τῇ ἀγορᾷ χρησαμένου ἀναχθεὶς αὐτίκα καὶ προσπεσὼν ἄφνω τοῖς Ἀθηναίοις ἀριστοποιουμένοις ἐνίκησεν.

11 5, 32, 2 Ὅτι ὁ αὐτὸς πάλιν ἅμα ἕῳ ἀριστοποιήσας τοὺς ἰδίους εἰσήγαγεν εἰς τὰ καταστρώματα τῶν νεῶν. καὶ ἀναχθεὶς πρὸς τὸ ναυμαχῆσαι, ἐπειδὴ ἐπὶ πολὺ παρετάθη ὁ καιρὸς καὶ οὐ συνέβαλον, σημεῖον ἄρας τοῦ ἀριστοποιῆσαι ἀνήχθη πρὸς τὸν λιμένα. τὸ αὐτὸ δὲ καὶ οἱ πολέμιοι ἐποίησαν. ὁ δὲ ἄφνω προσπεσὼν ἀριστοποιουμένους εὑρὼν ἐνίκησεν.

12 5, 33, 4 Ὅτι Πομπίσκος χωρίον πολιορκῶν ἑλεῖν οὐχ οἷός τε ὢν καθῆκεν αὐτόμολον ἀγγέλλοντα, ὡς Ἀρκάδων αὐτὸν μεταπεμπομένων ἀποροίη, πῶς ἂν ἀπολίποι τὴν πολιορκίαν. οἱ δὲ ἡσθέντες καὶ μετ' οὐ πολὺ τὴν στρατιὰν ἀναχωρήσασαν ἰδόντες πιστὸν εἶναι τὸν αὐτόμολον ἡγούμενοι ἀπελθόντες πολλὰ ἐκ τοῦ στρατοπέδου διήρπαζον. ὁ δὲ ἀναστρέψας ἐπιθέμενος ἐκράτησεν αὐτῶν τε καὶ τοῦ χωρίου.

13 5, 44, 4 Ὅτι Μέμνων τετρακισχιλίους στρατιώτας ἔχων Μαγνησίας ἀπέχων τεσσαράκοντα στάδια τεῖχος ἤγειρεν κύκλῳ τοῦ στρατοπέδου. Παρμενίων καὶ Ἄτταλος ἦσαν ἐν Μαγνησίᾳ μυρίους ἔχοντες. ὀχυρωσάμενος δὲ τὸ στρατόπεδον Μέμνων

14 χρησαμένων H ‖ 23 αὐτῶν H.

ἐξήγαγεν αὐτοὺς διεσκευασμένους ἐς μάχην ὅσον ἐπὶ στάδια δέκα. τῶν δὲ πολεμίων ἐκβοηθησάντων ὁ Μέμνων ἀνακλητικὸν σημάνας ἀνεχώρησεν εἴσω τοῦ τείχους, καὶ οἱ πολέμιοι δὲ ὁμοίως ἀπηλλάγησαν. πάλιν ὁ Μέμνων προελθὼν τοὺς πολεμίους ὁρῶν ἀντιπαρατασσομένους ἀνεχώρησεν, καὶ οἱ πολέμιοι τὸ αὐτὸ ἐποίουν, καὶ τοῦτο πολλάκις τῆς ἡμέρας· τέλος δέ, ὁπότε ᾤετο ἐκδεδυκότας αὐτοὺς τὰ ὅπλα περὶ ἀριστοποιΐαν ἀσχολεῖσθαι, πάλιν ἐπεφάνη. τῶν δὲ οὐ φθασάντων ἀριστῆσαι, πολλῶν μὲν γυμνῶν, πολλῶν δὲ ἔτι τὰ ὅπλα λαμβανόντων, πάντων δὲ ἀτάκτων ὄντων συνιδὼν διεσκεδασμένην αὐτῶν τὴν φάλαγγα συντεταγμένος αὐτὸς ἐπιθέμενος πολλοὺς αὐτῶν διαφθείρας καὶ ζωγρήσας τοὺς λοιποὺς εἰς Μαγνησίαν φυγεῖν ἠνάγκασεν.

6, 6, 2 Ὅτι Πύρρος εἰς τὴν Πελοπόννησον ἐμβαλὼν Σπαρτιατῶν πρεσβευόντων περὶ Ἀρκαδίαν φιλανθρώπως αὐτοὺς διεδέξατο καὶ τοὺς ἰδίους υἱοὺς ὑπέσχετο πέμψειν τοῖς Σπαρτιάταις παιδευθησομένους τὴν Λυκούργειον πολιτείαν. οἱ μὲν πρεσβευταὶ ταῦτα ἤγγειλαν, ὁ δὲ Πύρρος τῇ Σπάρτῃ προσέβαλλεν. ἐγκαλούντων δὲ τῶν Σπαρτιατῶν, ὡς ἄλλα προειπὼν ἄλλα πράττοι, γελάσας ἔφη· ‘οὐδὲ γὰρ ὑμεῖς εἰώθατε προλέγειν, ἃ μέλλετε ποιεῖν πρὸς τοὺς πολεμίους· μὴ τοίνυν ἀγανακτῆτε, εἰ πρὸς τοὺς Λάκωνας ἐχρησάμην Λακωνικῷ στρατηγήματι.’ 14

7, 27, 1 Ὅτι Αὐτοφραδάτης ἐμβαλεῖν Πισίδαις βουλόμενος τὴν εἰσβολὴν στενόπορον καὶ φυλαττομένην ὁρῶν προσήγαγε μὲν τὸ στρατόπεδον, πάλιν δὲ ἀπήγαγεν ὀπίσω μέχρι σταδίων ἐνενήκοντα. νὺξ ἐπῆλθεν· οἱ μὲν φυλάττοντες τῶν Πισιδῶν ἀνεχώρησαν οἰόμενοι τοὺς πολεμίους ἀπεληλυθέναι, ὁ δὲ τῶν ψιλῶν καὶ τῶν ὁπλιτῶν τοὺς ἐλαφροτέρους λαβὼν πολλῇ σπουδῇ δραμὼν διῆλθε τὰ στενὰ καὶ τὴν Πισιδῶν χώραν ἐπόρθησεν. 15

---

4 προσελθὼν H ‖ 15 διελέξατο H ‖ 17 παιδευθησομένοις H ‖ Λυκούργιον H.

16 Ὅτι ὁ αὐτὸς Ἐφεσίων ἀντιστρατοπεδευόντων ὁρῶν τοὺς 7, 27, 2
πλείονας ἀδολεσχοῦντας προσεκαλέσατο τοὺς ἄρχοντας αὐτῶν
διαλέξασθαι περὶ τῶν συμφερόντων κοινῇ· οἱ μὲν προῆλθον
καὶ διελέγοντο, οἱ δὲ ἡγεμόνες τῶν ἱππέων καὶ τῶν ὁπλι-
τῶν πρὸ πολλοῦ παράγγελμα εἶχον τῶν ἀρχόντων διαλεγο-
μένων ἐμβαλεῖν εἰς τοὺς Ἐφεσίους ἀτάκτως καὶ ἀμελῶς
ἔχοντας. καὶ δὴ πολλοὶ τῶν Ἐφεσίων οἱ μὲν ἀνῃρέθησαν,
οἱ δὲ ζωγρηθέντες ἑάλωσαν.

17 Ὅτι Ἀρσάμης ἐπολιόρκει Βαρκαίους. τῶν δὲ πρεσβευ- 7, 28, 1
σαμένων πρὸς αὐτὸν ὡμολόγησε περὶ διαλύσεως καὶ τὴν
πολιορκίαν διαλύσας παρακαλεῖ Βαρκαίους βασιλεῖ κοινωνῆ-
σαι τῆς ἐπὶ τὴν Ἑλλάδα στρατείας καὶ πέμπειν αὐτῷ τὴν
τῶν ἁρμάτων βοήθειαν. οἱ δὲ τοὺς ἄρχοντας ἔπεμψαν βου-
λευσομένους μετ' αὐτοῦ περὶ τῆς συμμαχίας. Ἀρσάμης λαμ-
πρὰν ὑποδοχὴν παρασκευασάμενος εἱστία τοὺς ἄρχοντας καὶ
προέθηκεν ἀγορὰν πᾶσι Βαρκαίοις τῶν ἐπιτηδείων ἄφθονον.
τῶν δὲ ἐπὶ τὴν ἀγορὰν προελθόντων σημεῖον ἦρεν τοῖς
Πέρσαις· οἱ δὲ μετὰ ἐγχειριδίων καταλαβόντες τὰς πύλας
διήρπασαν τὴν πόλιν.

18. Ὅτι Τόμυρις Κύρου στρατεύσαντος ἐπ' αὐτὴν προσ- 8, 28
εποιήσατο δεδοικέναι τοὺς πολεμίους. ἔφυγε μὲν τὸ Μασ-
σαγετικόν, ἐπῆλθε δὲ τὸ Περσικὸν καὶ κατέλαβεν πλῆθος
οἴνου, τροφῶν, ἱερείων, οἷς ἀνέδην ἐχρήσαντο ὡς νενικηκότες·
ἐπεὶ δὲ μετὰ πολὺν οἶνον καὶ τρυφὴν ἔκειντο καθεύδοντες,
ἐπελθοῦσα Τόμυρις δυσκινήτως ἔχοντας Πέρσας αὐτῷ Κύρῳ
διέφθειρεν.

## 32. Ὅτι δεῖ τὰς ἐξ ἀπονοίας μάχας φυλάττεσθαι.

1 Ὅτι Ἕλληνες νικήσαντες ἐν Σαλαμῖνι βουλεύονται πλεῖν 1, 30, 4
ἐφ' Ἑλλήσποντον καὶ τὸ ζεῦγμα λύειν, ἵνα βασιλεὺς μὴ
φύγοι. Θεμιστοκλῆς ἀντιβουλεύεται, ὅτι ὁ βασιλεὺς ἀπο-

---

22 κατέλαβεν] κατέλαβεν τὸ Περσικὸν ex dittogr. H ‖ 23 ἱερίων H ‖ ἀναίδην H ‖ 30 ἀπολειφθεὶς H.

ληφθεὶς ἀναμαχήσεται τάχα. πολλάκις δὲ ἀπόνοια δίδωσιν
ὅσα μὴ ἔδωκεν ἀνδρεία. καὶ δι' αὐτομόλου ἤγγειλεν τῷ
βασιλεῖ, ὡς, εἰ μὴ ἀναζεύξοι, ἡ γέφυρα τοῦ Ἑλλησπόντου
διαλύεται. ὁ δὲ φυγὼν ᾤχετο, Θεμιστοκλῆς δὲ τοῖς Ἕλλησιν
ἐφύλαξε τὴν νίκην ἀκίνδυνον.
, 1, 5 Ὅτι Ἀγησίλαος ἐν Κορωνείᾳ Ἀθηναίους ἐνίκησεν. ἤγ- 2
γελλέ τις· 'οἱ πολέμιοι συμφεύγουσιν εἰς τὸν νεών.' ὁ δὲ
προσέταξεν ἐᾶν αὐτοὺς ἀπιέναι ὅποι βούλοιντο, σφαλερὸν
ἡγούμενος συμπλέκεσθαι τοῖς ἐξ ἀπονοίας ἀναμαχομένοις.
1, 19 Ὅτι ὁ αὐτὸς Θηβαίοις παρετάσσετο. οἱ δὲ τὴν Λακω- 3
νικὴν φάλαγγα ῥῆξαι βουλόμενοι καὶ διεξελθεῖν καρτερῶς
ἠγωνίζοντο, καὶ φόνος ἦν ἀμφοτέρων πολύς. Ἀγησίλαος
παρήγγειλε· 'παυσάμενοι τῆς θυμομαχίας διαστῶμεν.' οἱ μὲν
διέστησαν, Θηβαῖοι δὲ διαδραμόντες ἔφευγον. Ἀγησίλαος κατὰ
τὴν οὐραγίαν αὐτοῖς ἐπέκειτο καὶ οὐκέτι φόνος ἦν ἀμφοτέ-
ρων, ἀλλὰ μόνον τῶν φευγόντων.
1, 28 Ὅτι ὁ αὐτὸς Μεσσηνίους ἰδὼν ἔξω τῆς πόλεως μετὰ 4
γυναικῶν καὶ παίδων παραταξαμένους ἀνέζευξεν ὡς ἀπεγνω-
κότων τὸ ζῆν καὶ διὰ τοῦτο ἀνδρειότερον μαχομένων.
, 9, 3 Ὅτι Ἰφικράτης νύκτωρ κατελάβετο πολεμίων πόλιν. οἱ 5
δὲ συνέφευγον εἰς τὴν ἀγορὰν καὶ πλῆθος ἠθροίζετο. Ἰφι-
κράτης ἀνοίγειν ἐκέλευσεν τὰς πύλας παρασχὼν αὐτοῖς ἀφορ-
μὴν τοῦ φεύγειν, ἵνα τῆς πόλεως αὐτὸς ἀκινδύνως κρατήσῃ. 6
44, 2 Ὅτι Σκύθαι τὴν Ἀσίαν κατέτρεχον. αἱ Σκυθίδες γημά-
μεναι τοῖς οἰκέταις ἐπαιδοποιήσαντο. ἐπανελθόντας οἱ δοῦλοι
τοὺς δεσπότας οὐκ ἐδέξαντο· πόλεμος ἦν. οἱ μὲν οἰκέται
φαλαγγηδὸν ἐπῄεσαν ὡπλισμένοι, Σκύθης δὲ ἀνὴρ δείσας
αὐτῶν τὴν ἐξ ἀπονοίας μάχην συνεβούλευεν, ὅπλα μὲν καὶ
τόξα καταβαλεῖν, μάστιγας δὲ ἀνατειναμένους ἐπὶ τοὺς οἰκέ-
τας βαδίζειν. οἱ μὲν ἀνατεινάμενοι τὰς μάστιγας ἐφώρμη-
σαν, οἱ δὲ τὸ συνειδὸς τῆς δουλείας οὐ φέροντες αὐτίκα
φεύγοντες ᾤχοντο.

---

14 δραμόντες H ‖ 24 Σκυθιάδες H.

## 33. Προσποίησις φυγῆς.

1 Ὅτι Διότιμος πλοῖα σιτηγὰ παραπέμπων δέκα τριήρεσι καταληφθεὶς περὶ τὴν Χίον ὑπὸ τῶν Λακεδαιμονίων ἐχόντων εἴκοσι ναῦς, διωκόμενος ἐν γαλήνῃ, κύκλῳ τῶν ὁλκάδων φεύγων, ταχύτερα ἔχων τὰ σκάφη ἔπασχε μὲν οὐδὲν ὑπὸ τῶν διωκόντων, ἀεὶ δὲ κατὰ πρύμναν ἁπτόμενος τῶν ἐσχάτων τὰς μὲν αὐτάνδρους ἔλαβε τῶν νεῶν, τὰς δὲ κατέδυσεν, ὥστε ἦν τὸ χρῆμα παράλογον· οἱ γὰρ φεύγοντες ἐνίκησαν τοὺς διώκοντας. 5, 22, 1

2 Ὅτι Ἀμίλκας πλῆθος Καρχηδονίων νεῶν [ἔχων τοῖς] θεασαμένοις φαντασίαν παρέσχεν ἀποπλέων ὡς πρύμναν κρουσόμενος, νύκτωρ δὲ καταχθεὶς τὴν στρατιὰν ἐκβιβάσας τετρακισχιλίους διεγειρομένους ἐκ τῆς κοίτης κατέκοψεν. οἱ δὲ λοιποὶ συνέφευγον εἰς μάχην, ὥστε πολλῶν αἰχμαλώτων κρατήσας Ἀμίλκας πάλιν ἀπέπλευσεν. deest in Polyaeni codicibus

## 34. Ὅτι δεῖ κρύπτειν τὰ οἰκεῖα κακά.

1 Ὅτι χρὴ τοὺς ἀποθνήσκοντας ἰδίους λάθρα ἐκπέμποντα τὸν στρατηγὸν ἀποκρύπτειν. 7, 15, 4 cf. 2, 1, 22 4, 6, 10

2 Ὅτι Ἀγησίλαος φωραθεὶς πολλῶν ἀποφευγόντων ἐκ τῆς στρατιᾶς ἐκ τοῦ ἔχειν περιδεῶς, ἵνα λανθάνοιεν τοὺς μένοντας οἱ ἀποδιδράσκοντες, περιπέμπων ἐν ταῖς νυξὶν εἰς τὰ συσσίτια καὶ τὰς στιβάδας τὰς ἐρριμένας ἀσπίδας ἐκέλευσε συλλέγειν καὶ ὡς αὐτὸν κομίζειν, ἵνα μὴ κειμένης ἀσπίδος ὁ δεσπότης ζητῆται. 2, 1, 15

3 Ὅτι ἡνίκα ῥιψασπίδας ἴδοι τις στρατιώτας, οὐ χρὴ τούτους ἐλέγχειν, ἀλλὰ κηρύττειν, ὡς καὶ οἱ λοιποὶ ἀποβαλόντες τὰς ἀσπίδας οὕτως πρὸς αὐτὸν παραγίγνοιντο. 2, 3, 10

---

3 καταλειφθεὶς H || 10 [ἔχων τοῖς] θεασαμένοις Sittl; θεασάμενος H || 12 καταχθεὶς εἰς τὴν στρ. H.

## 35. Προφυλακὴ ἐνέδρας.

2, 8 Ὅτι Ἀρξιλαΐδας ὁ Λάκων διερχόμενος μετὰ τοῦ στρα- 1
τεύματος εἴσοδον ὕποπτον δυναμένην κρύψαι ἐνέδραν πολε-
μίων παρήγγειλε τῷ πλήθει, ὡς προεγνώκει προκαθημένην
ἐνέδραν καὶ προσέταξε πάντας διεσκευασμένους πρὸς μάχην
διαβαίνειν πολεμήσοντας τὸν προκείμενον λόχον. ἐξ οὗ
συνέβη κατὰ τύχην εὑρεθῆναι λόχον μέγαν μὴ προορώμενον
τὴν τῶν πολεμίων παρασκευήν. οὓς ὡς προπαρασκευασμένος
ῥᾳδίως διέφθειρεν.

2, 37 Ὅτι ἐκ τοῦ ὁρᾶν ὄρνεις ὑπεριπταμένους καὶ μὴ ἐπὶ γῆς 2
ἱζάνοντας χρὴ συνιέναι, ὡς λόχος ἐγκέκρυπται ἐκεῖσε.

3, 9, 24 Ὅτι Ἰφικράτης πολιορκῶν πόλιν, ἐπειδὴ ἐπαπειλουμένους 3
αὐτὸν τοὺς πολίτας ἤκουεν, φωράσας ἐνέδραν συντόμως ἀνέ-
ζευξεν καὶ ἐρευνησάμενος καὶ εὑρὼν πάντας διέφθειρεν.

## 36. Ἐνέδραι διάφοροι καὶ ποικίλαι.

1, 40, 2 Ὅτι Ἀλκιβιάδης προσπλεύσας πολεμίᾳ πόλει τοὺς στρα- 1
τιώτας ἀποβιβάσας νύκτα καὶ ἡμέραν ἀναμείνας τῶν πολε-
μίων οὐκ ἐξιόντων ἐνέδραν καταστήσας τὰς σκηνὰς ἐμπρήσας
ἀνήχθη. οἱ δὲ ἐκ τῆς πόλεως ἀνηγμένον ἰδόντες θαρσή-
σαντες ἐξῆλθον καὶ ἐσκεδάσθησαν ἀνὰ τὴν χώραν. οἱ λο-
χῶντες ἐπαναστάντες πλείστους διέφθειραν καὶ λείαν πολλὴν
συνῆξαν. Ἀλκιβιάδης πάλιν προσπλεύσας καὶ ταῦτα ἀνα-
λαβὼν ἀπέπλευσεν.

2, 14, 1 Ὅτι ἔφοροι μηνυθέντος ἐπιβουλεύειν Κινάδωνα συλλαβεῖν 2
αὐτὸν ἐν τῇ πόλει συμφέρειν οὐχ ἡγούμενοι τῶν ἱππέων
τινὰς κρύφα προπέμψαντες εἴς τινα χῶρον ἐπιτήδειον μετέ-
πεμψαν τὸν Κινάδωνα μετὰ δύο στρατιωτῶν ὡς πρὸς πρᾶξιν
ἀπόρρητον. Ὡς δὲ ἀφίκετο κατασχεθεὶς ὑπὸ τῶν προπεμ-
φθέντων ἱππέων καὶ στρεβλωθεὶς ἐξήγγειλεν τοὺς κοινωνοὺς

---

4 τὸ πλῆθος H ‖ 24 μηνυθέντες H ‖ Κινάδονον H.

τῆς ἐπαναστάσεως. οἱ δὲ τοῖς ἐφόροις ἐμήνυσαν. αὐτοὶ δὲ μαθόντες τοὺς μηνυθέντας ἄνευ ταραχῆς ἀπέκτειναν οὐ παρόντος τοῦ μεμηνυκότος.

3 Ὅτι Ὀνόμαρχος Μακεδόσι παραταττόμενος ὄρος μηνο- 2, 38, 2
ειδὲς κατὰ νώτου λαβὼν καὶ ταῖς ἑκατέρωθεν κορυφαῖς ἐγκατακρύψας πεζοὺς καὶ πετροβόλους μηχανὰς προῆγε τὴν δύναμιν ἐς τὸ ὑποκείμενον πεδίον. ὡς δὲ οἱ Μακεδόνες ἀντεπιόντες ἠκροβολίσαντο, οἱ Φωκεῖς προσεποιήσαντο φεύγειν εἰς τὰ μέσα τοῦ ὄρους. οἱ μὲν δὴ Μακεδόνες θυμῷ καὶ ῥώμῃ διώκοντες ἐπέκειντο, οἱ δὲ ἀπὸ τῶν κορυφῶν τοὺς πέτρους βάλλοντες συνέτριβον τὴν Μακεδονικὴν φάλαγγα. τότε δὴ Ὀνόμαρχος ἐσήμηνε τοῖς Φωκεῦσιν ἐπιστρέφειν καὶ τοῖς πολεμίοις ἐμβάλλειν. οἱ δὲ Μακεδόνες τῶν μὲν ὄπιθεν βαλλόντων, τῶν δὲ ἄνωθεν, ταῖς πέτραις συντριβόμενοι ἀνεχώρησαν. ἐν ταύτῃ τῇ φυγῇ τὸν βασιλέα τῶν Μακεδόνων φασὶν εἰπεῖν· ‘οὐκ ἔφυγον, ἀλλ’ ἀνεχώρησα ὥσπερ οἱ κριοί, ἵνα αὖθις ποιήσωμαι σφοδροτέραν τὴν ἐμβολήν.’

4 Ὅτι Δημοσθένης Ἀκαρνάνων καὶ Ἀμφιλόχων στρατη- 3, 1, 2
γῶν ἀντικρὺ Πελοποννησίων ἐστρατοπέδευεν χαράδρας μεγάλης διειργούσης. ὁρῶν δὲ πολλῷ πλείονας τοὺς πολεμίους καὶ τὸ στρατόπεδον ὑπερφαλαγγούμενον ἐς τὸ κοῖλον καὶ λοχμῶδες ἐλόχησεν ὁπλίτας καὶ ψιλοὺς τριακοσίους, ὅπως, ἐπειδὰν ὑπερφαλαγγώσωσιν οἱ ἐναντίοι, κατὰ τὸ ὑπερβάλλον αὐτῶν ἐξαναστάντες κατὰ νώτου γένοιντο. οἱ μὲν ὑπερεφαλάγγωσαν, οἱ δὲ ἐξ ὄπιθεν ἐπανέστησαν καὶ ἄφνω προσπεσόντες οὐ σὺν πολλῷ πόνῳ τὴν μάχην ἐνίκησαν.

5 Ὅτι Φίλιππος ἀφικόμενος εἰς Λάρισσαν, ἵνα τινὰς τῶν 4, 2, 11
Ἀλευάδων ἔξω οἰκίας καθέλοι, νοσεῖν ὑπεκρίνατο, ὅπως εἰσιόντας αὐτοὺς ὡς ἐπισκεψομένους συλλάβῃ. Βόϊσκος ἐξήγγειλεν τοῖς Ἀλευάδαις τὴν ἐπίθεσιν καὶ διὰ τοῦτο τέλος οὐκ ἔσχεν ἡ πρᾶξις.

---

6 προσῆγε H ‖ 8 ἠκροβολήσαντο H ‖ 11 πεζοὺς H ‖ 22 λοχῶδες H ‖ 27 τὰς τῶν Ἀ. ἐξοικίας H ‖ 30 Ἀδευάδες H.

5, 8, 1 Ὅτι ἀπατῶνται καὶ ἐχθροί, ἡνίκα τὴν ἐνέδραν προ- 6
καθίσας ἀποστείλας ἐμπιπρᾷ τὰς ἐπαύλεις καὶ τοὺς σταθμούς. οἱ δὲ πολέμιοι ὡς ὑφ' ἑτέρων ἐμπιπρωμένας νομίζοντες διαρπάσασθαι λείαν ἐκεῖθεν ἀπερχόμενοι περιπίπτουσι ταῖς ἐνέδραις.

5, 10, 4 Ὅτι Ἰμίλκων ἐν Ἀκράγαντι πλησίον τοῦ τείχους ἐστρα- 7
τοπέδευεν. προῆλθε τῆς πόλεως στρατιὰ πολλή. ὁ δὲ διελὼν τὸ στρατόπεδον ἑνὶ μέρει συνέβαλλεν παράγγελμα δοὺς ἀπόρρητον εἰς φυγὴν τραπέσθαι. οἱ μὲν δὴ ἔφυγον, οἱ δὲ Ἀκραγαντῖνοι διώκοντες πολὺ τῆς πόλεως ἀπεσπῶντο. Ἰμίλκων πρόσθεν τῶν τειχῶν ὕλην ἐμπρήσας τοὺς ὑπολοίπους εἰς ἐνέδραν ἀφανῆ κατέστησεν. οἱ διώκοντες τὸν καπνὸν αἰρόμενον ἰδόντες ἀπὸ τῶν τειχῶν ᾠήθησαν ὑπὸ τῶν πολιτῶν ἀνακαλεῖσθαι· καὶ μεταβαλλόμενοι πρὸς τὴν πόλιν ἀνέστρεφον ἐπικειμένων αὐτοῖς τῶν πρότερον φευγόντων. ὡς δὲ κατὰ τὴν ἐνέδραν ἐγένοντο οἱ μετὰ τοῦ Ἰμίλκωνος ἐξαναστάντες τοὺς μὲν αὐτῶν διέφθειραν, τοὺς δὲ ἐζώγρησαν.

leest in olyaeni dicibus Ὅτι Ἀθηναίων καὶ Λακεδαιμονίων ἐν τῇ Ἀσίᾳ νῆες 8
ἀνθώρμουν ἐν τοῖς ὅρμοις ὑπ' ἀλλήλων ὁρώμεναι· κατὰ δὲ τὸν αὐτὸν καιρὸν ἀναχθεῖσαι πάλιν ἀπέπλεον καὶ τὰ πληρώματα ἐξεβίβαζον. τοῦτο ἐπὶ συχνὰς ἡμέρας ἔδρων παραφυλάττοντες ἀλλήλους. ὁ Λάκων ἀσελήνῳ νυκτὶ τὰ πληρώματα μετὰ σιγῆς προσέταξεν εἰσαγαγεῖν· ἐπεὶ δὲ ἦν ἡμέρα, φανερῶς ἐνεβίβασεν τοὺς πελταστὰς καὶ τὴν ἡσυχίαν εἶχεν ἐν ταῖς ναυσίν. οἱ Ἀθηναῖοι τοῦτο ἰδόντες καὶ αὐτοὶ ὁμοίως ἐποίουν. ἦν ἀρίστου ὥρα. οἱ Λάκωνες ἐξεβίβασαν τοὺς πελταστὰς καὶ σίτου φροντὶς ἦν αὐτοῖς. ὁμοίως καὶ οἱ Ἀθηναῖοι τοὺς πελταστὰς ἐξεβίβασαν καὶ περὶ ἄριστον ἐπονοῦντο. ἐν τούτῳ τῷ καιρῷ τὰ πληρώματα τῶν Λακωνικῶν νεῶν ἀνακαθιστάμενα ἐπέπλευσαν ταῖς Ἀθηναίαις ναυσὶ κεναῖς οὔσαις καὶ τὰς πλείστας αὐτῶν συνέτριψαν τῶν ἀνδρῶν ἀριστοποιουμένων.

---

5 Ἡμίλκων H ‖ 7 ἐν ἡμέραις H ‖ 19 ἀναχθῆσαι H ‖ 28 ἀντικαθιστάμενα Roth; ἀντικαθιστάντα H ‖ 29 Ἀθηναίαις] ἀσίαις H.

## 37. Ὅσα κατὰ ἱππέων.

1 Ὅτι πολλάκις ἐπαφιέμενον ὕδωρ ποτάμιον τοῖς πεδίοις 1, 3, 5
ἄχρηστον ποιεῖ ἱππόταις τὴν μάχην.

2 Ὅτι καὶ κατασπορὰ τριβόλων τροποῦται πλῆθος ἱππέων 1, 39, 2
τῶν πελταστῶν στερρὰ ὑποδήματα ὀφειλόντων ἔχειν.

3 Ὅτι Κλέαρχος ὁπλίτας ἔχων ἐν πεδίῳ προσκειμένων 2, 2, 9
πολεμίων ἱππέων καὶ ἱπποκρατούντων συνέταξε τὸ στρατόπεδον ὀκτὼ τὸ βάθος καὶ κατέστησεν ἀραιοτέρους ἢ κατὰ σχῆμα πλινθίου καὶ παρήγγειλεν τὸ ἐγχειρίδιον καθέντας ὑπὸ τὴν ἀσπίδα βαθύτατον ὀρύξαι βόθρον. οἱ μὲν ὤρυξαν, ὁ δὲ τοὺς ὁπλίτας ἀπήγαγεν ἀπὸ τῶν ὀρυγμάτων εἰς τὸ πρόσω τοῦ πεδίου. τῶν δὲ πολεμίων ἱππέων ἐμπεσόντων ἀναχωρεῖν ἐπὶ πόδα παρήγγειλεν ἕως τῶν ὀρυγμάτων. οἱ δὲ πολέμιοι μηδὲν προειδότες ἐπελαύνοντες τῇ ἵππῳ σφοδρῶς ἐμπεσόντες τοῖς ὀρύγμασιν ἔπιπτον ἐπ' ἀλλήλων. οἱ τοῦ Κλεάρχου δὲ ἀνῄρουν τοὺς ἱππέας χαμαὶ κειμένους.

4 Ὅτι Ἰφικράτης διωκόμενος ὑπὸ πολεμίων ἱππεῖς ἐχόν- 3, 9,
των πολλοὺς αὐτὸς ἔχων ὀλίγους ἔδωκεν αὐτοῖς καιομένας λαμπάδας καὶ ἐπελαύνειν ἐκέλευσεν τοῖς ἐναντίοις. οἱ δὲ ἵπποι τῶν πολεμίων τῆς φλογὸς τὴν ὄψιν ὡς ἀσυνήθη μὴ φέροντες ἀναστρέψαντες ἔφυγον.

5 Ὅτι Φωκεῖς τὴν Θετταλικὴν ἵππον διέφθειραν. τάφρον 6, 18, 2
ὀρύξαντες καὶ πληρώσαντες αὐτὴν κενῶν ἀμφορέων (καὶ) γῆν ὀλίγην ἐπέβαλλον. ἐς ταύτην τὴν τάφρον ἐμπεσόντες οἱ ἱππεῖς αὐτοῖς ἵπποις διεφθάρησαν.

## 38. Περὶ τοῦ τόπου.

Ὅτι Ἐπαμινώνδας περὶ Τέγεαν διακινδυνεύων πρὸς Λακε- 2, 3, 14
δαιμονίους βουλόμενος ὑπερδεξίους καταλαβέσθαι τόπους, ἵνα λάθοι τοὺς πολεμίους, προσέταξεν μετὰ ἱππέων χιλίων

---

23 (καὶ) seclusi.

ἑξακοσίων προϊππεῦσαι τῆς φάλαγγος καὶ πυκνὰς ποιεῖσθαι τὰς ἀναστροφὰς τῇδε κακεῖσε, ὡς ἂν ἐκ τούτου κονιορτὸς ἐγερθεὶς ἀποσκοτώσας τῶν πολεμίων τὴν ὄψιν μὴ συγχωρήσοι αὐτοῖς ἰδεῖν αὐτὸν τοὺς ὑπερδεξίους καταλαμβάνοντα τόπους.

## 39. Περὶ ὅρκων καὶ συνθηκῶν.

1, 39, 4 Ὅτι Νικίας ὑπὸ Γυλίππου διωκόμενος ἤδη καταλαμβανόμενος ἔπεμψε κήρυκα πρὸς αὐτὸν φάσκων πάντα ποιήσειν τὰ προστασσόμενα καὶ ὡς ἤδη τινὰ χρὴ πέμπειν τὸν δώσοντα ὅρκους καὶ ληψόμενον. Γύλιππος τῷ κήρυκι πιστεύσας κατεστρατοπέδευσεν καὶ τοῦ διώκειν ἀποσχόμενος τῷ κήρυκι τῷ ἀπὸ Νικίου συνέπεμψεν τὸν συνθησόμενον. ἐν δὲ τῷ τέως Νικίας τῶν ὀχυρωτέρων λαβόμενος πάλιν ἐπολέμει τὴν ἀναχώρησιν τῇ διὰ τοῦ κήρυκος ἀπάτῃ στρατηγήσας. 1

2, 6 Ὅτι Δερκυλλίδας ὤμοσεν Μειδίᾳ τῷ τυράννῳ τῆς Σκήψεως, ἐφ' ᾧ τε προελθόντα ταχὺ καὶ ὁμιλήσαντα πάλιν εἰς τὴν πόλιν πέμψαι. καὶ δὴ ὁ μὲν τύραννος προῆλθεν, Δερκυλλίδας δὲ προσέταξεν ἀνοῖξαι τὰς πύλας, εἰ δὲ μή, φονεύσειν αὐτὸν ἠπείλησεν. ἐπεὶ δὲ φοβηθεὶς ἀνέῳξεν, 'ἀφίημί σε νῦν, ἔφη, εἰς τὴν πόλιν. τοῦτο γὰρ ὤμοσα. κἀγὼ δὲ μετὰ τῆς ἐμῆς δυνάμεως εἰσέρχομαι. τοῦτο γὰρ ποιῆσαι οὐκ ὤμοσα.' 2

2, 19 Ὅτι Θίβρων ἐν Ἀσίᾳ χωρίον πολιορκῶν τὸν φρούραρχον ἔπεισεν ἐπὶ σύνθημα προελθεῖν ὀμόσας, εἰ μὴ συντίθοιντο, πάλιν αὐτὸν εἰς τὸ φρούριον καταστήσειν. ὁ μὲν προῆλθε καὶ λόγων ἐκοινώνησεν, οἱ δὲ τοῦ φρουρίου φύλακες διαλύσεως ἐλπίδας λαβόντες ῥᾳθυμότερον ἔσχον τὴν φρουράν. ἐν τῷ καιρῷ τούτῳ προσβαλόντες οἱ Θιβρώνειοι κατὰ κράτος αἱροῦσι τὸ χωρίον. ὁ δὲ αὐτὸν εἰς τὸ φρούριον ἀγαγὼν πάλιν κατὰ τοὺς ὅρκους προσέταξεν ἀναιρεθῆναι. 3

---

12 τῶν συνθησομένων H ‖ τὸ τέως H ‖ 15 Σκήψεως] Κίτεως H ‖ 16 ἐφ' ὅτε H ‖ 28 Θιβροναῖοι H.

4 Ὅτι Σαυνῖται πρὸς τοὺς πολεμίους ὅρκους ἐποιήσαντο 6, 14 καὶ συνθήκας εἰρήνης πέρι. οἱ δὲ συνέθεντο μηδὲν ἄλλο ποιήσειν ἢ λίθον ἕνα [ἐν] κυκλῷ τοῦ τείχους ἐξελεῖν. τῶν δὲ οὐδὲν μέγα ἡγησαμένων οἱ πολέμιοι τοὺς κάτω λίθους τῶν τειχῶν ἐξεῖλον. ἐξ οὗ συνέβη κατενεχθῆναι τὸ τεῖχος.

5 Ὅτι Καμπανοὶ σπονδὰς ἐποιήσαντο πρὸς τοὺς πολεμίους 6, 15 ἐπὶ τῷ δοῦναι αὐτοῖς τὰ ἡμίση τῶν ὅπλων. οἱ δὲ κατατεμόντες τὰ ὅπλα ἐκέλευον αὐτοὺς τὰ ἡμίση λαμβάνειν.

6 Ὅτι μελλόντων τινῶν συνθήκας ποιεῖν, συνεφώνουν 6, 53 τοιοῦτον, ὡς ἐπὶ τόσας ἡμέρας σκεψάμενοι παρατηρήσουσι τοὺς ὅρκους, τῶν πολεμίων δὲ ἐν πολλῇ ἀμελείᾳ διὰ τὰς τοιαύτας συνθήκας ὄντων, ἐπιόντες ἐν νυκτὶ ἐκεῖνοι πάντας αὐτῶν διέφθειραν. ἐγκαλούμενοι δέ, ὡς παρέβησαν τὰς συνθήκας, εἶπον· ‘οὐχί, ἡμέρας γὰρ συνεθέμεθα, ἀλλ’ οὐχὶ καὶ νύκτας.’

7 Ὅτι καὶ ἄλλος ποιῶν ὅρκους μετὰ τῶν πολεμίων ὀρύξας 7, 34 λάκκον καὶ σκεπάσας αὐτὸν διὰ ξύλων καὶ γῆς ὀλίγης ἐκεῖσε ἐποίει τοὺς ὅρκους λέγων, ὡς φυλάξει τὰ ὀμωμοσμένα, ἕως ἂν ἐπὶ τὸ αὐτὸ σχῆμα μένῃ ἡ γῆ. τῶν πολεμίων δὲ πιστευσάντων αὐτὸς κατέλυσε τὴν τάφρον καὶ ἐπέθετο τοῖς πολεμίοις ἀφυλάκτοις οὖσι καὶ πολλοὺς αὐτῶν διέφθειρεν.

## 40. Περὶ προδοτῶν.

1 Ὅτι καὶ κύνες ἀφέμενοι πολλάκις ἐλέγχουσι τοὺς προ- 2, 25 δότας.

2 Ὅτι Ἰφικράτης ἐν Χίῳ τοὺς λακωνίζοντας ἐλέγξαι βουλό- 3, 9, 58 μενος ἐνίους τῶν τριηραρχῶν ἐκέλευσε νυκτὸς ἐκπλεύσαντας μεθ’ ἡμέραν ἐπιπλεῦσαι κόσμῳ Λακωνικῷ. οἱ μὲν οὖν λακωνίζοντες ὡς εἶδον, μετὰ πολλῆς χαρᾶς ἐπὶ τὸν λιμένα κατέδραμον. ὁ δὲ κυκλωσάμενος αὐτοὺς καὶ τοὺς ἀπὸ τῆς

---

8 [ἐν] inserui ‖ 7 ἐπὶ τὸ H ‖ 10 περατωσουσι H ‖ 16 νυκτὸς H ‖ 26 βουλομένους H.

πόλεως προσελθόντας συνέλαβέν τε καὶ κολασθησομένους Ἀθηναίοις ἔπεμψεν.

leest in olyaeni dicibus Ὅτι Ἠλεῖοι Ξενίαν τὸν προεστηκότα τῆς πόλεως ὑποπτεύσαντες ἀρκαδίζειν βέβαιον ἔλεγχον οὐκ εἶχον. τῶν δὲ διαπολιτευομένων αὐτῷ τινες πείθουσιν ἐπιδημοῦντα Λάκωνα ἐπιλαβέσθαι παιδὸς Ἀρκάδος ὡς οἰκέτου. προελθούσης δὲ τῆς δίκης ἐπὶ τοὺς ἄρχοντας τὸ μὲν πλῆθος τῷ Λάκωνι συνέπραττεν, ὁ δὲ Ξενίας τῷ Ἀρκάδι. στάσεως δὲ γενομένης προῆλθε τὸ πρᾶγμα μεχρὶ τῆς ἐκκλησίας κἀκεῖ πάλιν ὁ Ξενίας τοῦ Ἀρκάδος ὑπερηγωνίζετο. οὕτως ὁ δῆμος ἐλέγχῳ φανερῷ μαθὼν ἀρκαδίζοντα θάνατον αὐτοῦ κατεχειροτόνησεν. 3

7, 21, 7 Ὅτι Δατάμης ὁρῶν ἀπόμοιράν τινα τῶν αὐτοῦ ἱππέων τοῖς πολεμίοις προστεθεῖσαν ἔπεισεν τοὺς πεζοὺς αὐτοῦ, ὡς αὐτὸς εἴη τούτους ἀπεσταλκὼς χάριν προδοσίας τῶν πολεμίων. οἱ δὲ θαρρήσαντες καὶ γενναιότερον ἀγωνισάμενοι ἐνίκησαν. 4

8, 5 Ὅτι Τύλλος ἦρχε Ῥωμαίων παραταssομένων Φιδηναίοις· Ῥωμαίους προδόντες Ἀλβανοὶ περὶ τὸ λαιὸν κέρας ἐς τὰ ὄρη προεχώρουν. ἱππεὺς διὰ τάχους Τύλλῳ προσδραμὼν ἤγγελλε τὴν προδοσίαν. ὁ δὲ ἀνεβόησε μέγιστον· 'ἀλλὰ σὺ μὲν τὴν σαυτοῦ τάξιν φυλάσσειν σκόπει, Ἀλβανοὶ δὲ ἀπίασι κυκλωσόμενοι τοὺς πολεμίους ἐμοῦ προστάξαντος.' τοῦτο ἀκούσαντες Ῥωμαῖοι λαμπρὸν ἠλάλαξαν. οὐ μὴν οὐδὲ τοὺς Φιδηναίους ἔλαθεν ἡ τῶν ἀλαλαξάντων χαρά, σπουδῇ δὲ καὶ τάχει φεύγειν ὥρμησαν ὑπὸ Ἀλβανῶν κυκλωθῆναι φοβηθέντες. 5

## 41. Περὶ ψευδοπροδοτῶν.

2, 26 Ὅτι Σθένιππος Λάκων ζημιωθεὶς χρήμασιν ὑπὸ τῶν ἐφόρων προποιητῶς αὐτομολῆσαι πρὸς τοὺς Τεγεάτας ὑπεκρίνατο, οἳ καὶ προσεδέξαντο αὐτὸν ὡς αἰτίαν ὀργῆς δικαίας 1

---

3 Ξενίαν proposuit Roth; Θεννίαν hic et infra H ‖ 6 προσελθούσης H ‖ 12 αὐτοῦ H ‖ 17 Φειδηναίοις et 23 Φειδηναίους H ‖ 24 τάξει H ‖ 27 Λάκωνι H ‖ χρήματα H.

ἔχοντα. τοὺς διαπολιτευομένους τῷ ἄρχοντι αὐτῶν Ἀριστοκλεῖ διαφθείρας μετὰ τούτων πομπῆς οὔσης θύειν αὐτὸν μέλλοντα προσπεσὼν ἀπέκτεινεν.

2 Ὅτι καὶ Ἡρακλείδης ἀρχιτέκτων ὑπέσχετο Φιλίππῳ ὡς 5, 17, 2
μόνος καταπρήσειν τὸ Ῥόδιον ναυτικόν. καὶ δὴ τότε στρατηγῶν προῆλθεν ἐκ τῆς αὐλῆς τῆς Φιλίππου σημεῖα ἀδικίας ἔχων καὶ τῷ βωμῷ προσέφυγεν ἱκετεύων τυχεῖν σωτηρίας καὶ παρὰ τοῦ πλήθους ἔλεον αἰτούμενος, ὥστε καὶ ἦσαν τῶν Μακεδόνων τινές, οἷς ἐδόκει ταῦτα μὴ δικαίως παθεῖν. ὁ δὲ πορθμίδος ἐπιβὰς κατῆγεν εἰς Ῥόδον φάσκων· ʻἱκέτης ἦλθον προπηλακιζόμενος δι' ὑμᾶς, ἐπειδὴ Φίλιππον ἐκώλυον πολεμεῖν ὑμῖν· ἵνα δὲ πιστεύσητε τοῖς λεγομένοις, καὶ δὴ ἐπιστολὰς δεικνύω Φιλίππου γεγραμμένας πρὸς Κρῆτας, ἐν αἷς συντίθεται κατὰ Ῥοδίων τὸν πόλεμον ἐξοίσειν.ʼ Ῥόδιοι ταῖς ἐπιστολαῖς πιστεύσαντες Ἡρακλείδην ὑποδέχονται ὡς δυνησόμενον αὐτοῖς ὠφέλιμον κατὰ Φιλίππου γενέσθαι. ὁ δὲ νύκτωρ πνεῦμα ἐπίφορον παραφυλάξας τὰ νεώρια Ῥοδίων κατέπρησεν. καὶ παραχρῆμα σκάφους ἐπιβὰς ἀνήχθη καὶ διέβη εἰς Μακεδονίαν.

3 Ὅτι Καρχηδόνιοι περὶ Σικελίαν μαθόντες, ὅτι Ῥωμαῖοι 6, 18, 5
ναῦς πλείονας αὐτῶν ἔχοιεν, βουλόμενοι ταύτας περισπάσαι πείθουσι τῶν ἰδίων πολιτῶν τινας αὐτομόλους γενέσθαι, οἳ πρὸς τὸν Ῥωμαίων στρατηγὸν ἐλθόντες ὑπέσχοντο Λιπάραν τὴν νῆσον τὴν προκειμένην Σικελίας αὐτῷ προδώσειν. ὁ μὲν δὴ πιστεύσας τὰ ἡμίση σκάφη πληρώσας κατέπλευσεν εἰς Λιπάραν. Καρχηδόνιοι δὲ ἐπαναχθέντες ἐγγὺς τῶν Ῥωμαϊκῶν νεῶν κατὰ κράτος ἐνίκησαν.

4 Ὅτι Ἀννίβας περὶ τὴν Ἐρδονίαν Φλάκκον Ῥωμαίων deest in
στρατηγὸν λοχήσας ἀπέκτεινεν μετὰ πάντων τῶν ὑπ' αὐτόν, Polyaeni codici
καθεὶς Ἐρδονιάτην ψευδοπροδότην, ὃς αὐτομολήσας ἔπεισεν τὸν Φλάκκον ἐλθεῖν ἐπὶ τὴν Ἐρδονίαν ὡς τῶν ἀρίστων ἐν

13 ἐδείκνυτο H ‖ 16 ὡς δὲ H ‖ 17 παραλλάξαν H ‖ 28 Ἀνδρονίαν H, sed infra Ἐρδονίαν.

τῇ πόλει καλούντων αὐτὸν διὰ τὸ μὴ φέρειν τὴν βαρύτητα Καρχηδονίων.

7, 13 Ὅτι Δαρεῖος πολιορκῶν Βαβυλῶνα χρόνῳ μακρῷ, τὴν 5 πόλιν ἑλεῖν οὐχ οἷός τε ὢν διὰ Ζωπύρου ταύτην παρέλαβεν. σατράπης γὰρ ὢν αὐτοῦ Ζώπυρος ἀκρωτηριάσας ἑαυτὸν ἧκεν αὐτόμολος ὡς ταῦτα ὑπὸ Δαρείου παθών. Βαβυλώνιοι πιστεύουσι τῇ ὄψει τῆς συμφορᾶς καὶ τῷ Ζωπύρῳ τὴν πόλιν ἐπιτρέπουσιν. ὁ δὲ νύκτωρ ἀνοίγει τὰς πύλας καὶ Δαρεῖος κρατήσας Βαβυλῶνος ἐκεῖνο δὴ τὸ λαμπρὸν ἐφθέγξατο ἀπόφθεγμα· ἀλλ' οὐδὲ εἴκοσι Βαβυλῶνας ἔχειν ἠβουλόμην, ἐφ' ᾧτε δρᾶν τοιαῦτα παθόντα Ζώπυρον.

## 42. Περὶ αἰχμαλώτων.

1, 29, 2 Ὅτι Ἱέρων Ἰταλιώταις πολεμῶν, ὁπότε ἐλάμβανέν τινας 1 αἰχμαλώτους τῶν εὐγενῶν ἢ πλουσίων, οὐκ εὐθὺς ἀπεδίδου τοῖς λυτρουμένοις, ἀλλὰ πολλαῖς ἡμέραις κατέχων κοινωνῶν αὐτοῖς ἑστίας καὶ τιμῆς καὶ προεδρίας τηνικαῦτα προσιέμενος τὰ λύτρα τοὺς ἄνδρας ἐξεπέμπετο, ὡς ἂν ὕποπτοι παρὰ τοῖς πολίταις γένοιντο.

2, 1, 30 Ὅτι Ἀγησίλαος ἐν Ἀσίᾳ λείαν ἦγεν πολλὴν τῶν βαρ- 2 βάρων ἐπικειμένων καὶ τοξευόντων καὶ ἀκοντιζόντων. ὁ δὲ ὅσους εἶχε τῶν αἰχμαλώτων βαρβάρους δεδεμένους γυμνοὺς μόνους προέταξεν τοῦ στρατοπέδου. οἱ προσκείμενοι γνωρίσαντες τοὺς οἰκείους ἐπαύσαντο ἀφιέντες τὰ βέλη.

2, 1, 32 Ὅτι ὁ αὐτὸς τοὺς ἐνδόξους λαμβάνων αἰχμαλώτους ἄνευ 3 λύτρων ἀπεδίδου ποιῶν αὐτοὺς ἀπίστους παρὰ τοῖς πολίταις.

6, 19, 1 Ὅτι Πλαταιεῖς Θηβαίων ἔλαβον αἰχμαλώτους· ἐπεὶ δὲ 4 εἰς τὴν Πλαταιΐδα ἐνέβαλλον Θηβαῖοι, κήρυκα πέμψαντες ἠπείλησαν ἀποκτεῖναι τοὺς αἰχμαλώτους εἰ μὴ τῆς χώρας ἀπόσχοιντο. Θηβαῖοι οὖν αὐτίκα τῆς χώρας ἐξῆλθον, Πλαταιεῖς δὲ τοὺς αἰχμαλώτους ἀπέκτειναν.

---

11 ὅτε H ‖ 16 τῶν πολιτῶν H \\ 22 προκείμενοι H

31

5 Ὅτι Ἀτίλιος ἁλοὺς ὑπὸ Καρχηδονίων ὤμοσεν αὐτοῖς, 8, 12 ἂν ἀφεθῇ, πεῖσαι τὴν σύγκλητον διαλύσασθαι τὸν πόλεμον, μὴ πείσας δὲ ὡς αὐτοὺς ἀναστρέψαι. ἀφικόμενος εἰς Ῥώμην τοὐναντίον ἔπεισε τὴν σύγκλητον, τότε δὴ καὶ μᾶλλον πολεμεῖν Καρχηδονίοις ὡς ἀπαγορεύουσι καὶ τὰ τῆς ἀσθενείας αὐτῶν ἀπόρρητα καὶ ὃν τρόπον εἶεν ἁλώσιμοι ἠγόρευεν. τῆς δὲ συγκλήτου παρακαλούσης αὐτὸν μένειν καὶ τὸν ἐν ταῖς ἀνάγκαις ὅρκον ἀνώμοτον ἡγεῖσθαι, περιπλεκομένων τέκνων, γυναικός, φίλων, συγγενῶν οὐχ ὑπέμεινε παραβῆναι τὸν ὅρκον, πλεύσας δὲ ὡς τοὺς Καρχηδονίους ἀνήγγειλεν αὐτοῖς τό τε αὐτοῦ στρατήγημα καὶ τὴν Ῥωμαίων γνώμην. οἱ δὲ κατείρξαντες καὶ βασανίσαντες ἀπέκτειναν.

## 43. Περὶ ὁμήρων.

1 Ὅτι Ἀντίγονος μισθωσάμενος Γαλάτας ὑπέσχετο ἀνὰ 4, 6, 17 ταλάντου δώσειν ἑνὸς ὅμηρα δοὺς αὐτοῖς τῶν οἰκείων τινὰς εὐγενῶν, ἐπεὶ δὲ ἐγένετο ἡ μάχη, οἱ Γαλάται τὸν μισθὸν ἀπῄτουν. αὐτὸς (μὲν) τοῖς μὲν ὁπλίταις ἐδίδου, παρορᾷ δὲ τοὺς ἀόπλους. ἐπικειμένων δὲ ἐκείνων καὶ ζητούντων καὶ τὸ τῶν ἀόπλων τάλαντον, ἐπειδὴ οὐκ ἐδίδου, ἠπείλουν τοῖς ὁμήροις θάνατον. Ἀντίγονος δείσας περὶ τῶν ὁμήρων πρεσβευτὴν ἔπεμψεν, ὅσα αἰτοῦσιν δώσειν ὑπισχνούμενος, εἰ πέμψειαν τοὺς ληψομένους τὸ χρυσίον. οὓς ἐλθόντας λαβὼν οὐ πρότερον ἀφῆκεν, πρὶν τοὺς ἰδίους ἀπέλαβεν.

2 Ὅτι Πόρκιος Ῥωμαίων στρατηγὸς ἐνέβαλεν εἰς τὴν 8, 17 Ἰβήρων. ἐκ δὲ τῶν πόλεων ἁπασῶν ἧκον πρεσβευταὶ σφᾶς αὐτοὺς ἐγχειρίζοντες αὐτῷ τε καὶ Ῥωμαίοις· ὁ δὲ προσέταξεν αὐτοῖς ἀγαγεῖν ὅμηρα ἐπὶ ὥραν ὡρισμένην. ἐπεὶ δὲ ἤγαγον, ἑκάστης πόλεως δυσὶν ἀνδράσι μίαν ἐπιστολὴν ἔδωκεν κελεύσας ἅπαντας κατὰ τὴν αὐτὴν ἡμέραν ἐπανελθόντας τοῖς

---

3 ἀναστρέψει H ‖ 6 εἶεν] οἱ ἐν H ‖ 11 αὐτοὺς H ‖ τότε αὐτοῦ H ‖ 14 Ἀντίγων H ‖ 17 (μὲν) seclusi ‖ τοὺς μὲν ὁπλίτας H ‖ παρόρα H.

πολίταις ἀναγνῶναι. ἐπεὶ δὲ ἐπανῆλθον, ἀνέγνωσαν τὰ γεγραμμένα κατασκάψασθαι τὰ τείχη σήμερον. ἑκάστη τοίνυν πόλις καιρὸν οὐκ ἔχουσα πρὸς τὰς πλησίον πόλεις διαπέμψασθαι, ἀλλὰ φοβούμενοι, μὴ τῶν ἄλλων ὑπακουσάντων αὐτοὶ μόνοι μὴ πεισθέντες ἐξανδραποδισθῶσιν, ὁμοῦ πάντες Ἴβηρες τὰ οἰκεῖα τείχη τῶν πόλεων κατέσκαψαν ἐν μιᾷ ἡμέρᾳ.

## 44. Περὶ αὐτομόλων.

3, 9, 57 [Ὅτι Ἰφικράτης] δισχιλίων μισθοφόρων πρὸς τοὺς Λά- 1
κωνας αὐτομολησάντων ἀπόρρητα γράμματα ἔπεμψεν πρὸς τοὺς ἡγεμόνας τῶν ἀποστάντων, παρακαλῶν μεμνῆσθαι τοῦ συγκειμένου καιροῦ, καθ' ὃν καὶ τὴν ἐξ Ἀθηναίων συμμαχίαν προσδέχοιντο, εἰδὼς τὴν ἐπιστολὴν ἐμπεσουμένην τοῖς φύλαξι τῶν ὁδῶν. ἐπεὶ δὲ οἱ φύλακες ἐκόμισαν τὰ γράμματα τοῖς Λακεδαιμονίοις, οἱ μὲν ὥρμησαν συλλαμβάνειν τοὺς αὐτομόλους, οἱ δὲ ἀγαπητῶς ἐξέφυγον Ἀθηναίοις μὲν ἄπιστοι γενόμενοι, Λακεδαιμονίοις δὲ δόξαντες.

7, 28, 2 Ὅτι Ἀρσάμης συμβαλεῖν μάχην μέλλων τοῖς ἐκ βασι- 2
λέως ἐπ' αὐτὸν ἥκουσιν, ἐπειδὴ τὸν ἑαυτοῦ ἵππαρχον ἔγνω συνθέμενον τοῖς πολεμίοις εἰς τὴν συμβολὴν τοῦ πολέμου μετὰ πεντακοσίων αὐτομολήσειν, τοῦτον ἀνακρίνας τῆς ἀρχῆς διεδέξατο, μετὰ καὶ τοὺς ὑπ' αὐτόν· ἄλλους δὲ πιστοὺς μετά τινος οἰκείου τὴν τοῦ ἱππάρχου στολὴν ἐμβαλὼν ἀπέστειλεν προστάξας συνθέσθαι τοῖς πολεμίοις καὶ κατὰ νώτου αὐτῶν γενέσθαι. καὶ οὕτως αὐτοὺς κατὰ κράτος ἐνίκησεν.

8, 6 Ὅτι Ταρκύνιος Γαβίους πολιορκῶν χρόνῳ μακρῷ καὶ 3
μὴ δυνάμενος ἑλεῖν τὸν ἑαυτοῦ παῖδα Σέξτον πληγαῖς αἰκισάμενος αὐτόμολον ἔπεμψεν. οἱ δὲ τὸ σῶμα πικρῶς ἠκισμένον ἰδόντες, ἐδέξαντο ἐν τῇ πόλει καὶ μεγάλα ἐπαγγειλάμενον κατὰ τοῦ πατρός, ὧν τὰ πλεῖστα δράσας πιστὸς ἦν.

---

8 [ὅτι Ἰφικράτης] inserui ‖ 25 Γαβηνίους H ‖ 27 αἰκισμένον H.

ἐληΐζετο Ῥωμαίους, ἐς φυγὴν ἐτρέπετο, αἰχμαλώτους ἐλάμβανεν, μάχας ἐνίκα πολλάς, ὥστε οἱ Γάβιοι θαυμάσαντες αὐτοκράτορα στρατηγὸν αὐτὸν ἀπέφηναν. ὁ δὲ ἄγγελον κρύφα πέμψας τῷ πατρὶ ἤρετο, τί δρᾶν κελεύοι. Ταρκύνιος δέ, καὶ γὰρ ἔτυχεν ὁμιλῶν ἐν κήπῳ, τοὺς ὑψηλοτάτους μήκωνας ἀποκλάσας ἔφη πρὸς τὸν ἄγγελον· ‘φράζε μου τῷ παιδὶ τοῦτο δρᾶσαι.’ ὁ μὲν ἤγγειλεν, ὁ δὲ Σέξτος τοὺς προὔχοντας τῶν Γαβίων διαφθείρας οὕτω μηχανησάμενος ἐρημίαν καὶ ἀσθένειαν Γαβίοις τὴν πόλιν αὐτῶν παρέδωκεν Ῥωμαίοις.

## 45. Περὶ διώξεων.

1 Ὅτι Λυκοῦργος προσέτασσε τοῖς Λάκωσι τοὺς πολεμίους φεύγοντας μὴ φονεύειν, ἵνα τὸ φεύγειν ἡγῶνται τοῦ μένειν λυσιτελέστερον. 1,16,3

2 Ὅτι Ἀγησίλαος τοῖς φεύγουσι τῶν πολεμίων δίοδον διδόναι παρήγγειλεν. 2,1,4

3 Ὅτι Ἰφικράτης τοὺς πολεμίους εἰς φυγὴν τρεψάμενος παρήγγειλε [ἐν] ποταμῶν διαβάσεσι καὶ τόποις στενοῖς καὶ τάφροις ταύτῃ μάλιστα κυκλοῦσθαι τοὺς φεύγοντας οὐ χρή, ἵνα μὴ ἀναγκάζοιντο ἐξ ἀπονοίας μάχεσθαι. καὶ ὅτι τῶν τειχῶν ἐγγὺς διώκειν οὐ συμφέρει· πολλοὶ γὰρ ἤδη λαθόντες ἐντὸς βέλους ἐγένοντο καὶ κακῶς παθόντες ἀνεχώρησαν. 3,9,2

## 46. Περὶ τῆς ἐν τῇ ἀναχωρήσει ἀσφαλείας.

1 [Ὅτι Βρασίδας] ἐν τόπῳ στενῷ προσκειμένων κατὰ τὴν οὐραγίαν τῶν πολεμίων ἐκέλευσεν ἀπὸ λόφου κόπτοντας ἐν μέρει ξύλα κομίζειν· τὴν δὲ ὕλην πῦρ ἐμβαλὼν ἐνέπρησεν, ὥστε πολλῆς φλογὸς αἰρομένης οἱ πολέμιοι κατὰ τὴν οὐραγίαν προσπίπτειν ἐκωλύοντο, αὐτὸς δὲ ἀσφαλῶς ἀνεχώρησεν. 1,38,5

2 Ὅτι Ξενοφῶν τῶν βαρβάρων κατὰ τὴν πορείαν ἐπι- 1,49,2

2 Γαβηνῖται H ‖ 6 τὸν παῖδα H ‖ 12 ἡγοῦνται H ‖ 17 ἐν om. H ‖ 23 [ὅτι Βρασίδας] inserui.

κειμένων τάξας ἀμφίστομον τὴν φάλαγγα, ὅσα ἦν ἀναγκαῖα σκευοφόρα, λαβὼν ἐντὸς ἐπορεύετο καταστήσας ἐπὶ τῆς οὐραγίας ἱππεῖς, ἀκοντιστάς, πελταστάς, οἳ τοὺς προσπίπτοντας τῶν βαρβάρων ἀπεκρούοντο.

2, 2, 2 Ὅτι Κλέαρχος Κύρου πεσόντος ἀναχωρῶν μετὰ τῶν 3 Ἑλλήνων [ἐστρατοπέδευεν ἐν κώμῃ] τροφὴν ἄφθονον ἐχούσῃ. Τισσαφέρνης πρέσβεις πέμψας ἠξίου μένειν αὐτόθι τοὺς Ἕλληνας παραδόντας αὐτῷ τὰ ὅπλα. Κλέαρχος ὑπεκρίνετο προσίεσθαι τοὺς λόγους, ὅπως Τισσαφέρνης ἐλπίδι σπονδῶν ἐς τὰς κώμας διαπέμψειεν τοὺς πολλοὺς τῶν Περσῶν. ὁ μὲν δὴ νομίσας εἶξαι τὸν Κλέαρχον διέλυσε τὴν δύναμιν, ὁ δὲ νύκτωρ τοὺς Ἕλληνας ἐξαγαγὼν τῇ πορείᾳ προέλαβεν ἡμέραν ὅλην καὶ νύκτα Τισσαφέρνου βραδέως τοὺς διαλυθέντας συναγαγόντος.

3, 9, 18 Ὅτι Ἰφικράτης πολεμίους ἔγγυθεν ἐπικειμένους λαθεῖν 4 βουλόμενος καὶ ἀκινδύνως ἀναζεῦξαι, ὅσα ἦν ἐν τῷ τόπῳ δένδρα, περιέκοψε καὶ προσήρτησεν αὐτοῖς ἀσπίδας, κράνη, δόρατα, ὡς ἂν οἱ πολέμιοι φαντασίαν ἔχοιεν μενόντων, αὐτὸς δὲ ἀσφαλῶς ἀναζεύξοι.

3, 11, 4 Ὅτι Χαβρίας διὰ στενῶν τόπων ἀναχωρῶν τοὺς εὐρώ- 5 στους οὐραγεῖν προσέταξεν διὰ τὸ τοὺς πολεμίους ἐπικεῖσθαι.

3, 11, 15 Ὅτι ὁ αὐτὸς ἐπικειμένων αὐτῷ πολεμίων, ὧν Ἀγησί- 6 λαος ἦρχεν, συναγαγὼν τοὺς στρατιώτας ἐπὶ λόφον ὑψηλόν, τὰ σκευοφόρα καὶ τοὺς αἰχμαλώτους ἀγαγὼν ἐπὶ τὸ ὀχυρώτατον περιεστρατοπέδευσεν. οἱ δὲ Λάκωνες ἀπὸ πέντε σταδίων ἀντεστρατοπέδευσαν. Χαβρίας παρήγγειλεν ὡς πλεῖστα πυρὰ καίειν διὰ νυκτὸς καὶ περὶ δευτέραν φυλακὴν τὰ μὲν ὑποζύγια καὶ τὰ βοσκήματα καταλιπεῖν, αὐτοὺς δὲ ἀναχωρεῖν κατὰ τὸ ὄπιθεν μέρος τοῦ λόφου. οἱ μὲν δὴ λαθόντες ἀνεχώρησαν, οἱ δὲ Λάκωνες τό τε πῦρ ὁρῶντες τῆς τε φωνῆς τῶν ὑποζυγίων ἀκούοντες ὑπὸ τὴν ἕω διασκευασάμενοι πρὸς

---

5 Γύρου παίσας H || 6 [ἐστρατοπέδευεν ἐν κώμῃ] inserui || 8 αὐτῶν H || 15 ἔνδοθεν H || 17 κάρφη H.

μάχην σύνθημα λαβόντες τῷ λόφῳ προσῆγον. ἐπεὶ δὲ ἐγγὺς γενόμενοι κενὸν τὸ στρατόπεδον εἶδον, ἐβόησεν Ἀγησίλαος· ʽἄριστός γε στρατηγὸς Χαβρίας.ʼ

7 Ὅτι Χάρης ἀπῆγεν στρατόπεδον ἐκ Θρᾴκης· ἐπέκειντο 3, 18, 3 οἱ Θρᾷκες καὶ τὴν οὐραγίαν ἔθραυον. ὁ δὲ βουλόμενος ἀποσπάσαι τοὺς πολεμίους καὶ διελθεῖν ἀσφαλῶς, τόπον ὕποπτον συνιδὼν ἀναβιβάσας τῶν σαλπιγκτῶν ἐπὶ τοὺς ἵππους καὶ συμπέμψας αὐτοῖς ὀλίγους τῶν ἱππέων ἐκέλευσε περιιππευσαμένους τὴν ταχίστην γενομένους ὄπισθεν τῶν πολεμίων τὸ πολεμικὸν σημῆναι. οἱ μὲν ἐσήμαναν, οἱ δὲ Θρᾷκες ἐνέδραν εἶναι νομίσαντες τὴν τάξιν λύσαντες ἔφυγον. Χάρης δὲ ἀσφαλῶς τὴν ἀναχώρησιν ἐποιήσατο.

8 Ὅτι Φίλιππος διωκόμενος ὑπὸ Θρᾳκῶν παρήγγειλεν, 4, 2, 13 ἐπειδὰν ὁ σαλπιγκτὴς φεύγειν σημήνῃ, τοῖς μὲν οὐραγοῦσι προβαλλομένοις μένειν, τοῖς δὲ ἄλλοις φεύγειν, ὅπως τοῖς μὲν πολεμίοις ἐπιστήσειε διώκοντας, τοῖς δὲ οἰκείοις προλαβεῖν τῆς ὁδοῦ παράσχοι.

9 Ὅτι ὁ αὐτὸς τὰς παρόδους τῆς Βοιωτίας Βοιωτῶν φυ- 4, 2, 14 λασσόντων — ἦν δὲ στενὸς αὐχὴν ὄρους — οὐκ ἐπὶ τοῦτον ὥρμησεν, ἀλλὰ τήν τε χώραν πυρπολῶν καὶ τὰς πόλεις πορθῶν φανερὸς ἦν. Βοιωτοὶ δὲ οὐχ ὑπομένοντες ὁρᾶν τὰς πόλεις πορθουμένας κατέβησαν ἀπὸ τοῦ ὄρους. Φίλιππος ὑποστρέψας διὰ τοῦ ὄρους ἀνεχώρησεν.

10 Ὅτι Ἀννίβας ὑπὸ Ῥωμαίων ἐν στενοχώροις ἀποκλει- deest in Polyaeni codicibus σθεὶς τόποις ὑπ᾽ αὐτῶν φυλασσομένοις ταύρους συναγαγὼν καὶ ἐπὶ τῶν κεράτων λαμπάδας ὑφάψας ἐς τὸ στενωπὸν ἐνεβίβασεν. δι᾽ ὧν τοὺς παραφυλάττοντας ἐκπλήξας εἰς φυγὴν ἔτρεψεν, αὐτὸς δὲ ἀσφαλῶς ἀνεχώρησεν.

11 Ὅτι ὁ αὐτὸς ἀναζεῦξαι βουλόμενος ἀπέλιπε τοὺς ἱππεῖς, deest in Polyaeni codicibus ὅπως ὁ Ῥωμαίων στρατηγὸς ὁρῶν αὐτοὺς μὴ ἐννοήσῃ τὴν ἀνάζευξιν. ἐκεῖνοι γὰρ ἔμελλον ῥᾳδίως ἀφιππάζεσθαι.

3 γε] τε H ‖ 16 ἐπιστήσει H ‖ 25 φυλασσομένων H.

## 47. *Φυγὴ ἐκ τόπων ἐπικινδύνων.*

1, 38, 2 *Ὅτι Βρασίδας ὑπὸ πολεμίων ἐν κορυφαῖς ὄρους ἀπο-* 1
*κλεισθεὶς, ἐπειδὴ περιτείχισμα οἱ πολέμιοι ἐποίουν εἰς τὸ τελείως αὐτοὺς ἀφανίσαι, τῶν στρατιωτῶν αὐτῷ καταγογγυζόντων αὐτὸς ἔφη τὸν καιρὸν εἰδέναι τῆς μάχης. ἡνίκα δὲ ἐθεάσατο ἤδη μέλλοντας ἐναποκλείειν τὸ περιτείχισμα, τοῦτον ἔφη τὸν καιρὸν εἶναι, ὡς κατὰ νώτου μὴ δυναμένων τῶν πολεμίων ἐπιτίθεσθαι, ἀλλὰ καὶ τὸ πλῆθος αὐτῶν ἀχρηστότερον τῷ περιτειχίσματι γενέσθαι.*

1, 48, 4 *Ὅτι Κόνων ἐν Μιτυλήνῃ κατακεκλεισμένος ὑπὸ Λακε-* 2
*δαιμονίων σπεύδων Ἀθηναίοις μηνῦσαι τὴν πολιορκίαν, λαθεῖν τοὺς ἐφορμοῦντας οὐχ οἷός τε ὤν, κατασπάσας δύο τὰς ταχυναυτούσας ναῦς καὶ τοὺς ἀρίστους ἀπὸ τῶν πληρωμάτων ἐρέτας ἐμβιβάσας ἑσπέρας προϊούσης θεασάμενος τοὺς παραφυλάσσοντας ἀνὰ τὴν γῆν ἐσκεδασμένους ἀφῆκε τὰ σκάφη παραγγείλας πλεῖν δρόμον ἀλλήλοις ἐναντίον, ἵν' εἰ καὶ θἄτερον ἁλίσκοιτο, θἄτερον γοῦν σωθῆναι δυνηθῇ. ἄμφω δ' ἐσώθη τῶν πολεμίων κατὰ τὴν ἀσχολίαν διῶξαι βραδυνάντων.*

? *Ὅτι τοῦτο ποιεῖ καὶ ἐάν τις τὴν ἀποσκευὴν πρὸς ἕτερον* 3
*τόπον σκήψηται ἀποστεῖλαι, ὡς ἂν τοῦτο μαθόντες οἱ πολέ-*
cf. 2, 1, 12 *μιοι ἐκεῖσε τὴν φυλακὴν μετατρέπωσιν. ἀλλὰ καὶ ἡνίκα τις ἴδῃ προκατειλημμένας τὰς διεξόδους, σχηματίσηται ὡς πρὸς τὴν πόλιν τῶν ἐναντίων καὶ τὰς χώρας χωρεῖν, ὡς ἂν οἱ πολέμιοι φόβῳ τῶν ἰδίων ἀπολίποιεν τὰς διεξόδους.*

3, 9, 5 *Ὅτι τοῦτο ποιεῖ, ἡνίκα τις ἀποκεκλεισμένος σαλπιγκτὰς* 4
*ἀποστείλας ὑπὲρ νώτου τῶν πολεμίων σαλπίσαι παραγγείλῃ, ὡς ἂν ἐκεῖσε τραπέντες οἱ πολέμιοι τὴν φυλακὴν ἀπολίποιεν.*

3, 9, 6 *Ἀλλὰ καὶ εἴ τις τάραχον κατὰ θἄτερον μέρος ποιήσῃ,* 5
*ὡς ἂν δόξαντες οἱ πολέμιοι ἐκεῖσε αὐτοὺς ἀναχωρεῖν αὐτόθι χωρήσωσιν καταλιπόντες τὴν φυλακήν.*

---

29 *ποίησει* H.

6 Ἀλλὰ καὶ εἴ τις ξύλα ξηρὰ ὑποθλήσας ἐπιθήσῃ τούτοις χλωρὰ καὶ ὑφάψει, ὡς ἂν ὁμιχλώδης ὁ ἀὴρ γενόμενος ἐπισκοτίζοιντο οἱ πολέμιοι. 3, 9, 7

## 48. Ποταμῶν διαβάσεις.

1 [Ὅτι] τοῦτο ποιεῖ, ἡνίκα τις ἑτέρωθι ἀπόμοιραν ἀποστείλας προτρέψηται τὸν πόρον ποιῆσαι, αὐτὸς δὲ κατὰ στόμα βιάζοιτο, ὡς ἂν τῶν πεμφθέντων διαβάντων τοὺς ἀντικαθημένους τροπώσωνται. 1, 49, 4

2 Ἀλλὰ καὶ ἡνίκα τις φημίσῃ, ὡς χρησμός ἐστι τὸν πρότερον περάσαντα τροπωθῆναι. 2, 1, 27

3 Ὅτι, ἡνίκα τις ποταμὸν μέλλοι περᾶν, προοφείλει ἡγεῖσθαι τὸν μέχρις ὀμφαλοῦ πόρον ὑπὲρ τὸν [ποταμόν], ὡς ἂν τῷ ὕδατι τὸ πλέον παραφυλάττοιτο τοῦ σώματος ἀλώβητον ἐκ τῶν βελῶν τῶν ὑπεναντίων, τὸ δὲ ἄλλο ἐκ τῆς ἀσπίδος. 2, 2, 1

4 Ἀλλὰ καὶ ἡνίκα τις ὁμιχλώδη ποιήσῃ τὸν ἀέρα ὑποθεὶς ξύλα ξηρὰ χλωροῖς καὶ ὑποκαύσας, ὡς ἂν μὴ ὁρᾶται ὁ ἀήρ, ἕως ἂν διαπεράσωσιν. 2, 3, 13

5 Ἀλλὰ καὶ ἡνίκα τις ἐπικειμένων πολεμίων μέλλων περᾶν ἀκινδύνως ὕλην συλλέξας ἐμπρήσῃ καὶ κωλύσῃ διὰ τούτων τὴν ὁρμὴν αὐτῶν, αὐτὸς δὲ ἀκινδύνως διαβῇ. 2, 4, 2

6 Ῥευματώδους ποταμοῦ χρηματίζοντος χρὴ τοὺς εὐρωστους ἔχοντας ἱππεῖς ἐς τετραφαλαγγίαν προτάξαι καὶ ὑπεράνω περᾶν κελεῦσαι, τοὺς ἀδυνάτους δὲ καὶ πεζοὺς κάτωθεν, ὡς ἂν τὸ πολὺ ῥεῦμα ἐκεῖθεν κωλύοιτο. 4, 7, 12

7 Ἀλλὰ καὶ ἡνίκα τις ἁμάξας συζεύξας σανιδώσῃ καὶ ἄνω καὶ ὑποκάτω καὶ πάλιν ἐν αὐταῖς ἄλλας ὑπερθήσῃ, δύναται γεφυρῶσαι καὶ διαπεράσαι δηλονότι σχοινίοις αὐτὰς ἐφελκόμενος παρά τινων μετὰ εὐρώστων ἵππων προπερασάντων. 7, 21, 3

8 Ἀλλὰ καὶ ἡνίκα τις ἀντιστρατοπεδευόντων πολεμίων 7, 21, 6

---

1 ἐπιθήσει H ‖ τούτοις χλωρὰ] ταῦτα χλωροῖς H ‖ 5 [ὅτι] inserui ‖ 12 post τὸν lacuna in H ‖ 15 ποιήσει H ‖ 18 μέλλει H ‖ 28 ἱππέων H.

τὰς μεγίστας σκηνὰς προστήσῃ καὶ ἀπατήσῃ τοὺς ὑπεναντίους, ὡς χάρακα βάλλοι, ἵνα κἀκεῖνοι τὰ ὅμοια ποιῆσαι πεισθῶσιν, αὐτὸς δὲ παρεσκευασμένην ὀπίσω παραφυλάξῃ τὴν δύναμιν, τῶν πολεμίων δὲ ἀνετοίμων ὄντων αὐτὸς ἕτοιμος διαπεράσῃ ἢ χρόνον ἐπὶ συχνὸν ἀντιστρατοπεδεύσῃ ὡς ἀπορῶν δῆθεν πορείας· ἡνίκα δὲ ἴδῃ καταμελήσαντας τοὺς πολεμίους, τότε ἀπόμοιραν στρατοῦ πρὸς ἕτερον πόρον ἀποστείλας αὐτὸς ἀνιπαρακάθηται, ἕως ἂν κατὰ νώτου αὐτῶν γένωνται.

## 49. Ὀρῶν ἀποτόμων ἀναβάσεις.

2, 8 Ὅτι Φίλιππος βουλόμενος ἀπατῆσαι τοὺς πολεμίους 1
καταλιπεῖν τὰς φυλακὰς τῶν ἀποτόμων ὀρῶν ἐπιστολὴν πεπλασμένην κρατηθῆναι τοῖς πολεμίοις ἐποίησεν ὡς πρός τινα τῶν αὐτοῦ στρατηγῶν περιέχουσαν, ὡς μέλλοι τὴν ἀνάζευξιν ποιεῖσθαι διὰ τὸ τοὺς Θρᾷκας νεωτερίζειν αὐτῷ, ὅπως καὶ αὐτὸς προϋπαντήσοι. ταύτης οὖν κρατηθείσης παρὰ τῶν πολεμίων εἶτα καὶ αὐτὸς σχηματισάμενος τὴν ἀνάζευξιν ἔπεισεν αὐτοὺς καταλιπόντας τὰς φυλακὰς ἀμελεῖν· αὐτὸς δὲ λαθὼν κατέλαβεν τὰς δυσδιεξόδους καὶ οὕτως διέβη ἀκωλύτως.

3, 11 Ὅτι καὶ ἁμαξῶν καταφερομένων σύσκοντα ποιήσας 2
Ἀλέξανδρος ἠδυνήθη ἐπελθεῖν τοῖς πολεμίοις ἐξ ὑπερδεξίου ἱσταμένοις.

## 50. Περὶ ἀποσκευῆς.

3, 10 Ὅτι Ἀλέξανδρος ὁρῶν τοὺς οἰκείους μὴ προθυμουμέ- 1
νους δῃοῦν τὴν ἀλλοτρίαν διὰ τὸ πλείστην ἀποσκευὴν ἐκ τῆς στρατείας συλλέξασθαι αὐτὸς πρῶτος τὰς βασιλικὰς ἁμάξας κατέπρησεν, εἶτα τὰς τῶν ὑπηκόων, ὡς ἂν ἐν χρείᾳ τοῦ πάλιν κτήσασθαι καταστάντες δῃώσωσι προθυμότερον.

---

5 διαπεράσει et ἀντιστρατοπεδεύσει H ‖ 14 αὐτοῦ H ‖ 27 στρατείας] ὑστεραίας H.

2 Ὅτι Ἀντίγονος ὡς εἶδεν Εὐμένους ἀνὰ τὸ πεδίον ἔκταξιν οὐκ ὀχυρὰν, τοῖς ὀπισθοφυλακοῦσιν ἐπιπέμψας ἱππικὰ στίφη πολὺ μέρος τῆς ἀποσκευῆς αὐτοῦ ἔλαβεν. 4, 6, 11

3 Ὅτι ὁ αὐτὸς Εὐμένει παρατάσσων, ἐπειδὴ εἶδεν τοὺς τοῦ Εὐμένους πολλὴν ἀποσκευὴν ἔχοντας, τοῦ πολέμου συγκροτηθέντος αὐτὸς ἀποχωρήσας ἴλην ἱππέων ἱκανὴν [ἀποστείλας] συνέλαβεν τὴν ἀποσκευὴν τῶν Εὐμενείων. νικήσαντες δὲ οἱ τοῦ Εὐμένους καὶ ἐπὶ τῇ νίκῃ γεγηθότες, ἐπειδὴ εἶδον συλληφθεῖσαν αὐτῶν παρὰ τῶν πολεμίων τὴν ἀποσκευὴν ἐπρεσβεύοντο πρὸς Ἀντίγονον ἀγοράσαι τὰ φίλτατα. ὁ Ἀντίγονος δὲ προῖκα πᾶσιν ἀπεδίδου τὰ φίλτατα. οἱ δὲ εὐνοϊκῶς διατεθέντες πρὸς αὐτὸν δήσαντες Εὐμένην παρέδωκαν Ἀντιγόνῳ καὶ προσετέθησαν αὐτῷ. 4, 6, 13

## 51. Ἅλωσις ἑνὸς ἀνδρός.

1 Ὅτι Ἀρταξέρξης προσέταξεν Ὀρόντῃ ἀγαγεῖν Τηρίβαζον σατράπην Κύπρου δεδεμένον. ὁ δὲ ὑποκάτω μὴ ἐντεταμμένης κλίνης λάκκον ὀρύξας, καλέσας Τηρίβαζον διαλεξόμενος ἀπόρρητα καὶ οὕτως εἰς τὸν βόθρον βαλὼν ἔδησε καὶ ἤγαγε πρὸς Ἀρταξέρξην. 7, 13

2 Ὅτι ὁ αὐτὸς βουλόμενος στρατηγὸν αὐτοῦ ἀνυπόπτως ἀποκτεῖναι ποιήσας δύο ἐπιστολὰς, τὴν μὲν μίαν πρὸς αὐτὸν περιέχουσαν, ὡς τὴν πᾶσαν φροντίδα τοῦ πολέμου αὐτῷ ἀνατίθεται, ἑτέραν δὲ πρός τινα τῶν οἰκείων αὐτοῦ παραγγείλας δεδεμένον αὐτὸν ἢ καὶ ἀποκτείναντα ἀποπέμψαι πρὸς αὐτὸν τὴν τούτου κεφαλήν. ὁ δὲ προσκαλεσάμενος αὐτὸν πρός τινα ἰδιάζοντα τόπον μήκοθεν τοῦ στρατοπέδου ὡς ἀπορρήτους βουλὰς βούλοιτο αὐτῷ ἀνατίθεσθαι, ἐπειδὴ μετὰ τῶν οἰκείων μόνων εἶδεν αὐτὸν ἐλθόντα, δήσας ἐπέστειλε πρὸς τὸν βασιλέα. καὶ καθ' ὁδοῦ οἱ ἀποκομίζοντες ἀπέκτειναν αὐτόν. 7, 16, 1

---

6 [ἀποστείλας] inserui ‖ 7 Εὐμενίων H ‖ 15. 17 Τερίβαζον H ‖ 16 Κύρου H ‖ 20 αὐτοῦ H.

7, 29, 1 Ὅτι Μιθραδάτῃ βασιλεὺς προσέταξεν ἀποστάντα Δατά- 3
μην κτεῖναι ἢ ἄγειν. Μιθραδάτης ὑποκρίνεται καὶ αὐτὸς
ἀποστῆναι βασιλέως. οὐ μὴν ὅ γε Δατάμης ἐπίστευσεν, εἰ
μὴ πρόσθεν πολλὰ λυμανῆται τῇ βασιλέως ἀρχῇ. καὶ δὴ
πολλὰ ἐλυμήνατο καὶ δόξας πολέμιος βασιλικὸς εἶναι ἔπει-
σεν αὐτὸν συνελθεῖν μετ' αὐτοῦ διαλέξεως ἕνεκα περὶ ὧν
χρή. ὁ δὲ Μιδραδάτης προκατασκευασμένους ἔχων στρα-
τιώτας μετὰ ἐγχειριδίων ἐν ἐκείνῳ τῷ χωρίῳ τοῦτον ἀπ-
έκτεινεν.

## 52. Φυγὴ ἑνὸς καὶ μιᾶς.

2, 31, 3 Ὅτι Ἀριστομένης δεδεμένος καὶ φυλαττόμενος ὑπὸ τῶν 1
ἐχθρῶν προσκυλισθεὶς τῇ πυρρᾷ τούτων κοιμωμένων τὰ
δεσμὰ κατακαύσας ἀπελύθη καὶ τούτους ἀποκτείνας ἀν-
εχώρησεν.

3, 7, 1 Ὅτι δύναταί τις ἀποφυγεῖν τῶν ἐμφανῶν, ἡνίκα οἰκε- 2
τικὴν ἢ ἀγροικικὴν ἐσθῆτα βαλὼν καὶ ἀχρειώσας ἑαυτὸν κό-
φινον ἤτοι τοιοῦτον λάβοι.

8, 7, 3 Ὅτι Λαχάρης γυναικός τινος ἐκφορὰν ἐχούσης νεκροῦ 3
μέλανον χιτῶνα ἀμφιασάμενος γυναικεῖον καὶ ταῖς θρηνού-
σαις συναναμίξας ἑαυτὸν ἐξέφυγεν.

8, 15 Ὅτι καὶ Δημήτριος εἰς ἅμαξαν χορτοφόρον κρύψας 4
ἑαυτὸν ἀπεκομίσθη εἰς τὴν ἰδίαν χώραν.

6, 54 Ὅτι μίλτον ὕδατι μίσγων τις δύναται πλάνην ποιῆσαι, 5
ὡς ἤδη ἀπεγνώσθη τῆς ζωῆς, καὶ ἐκ τούτου ἀπολυθεὶς
ἐκφεύγει.

8, 19 Ὅτι καὶ εἴδωλόν τις ποιήσας ἀνθ' αὐτοῦ δύναται λαθεῖν 6
τῶν φυλάκων τὸ εἴδωλον φυλασσόντων.

8, 34 Ὅτι Χίλωνις ἀποκλεισθεὶς εἰς φυλακὴν ἐλθούσης τῆς 7
γυναικὸς αὐτοῦ πρὸς τὴν φυλακὴν ἐπισκέψεως χάριν, ἐπειδὴ
ἐθαυμάσθη διὰ τὸ φίλανδρον παρὰ τῶν φυλασσόντων, ἐάθη
εἰσελθεῖν εἰς τὸν ἄνδρα· ἥτις τὰ τοῦ ἀνδρὸς ἀμφιασαμένη

1 Μιθραδάτην H ‖ 8 τὸ χωρίον H ‖ 23 μίλτου ὕδασι H ‖ 28 Χίλωνις] Χειλωνίς Polyaen.

καὶ τὰ ἴδια δοῦσα τῷ ἀνδρὶ αὐτοῦ φυγόντος ἔμεινεν ἐκείνη. ὁ δὲ Χίλωνις ἐκφυγὼν τὴν ἱέρειαν κατασχὼν ἀντίλυτρον τῆς ἰδίας ἀπέδωκε γυναικός.

8 Ὅτι Ἀρσινόη ἐπιβουλευομένη παρὰ τῶν οἰκείων εἰς τὸ 8, 57
ἑαυτῆς φορεῖον θεραπαινίδα κατέκλινεν, αὐτὴ δὲ οἰκετικὰ ἀμφιασαμένη ῥάκια ἔλαθεν ἐκφυγοῦσα.

9 Ὅτι καὶ Μύστα βασίλισσα αἰχμαλωτισθεῖσα ῥάκια ἀμφια- 8, 61
σαμένη ἐν τοῖς αἰχμαλώτοις ἐπράθη. ἀχθεῖσα δὲ εἰς Ῥόδον καὶ ἐξαγορεύσασα, ἥτις ἦν, ἠγοράσθη ὑπ' αὐτῶν καὶ ἀπελύθη.

## 53. Τιμαὶ καὶ κολάσεις στρατιωτῶν.

1 Ὅτι Καῖσαρ τὰ ἁμαρτήματα τῶν στρατιωτῶν οὐ πάντα 8, 23, 21
παρεφύλασσεν οὐδὲ τοὺς ἁμαρτάνοντας ἀξίως ἐτιμωρεῖτο τὴν συγγνώμην ἀνδρείας ποιητικὴν ἡγούμενος. εἰ μέντοι τις ἐστασίασεν ἢ τὴν τάξιν ἔλιπεν, τούτους ἐτιμώρει.

2 Ὅτι Σεβαστὸς τοὺς ἐν ταῖς μάχαις καθυφιεμένους οὐκ 8, 24, 1
ἀνῄρει πάντας, ἀλλ' ἐδεκάτευεν.

3 Ὅτι ὁ αὐτὸς τοὺς ἐπὶ στρατοπέδου διαμαρτάνοντας ἐκέ- 8, 24, 3
λευσεν πρὸ τοῦ στρατοῦ λυσιζώνους ἑστάναι καὶ θρηνεῖν
δι' ὅλης ἡμέρας, ἐνίοτε δὲ καὶ γυναικῶν στολὴν ἐδίδου 8, 24, 5
φορεῖν, τοῖς ἀνδραγαθήσασι δὲ μεγάλας ἐδίδου δωρεάς.

4 Ὅτι Ἀρτεμισία Λυγδάμιδος κατεσκεύασε ναῦν συμμα- 8, 53, 2
χίδα καὶ μετ' αὐτῆς ἠνδραγάθησεν. διὰ τοῦτο ἔπεμψεν αὐτῇ βασιλεὺς ἀριστεῖον πανοπλίαν Ἑλληνικήν, τῷ δὲ ναυάρχῳ τοῦ στόλου ἄτρακτον καὶ ἠλακάτην.

## 54. Πόλεων ἁλώσεις.

1 Ὅτι ἐὰν μηχανήσηταί τις, ὡς στάσις ἐγένετο ἐν τῷ 1, 15
αὐτοῦ στρατοπέδῳ καὶ δι' αὐτομόλου δηλώσας τοῖς πολιορκουμένοις ὑπαναχωρήσῃ μετὰ τὴν φήμην μικρόν, εἶτα πάλιν

---

16 ἐδεκάτευεν] οὐδὲ κατεῖχεν H ‖ 20 ἐδίδει H ‖ 27 αὐτοῦ H ‖ 28 ὑπαναχωρήσει H.

ὑποστρέψας ἐνεδρεύσῃ καί, ἡνίκα ἴδῃ καταφρονητὰς ὅσον ἐκ τῆς ἀγγελίας καὶ τῶν δρωμένων τοὺς πολίτας, ἐπιπέσῃ τῇ πόλει ἀφυλάκτως, τροποῦται ταύτην.

1, 37 Ὅτι καὶ [δι'] ὑδρορρόης δύναταί τις ἀσέληνον νύκτα 2
παρατηρήσας εἰσενεγκεῖν στρατιώτας καὶ κρατῆσαι πόλεως.

2, 1, 16 Ὅτι πολιορκῶν τις πόλιν πολλοὺς ἔχουσαν συμμάχους 3
μηχανησάμενος ἀναχώρησιν ἰδίαν δύναται πεῖσαι τοὺς πολίτας ἀποπέμψασθαι καὶ μετὰ τὸ τοὺς συμμάχους ἀναχωρῆσαι ἐπελάσαι ἐξαίφνης καὶ ἐφευρεῖν τὴν πόλιν ἄνευ συμμάχων.

2, 4, 1 Ὅτι Πελοπίδας ἐπολιόρκει ἀκροπόλεις ἀπεχούσας ἀλλή- 4
λων ἑκατὸν εἴκοσι στάδια. συνέταξεν οὖν, ἐπειδὰν προσάγῃ τοῖς τείχεσι, τέσσαρας ἱππεῖς ἐστεφανωμένους θέοντας ἥκειν ἀγγέλλοντας τὴν ἑτέραν πόλιν ἑαλωκέναι. ὁ δὲ ἀνέζευξεν ἐπὶ τὴν δοκοῦσαν ᾑρῆσθαι καὶ πρὸ τῶν τειχῶν ὕλην πολλὴν ἅψας καπνὸν ἤγειρε μέγαν, ἵνα τοῖς ἑτέροις ἐμποιήσῃ φαντασίαν πόλεως καταπεπρησμένης. οἱ δὲ ὡς ἤδη γεγενημένης καταπλαγέντες τὴν μέλλουσαν ἅλωσιν σφᾶς αὐτοὺς τῷ Πελοπίδᾳ παρέδωκαν· ὁ δὲ τὴν παρὰ τούτων δύναμιν προσλαβὼν ἐπὶ τὴν ἑτέραν πόλιν ἐλθὼν κἀκείνην παρεστήσατο οὐκέτι θαρροῦσαν ἀντιτάξασθαι.

2, 27, 1 Ὅτι ἐάν τις τραυματίας τινὰς τῶν οἰκείων πείσῃ δέξα- 5
σθαι, δύναται κατασχεῖν πόλεως.

2, 35 Ὅτι καὶ ἐάν τίς τινα ἐκ τῆς πόλεως κατάσχῃ καὶ πείσῃ 6
προδοῦναι τὴν πόλιν, δύναται ἐλθεῖν νύκτωρ εἰς τὰς πύλας καὶ τὸ σύνθημα εἰπεῖν, ὅστις εἴη, ἐπακολουθούντων αὐτῷ τινων ἐκ τῶν πολεμίων φόρτια βασταζόντων, ὅπως, ἡνίκα ἀνοίξωσιν οἱ φυλάσσοντες εἰσδέξασθαι αὐτόν, εἰσέλθωσιν οἱ ἐπακολουθοῦντες καὶ φονεύσωσι μὲν αὐτούς, κρατήσωσι δὲ τὰς πύλας καὶ εἰσενέγκωσι τοὺς ἰδίους.

2, 36 Ὅτι καὶ ἐὰν χρήμασί τις φθείρας τινὰς τῶν τῆς πόλεως 7

---

1 ἐνεδρεύσει H ‖ 2 ἐπιπέσει H ‖ 4 [δι'] inserui ‖ 13 τετρακισχιλίους H ‖ 29 φονεύσουσι H ‖ κρατήσουσι H ‖ 30 τὰς πύλας H.

*ἀπομάξαι διὰ κηροῦ τὰς κλεῖδας τῶν πυλῶν δυνηθῇ ὁμοίας κατασκευάσαι, εἶτα αὐτοῖς ἐκείνοις παρασχεῖν καὶ εἰς ὡρισμένον ἀνοίξωσι καιρόν. σαλπιγκτὰς δὲ χρὴ κυκλῶσαι τῆς πόλεως καὶ ἄλλον ἀλλαχοῦ παραστῆσαι καὶ σαλπίζειν κελεῦσαι, ὡς ἂν ἀπατήσωσι τοὺς πολιορκουμένους πανταχόθεν ὑποπτεύσαντας τὴν πόλιν συλληφθῆναι.*

8 *Ὅτι καὶ ἐάν τις ὡς κοινολογησόμενος δοίη λόγον τῷ* 3, 2 *φρουράρχῳ ἀβλαβῆ εἰς τὴν πόλιν ἀποπέμψειν καὶ μετὰ τὴν αὐτοῦ ἐξέλευσιν προσελθὼν παραλάβοι τὴν πόλιν, αὐτὸν δὲ κατὰ τὸν λόγον ἀβλαβῆ ἕως τῆς πόλεως ἐνεγκὼν ἐσχάτως φονεύσοι.*

9 *Ὅτι καὶ ἐάν τίς τινα ἐκ τῶν τῆς πόλεως δυνηθῇ κρατῆσαι* 3, 14 *καὶ διαφθείρας χρήμασι πείσῃ ὑποστρέψαι (καὶ) εἰς τὴν πόλιν μετὰ προβάτων καί τινων ἑτέρων ὡς λείαν ἄγοντα, τοῦτο δὲ καὶ ἅπαξ ποιήσῃ καὶ δίς, εἶτα ἐν τῷ ἀνοίγειν τὰς πύλας λάθῃ συνεισενεγκὼν τινας τῶν πολεμίων.*

10 *Ὅτι καὶ ἡνίκα τις πρέσβεις ἀποστείλῃ διαλεξομένους* 4, 2, 4 *τοῖς πολίταις, ὅπως ἁπάντων ἐπὶ τὴν αὐτῶν ἀκρόασιν συνελθόντων αἰφνίδιον ἐπίθεσιν αὐτὸς ποιήσας δύναται τῆς πόλεως κρατῆσαι.*

11 *Ὅτι διὰ κλιμάκων τις ἀναβιβάσας στρατιώτας τοῖς τείχεσιν* 4, 2, 15 *ὀφείλει τὰς κλίμακας ἀφελεῖν, ὅπως προθυμότερον τῶν τειχῶν κρατήσειαν.*

12 *Ὅτι Φιλίππου πολιορκοῦντος πόλιν Θεσσαλικὴν εἰσελθόντων* 4, 2, 18 *τῶν αὐτοῦ μισθοφόρων καὶ ἀφ' ὑψηλῶν πολεμουμένων αὐτὸς ἐκ τοῦ ἑτέρου μέρους ἀφυλάκτου τοῦ τείχους ὄντος διὰ κλιμάκων ἀνεβίβασεν στρατιώτας, οἳ ἀντιπερίσπασιν δόντες τοῖς πολίταις ἀβλαβεῖς διετηρήσαντο τοὺς εἰσελθόντας.*

13 *Ὅτι καὶ ἡνίκα τις ἀποκρύψας δύναμιν αὐτὸς μὲν μετὰ* 4, 3, 12 *τῆς ἑτέρας ἐπιβάλοι ἐν τῷ φανερῷ, τῆς συμβολῆς δὲ γενομένης οἱ ἐκ τῆς ἐνέδρας κυκλώσωσι τὸ τεῖχος ἀφύλακτον.*

---

4 *κελεύσει* H ‖ 7 *κοινολογησάμενος* H ‖ 13 (*καὶ*) seclusi ‖ 15 *ποιήσει* H ‖ 24 *Θεσσαλονικὴν* H ‖ 28 *τοὺς πολίτας* H.

, 18 (17) Ὅτι καὶ ἐάν τις πολιορκῶν διὰ διωρύχων βούληται 14 ὑπεισελθεῖν τῇ πόλει, προστυχὼν πέτρας νύκτωρ ἀλλαχόθεν χῶμα προστάξει φέρειν καὶ ἐπίπροσθεν τῆς διώρυχος ἐκχέειν, ὡς ἂν ἀπατηθέντες οἱ τῆς πόλεως νομίσωσιν ἤδη παραληφθῆναι.

5, 10, 3 Ὅτι καὶ ὁδῶν δύο ἀπαγουσῶν πρὸς τὴν πόλιν, ἐάν τις 15 τὴν μίαν ἀνορύξας ἀδιάβατον μὲν δόξῃ ποιεῖν, πρὸς δὲ τὴν ἑτέραν προσβάλῃ καὶ τοῦτο δι' αὐτομόλου μηνύσῃ, εἶτα τῶν πολεμίων πρὸς ἐκείνην ἀποβλεπόντων αὐτὸς προπαρεσκευασμένοις ξύλοις γεφυρώσας τὴν ταφρευθεῖσαν ὑπεισέλθῃ τῇ πόλει.

5, 10, 5 Ἀλλὰ καὶ ὕλης πλησιαζούσης ἐάν τις ἐπιτηρήσας ἄνε- 16 μον ἐμπρήσῃ ταύτην, δύναται μηχανήσασθαι ἅλωσιν.

5, 19 Ὅτι καὶ ἐάν τις ἐκ τῶν πολεμίων τινὰ δυνηθῇ δια- 17 φθεῖραι καὶ δοίη τινὰς δεδεμένους ὡς αἰχμαλώτους ἀπάγειν πρὸς τὰ τείχη, ὅπως ἀνοίξωσιν αὐτῷ οἱ οἰκεῖοι περιχαρῶς ὡς ἐπινίκια κομίζοντι, οἱ δὲ δεδεμένοι κρατήσωσι τῶν πυλῶν.

5, 22, 4 Ὅτι εἰς παράλιον πόλιν ἐάν τις νυκτὸς ἐπιπλεύσας ἐκ- 18 βιβάσῃ ἐνέδραν, αὐτὸς δὲ ἐπαναχθεὶς ἅμα ἕῳ ἐπιστήσῃ ἑαυτόν, τῶν πολιτῶν δὲ πρὸς αὐτὸν ἀποβλεπόντων οἱ τῆς ἐνέδρας ἐξελθόντες κατάσχωσι τὴν πόλιν.

6, 1, 1 Ὅτι καὶ ἐάν τις λαθεῖν θέλων ὡς ἐπὶ μισθοφορίᾳ καὶ 19 ἀριθμῷ ἐξοπλίσασθαι προτρέψηται τὸν λαὸν καὶ αὐτῇ τῇ ὥρᾳ ἐπάξῃ, αὐτὴν δύναται πόλιν ἀφύλακτον εὑρεῖν καὶ παραλαβεῖν μηδενὸς εἰδότος μήτε τῶν νικώντων μήτε τῶν νικωμένων.

6, 13 Ὅτι δι' ἐλλεβόρου ἐάν τις φθείρῃ τὸ εἰσαγόμενον εἰς 20 τὴν πόλιν ὕδωρ, ἐκλύσας τοὺς πολίτας δύναται κατασχεῖν εὐχερῶς τὴν πόλιν.

7, 6, 10 Ὅτι ἐάν τις πολιορκῶν πόλιν ἐκ τοῦ ἑτέρου μέρους 21 ἐπὶ ξύλοις ἰσομήκεσι τοῖς τείχεσιν εἴδωλα περιθεὶς μετὰ πανοπλίας ἐπιστήσῃ τοῖς τείχεσιν, ὡς ἂν ἀπατηθέντες οἱ

---

1 βούλεται H ‖ 4 νομίσασιν H ‖ 6 ἀπαγόντων H ‖ 22 ἀριθμῷ] ἀδνουμίῳ H ‖ πχουτρέψηται H.

πολῖται δι' αὐτῶν ᾑρῆσθαι τὴν πόλιν σφᾶς αὐτοὺς παραδοῖεν.

22 Ὅτι ἐάν τις διώρυχα ποιήσας βαθεῖαν δι' αὐτῆς ὑπὸ 7, 11, 5 γῆν ὑπεισελθὼν τῷ τείχει εὐχερῶς δύναται κατασχεῖν τὴν πόλιν.

23 Ὅτι καὶ τὴν λείαν τις προθεὶς δύναται ἀσφαλῶς ἐπιέναι 8, 9, 62 τὴν πόλιν τῶν πολιτῶν φειδομένων τοὺς οἰκείους τιτρώσκειν.

24 Ἀλλὰ καὶ ἐν καιρῷ ὑετοῦ ῥαγδαίου βέλτιον τὴν ἐπί- 8, 23, 8 θεσιν πρὸς τὴν πόλιν ποιεῖν ὡς τῶν φυλάκων διὰ τὸν ὑετὸν ἀναχωρούντων.

## 55. Πέτρας ἀποτόμου ἅλωσις.

1 Ὅτι κατόπιν τῆς πέτρας τοὺς κρημνοβατεῖν ἐπιτηδείους 4, 3, 29 λαθραίως προστάξας τινὰς ἀνελθεῖν ἄλλος ἄλλον ἀναρτῶν δύναται δοῦναι ἀντιπερίσπασιν.

2 Ὅτι καὶ ἐάν τις διαφημίσῃ, ὡς ἀκοῇ ἤκουσεν οἰκείου 4, 3, 31 τινὸς θάνατον καὶ σχηματίσηται λύπην καὶ διὰ τοῦτο μικρὸν ὑπαναχωρήσῃ, δύναται αἰφνιδίως ἐπελθὼν ἀπροσδοκήτοις ἐπιπεσεῖν τοῖς ἐχθροῖς δηλονότι δι' αὐτομόλου τοῖς ἐχθροῖς τοῦτο μηνύσας.

3 Ὅτι καὶ ἐάν τις σχηματίσηται, ὡς τῶν ἡμίσεων στρα- 5, 44, 2 τιωτῶν αὐτῷ στασιασάντων καὶ πρὸς τὸν κατ' ἀλλήλων πόλεμον ὡρμημένων, καὶ μηνύσῃ δι' αὐτομόλου τοῖς ἐχθροῖς καὶ τὰ ἔργα ἐπακολουθοῦντα δείξῃ, δύναται πλανῆσαι τοὺς ἐχθροὺς ἀμελῆσαι τῆς ἑαυτῶν φυλακῆς.

## 56. Ἀσφάλειαι πόλεων.

1 Ὅτι ἐάν τις τειχομαχικὰ νοήσῃ ἔχειν τοὺς ἐχθροὺς ὄρ- 2, 22, 3 γανα, χρὴ προκαταλῦσαι μέρος τι τοῦ τείχους, ὡς ἂν δειλίαν τοῖς ἐχθροῖς ἐμποιήσῃ.

2 Ὅτι καὶ προδοσίαν τις ὑφορώμενος χρὴ ἐκ τῶν μισθο- 2, 22, 4 φόρων ἑκάστῃ φυλακῇ ἕνα παρακαθίσαι.

2, 27, 2 Ὅτι καὶ παρακαθημένων τῶν πολεμίων ἐκ τοῦ ἑτέρου 3
μέρους, εἴτε ἐκ τῆς πύλης εἴτε ἐκ τοῦ τείχους παρήξει, βέλ-
τιστόν ἐστιν ἐκ τῶν ὄπιθεν ἐνέδραν τοῖς πολεμίοις περι-
καθίσαι.

? Ὅτι καὶ ἐάν τις φημίσῃ, ὡς προδίδοται αὐτῷ ἡ τῶν 4
πολεμίων πόλις, ὡς ἂν πρὸς τὴν ἐκείνων φυλακὴν ἑαυτοὺς
περιστρέψαντες ἐάσωσι τὸ πολεμεῖν ἐκείνους.

? Ἀλλὰ καὶ ἐάν τις τὸν ἴδιον λαὸν ἀταράχως ἐξάγοι πρὸς 5
ἀντιπαράταξιν δῆλον ὅτι θαρρῶν τῇ ὀχυρότητι τῶν τειχῶν,
δύναται δοῦναι τοῖς ἐχθροῖς ὑποψίαν ὡς θάρρος ἔχων εἰς
τὴν ἰδίαν δύναμιν.

6, 3 Ὅτι μόλιβδος τηκτὸς ἐπιχεόμενος δύναται τὰς χελώνας 6
ἀποτεφρῶσαι, σβέννυσι δὲ αὐτὸν ὄξος. ἀλλὰ καὶ πᾶν εἶδος
πυρὸς περιγίγνεται ὄξος. καλὸν δέ ἐστι καὶ ταῖς χελώναις
πηλὸν ὑγρὸν ἐπιτιθέναι ἢ σπόγγους πεπλησμένους ὄξους
περιαρτᾶν.

6, 17 Ὅτι πρὸς τὰ ὑπὸ γῆν ταφρεύματα χρὴ ἀντιπαρατάττε- 7
σθαι κατέναντι αὐτῶν ἀνορύττειν εἰς τὸν ὑφορώμενον τόπον
τῆς πολιορκίας καὶ ῥάβδους χαλκᾶς πηγνύειν, ὡς ἂν φθα-
ζόντων τῶν πολεμίων αὐτοῖς καὶ πληττόντων ὁ ἦχος τοῦ
χαλκοῦ κατάδηλον ποιῇ τῶν πολεμίων τὴν ἀνόρυξιν, εἶθ'
οὕτως πίθον τετρημένον εἰς τὸν πυθμένα πλῆσαι πτερὰ καὶ
ταῦτα προσκαῦσαι, εἶτ' ἀπομάσαι καὶ χαλκουργευτικὸν ἀσκὸν
τῷ πίθῳ ὑποφυσᾶν, ὡς ἂν ὁ καπνὸς ἐλαυνόμενος τῷ φυσή-
ματι τῶν ἀσκῶν δριμὺς ἐπιφερόμενος ἀντιπαρατάττοιτο τοῖς
πολεμίοις.

? Ὅτι καὶ ἐάν τις διαφημίσῃ εἴτε δι' αὐτομόλου εἴτε δι' 8
ἐπιστολῆς διὰ τρόπου τοῖς πολεμίοις κρατηθείσης, ὡς πρὸς
τὴν ἐκείνων βούλοιτο ἐπιτηδεύσασθαι χώραν, δύναται πεῖ-
σαι τοὺς πολεμίους ἀφέντας τὴν πολιορκίαν πρὸς τὴν ἰδίαν
ἀπιέναι.

7, 26 Ὅτι καὶ ἐάν τις βούλοιτο συμμαχίαν εἰσδέξασθαι κω- 9

---

15 ὄξους H || 21 ποιεῖ H.

λυομένην ὑπὸ τῶν πολεμίων, δύναται τοῦτο ποιῆσαι ἀπατήσας τοὺς ἐχθροὺς διά τινος οἰκείου δηλῶν αὐτοῖς, ὡς τὴν ἄντικρυς νῆσον εἴτε χώραν εἴτε πόλιν αὐτοῖς προδοῦναι, ὡς ἂν τῇ τοιαύτῃ ἐλπίδι μικρὸν ὑπαναχωρήσαντες οἱ πολέμιοι, εὕρωσι χώραν εἰσελθεῖν οἱ σύμμαχοι.

10 Ὅτι καὶ ἐάν τις καὶ γυναῖκας καὶ παῖδας καὶ πάντα 7, 30 τὸν λαὸν προεξάξῃ τῆς πόλεως, δύναται δοῦναι ὑποψίαν ὡς ἀπονοίᾳ μάχονται, ἣν χρὴ σκέπτεσθαι τὸν κατὰ λόγον στρατηγοῦντα.

11 Ὅτι χρὴ σωροὺς ἀπὸ λίθων καὶ πηλῶν ἐπιχρίσει κατα- 7, 36 σκευάσαι τινὰ τὸν ἐνδείᾳ πιεζόμενον· εἶτα σῖτον καὶ κρι- 11 θὴν τῇ ὄψει τῶν σωρῶν ἐπιχύσει, θρέψει δὲ καὶ ἡμιόνους πιωτάτους καὶ ἐξεπιτηδὲς τοῖς πολεμίοις αὐτοὺς προδῷ, εἶτα ἐπικηρυκεύσηται ὡς ἐπί τινι ὑποθέσει καὶ τῷ λόγῳ τούτῳ δείξει τοῖς ἐπικηρυκευσαμένοις τῶν πολεμίων τοὺς σωρούς, ὡς ἂν ἀπατηθέντες τῇ πλησμονῇ τῶν διατροφῶν ὑπαναχωρήσωσιν.

12 Ὅτι Θασίων μηχανήματα πρὸς βοήθειαν τῶν τειχῶν 8, 67 μελλόντων ποιεῖν, ἐπειδὴ ἠπόρουν σπαρτίων, αἱ τούτων γυναῖκες ἀποκειράμεναι καὶ πλῆθος τριχῶν ἐπισυνάξασαι, σχοινία ποιήσαντες Θάσιοι τὴν χρείαν τῶν μηχανημάτων ἐπλήρωσαν.

## 57. Ναυμαχικά.

1 Ὅτι χρὴ ἐπιτηδεύσασθαι κατὰ πλοίων πολεμικῶν καὶ 1, 34, 1 μετὰ τὸ ἐγκρατεῖς τούτων γενέσθαι μετασχηματίσαι τοὺς οἰκείους ὡς πολεμίους καὶ οὕτως ἐπιτρέχειν τῇ χώρᾳ τῶν πολεμίων, ὡς ἂν ὡς πρὸς οἰκείους ἐρχόμενοι λάθωσιν ἐμπίπτοντες εἰς τὰς τῶν πολεμίων χεῖρας.

2 Ὅτι Κόνων ἡμισείας τῶν πολεμίων ἔχων ναῦς ἐσχημα- 1, 48, 2 τίσατο φεύγειν, τῶν πολεμίων δὲ νεῶν τῇ διώξει τὴν σύν-

2 αὐτοὺς H ‖ 5 εὕρουσι H ‖ 8 ἣν H ‖ 10 κατασκευάσαι] κατασκευάσαντα H.

*ταξιν λυσάντων, αὐτὸς ἐξαίφνης ἐπιστραφεὶς τὰς πλείονας αὐτῶν διέφθειρεν.*

1, 48, 4 *Ὅτι καὶ ἐάν τις μηνῦσαι βούληται πρὸς οἰκείους τῶν* 3
*πολεμίων νεῶν ἀντιπαρισταμένων, χρὴ εὐτρεπίσαι ταχυναυτούσας δύο ναῦς καὶ ἀρίστους αὐταῖς ἐμβιβάσαι, καὶ ἡνίκα ἴδῃ ἀσχολουμένους πρὸς ἀναγκαίας χρείας τοὺς πολεμίους, ἐξαίφνης ἐξορμήσασαι ἐξ ἐναντίου ποιήσωσι τὴν εἰρεσίαν, ὡς ἂν τῆς διώξεως τῶν πολεμίων γενομένης πεφυρμένης ἀκινδύνως αὗται ἀπέλθωσιν.*

1, 48, 5 *Ὅτι Κόνων μαθών, ὡς οἱ πολέμιοι τὴν ἑαυτοῦ βούλον-* 4
*ται ἐπιβουλεύσασθαι ναῦν, ὁμοίαν τῆς ἐκείνης ἑτέραν κατασκευάσας καὶ τὸν στρατηγικὸν περιθεὶς κόσμον ἀπὸ ταύτης ἆραι τὸ σημεῖον προσέταξεν, αὐτὸς δὲ εἰς ἀνύποπτον ἐλθὼν τῶν δυνατωτέρων νεῶν τῇ προσποιητῇ ἄρδην ἐπισυναχθέντων τὰς καταλειφθείσας αὐτὸς τὰς μὲν κατέδυσεν, τὰς δὲ κατεδίωξεν.*

3, 10, 6 *Ὅτι ἡνίκα τις πολλὰς κεκτημένος πρὸς ὀλίγας βούλοιτο* 5
*ναυμαχεῖν, ὀφείλει τὰς ταχυναυτούσας προαποστέλλειν καὶ παραγγέλλειν ὧδε κἀκεῖσε τὰς εἰρεσίας ποιεῖν, ὡς ἂν τῇ τούτων διώξει αἱ τῶν πολεμίων διαλύσασαι τὴν σύνταξιν ἄλλως τε ⟨δὲ⟩ καὶ ἐκλυθεῖεν ⟨τῇ διώξει⟩ τῇ συνεχεῖ εἰρεσίᾳ. εἶθ' οὕτως μετὰ τῶν ἄλλων συντεταγμένως ἐπελθὼν εὐχερῶς δύναται ταύτας τροποῦσθαι προεκλυθέντων αὐτῶν τῇ εἰρεσίᾳ.*

3, 10, 13 *Ὅτι ἡνίκα τις ναυάγια καὶ αἰχμαλώτους ἐπιφερόμενος* 6
*προστύχῃ πολεμίοις ἐν μηνοειδεῖ σχήματι χρὴ παρατάξασθαι, τὰ μὲν ἔμβολα τῶν νεῶν καὶ τὸ περιφερὲς τοῦ σχήματος πρὸς τοὺς ἐναντίους ἐπιστρέψαι, τὰ ναυάγια δὲ καὶ τοὺς αἰχμαλώτους ἐς τὸ κοίλωμα τοῦ ναυτικοῦ προσαγαγεῖν, ἵνα κατὰ πρύμναν αὐτῶν πλέωσιν.*

---

5 ιβ̄ *ναῦς* H || 7 *ἐξορμισάσας* H || 11 *ἐκείνου* H || 14 *ἐπισυνηχθέντων* H || 21 ⟨*δὲ*⟩ seclusi || *ἐκλυθοῖεν* H || ⟨*τῇ διώξει*⟩ seclusi || 26 *πολεμίους* H || 29 *προσαγάγοι* H.

7 Ὅτι (ἡνίκα) τις πλείονας κεκτημένος ὀφείλει προτάξαι 3, 10, 1 τὰς ἴσας τῶν πολεμίων ἴσαις, ἐπιτάξαι δὲ ἑτέρας, ἃς χρὴ ἡσυχίαν ἄγειν ἕως τινός· ἡνίκα προσβαλόντες οἱ πρῶτοι καὶ τοῦ ἔργου ἀψάμενοι προεκλυθεῖεν οἱ πολέμιοι, τότε σημεῖον αἴρειν, ὡς ἂν οἱ ἀκμῆτες τοῖς κεκοπιακόσιν ἐπιθέμενοι ῥαδίως κρατήσωσιν.

8 Ὅτι (ἡνίκα) τις μέλλων ἐφορμᾶν φόβον ἔχων ἐκ τῶν 3, 10, 11 πολεμίων νεῶν χρὴ ἐν μηνοειδεῖ σχήματι συντάξασθαι καὶ ἐπὶ πρύμναν πλέων οὕτως τὴν ἐφόρμησιν ποιήσασθαι.

9 Ὅτι ἡνίκα τις τὰς τῶν ἐχθρῶν φοβούμενος βούλοιτο cf. 1, 47, 1 ἐκκαλέσασθαι, χρὴ σχηματίσασθαι ὀλιγότητα νεῶν τρόπῳ τοι- 3, 11, 3 οὔτῳ· τὰς δύο τῶν νεῶν συζεύξας ἓν ἱστίον περιτιθέναι καὶ 5, 22, 12 εἰς ἡμίσεις τῶν πολεμίων ποιήσασθαι τὴν ἔνδειξιν, ὡς ἂν θαρρήσαντες καὶ ἀναχθέντες διπλᾶς εὑρόντες ῥᾳδίως χειρωθῶσιν.

10 Ὅτι Χαβρίας εἰς Αἴγιναν νυκτὸς καταπλεύσας τετρα- 3, 11, 12 κοσίους ἄνδρας εἴς τινα τόπον ἐπιτήδειον ἀποβιβάσας αὐτὸς παρέπλει· οἱ μὲν οὖν ἐκ τῆς πόλεως ἐπεξελθόντες τοῖς ἀποβᾶσι παρετάσσοντο καὶ πολλοὺς αὐτῶν ἀνῄρουν. ὁ δὲ διὰ τάχους εἰς τὴν πόλιν εἰσέπλευσεν, οἱ δὲ πολῖται φοβηθέντες, μὴ τῆς πόλεως ἀποκλεισθῶσι καταλιπόντες τὴν πρὸς τοὺς τριακοσίους μάχην ἀνεχώρησαν ἐπὶ τὴν πόλιν.

11 Ὅτι Χάρης περὶ Νεάπολιν ἐναυλόχει τριήρεις ἔχων 4, 2, 22 εἴκοσιν. Φίλιππος ἐπιλεξάμενος τῶν νεῶν τέσσαρας τὰς ἄριστα πλεούσας ἐπλήρωσεν ἐρετῶν ἄλκῃ καὶ ῥώμῃ καὶ τέχνῃ ἀρίστων καὶ παράγγελμα ἔδωκεν προαναχθῆναι τοῦ στόλου παντὸς καὶ παραπλεῖν ἐπὶ τὴν Νεάπολιν οὐ πολὺ τῆς γῆς ἀπέχοντας. οἱ μὲν παρέπλεον, ὁ δὲ Χάρης ὡς ἀναρπασόμενος τὰς τέσσαρας ναῦς ἐπανήχθη ταῖς εἴκοσιν. αἱ δὲ τέσσαρες ἐλαφραὶ καὶ ἀρίστους ἐρέτας ἔχουσαι ταχέως εἰς τὸ πέλαγος μετεωρίζονται. τῶν δὲ ἀμφὶ τὸν Χάρητα συν-

---

1. 7 (ἡνίκα) inclusi ‖ 18 ὑπεξελθόντες H ‖ 23 ἐναυμάχη H ‖ 31 μετεωριζοντο H.

*τεταγμένως διωκόντων ἔλαθεν ὁ Φίλιππος Νεάπολιν ἀσφαλῶς παραπλεύσας, Χάρης δὲ οὐδὲ τὰς τέσσαρας ναῦς κατέλαβεν.*

6, 8 *Ὅτι Ἀντίγονος ἑκατὸν τριάκοντα ναῦς ἔχων καὶ μετὰ* 12
*τὸ Πολυσπέρχοντος ναυτικὸν ναυμαχήσας καὶ ἀποβαλὼν ἑξήκοντα τριήρεις μηδὲν δείσας τῆς ἥττης τὰς καταλειφθείσας διὰ τῆς νυκτὸς ἑτοιμάσας καὶ ἀπὸ γῆς πεζοὺς εὐτρεπίσας ἅμα ἕῳ προσετάξατο ταῖς τοῦ Πολυσπέρχοντος ἀμελῶς καὶ ὡς ἔτυχε διακειμέναις καὶ τῶν μὲν ἔξωθεν, τῶν δὲ ἀπὸ τῶν νεῶν ἐπιθεμένων λαμπρὰν τὴν νίκην ἤρατο.*

7, 2 *Ὅτι ἡνίκα τις βούληται λαθεῖν ὅπου ἀπέρχεται, χρὴ* 13
*βιβλία δοῦναι τοῖς ναυάρχοις ἐσφραγισμένα καὶ παραγγεῖλαι, εἰ μὲν ἐν τῷ ἅμα πλέουσι, μὴ λῦσαι τὰς σφραγῖδας, εἰ δὲ τύχοι διασκεδασθῆναι, λύσαντες ἀναγνῶναι, ὅπου μέλλουσι πλεῖν.*

7, 6 *Ὅτι ἡνίκα τις πόλιν παραλίαν μέλλοι κρατεῖν, αἰφνιδίως* 14
*χρὴ τὸ μὲν πλεῖστον τοῦ ναυτικοῦ εἰς ἕτερον τόπον ἀποκρύψασθαι, ἐκλεξάμενος δὲ ἕως εἴκοσι ναῦς καὶ ἀρίστους ἐμβιβάσας, ταύταις ῥοθίῳ τῇ εἰρεσίᾳ ὡς παραπλεῖν τῇ πόλει παραγγεῖλαι, ὡς ἂν οἱ πολῖται ὡς πρὸς ἕτερον τόπον ἀπερχομένας νομίσαντες ἀμελῶς διακέωνται, αὐτοὶ δὲ ἐξαίφνης τῇ πόλει ἐπιθέμενοι κατάσχωσιν αὐτὴν ἀμελῶς τῶν πολιτῶν διακειμένων.*

7, 7 *Ὅτι Δημήτριος ἐπολιόρκει Σαλαμῖνα τριήρεσι ἑκατὸν* 15
*ἑβδομήκοντα, ἣν ἐφύλαττε Πτολεμαίου στρατηγὸς Μενέλαος ναῦσιν ἑξήκοντα, προσεδοκᾶτο δὲ καὶ αὐτὸς Πτολεμαῖος ἑκατὸν τεσσαράκοντα ναυσὶν ἐπιπλεύσασθαι. Δημήτριος πρὸς διακοσίας τριήρεις ἀξιόμαχος οὐκ ὢν μικρὸν ὑποχωρήσας ὑπὸ κρημνοὺς λιμενίζοντας ἐναυλόχει. ἐπεὶ δὲ Πτολεμαῖον μὴ προορώμενον εἶδεν εἰς εὔορμον αἰγιαλὸν κατάραντα καὶ τὴν ἐπὶ γῆς ἀπόβασιν μέλλοντα ποιεῖν, ἐξαίφνης ἀναφανεὶς ταῖς*

11 *βούλεται* H || 14 *τύχει* H || 21 *διάκεινται* H.

προσορμιζουμέναις τοῦ Πτολεμαίου ναυσὶν, ὡς εἶχον τάχους
οἱ τοῦ Πτολεμαίου παραχρῆμα ἔφυγον καὶ αὐτὸς Μενέλαος
τὰ ὅμοια τῷ Πτολεμαίῳ ἔπασχε φεύγοντι συνακολουθῶν.

16 Ὅτι Διονύσιος ὑπὸ Ἱμίλκωνος εἴσω λιμένος αὐταῖς ναυσὶ 5, 2, 6
περικλεισθεὶς τοὺς στρατιώτας θαρρεῖν παρεκελεύσατο. περι-
σκοπήσας οὖν τὸν λιμένα ἔχοντα κατὰ θάτερον μέρος τόπον
ὁμαλὸν καὶ πηλώδη, εὖρος εἴκοσι σταδίων τοῦτον φαλαγγώ-
σας ὑπερήνεγκεν ἡμέρᾳ μιᾷ ὀγδοήκοντα τριήρεις. Ἱμίλκων
φοβηθεὶς μὴ Διονύσιος τὸ ναυτικὸν ὑπερβαλὼν τοὺς Καρ-
χηδονίους ἐπὶ στόματι τοῦ λιμένος κατακλείσας ἔνδον ἐξέλοι,
ἀπέπλευσεν. Διονύσιος δὲ τούτῳ τῷ τρόπῳ καὶ τὸν λιμένα
καὶ τὸ ναυτικὸν καὶ τὴν πόλιν διεσώσατο.

17 Ὅτι Ἱμίλκων πελάγιον πλοῦν διαπεραιοῦσθαι μέλλων 5, 10, 1
βιβλία ἐσφραγισμένα τοῖς ναυάρχοις δέδωκε συνθέμενος, ἐὰν
ἀποσπασθῶσιν, πῶς χρὴ συναχθῆναι. αὐτὸς δὲ λαμπτῆρας
τὸ πρόσθεν μέρος πεφραγμένους ἔχων, ὅπως μὴ γνωρίζοιεν
οἱ πολέμιοι ἀπὸ τοῦ φωτὸς τὸν ἐπίπλουν, προήγετο.

18 Ὅτι φαντασίαν ὀλιγότητος δύναταί τις ποιεῖν ζευγνύων 5, 22, 2
δύο ναῦς καὶ ἐν ἀμφοτέραις. ἀνιστῶν ἱστίον ἓν, ὡς ἂν προ-
καλέσηται τοὺς ἐναντίους πρὸς πόλεμον.

19 Ὅτι Διότιμος Ἀθηναίων ναύαρχος πελάγιον πλοῦν μέλ- 5, 22, 3
λων πλεῖν κρύφα συναγαγὼν τοὺς τριηράρχας προεῖπεν
αὐτοῖς, ὅτι τὰς κάλλιστα πλεούσας τῶν νεῶν αὐτὸς παρα-
λαβὼν ἀναχθήσεται, ὡς ἂν μὴ ἀπολίποιντο τὰς κρείσσω
τριήρεις ἔχοντες.

20 Ὅτι Διότιμος καταπλεύσας νυκτὸς ἐς χωρίον τῆς πο- 5, 22, 4
λεμίας ἀφ' ἑκάστης νεὼς συχνοὺς ἄνδρας ἐκβιβάσας εἰς ἐνέ-
δραν ἀπέκρυψεν, ἀρχούσης δὲ ἡμέρας κατὰ τοὺς ἐνεδρεύον-
τας ταῖς ναυσὶν ἀνεκώχευεν, παραγγείλας τοῖς μὲν ἐπὶ τῶν
καταστρωμάτων διασκευάζεσθαι πρὸς μάχην, τοῖς δὲ ἐρέταις
ἀνὰ μέρος ποτὲ μὲν τὰς θαλαμίας, ποτὲ δὲ τὰς θρανίτιδας

---

3 φεύγοντας H ‖ 4 Ἡμίλκωνος H ‖ 28 ἐνεδρεύσοντας H ‖ 31 θαλμηρὰς H.

κώπας ἀναφαίνειν καί τινα τῶν σκαφῶν τῇ γῇ προσάγειν ἐπειρᾶτο, οἱ μὲν πολέμιοι συνδραμόντες ἐκώλυον τὴν ἀπόβασιν. οἱ δὲ ἐκ τῆς ἐνέδρας προσδραμόντες οὓς μὲν αὐτῶν ἀπέσφαξαν, οὓς δὲ πρὸς φυγὴν ἐτρέψαντο, ὁ δὲ ἀσφαλῆ τὴν ἀπόβασιν ἐποιήσατο.

5, 36 Ὅτι Δωρόθεος μιᾷ νηὶ ὑπὸ δύο τριήρων διωκόμενος 21
ἔφευγεν εἰς τὸν λιμένα προηγούμενος αὐτῶν οὐ πολὺ, κάμψας δὲ τὴν ἄκραν τοῦ λιμένος εὐθὺς ἐπέστρεψε τὴν ναῦν, εἰσιούσης τῆς προτέρας κατὰ τὸν λιμένα ἐμβαλὼν ἐκ πλαγίου αὐτὴν μὲν κατέδυσε, τὴν δὲ ἑτέραν εἰς φυγὴν ἔτρεψεν.

7, 15, 3 Ὅτι Ξέρξης σιτηγοὺς ναῦς Ἑλληνικὰς κρατήσας συμ- 22
βουλευόντων τινῶν καταδῦσαι ταύτας αὐτοῖς ἀνδράσιν τοὐναντίον αὐτὸς ἐποίει. ἐρωτήσας γοῦν 'ὅποι πλεῖτε', ἐπειδὴ ἔφασαν ὡς πρὸς Ἑλλάδα, 'καὶ ἡμεῖς, ἔφη, ἐκεῖσε, ὥστε καὶ ὁ τοῖς Ἕλλησιν ἀγόμενος σῖτος ἡμέτερός ἐστιν.' οἱ γοῦν σωθέντες ἀπαγγείλαντες τοῖς Ἕλλησιν εἰς ἔκπληξιν ἔφερον αὐτούς.

## 58. *Κατάληψις παραλίων τόπων καὶ πόλεων.*

1, 3, 3 Ὅτι Ἡρακλῆς πλεύσας ἐπὶ Τροίαν αὐτὸς μὲν ἀπέβη 1
πεζομαχήσων, τοῖς δὲ κυβερνήταις προσέταξεν τὰς ναῦς ἀνακωχεύειν. οἱ μὲν οὖν πεζοὶ Τρῶες ἡττῶντο, οἱ δὲ ἱππεῖς εἰς τὰς ναῦς ἔδραμον· οὐ μὴν αἱροῦσι τὰ σκάφη σαλεύοντα ἄνω θαλάσσης· Ἡρακλῆς διώξας ἔκτεινε πάντας παρὰ τὴν ἠϊόνα φεύγειν οὐκ ἔχοντας διὰ θαλάσσης.

5, 16, 3 Ὅτι Παμμένης βουλόμενος κρατῆσαι τοῦ Σικυωνίων λι- 2
μένος αὐτὸς μὲν κατὰ γῆν παρεσκευάζετο προσβαλεῖν, πλοῖον δὲ στρογγύλον πληρώσας ὁπλιτῶν ἔπεμψεν. οἱ δὲ πλεύσαντες προσέσχον πρὸ τοῦ λιμένος, δείλης δὲ ἀπέβησαν αὐτῶν ὀλίγοι γυμνοὶ ὡς ἐμπορικοί τινες ἀπὸ τοῦ πλοίου πρὸς ἀγορὰν ἐπιτηδείων ἥκοντες. ὁ δὲ Παμμένης εἰς ἑσπέραν προσέβαλεν

16 τοὺς Ἕλληνας H ‖ 18 παράλλων H ‖ πολεμίων H ‖ 19 ἐπὶ Προῦσαν H ‖ 23 παρὰ] πρὸς H ‖ 24 διὰ] ἐπὶ H.

τῇ πόλει σὺν θορύβῳ πολλῷ, οἱ δὲ ἐπὶ τὸν λιμένα πρὸς τὸν θόρυβον ὁρμήσαντες παρὰ τῶν ἐκ τοῦ στρογγύλου ὁπλιτῶν οὐ μόνον αὐτοὶ κατεσχέθησαν, ἀλλὰ καὶ ὁ λιμήν.

3 Ὅτι Ἀριστοκράτης Ἀθηναῖος ναῦν λαβὼν Λακωνικὴν 5, 40
καὶ ἰδίους μετασχηματίσας στρατιώτας ἐμβαλὼν εἰς αὐτὴν ἐληΐζετο ἀκωλύτως τὴν τῶν πολεμίων χώραν ὡς ἰδίων αὐτοὺς ὑποδεχομένων.

4 Ἀλλὰ καὶ Ἀριστόμαχος πλείονας τριήρεις λαβὼν καὶ 5, 41
ἰδίους εἰς αὐτὰς ἐμβιβάσας καὶ κοσμήσας * * *

---

# LEONIS IMPERATORIS STRATEGEMATA

E CODICE FLORENTINO

NVNC PRIMVM EDITA.

## Στρατηγικαὶ παραινέσεις ἐκ πράξεων καὶ στρατηγημάτων παλαιῶν ἀνδρῶν, Ῥωμαίων τε καὶ Ἑλλήνων καὶ λοιπῶν. ἐν κεφαλαίοις κη̄.

1. Πῶς ἂν κρύφα πεμφθεῖεν γράμματα.
2. Ὅτι χρὴ τοὺς πολεμίους δι' αὐτομόλων ἐξαπατᾶν καὶ ὅτι διὰ ταῦτα τους παρὰ τῶν πολεμίων αὐτομολοῦντας φυλάττεσθαι δεῖ.
3. Ὅτι ἐν ταῖς ἀναγκαιοτάταις τῶν χρειῶν ὁ στρατηγὸς πρῶτος αὐτουργεῖν ὀφείλει.
4. Ὅτι δεῖ τὸν στρατηγὸν καρτερικὸν εἶναι καὶ φερέπονον.
5. Ὅτι τὰς πολεμίων εὐποιΐας ἀεὶ φυλάττεσθαι χρή.
6. Ὅτι οὐ δεῖ κατὰ τὸν τῆς συμπλοκῆς καιρὸν μάλιστα συναναμεμιγμένους εἶναι τοὺς δειλοὺς τῷ λοιπῷ στρατεύματι καὶ πῶς ἐπιγνωσθήσονται.
7. Πῶς δοκιμάζονται φίλοι.
8. Περὶ κατασκόπων ἰδίων τε καὶ πολεμίων.
9. Ὅτι ἐν τῷ προσήκοντι δεῖ καιρῷ καὶ μὴ ὡς ἔτυχε πολεμεῖν καὶ ποῖος ὁ τοῦ πολέμου καιρός.
10. Ὅτι λυσιτελέστατον τὸ τοὺς τῶν πολεμίων συμμάχους ὑπόπτους παρασκευάζειν αὐτοῖς.
11. Ὅτι διὰ λόγων καὶ ἐπιτηδεύσεως στρατηγοῦ μεγάλως ὁ στρατὸς εἰς ἀνδρίαν καὶ τόλμαν παρακαλεῖται.
12. Πῶς ἂν ὀλίγην ἔχων τις στρατιὰν πολλὴν δόξαι ταύτην παρασκευάσειεν.
13. Καὶ πῶς αὖθις πολὺν ἔχων στρατὸν ὀλίγον δόξαι τοῦτον ὡσαύτως παρασκευάσειεν.
14. Ὅτι ἐκ πυρὸς καὶ ἀνέμων βοηθεῖται στρατὸς κατὰ πόλεμον.
15. Ὅτι λυσιτελὲς ἀεὶ τὸ τοὺς πολεμίους ἀντιπερισπᾶν.

---

ἐν κεφαλαίοις κη̄] re vera sunt viginti septem (i. e. κζ̄).

16. *Πῶς ἂν ἐν νυκτὶ ἐγρηγορεῖν παρασκευάσειέ τις τὸν οἰκεῖον στρατόν.*
17. *Καὶ πῶς ἂν τις δι' ἀγρυπνίας τοὺς πολεμίους ἡττήσειεν εὐχερῶς.*
18. *Ὅτι δεῖ κρύπτειν ἐν τῷ στρατοπέδῳ τὰς ἰδίας συμφοράς.*
19. *Πῶς ἱππεῖς ῥαδίως ὑπὸ πεζῶν καταπολεμηθήσονται.*
20. *Ὅτι καὶ διὰ ψευδῶν λόγων καὶ πράξεων ἐπιπλάστων καὶ συνθημάτων ὁμοίων οἱ πολέμιοι κατεργάζονται.*
21. *Ὅτι ἀσφαλεστάτας χρὴ τὰς ἐνόρκους συμφωνίας ποιεῖσθαι τὸν στρατηγόν.*
22. *Περὶ προδοτῶν.*
23. *Ὅτι ἐν τῷ πολέμῳ τὸ μὲν συνεστὼς ἀεὶ τῶν πολεμίων δεῖ κτείνειν ἀφειδῶς, ἧττον δὲ τοῖς κατὰ κράτος φεύγουσιν ἐπιτίθεσθαι καὶ μάλιστα ἐν τοῖς στενοῖς καὶ δυσβάτοις τῶν τόπων.*
24. *Πῶς ἂν τις ἀκινδύνως καὶ σὺν ἀσφαλείᾳ τὴν ὑποχώρησιν ποιήσαιτο.*
25. *Ὅτι ἐπιεικέστερον χρὴ τὰς τιμωρίας τοῖς ἑπταικόσιν ἐπιφέρειν τῶν στρατιωτῶν.*
26. *Πῶς ἐπανιὼν τις ἐκ πραίδας ἀκινδύνως διασωθείη τῶν πολεμίων ἐν ταῖς δυσχωρίαις ἐπιθεμένων αὐτῷ.*
27. *Ὅτι προφανοῦς ἐκ τοῦ μὴ πολεμεῖν ἀποφαινομένου κινδύνου παραβαλώτερον χρὴ τηνικάδε τὸν στρατηγὸν πολεμεῖν.*

# ΣΤΡΑΤΗΓΙΚΑΙ ΠΑΡΑΙΝΕΣΕΙΣ ΕΚ ΠΡΑΞΕΩΝ ΚΑΙ ΣΤΡΑΤΗΓΗΜΑΤΩΝ ΠΑΛΑΙΩΝ ΑΝΔΡΩΝ, ΡΩΜΑΙΩΝ ΤΕ ΚΑΙ ΕΛΛΗΝΩΝ ΚΑΙ ΛΟΙΠΩΝ. ΕΝ ΚΕΦΑΛΑΙΟΙΣ ΚΗ̅.

## 1. *Πῶς ἂν κρύφα πεμφθεῖεν γράμματα.*

*Ὁ Καῖσαρ γράμματα περὶ ὧν ἂν ἠβούλετο γράψας* 1 *ἐν χάρτῃ καὶ κηρῷ τοῦτον ἑλίξας λαμπάδι προσεοικότι, τῶν κατασκόπων τινὶ ἐπιδοὺς τῷ προαποστατήσαντι ἑταίρῳ αὐτοῦ ἔπεμψεν, ἀμνηστίαν τῶν ἡμαρτημένων αὐτῷ διὰ τῶν γραμμάτων ἐπαγγειλάμενος. καὶ οὕτω τὸν ἑταῖρον εὐθὺς προσηγάγετο.*

*Ὁ Σύλλας οὐροδόχον κύστιν χοίρου λαβὼν φυσήσας* 2 *τε αὐτὴν ἰσχυρῶς καὶ ἀποδήσας, ἄχρις ἂν ξηρανθῇ, γράμματά τε ἐν αὐτῇ περὶ ὧν [ἂν ἠβούλετο] γράψας μέλανι ἐγκαυστῷ, εἶτα λύσας καὶ συμπτύξας αὐτὴν καὶ ἐλαιοδόχῳ ἐμβαλὼν ἀγγείῳ, εἶτα φυσήσας αὖθις αὐτὴν καὶ ἐλαίου πλήσας τῶν πιστοτάτων τινὶ τὸ ἀγγεῖον δέδωκε καὶ πρὸς τὸν *** ἐξέπεμψεν ἐπιτάξας εἰπεῖν ἐκείνῳ κατ' ἰδίαν τὸ ἀγγεῖον συντρίψαι. καὶ ὃς τοῦτο δράσας καὶ τὰ γράμματα ἀναγνοὺς τόν τε Σύλλαν θαυμάσας τοῦ μηχανήματος κατὰ τὸν ἴσον καὶ αὐτὸς ἀντέγραψε τρόπον.*

*Ἕτερος δέ τις ὑπὸ τὴν ἐφεστρίδα τοῦ ἵππου τὸν χάρτην* 3 *ἐνέθηκεν.*

---

Cap. 1. § 2. Cf. Aeneas Tact. 31, 10 sqq.

---

12 *φυσσήσας* L (et sic v. 16) ‖ 14 [*ἂν ἠβούλετο*] supplevi coll. v. 6; *περὶ ὧν ἠγράψας* L.

4 Ὁ Ἅρπαγος λαγωὸν ἀναρρήξας καὶ μηδὲν τῶν ἐντοσθίων ἐκβαλών, μᾶλλον μὲν οὖν καὶ ἐν αὐτοῖς ἀσφαλῶς τὰ γράμματα κατακρύψας, εἶτα εὐφυῶς ἐπισυρράψας τὸν λαγωόν, δοὺς αὐτὸν τῷ πιστοτάτῳ τῶν οἰκετῶν καὶ δίκτυα φέρειν ἐπιτάξας δῆθεν ὡς κυνηγῷ πρὸς τὸν Περσῶν βασιλέα Κῦρον αὐτὸν ἔπεμψεν εἰπεῖν τῷ Κύρῳ κατ' ἰδίαν κελεύσας, ὡς ἂν αὐτὸς ἐκεῖνος ἀναρρήξῃ τὸν λαγωὸν μηδενὸς δρῶντος.

5 Ὁ δ' αὐτὸς ἐν κασσιτερίνῳ γράψας πετάλῳ καὶ τοῖς τῶν ὑποδημάτων ἐνθέμενος ἴχνεσι συγκαλύψας τε αὐτὸ βύρσῃ καὶ εὐφυῶς ἄγαν συρράψας καὶ τὰ ὑποδήματα τῶν οἰκειοτάτων ἐπιδοὺς οἰκέτῃ καὶ φορεῖν αὐτὰ κελεύσας αὐτῷ πρὸς ὃν ἠβούλετο τοῦτον ἔπεμψε, γράμματα ἐς τὸ φανερὸν ἕτερα δοὺς τἀναντία ὧν αὐτὸς ἤθελε διεξιόντα.

6 Ἕτερος δέ τις ξυλίνην ἐγκολάψας ῥάβδον τὸν χάρτην ἐνέβαλεν.

7 Ὁ Ψευδαγόρας γράμματα ἐν λινῷ γράψας ὑφάσματι καὶ ἱματίῳ ἐρρικνωμένῳ καὶ διερρωγότι αὐτὸ ὑπορράψας τινὶ τῶν πιστοτάτων δούλων φορεῖν κελεύσας τὸ ἱμάτιον πρὸς τὸ στρατόπεδον τοῦτον ἐξέπεμψε. καὶ ὃς ὡς προσαιτὴς λογισθεὶς τοῖς πολεμίοις ἀκινδύνως πρὸς οὓς ἐκελεύσθη τὰ γράμματα διεκόμισεν.

8 Ἄλλος ἐν ψυκτῆρι κηρῷ τὸν χάρτην ἑλίξας ἐξέπεμψεν.

9 Ὁ δ' αὐτὸς λίθον γλύψας καὶ ἐντὸς τὸν χάρτην βαλὼν εὐφυῶς τε συναρμοσάμενος τὴν ὀπὴν κηρῷ καὶ ἀσφάλτῳ καὶ τὸν λίθον κόπρῳ καὶ πηλῷ περιχρίσας καὶ ἀχρειώσας τῷ πιστοτάτῳ τῶν δούλων τὸν λίθον δοὺς πρὸς τὸ τῶν πολεμίων στρατόπεδον ἐξαπέστειλεν.

10 Ἕτερος ἐντὸς σιδηρέας κορύνης τὸν χάρτην ἐνέβαλεν.

11 Ὁ Ὀνίας ἐν βραχυτάτῳ χάρτῃ γράψας καὶ πλοκάμῳ τοῦτον γυναικὸς ὑποθεὶς δι' αὐτῆς ἀταράχως τὰ γράμματα ἔπεμψεν.

---

Cap. 1. § 5. Cf. Aen. Tact. 31, 4 sq.

---

17 ὑπογράψας L ‖ 18 τῶν τινὶ τινὶ πιστοτάτων L.

Ὁ δ' αὐτὸς χαρτίον ἱππείᾳ προσδήσας οὐρᾷ εὐφυῶς 12
οὕτω δὴ τοῖς ἰδίοις ὡμίλησε στρατιώταις.

Ὁ Χοίριλλος ἐν βραχεῖ χάρτῃ γράψας καὶ καλαμίσκῳ 13
τοῦτον ἐνθέμενος τοιούτῳ τὸν ὄγκον ὄντι ὡς ἀνθρώπου στόμα ῥᾳδίως χωρεῖν καὶ μὴ παρεμποδίζειν τὸ σύνολον πρὸς διάλεξιν, κηρῷ τε τὸν καλαμίσκον ὡς ξένον κατασφαλισάμενος διὰ τὸ μὴ ὑπὸ τῆς ὑγρότητος τὸν χάρτην ἀχρειωθῆναι καὶ τῷ τοῦ δούλου στόματι ἐμβαλὼν πρὸς τὸ στρατόπεδον ἐξαπέστειλεν.

Ἕτερος ἧπαρ προβάτιον ὡς ἔστι μετὰ τῆς λεγομένης 14
τραχείας ἀρτηρίας ἀγοράσας καὶ ἐν αὐτῇ τῇ τραχείᾳ ἀρτηρίᾳ τὸν χάρτην κατακρύψας οὕτω τοὺς ἐνεδρεύοντας ἔλαθεν.

## 2. Ὅτι χρὴ τοὺς πολεμίους δι' αὐτομόλων ἐξαπατᾶν καὶ ὅτι διὰ ταῦτα τοὺς παρὰ τῶν πολεμίων αὐτομολοῦντας φυλάττεσθαι δεῖ.

Ὁ Μέροψ πόλιν τινὰ τῆς Βαβυλωνίας πολιορκῶν καὶ 1
μὴ δυνάμενος πολέμῳ ταύτην ἑλεῖν ψευδεῖς σπονδὰς ἐποιήσατο καὶ τριακοσίους τῶν ἀρίστων ἐπιλεξάμενος ὡς δούλους τούτους τοῖς προκρίτοις τῆς πόλεως ἐχαρίσατο, αὐτὸς δὲ τῆς πόλεως ἀπαναστὰς ὡς δῆθεν πρὸς τὴν ἰδίαν ὑποστρέφων χώραν τὸν στρατὸν ἐν ταῖς πλησιαζούσαις κατέκρυψε λόχμαις. περὶ μέσας τοίνυν νύκτας οἱ τριακόσιοι τῶν τῆς πόλεως ἐπιβάντες τειχέων καὶ φρυκτῷ τὸν Μέροπα μετακαλεσάμενοι καὶ τὰς πύλας ἀναπετάσαντες ἀκινδύνως σὺν τῷ στρατῷ παντὶ τοῦτον εἰσήγαγον.

Ὁ δ' αὐτὸς πόλιν τινὰ τῶν Συριακῶν ἐπὶ πλεῖστον 2
πολιορκῶν χρόνον καὶ μηδὲν ἀνύων διαλλαγὰς ἐν Ῥώμῃ δῆθεν πρὸς Καίσαρα ἐποιήσατο καὶ τὴν πολιορκίαν αὐτίκα ἔλυσε πρέσβεις σὺν δώροις πέμπειν μετ' ὀλίγον ἐπαγγειλάμενος. διακοσίους τοίνυν ὁπλίτας ἐν ἰσαρίθμοις ξυλίναις κατακρύψας θίβαις καμήλοις τε ἑκατὸν τὰς θίβας ἐπιφορ-

τίσας παρὰ τοῖς τείχεσι τῆς πρὸ μικροῦ πολιορκουμένης πόλεως κατασκηνῶσαι τοῖς εἰρημένοις ἐπέσκηψε πρέσβεσιν ἑσπέρας καταλαβούσης, καταναγκάσαι τε λόγοις παντοίοις καὶ δώροις πολυτελέσι τὸν ἐν αὐτῇ στρατηγοῦντα τὰ πρὸς Καίσαρα στελλόμενα δῶρα τῆς πόλεως ἐντὸς ὑποδέξασθαι φυλακῆς πλείονος ἕνεκα. κατόπιν δὲ καὶ αὐτὸς εἵπετο σὺν τῇ στρατιᾷ· τούτου γοῦν γενομένου τῆς πόλεως ὁ Μέροψ ἐκράτησεν. ἐξελθόντες γὰρ περὶ μέσας νύκτας οἱ ἐν ταῖς Θίβαις ὁπλῖται φρυκτούς τε μεγίστους ἐπὶ τῶν πύργων ἀνάψαντες καὶ τὰς πύλας εὐχερῶς διαρρήξαντες σὺν τῷ στρατῷ παντὶ τοῦτον χαίροντες εἰσεδέξαντο.

3 Ὁ Κῦρος τὴν Βαβυλῶνα πολιορκῶν καὶ μὴ δυνάμενος πολέμου νόμῳ ταύτην ἑλεῖν, τὸν αὐτοῦ σατράπην Ζώπυρον τύψας ἰσχυρῶς καὶ ξυρήσας καὶ τῶν ὤτων αὐτὸν ἀφελόμενος προσφυγεῖν δῆθεν εἰς Βαβυλῶνα ἠνάγκασε. τοῦτον ἰδόντες οἱ Βαβυλώνιοι καὶ τῆς συμφορᾶς κατοικτείραντες τῆς τε προσηκούσης αὐτὸν ἐπιμελείας ἠξίωσαν καὶ τὴν πόλιν αὐτῷ κατεπίστευσαν καὶ ὃς τῷ Κύρῳ ταύτην αὐτίκα προὔδωκεν. εἰσιὼν δὲ τὴν Βαβυλῶνα ὁ Κῦρος καὶ δακρύων πλήσας τοὺς ὀφθαλμοὺς ‘οὐδὲ τριάκοντα Βαβυλῶνας ἔχειν, ἔφη, σήμερον ἤθελον, ὅτι βλέπων Ζώπυρον ὑπὲρ ἐμοῦ τοιαῦτα παθόντα βοηθῆσαι τούτῳ οὐ δύναμαι’.

4 Οἱ Καρχηδόνιοι πολὺν ἐν Σικελίᾳ στρατὸν ἔχειν τοὺς Ῥωμαίους καταμαθόντες τῶν οἰκείων τινὰς αὐτομολῆσαι δῆθεν ἔπεισαν πρὸς τοὺς πολεμίους, ὑποσχέσθαι τε αὐτοῖς τὴν Λιπάραν παραδοῦναι νῆσον πλησιάζουσαν τῇ Καρχηδόνι. τούτοις ἐκεῖνοι τοῖς λόγοις πιστεύσαντες ἐπὶ Λιπάραν ἐστράτευσαν. καὶ οἱ Καρχηδόνιοι τοῖς περιλειφθεῖσιν ἐπελθόντες ὀλίγοις οὖσι πάντων ἐκράτησαν.

---

Cap. 2. § 3. exc. 41, 5; cf. P. 7, 13.
Cap. 2. § 4. exc. 41, 3; cf. P. 6, 6, 5.

---

13 αὐτοῦ L.

Ὁ Ἀντίοχος τοῦ ἀδελφοῦ αὐτοῦ Σελεύκου ἀποστατήσας 5
πρὸς Μεσοποταμίαν ἀπεδίδρασκε. καὶ ὁ Σέλευκος τοὺς καταδιώξοντας ἔπεμψεν. οἳ δὴ καὶ συμβαλόντες αὐτῷ καθ' ὁδὸν τοῦτον ἐτρέψαντο πλήξαντες μέν, οὐ μὴν καὶ ἀνελεῖν δυνηθέντες. ὁ τοίνυν Ἀντίοχος τοὺς ἰδίους ἐκ τῆς τροπῆς ἀνακαλεσάμενος στρατιώτας μελανειμονήσας πρὸς ἀναζήτησιν ἑαυτοῦ ἔπεμψεν ὡς ἐν τῷ πολέμῳ δῆθεν πεσόντος. οἱ δὲ πολέμιοι τοῖς στρατιώταις πιστεύσαντες καὶ αὐτοὶ πρὸς τὴν τοῦ νεκροῦ διεσκεδάσθησαν εὕρεσιν. καὶ ὁ Ἀντίοχος εὐθὺς ἐπελθὼν ἀνὰ κράτος ἐνίκησεν.

## 3. Ὅτι ἐν ταῖς ἀναγκαιοτάταις τῶν χρειῶν ὁ στρατηγὸς πρῶτος αὐτουργεῖν ὀφείλει.

Ὁ Ἰφικράτης ἀγανακτοῦντα διὰ τὸν χειμῶνα τὸν οἰκεῖον 1
ὁρῶν στρατὸν καὶ πρὸς τὸν προκείμενον ἀναδυόμενον πόλεμον εὐτελέστατον πάντων καὶ λεπτότατον περιεβάλετο ῥάκιον καὶ πρὸς χειμῶνος ὥραν ἀνεπιτήδειον. πρὸς τοῦτο δυσωπηθέντες οἱ στρατιῶται καὶ προθύμως πρὸς τὸν ἀγῶνα χωρήσαντες κατὰ κράτος ἐνίκησαν.

Ὁ Ἀλέξανδρος, ὅτε τὴν Τύρον ἐπολιόρκει, τὸν στρατὸν 2
ἀπρόθυμον πάντῃ πρὸς τὸ τὴν τάφρον ἐπιχῶσαι κατανοήσας αὐτὸς πρῶτος κόφινον πλήσας χώματος τῇ τάφρῳ ἐπέβαλε. καὶ οὕτω προθυμίας πλησθέντες οἱ στρατιῶται καὶ πολυχειρίᾳ χρησάμενοι τῆς πόλεως ἐκράτησαν εὐχερῶς.

---

Cap. 2. § 5. exc. 9, 2; cf. P. 4, 17.
Cap. 3. § 1. exc. 1; cf. P. 3, 9, 34.
Cap. 3. § 2. exc. 1; cf. P. 4, 3, 2.

---

2 καταδιώξαντας L ‖ 3 συμβαλλόντες L ‖ 15 εὐτελέστερον L ‖ 21 κόφινο L.



LELAND STANFORD ... DEPARTMENT OF GR...

## 4. Ὅτι δεῖ τὸν στρατηγὸν καρτερικὸν εἶναι καὶ φερέπονον.

1 Ὁ Ἀλέξανδρος ὥρᾳ θέρους τὴν στρατιὰν δι' ἀνύδρων ἄγων τόπων ἐδίψησεν. ὕδατός τε ὀλίγου προσενεχθέντος αὐτῷ, ἐπεὶ τοὺς σὺν αὐτῷ στρατιώτας περιβλεψάμενος ἀθυμοῦντας ἅπαντας διὰ τὸ δίψος κατενόησε, πιεῖν οὐκ ἠθέλησεν ἐπειπών· 'ἐμοῦ πιόντος ἐκλυθήσονται οἱ λοιποί.' καὶ οὕτω συνδιανύσας αὐτοῖς τὸ λοιπὸν τῆς ὁδοῦ τὸν Δαρεῖον σὺν γυναικὶ καὶ τέκνοις καὶ τῇ βασιλικῇ πάσῃ ἀποσκευῇ κινδύνων χωρὶς ἐχειρώσατο.

2 Ὁ δ' αὐτὸς ἐν τῷ τὸ τοῦ Δαρείου δεῖπνον ἀναγιγνώσκεσθαι θαυμαζόντων τινῶν ἐμέμψατο ἐπειπών, ἀσύμφορον ἐν στρατοπέδῳ τοιαῦτα ἀναγιγνώσκεσθαι, ἵνα μὴ πρὸς ἀσωτίαν οἱ στρατιῶται ἐκκλίνωσιν.

3 Ὁ Φίλιππος στρατηγὸν αὐτοῦ, ὅτι θερμοῖς ἐλούσατο ὕδασι, τὴν ἀρχὴν ἀφείλετο ἐπειπών· 'δοκεῖς μοι ἀγνοεῖν τοὺς Μακεδόνας, ἐν οἷς οὐδὲ γυνὴ τίκτουσα θερμῷ ὕδατι λούεται.'

4 Ὁ δ' αὐτὸς γυναικὸς αὐλητρίας τὸ στρατόπεδον εἰσελθούσης ποτὲ τοὺς ἡγεμόνας ἅπαντας παρέλυσε τῆς ἀρχῆς.

5 Ὁ τῶν Λακεδαιμονίων βασιλεὺς Ἀρχίδαμος διὰ στενῶν καὶ ἀνύδρων τόπων τὴν στρατιὰν ἄγων ἀγανακτοῦσαν καὶ καταβοωμένην αὐτοῦ, ἐπεὶ ἀπροσδοκήτως προσβαλὼν τοῖς πολεμίοις ἐνίκησεν, ἐπυνθάνετο παρ' ἑκάστου, πότε ἡ νίκη γέγονεν. ἀποκρινομένων δὲ τῶν μέν, ὅτι κατὰ τὴν συμβολὴν εὐθύς, τῶν δέ, ὅτι κατὰ τὰ μέσα τῆς μάχης, ἄλλων δέ, ὅτι περὶ τὰ τέλη 'οὐδαμῶς, ἔφησεν ὁ Ἀρχί-

---

Cap. 4. § 1. exc. 1; cf. P. 4, 3, 25.
Cap. 4. § 2. exc. 3, 5; cf. P. 4, 3, 32 extr.
Cap. 4. § 3. exc. 3, 3; cf. P. 4, 2, 1.
Cap. 4. § 4. exc. 3, 4; cf. P. 4, 2, 3.
Cap. 4. § 5. exc. 3, 1; cf. P. 1, 41, 5.

δαμος, ἀλλ' ὅτε διὰ τῶν στενῶν καὶ ἀνύδρων ἐπορεύθημεν
τόπων· τὸ γὰρ νικᾶν ἐκ τῶν πόνων μάλιστα τοῖς στρατιώ-
ταις προσγίγνεται.'

Ὁ Ῥωμαῖος Μούκιος τὸν Τυρρηνῶν βασιλέα κτεῖναι 6
προθέμενος στολὴν Τυρρηνικὴν ἐνδὺς ἀνὰ μέσου τοῦ τῶν
πολεμίων εἰλεῖτο στρατοπέδου κατασκοπῶν ἕκαστα, φωραθεὶς
δὲ ὡς κατάσκοπος συνελήφθη. καὶ τῷ βασιλεῖ προσενεχθεὶς
τὴν δεξιὰν ἐπιθεῖναι χεῖρα τῇ τοῦ πυρὸς κατεκρίθη ἐσχάρᾳ.
καὶ ὃς τὸ κελευόμενον ἐκπληρῶν θαρραλέος καὶ μεστὸς
φρονήματος ἵστατο τοῖς Τυρρηνοῖς ὁμιλῶν. θαυμάζοντος δ'
ὡς εἰκὸς ἐπὶ τούτῳ τοῦ βασιλέως 'μὴ ἐπὶ τούτῳ θαυμάσῃς,
ἔφη ὁ Μούκιος· τριακόσιοι γὰρ ἀνὰ τὸ σὸν εἰλοῦνται στρα-
τόπεδον τὴν αὐτὴν ἐμοὶ καρτερίαν ἔχοντες καὶ ἀνελεῖν σε ζη-
τοῦντες.' τούτων ἀκούσας τῶν λόγων ὁ βασιλεὺς καὶ περι-
δεὴς αὐτίκα γενόμενος τοῖς Ῥωμαίοις ἐσπείσατο.

Ὁ τῶν Ῥωμαίων ὕπατος Γάϊος ἐν ὥρᾳ θέρους ὡπλι- 7
σμένον εἶναι καὶ πρὸς πόλεμον ἕτοιμον τὸν στρατὸν ἐκέλευσεν
ἅπαντα. ὁ τοίνυν τούτου υἱὸς περιφρονητικῶς πρὸς τὸ τοῦ
πατρὸς διατεθεὶς ἐπίταγμα τὴν τάξιν λιπὼν ἐπὶ τὸν ποτα-
μὸν ὡς τὸν ἵππον ποτίσων κάτεισι. τοῦτο ὡς εἶδεν ὁ Γάϊος,
θανάτῳ τὸν υἱὸν κατεδίκασεν ἐπειπὼν κρεῖττον υἱὸν θρηνεῖν
ἢ τοσαῦτα Ῥωμαίων στρατεύματα.

Ὁ Καῖσαρ λιμώξαντί ποτε σὺν αὐτῷ τῷ στρατῷ ἄρτους 8
ἐκ βοτάνης ποιῶν τοῖς στρατιώταις ἐπιμελῶς παρετίθει.
τούτους ὡς εὗρε τοὺς ἄρτους ὁ Μάγνος Πομπήϊος, κατέ-
κρυψεν ἐπειπών· 'ἀποδειλιάσουσι πάντως πρὸς τὸν πόλεμον
οἱ ἡμέτεροι, ἂν τοὺς πολεμίους τοσοῦτο καρτερικοὺς ἐκ τῶν
ἔργων αὐτῶν καταμάθωσιν.'

---

Cap. 4. § 6. exc. 3, 6; cf. P. 8, 8.
Cap. 4. § 7. exc. 3, 7; cf. P. 8, 13.
Cap. 4. § 8. exc. 3, 9; cf. P. 8, 23, 24.

---

4 *Μώκιος* L (sic etiam v. 12) ‖ 9 *θαρραλλέος* L ‖ 24 *βοτανῶν* L.

## 5. Ὅτι τὰς πολεμίων εὐποιΐας ἀεὶ φυλάττεσθαι χρή.

1 Ὁ Κάσσανδρος πολιορκῶν ἅμα τὴν πόλιν Σαλαμῖνος καὶ πρὸς τοὺς Ἀθηναίους θαλασσομαχῶν ἐνίκησε κατὰ θάλατταν. καὶ τοὺς τῶν Ἀθηναίων ἁλόντας λύτρων ἄνευ ἀπέλυσε. τοῦτο οἱ ἐν Σαλαμῖνι μαθόντες τὴν πόλιν τῷ Κασσάνδρῳ παρέδοσαν.

2 Ὁ τῶν Ῥωμαίων ὕπατος Σκηπίων τοὺς Ἴβηρας πολεμῶν καὶ πόλιν αὐτῶν κατασχὼν, ἐπεὶ δῶρον οἱ ἐν τῇ πόλει προσέφερον αὐτῷ κόρην ἀπαράμιλλον κάλλει, οὐ προσεδέξατο, ἀλλ' ἀναζητήσας τὸν τῆς κόρης πατέρα καὶ εὑρὼν ἐχαρίσατο αὐτὴν αὐτῷ σὺν χρήμασι πλείστοις εἰπών· 'καὶ ταῦτα δίδωμι τῇ παρθένῳ.' καὶ ταῖς λοιπαῖς δὲ τῶν εὐγενῶν θυγατράσι σωφρονεστάτους ἐπέστησε φύλακας χορηγεῖν αὐταῖς δαψιλῶς τὰ πρὸς χρείαν καὶ πρὸ πάντων τῆς αὐτῶν σωφροσύνης ἐπιμελεῖσθαι κελεύσας. τοῦτο καὶ τὰς λοιπὰς τῶν Ἰβήρων πόλεις προσχωρῆσαι τοῖς Ῥωμαίοις ἐποίησεν.

3 Ἀντίοχος τὰ Κύψελα πολιορκῶν, πόλιν τῆς Θρᾴκης περιφανῆ, τοὺς αὐτῷ προσχωροῦντας παντοίως ἀξιῶν φιλοφροσύνης καὶ ὅπλα καὶ χρήματα καὶ ἵππους καὶ στολὰς αὐτοῖς περικαλλεῖς παρεχόμενος τὴν πόλιν αὐτῷ παραδοῦναι ἀσμένως παρεσκεύασεν.

4 Ὁ τῶν Ῥωμαίων στρατηγὸς Κάμιλλος τοῖς Φαληρεῦσι πολεμῶν, ἐπεὶ διδάσκαλός τις τοὺς ὑπ' αὐτοῦ παιδευομένους παῖδας αὐτῷ προὔδωκε, δήσας τοῦτον τοῖς παισὶ παρέδωκεν ἐπειπών· 'δεδεμένον τοῦτον παραλαβόντες τοῖς ὑμῶν ἐπαγάγετε πατράσιν, ἵν' ὡς προδότην αὐτὸν κολάσωσι.' τοῦτο τοῖς

---

Cap. 5. § 1. exc. 4, 6; cf. P. 4, 11, 1.
Cap. 5. § 2. exc. 4, 13; cf. P. 8, 16, 6.
Cap. 5. § 3. exc. 4, 7; cf. P. 4, 16.
Cap. 5. § 4. exc. 4, 12; cf. P. 8, 7, 1.

---

17 *Κύψελλα* L.

τῶν παίδων γνωσθὲν πατράσιν τὸν μὲν διδάσκαλον ἔκτεινε, τῷ δὲ Καμίλλῳ τὴν πόλιν παρέδωκε.

5 Ὁ Πομπήϊος πόλιν περιφανεστάτην τῆς Ἀσίας πολιορκῶν τὰ μὲν λοιπὰ προάστεια κείρειν ἐκέλευεν ἀφειδῶς, δύο δὲ τῶν κρειττόνων μόνον ἀπέχεσθαι τοῖς πολιορκουμένοις χαριζόμενος δῆθεν. τοῦτο οἱ ἐν τῇ πόλει καταμαθόντες ἀφόβως τοῖς χωρίοις ἐκείνοις παρέβαλλον συνεχῶς τῆς πόλεως ἐξιόντες. καὶ ὁ Πομπήϊος ἀπροσδοκήτως αὐτοῖς ἐπελθὼν πάντων ἐκράτησε καὶ δι' αὐτῶν εἷλε τὴν πόλιν. καὶ ἐθαυμάσθη τοῦ στρατηγήματος.

## 6. Ὅτι οὐ δεῖ κατὰ τὸν τῆς συμπλοκῆς καιρὸν μάλιστα συναναμεμιγμένους εἶναι τοὺς δειλοὺς τῷ λοιπῷ στρατεύματι. καὶ πῶς ἐπιγνωσθήσονται.

1 Ὁ Ἐπαμινώνδας ὑπονοήσας τοῦ στρατοῦ τινας πρὸς τὸν προκείμενον ἀποδειλιῶντας πόλεμον παρήγγειλε τοὺς ἀσθενῶς διὰ νόσον ἔχοντας μὴ ἐξιέναι πρὸς πόλεμον, ἀλλ' ἐν ταῖς σκηναῖς μένειν ῥαστώνης χάριν. καὶ οὕτω τῶν μὲν δειλῶν ὑποχωρησάντων προφάσει νόσου, μετὰ δὲ τῶν εὐτολμοτέρων παραταξάμενος εὐχερῶς τῶν πολεμίων ἐκράτησεν.

2 Ὁ Ἰφικράτης τὸν στρατὸν ἐκτάττων εἰς πόλεμον, ἐπεὶ πολλοὺς ἀναβαλλομένους ἑώρα τὴν συμπλοκήν, παρήγγειλε τοὺς ἐπιλαθομένους τῶν ὅπλων τινὰ ἢ καὶ ἀπολελωκότας ὑποστρέφειν καὶ ἀναζητεῖν ἐπιμελῶς αὐτὰ καὶ εὑρόντας σπουδῇ πολλῇ καταλαμβάνειν. μὴ ἀναμείνας δὲ τὴν ἐκείνων ἄφιξιν, ἀλλ' ἐπισπεύσας τὸν πόλεμον μετὰ τῶν λοιπῶν ἠγωνίσατο καὶ ἐνίκησεν.

---

Cap. 5. § 5. exc. 9, 3; cf. P. 5, 33, 3.
Cap. 6. § 1. exc. 5, 1; cf. P. 2, 3, 3.
Cap. 6. § 2. exc. 5, 2; cf. P. 3, 9, 1.

---

3 Πομπήϊος] Πομπίσκος Polyaen. et exc.

3 Ὁ Ἀγαθοκλῆς ἐπὶ Καρχηδόνα διανοούμενος πλεῖν, ἐπεὶ πολλοὺς ἔγνω διὰ δειλίαν πρὸς τὸν πλοῦν δυσχεραίνοντας, ἐπέτρεψε τῶν νηῶν ἐξελθεῖν καὶ τοὺς τὴν ἀπόβασιν ἐπιταχύναντας πάντας ἀπέκτεινε, τοὺς δὲ λοιποὺς ἐπαινέσας τῆς καρτερίας σὺν αὐτοῖς τὸν πλοῦν ἐποιήσατο. καὶ τὰς ναῦς πυρὶ παραδοὺς καὶ οὕτω τοὺς στρατιώτας εὐτολμοτέρους δι' ἀπόνοιαν παρασκευάσας ἀνὰ κράτος ἐνίκησε καὶ τὰς τῶν Καρχηδονίων κατεστρέψατο πόλεις.

## 7. Πῶς δοκιμάζονται φίλοι.

1 Ὁ Διονύσιος ἀπροσδοκήτως ἐπελθεῖν τινι τῶν παραλίων βουλόμενος πόλει καὶ τοὺς πιστοτάτους δοκιμάσαι τῶν ἡγεμόνων προθέμενος χαρτία δοὺς ἄγραφα κατησφαλισμένα σφραγῖσιν ἀσφαλῶς κατέχειν ἐκέλευεν ἕκαστον, τοῦ δὲ πλεῖν ἀρξαμένους τότε δὴ λύειν τὰς σφραγῖδας κἀκεῖ ποιεῖσθαι τὸν πλοῦν ἕκαστον ἔνθα ἂν κελεύοι τὰ γράμματα. μήπω τοίνυν τῶν νηῶν ἐπιβαίνειν τῆς στρατιᾶς ἀρξαμένης τὰ χαρτία προσφέρειν ἐκέλευεν ἕκαστον καὶ οὓς μὲν εὗρε τὰς σφραγῖδας μὴ λύσαντας καὶ ἐπήνεσε καὶ ἐτίμησε, τοὺς μέντοι ταῖς σφραγῖσιν ἐπιβουλεύσαντας ὡς προδότας ἐκόλασεν.

2 Ὁ Ἀλκιβιάδης ἀνδρὸς εἴδωλον ἐν δωματίῳ σκοτεινῷ κατακρύψας καὶ τῶν φίλων μετακαλούμενος ἕκαστον τό τε εἰρημένον εἴδωλον ὡς νεκρὸν δῆθεν ὑποδεικνὺς φονεῦσαι τοῦτον αὐτὸς ἔλεγεν. ἠξίου τε συνεργῆσαι αὐτῷ πρὸς τὴν τοῦ φονευθέντος λαθραίαν ταφήν. ὅσους μὲν οὖν συλλυπουμένους καὶ συναγωνιζομένους ἑώρα, τοῖς γνησιωτάτοις συνέταττε, τοὺς δ' αὖ ἄλλως ἢ ὡς προσῆκε διακειμένους ἐξουθενῶν ἀπεπέμπετο.

---

Cap. 6. § 3. exc. 5, 3; cf. P. 5, 3, 5.
Cap. 7. § 1. exc. 6, 2; cf. P. 5, 2, 12.
Cap. 7. § 2. exc. 6, 1; cf. P. 1, 40, 1.

---

7 ἀνακράτως L ‖ 20 δοματίῳ L ‖ 21 κατακρίψας L ‖ 23 αὐτῷ] τούτῳ L.

## 8. *Περὶ κατασκόπων ἰδίων τε καὶ πολεμίων.*

*Ὁ Πομπήϊος κατασκόπους ἐς τὸ τῶν πολεμίων κατα-* 1
*πέμπων στρατόπεδον παρήγγελλε συνεχῶς μὴ συνοδεύειν ἀλλήλοις μήτε τινὶ τῶν στρατιωτῶν τὸ σύνολον ὁμιλεῖν, ἵνα μὴ ὁμονοοῦντες ψευδῆ φησιν ἀπαγγέλλωσιν.*

*Ὁ Χάρης ὑπονοήσας τῶν πολεμίων τινὰς ἀνὰ τὸ στρα-* 2
*τόπεδον ὡς κατασκόπους εἰλεῖσθαι τὰς τοῦ χάρακος πύλας ἀσφαλῶς εὐθὺς κατακλείσας ἑκάστῳ τὸν ἐγγὺς ἑστῶτα κρατεῖν ἐπέταξε καὶ τό τε ὄνομα μετ' ἀκριβείας μανθάνειν καὶ ποίας ἐστὶ τάξεως καὶ ἐκ ποίου κοντουβερνίου καὶ οὕτω τοὺς κατασκόπους εὑρὼν ἀξίως ἐκόλασεν.*

## 9. *Ὅτι ἐν τῷ προσήκοντι δεῖ καιρῷ καὶ μὴ ὡς ἔτυχε πολεμεῖν καὶ ποῖος ὁ τοῦ πολέμου καιρός.*

*Ὁ Τιμόθεος πλεῖον ἐν τῷ ἰδίῳ στρατῷ τὸ ἄχρηστον* 1
*ἔχων σὺν σπουδῇ τὰς τῶν πολεμίων ἀεὶ συμβολὰς ἐποιεῖτο· τῶν γὰρ δειλῶν εὐθὺς παρὰ τὴν πρώτην προσβολὴν ἀπολιμπανομένων μετὰ τῶν γενναιοτέρων αὐτὸς ἐπολέμει.*

*Ὁ Λυκοῦργος τοῖς ἰδίοις ἀεὶ παρήνει μὴ συχνὰ κατὰ* 2
*τῶν πολεμίων στρατεύειν, ἵνα μὴ ἑτοίμους αὐτοὺς εἰς μάχην εὑρηκότες μεγάλοις ἔσθ' ὅτε κινδύνοις φησὶ περιπέσοιτε.*

*Ὁ Ἀντίγονος ἰσχυροτέραν μὲν ἔχων αὐτὸς δύναμιν σὺν* 3
*σχολῇ τὸν πόλεμον ἐποιεῖτο καταπλήττειν ἐντεῦθεν τοὺς πολεμίους οἰόμενος, εἰ δὲ τὴν ἐλάττω μοῖραν αὐτὸς εἶχε, σὺν*

---

Cap. 8. § 1. exc. 7, 3; cf. P. 5, 33, 6.
Cap. 8. § 2. exc. 7, 1; cf. P. 3, 13, 1.
Cap. 9. § 1. exc. 13, 5; cf. P. 3, 10, 3.
Cap. 9. § 2. exc. 13, 1; cf. P. 1, 16, 2.
Cap. 9. § 3. exc. 13, 7; cf. P. 4, 6, 5.

---

2 *Πομπήϊος*] *Πομπίσκος* Polyaen. et exc. ‖ 6 *Χάρις* L ‖ 7 *κατασκόπους*] *πολεμίους* L.

σπουδῇ ἐπολέμει ἐπιλέγων, ὡς φοβερωτέρους ἀεὶ ποιεῖν τοὺς πολεμίους ἡ ὄψις εἴωθεν ἤπερ ἡ διὰ χειρὸς συμπλοκή.

4 Ὁ Ἰφικράτης, εἰ μὲν πρὸς ἀγυμνάστους ἀντιπαρετάττετο, σχολαιότερον καὶ οὐκ εὐθὺς συνῆπτε τὸν πόλεμον, εἰ δὲ τοὺς ἀγυμνάστους αὐτὸς εἶχε, τὴν συμπλοκὴν ἐπέσπευδε συχνῶς ἐπιλέγων· ‘οἱ ἀγύμναστοι οὐ καρτεροῦσιν.’

5 Ὁ τῶν Ῥωμαίων στρατηγὸς Μάριος τοῖς μὲν βορειοτέροις πολεμῶν ἔθνεσι κατὰ τὴν τοῦ θέρους ἀκμὴν μάλιστα συνῆπτε τὸν πόλεμον καὶ μάλιστα μεσημβρίας σταθερᾶς οὔσης. ‘ἀήθεις γὰρ ὄντες τοῦ καύσωνος οἱ πολέμιοι, ἔλεγεν, ἀτονώτερον πολεμοῦσιν.’ τοῖς δὲ νοτιωτέροις ἀντικαθιστάμενος ἔθνεσι τοὐναντίον ἐποίει τὴν εἰρημένην ἐπιφέρων κἀνταῦθα αἰτίαν.

## 10. Ὅτι λυσιτελέστατον τὸ τοὺς τῶν πολεμίων συμμάχους ὑπόπτους παρασκευάζειν αὐτοῖς.

1 Ὁ Θεμιστοκλῆς τῶν Ἰώνων, οἳ νῦν Θρακήσιοι λέγονται, τῷ τῶν Περσῶν βασιλεῖ συμμαχούντων Ξέρξῃ τοῖς ἰδίοις στρατιώταις ἐπέταξε νυκτὸς ἀπελθόντας ἐν ταῖς θύραις καὶ τοῖς τοίχοις τῶν οἰκιῶν, ἔνθα οἱ Ἴωνες ἦσαν, ἐπιγράψαι· ‘ἄνδρες Ἴωνες, οὐ δίκαια ποιοῦντες ἐπὶ τοὺς πατέρας ὑμῶν στρατεύετε.’ τούτου γενομένου τοὺς Ἴωνας ὑποπτεύσας εὐθὺς ὁ Ξέρξης ἀπεπέμψατο.

2 Δισχιλίων ἐκ τοῦ τῶν Ἀθηναίων στρατοῦ τοῖς Λακεδαιμονίοις προσχωρησάντων ὁ τῶν Ἀθηναίων στρατηγὸς Θεμιστοκλῆς οἶμαι γράμματα τῶν οἰκείων ἐγχειρίσας τινὶ κρύφα ταῦτα τοῖς τῶν προσχωρησάντων ἡγεμόσιν ἐπέταξεν ἐγχειρίσαι

---

Cap. 9. § 4. exc. 13, 4; cf. P. 3, 9, 13.
Cap. 9. § 5. exc. 13, 9; cf. P. 8, 10, 3.
Cap. 10. § 1. exc. 8, 1; cf. P. 1, 30, 7.
Cap. 10. § 2. exc 44, 1; cf. P. 3, 9, 57.

---

3 ἀντεπαρετάττετο L.

ἀκριβῶς εἰδὼς, ὡς εἰς χεῖρας ἐμπεσεῖται τῶν τὰς ὁδοὺς ἐπιτηρούντων Λακεδαιμονίων. εἶχε δὲ οὕτω τὰ γράμματα· 'τῶν κοινῇ βεβουλευμένων μὴ ἐπιλάθησθε μηδὲ τὸν ὡρισμένον καιρὸν παραλίπητε, ὅτε τὴν προσδοκωμένην ἡμῖν ἐλθοῦσαν ἴδητε δύναμιν.' τούτου γενομένου τοὺς μὲν αὐτομόλους συλλαβεῖν εὐθὺς ἐπεχείρησαν οἱ Λακεδαιμόνιοι ὑποπτεύσαντες, οἱ δὲ φυγῇ τὴν σωτηρίαν ἑαυτοῖς πορισάμενοι συνεῖναί τε καὶ αὖθις τοῖς Ἀθηναίοις λιπαρῶς ἱκετεύσαντες τῆς αἰτήσεως οὐκ ἐπέτυχον.

## 11. Ὅτι διὰ λόγων καὶ ἐπιτηδεύσεως στρατηγοῦ μεγάλως ὁ στρατὸς εἰς ἀνδρίαν καὶ τόλμαν παρακαλεῖται.

Ὁ Καῖσαρ τοὺς σὺν αὐτῷ στρατιώτας ὁρῶν φεύγοντας 1
ἀποβὰς τοῦ ἵππου μόνον 'με καταλιπόντες ἐν ταῖς τῶν πολεμίων, ἔφη, χερσὶν, ὦ συστρατιῶται, φεύγειν οὐκ αἰσχύνεσθε;' πρὸς τοῦτον δυσωπηθέντες τὸν λόγον οἱ φεύγοντες αἰφνίδιον ἐπιστραφέντες ἐνίκησαν.

Οἱ Πέρσαι τοὺς Μήδους πολεμοῦντες καὶ τραπέντες 2
προτροπάδην ἔφευγον. αἱ τοίνυν τῶν φευγόντων μητέρες τῆς πόλεως ἐξελθοῦσαι καὶ τούτοις προϋπαντήσασαι τούς τε χιτῶνας ἀνασυράμεναι· 'πῇ δὴ φεύγετε, ἔφησαν, ἀνδρῶν κάκιστοι· μὴ ἐπὶ τὴν νηδὺν, ὅθεν ἕκαστος προῆλθεν, αὖθις εἰσελθεῖν βεβούλησθε;' τούτοις φασὶ τοῖς λόγοις δυσωπηθέντας τοὺς φεύγοντας ἀθρόον ἐπιστραφῆναι καὶ τοῖς πολεμίοις εὐθὺς ἐπιβρίσαντας εὐκλεῶς τὴν ἧτταν ἀνακαλέσασθαι.

Ὁ Κῦρος τρίτον τοῖς Μήδοις συμπλακεὶς καὶ τοσαυ- 3
τάκις δυσκλεῶς ἡττηθεὶς, ἐπεὶ καὶ τετάρτην ποιησάμενος προσβολὴν αὖθις ἑώρα φεύγοντας τοὺς ἰδίους καὶ τὴν πόλιν

---

Cap. 11. § 1. exc. 14, 29; cf. P. 8, 23, 16.
Cap. 11. § 2. exc. 14, 24; cf. P. 7, 45, 2.
Cap. 11. § 3. exc. 14, 21; cf. P. 7, 6, 1.

*εἰσελθεῖν σπεύδοντας τὰς τούτων γυναῖκας σὺν ἅμα τοῖς τέκνοις συναγαγὼν τῆς πόλεως ἐπέταξεν ἐξελθεῖν καὶ τοῖς πολεμίοις ἀντικαθίστασθαι. τοῦτο γνόντες οἱ φεύγοντες καὶ τοὺς ἰδίους οἰκτείραντες ἕκαστος ἐπιστραφέντες εὐθὺς ἐνίκησαν.*

4 *Ὁ τῶν Ῥωμαίων στρατηγὸς Σύλλας τοὺς ἰδίους ὁρῶν στρατιώτας εἰς Ὀρχομενὸν φεύγοντας τὸν ἵππον ὡς πρὸς τοὺς πολεμίους ἐλαύνων· ‘ἐμοὶ μέν, ὦ Ῥωμαῖοι, καλόν ἐστιν, ἔλεγεν, ὑπὲρ τῆς πατρίδος ἀποθνήσκειν ὡδί, πρὸς μέντοι τοὺς ἐρωτῶντας, ποῦ προδεδώκατε Σύλλαν, μέμνησθε λέγειν, ὅτι εἰς Ὀρχομενόν.’ οὗτος ὁ λόγος θυμοῦ τοὺς στρατιώτας ἐνέπλησε, καὶ τοῖς ἐχθροῖς προσβαλόντες ἀθρόον ἐνίκησαν.*

5 *Ὁ τῶν Γαλατῶν βασιλεὺς Βρέννος κατεπτηχότας τοὺς ἰδίους στρατιώτας κατανοῶν, οὓς εἶχε βραχυτέρους τοῖς σώμασι καὶ ἀσθενεστέρους αἰχμαλώτους Ῥωμαίους ἐπιλεξάμενος ἱμάτιά τε περιβαλὼν αὐτοὺς ῥυπαρὰ καὶ διερρωγότα τῶν οἰκείων ἔγγιστα φέρων αὐτοὺς ἔστησεν ἄριστα ὡπλισμένων. καὶ ‘οὐ καλόν, ἔφησεν, ὦ συστρατιῶται, τηλικούτους ἡμᾶς ὄντας ὑπὸ τοιούτων ἀνδραρίων περιφρονεῖσθαι’. τούτοις τοῖς λόγοις οἱ τέως κατεπτηχότες ἀναθαρρήσαντες εὐτόλμως τοῖς Ῥωμαίοις συνέμιξαν καὶ τούτων ἐκράτησαν.*

6 *Ὁ Σκηπίων στρατιώτην ἰδὼν βρενθυόμενον, ὅτι καλὴν εἶχεν ἀσπίδα, ‘καλόν ἐστιν, ὦ συστρατιῶτα, ἔφη, Ῥωμαῖον ὄντα σε τῇ δεξιᾷ πιστεύειν χειρὶ καὶ μὴ τῇ ἀριστερᾷ.’*

7 *Ὁ δ’ αὐτὸς τοὺς στρατιώτας συστρατιώτας ὠνόμαζε διὰ τοῦ ἴσου ὀνόματος προθυμοτέρους αὐτοὺς πρὸς τοὺς ἀγῶνας παρασκευάζων.*

---

Cap. 11. § 4. exc. 14, 25; cf. P. 8, 9, 2.
Cap. 11. § 5. exc. 14, 22; cf. P. 7, 35, 1.
Cap. 11. § 6. exc. 14, 28; cf. P. 8, 16, 4.
Cap. 11. § 7. exc. 14, 30; cf. P. 8, 23, 22.

---

10 *ποῖ προσδοκᾶτε* L ‖ 13 *Βρέννων* L.

Ὁ Ἐπαμινώνδας ἐξισουμένην κατανοήσας τὴν μάχην 8
βῆμα ποδὸς μόνον τοὺς τοῦ ἰδίου στρατοῦ προμάχους χαρίσασθαι αὐτῷ ᾐτήσατο. οὗ γενομένου τῶν πολεμίων ἐκράτησεν.

## 12. Πῶς ἂν ὀλίγην ἔχων τις στρατιὰν πολλὴν δόξαι ταύτην παρασκευάσειεν.

Ὁ Ἀγησίλαος ὀλίγον ἔχων τὸ ἱππικὸν τοὺς μὲν ἱππεῖς 1
ἅπαντας πρὸ τῆς παρατάξεως ἔστησε, τούτων δὲ κατόπιν πεζοὺς ἱππικοῖς ἅρμασιν ἀφοπλίσας, ὄνοις τε καὶ ἡμιόνοις ἐπικαθίσας αὐτοὺς τὸν Ἀέροπον διὰ τοῦ στρατηγήματος τοῦδε κατέπληξε καὶ πρὸς σπονδὰς ἀγεννεῖς χωρῆσαι τοῦτον ἠνάγκασεν.

Ὁ Ἰφικράτης νυκτομαχῆσαι προθέμενος διὰ τὴν τοῦ 2
στρατοῦ ὀλιγότητα τοῖς σαλπιγκταῖς ἐπέταξε κατὰ πολλὰ τοῦ τῶν πολεμίων στρατοπέδου διασκεδασθῆναι μέρη καὶ ἐπιμελῶς σαλπίζειν. τῶν τοίνυν πολεμίων πρὸς τὰς τῶν σαλπιγκτῶν διαμεριζομένων φωνὰς ἀτάκτως, ἐπειδὴ τοὺς ἐν τῷ ἀπλήκτῳ κατεῖδεν ὀλιγωθέντας, τούτοις ἐπέθετο καὶ παρὰ πᾶσαν δόξαν ἐνίκησεν.

Ὁ δ' αὐτὸς πλείονα μὲν ἔχων στρατὸν σύνδυο στρα- 3
τιώτας μίαν ἐν τῷ ἀπλήκτῳ στιβάδα ἔχειν ἐπέταττε, τῷ δὲ στρατῷ ἐλασσούμενος ἕκαστον στρατιώτην δύο ποιεῖν στιβάδας ἐκέλευε. συχνά τε τὰ ἄπληκτα μεταφέρων ἐξαπατῶν ἦν τοὺς πολεμίους ἀεί.

---

Cap. 11. § 8. exc. 14, 4; cf. P. 2, 3, 2.
Cap. 12. § 1. exc. 15, 2; cf. P. 2, 1, 17.
Cap. 12. § 2. exc. 15, 4; cf. P. 3, 9, 42.
Cap. 12. § 3. exc. 15, 3; cf. P. 3, 9, 19.

---

3 αὐτῷ] τούτῳ L ‖ 9 Ἀέροπον] σερωπὸν L ‖ 17 ὀλιγοθέντας L.

4 Ὁ Πτολεμαῖος τοῦ Περδίκκου σὺν βαρεῖ στρατῷ ἐπιόντος εἰς Μέμφιν αὐτῷ βοῶν καὶ ὄνων ἀγέλας συναγαγὼν καὶ τῇ οὐρᾷ ἑκάστου κλάδους καὶ φρυγάνων παντοίαν προσδήσας ὕλην αὐτὸς μὲν σὺν τῷ στρατῷ κατὰ τῶν πολεμίων προθύμως ἤλαυνε, κατόπιν δὲ ὡς ἀφ' ἱκανοῦ διαστήματος αἱ τῶν βοῶν καὶ ὄνων ἀγέλαι εἵποντο. κονιορτοῦ τοίνυν ἐκ τῶν ἐπισυρομένων φρυγάνων ἀνεγερθέντος ἀπλέτου στρατὸν εἶναι μέγιστον ὁ Περδίκκας τοῦτο ὑπονοήσας καὶ τῷ φόβῳ κατασεισθεὶς πρὸς φυγὴν ἀπεῖδεν εὐθύς. αὐτός τε οὖν ἀγεννῶς ἀπώλετο καὶ ἡ σὺν αὐτῷ σύμπασα στρατιά.

5 Ὁ Εὐμένης τῆς στρατιᾶς αὐτῷ παραχειμαζούσης καὶ τῶν πολεμίων ἀθρόον ἐπιόντων αὐτῷ τῶν στρατιωτῶν πλείστους εἰς τὰ πλησιάζοντα διασκεδάσας ὄρη πυρὰ πλεῖστα καίειν ἐκέλευσεν ἕκαστον ἄλλον ἀλλαχοῦ διασπαρέντας αὐτούς· τὰ δὲ πυρὰ τῆς μὲν νυκτὸς ἀρχομένης μείζονα, περὶ δὲ τὸ μέσον ἐλάττονα, περὶ μέντοι τὸν ὄρθρον ἐλάχιστα πάντη ποιεῖν κατὰ τὴν ἐν τοῖς ἀπλήκτοις συνήθειαν. τοῦτο ἐξ ὑπερδεξίων οἱ πολέμιοι κατιδόντες καὶ συνηθροισμένην ἔχειν τὸν Εὐμένη τὴν στρατιὰν ὑπολογισάμενοι ἀνεχώρησαν τὴν συμπλοκὴν μὴ θαρρήσαντες.

6 Οἱ Σκύθαι πρὸς Τριβαλλοὺς πολεμοῦντες τοῖς ἱπποβοσκοῖς ἐπέταξαν, ἐπὰν τὴν τοῦ πολέμου συμβολὴν ἴδωσιν, τότε δὴ καὶ αὐτοὺς ὡς ἀπὸ διαστήματος ἑπομένους σὺν ταῖς τῶν ἵππων ἀγέλαις ὡς πρὸς τὸν πόλεμον ἵεσθαι. τοῦτο τοῖς Τριβαλλοῖς συμμαχίας παρασχὸν δόξαν πρὸς φυγὴν τούτους ἐτρέψατο.

7 Ὁ Τύννιχος πόλεως αὐτῷ παραλίας ὑπὸ τῶν πολε-

---

Cap. 12. § 4. exc. 15, 6; cf. P. 4, 19 (18).
Cap. 12. § 5. exc. 15, 5; cf. P. 4, 8, 4.
Cap. 12. § 6. exc. 15, 8; cf. P. 7, 44, 1.
Cap. 12. § 7. exc. 15, 7; cf. P. 5, 23.

---

28 *Τύννιχος*] *Τυρρήνιος* L.

μίων ἐπιμελῶς πολιορκουμένης, αὐτὸς δὲ πλοῖον ἓν ἔχων μόνον πολεμικὸν τὰ ἁλιευτικὰ πάντα συναγαγὼν πλοιάρια καὶ σαλπιγκτὴν ἑκάστῳ τούτων ἐνθέμενος νυκτὸς ἀφεγγοῦς τῇ πόλει προσήγγισεν ὡς ἀφ' ἱκανοῦ διαστήματος. τῶν τοίνυν σαλπιγκτῶν ὑφ' ἓν ὁμοῦ πάντων ὀξὺ καὶ διάτορον ἠχησάντων οἱ πολέμιοι ἀνεχώρησαν στόλον μέγιστον ἐπιέναι νομίσαντες.

## 13. Καὶ πῶς αὖθις πολὺν ἔχων στρατὸν ὀλίγον δόξαι τοῦτον ὡσαύτως παρασκευάσειεν.

Ὁ Καῖσαρ πολεμῶν πρὸς Γαλάτας τὸ μὲν ἄπληκτον 1 στενώτατον κατεσκεύασε, πυρά τε τῆς χρείας ἐλάττω καίειν ἐπέταξεν. αὐτὸς δὲ τὸ πλέον ἅμα καὶ κρεῖττον τῆς στρατιᾶς ἀναλαβὼν ἐν ἐπικαίροις κατεσκήνωσε τόποις. τῶν τοίνυν πολεμίων περιφρονητικῶς διὰ τὴν ὀλιγότητα πρὸς Καίσαρα διατεθέντων καὶ τό τε ἄπληκτον αὐτῶν σὺν πολλῷ περιστοιχισάντων τῷ θράσει ἑλόντων τε αὐτὸ καὶ διαρπαζόντων ἀθρόον ὁ Καῖσαρ ἐπιφανεὶς σὺν τῇ στρατιᾷ τοὺς Γαλάτας ἀνὰ κράτος ἐνίκησεν.

Ὁ Ὀνίας στόλου ὄντος αὐτῷ μεγίστου καὶ τῶν πολε- 2 μίων διὰ τοῦτο κατεπτηχότων καὶ ναυμαχεῖν μὴ τολμώντων τοῖς ἡγεμόσιν ἐπέταξε κατὰ δύο λαῖφος ἓν ἀνιστᾶν. καὶ οὕτω τοὺς πολεμίους πρὸς συμπλοκὴν ἐρεθίσας ἐνίκησεν.

## 14. Ὅτι ἐκ πυρὸς καὶ ἀνέμων βοηθεῖται στρατὸς κατὰ πόλεμον.

Ὁ Νικίας τὴν Συρράκουσαν πολεμῶν ἀπεκλείσθη περὶ 1 τὴν τάφρον. ἐπεὶ τοίνυν οἱ Συρρακούσιοι τὰ πρὸ τῆς τάφρου κατέσχον οἰκήματα, πῦρ ὁ Νικίας τούτοις ἐνέβαλε

---

Cap. 13. § 1. exc. 16, 2; cf. P. 8, 23, 7.
Cap. 13. § 2. exc. 16, 1; cf. P. 1, 47, 1. 3, 11, 3. 5, 22, 2.
Cap. 14. § 1. exc. 22, 1; cf. P. 1, 39, 3.

καὶ οὕτω διατριβήν τινα τοῦ πολέμου λαβόντος ἐπιβοηθήσαντες οἱ ἑταῖροι τοῦτον ἐκεῖθεν ἐξελεῖν ἴσχυσαν.

2 Ὁ Ἀλκιβιάδης πολεμῶν πρὸς Ἀργείους ἐπεὶ μεταξὺ τοῖν στρατοπέδοιν ἀμφοῖν ξηρᾶς ἦν ὕλης πλῆθος ἀμήχανον τὸν πρὸς τοὺς πολεμίους πνέοντα ἄνεμον ἐπιτηρήσας καὶ παρὰ τὸν τῆς συμπλοκῆς καιρὸν τὴν ὕλην ἐμπρήσας τῶν πολεμίων ἐκράτησεν.

3 Ὁ Ἰφικράτης πρὸς Θρᾷκας πολεμῶν, ἐπεὶ μεταξὺ τοῖν στρατοπέδοιν ἀμφοῖν ὕλη ξηρὰ πλείστη συμπεφόρητο, ταύτην ἐνέπρησε. καπνοῦ τοίνυν ὡς εἰκὸς γενομένου καὶ ἀσελήνου τῆς νυκτὸς σχεδὸν δοξάσης διὰ τὴν ἐκ τοῦ καπνοῦ βαθύτητα τὴν ἀποσκευὴν πᾶσαν ἐν τῷ στρατοπέδῳ καταλιπὼν αὐτὸς σὺν τῇ στρατιᾷ πρὸς τὴν ἐγγὺς ἐσκήνωσε λόχμην. τῆς δὲ ἡμέρας ἐπιλαμψάσης οἱ μὲν Θρᾷκες πρὸς τὴν τοῦ στρατοπέδου διαρπαγὴν εὐθὺς ὥρμησαν φυγὴν τὴν τοῦ Ἰφικράτους ὑποχώρησιν λογισάμενοι. καὶ ὃς ἐσκεδασμένοις περιτυχὼν αὐτοῖς καὶ περὶ τὴν λείαν ἀσχολουμένοις ὁλοσχερῶς μεγίστην ἤρατο νίκην φεισάμενος μηδενός.

4 Ὁ Ἀννίβας ἐν Κάνναις ἐπολέμει Ῥωμαίοις. τὴν γοῦν μεταξὺ τῶν στρατοπέδων ἀμφοῖν δι' ὅλης νυκτὸς ἀρότρῳ διατεμὼν γῆν ὑπόψαμμον οὖσαν ἀκριβῶς τε τὴν ὥραν ἐπιτηρήσας, καθ' ἣν ὁ ἄνεμος ὡς ἐκ συνθήματος ἔπνει κατὰ τὸν θέρους καιρόν, τότε δὴ πλείστῃ σπουδῇ τοῖς Ῥωμαίοις προσέμιξε. καὶ τὴν αὐτῶν ἄρδην ἀπώλεσε στρατιὰν ἅτε δὴ τοῦ ἀνέμου τὴν ἀνεγειρομένην ἐπιπροσθοῦντος κόνιν ταῖς αὐτῶν ὄψεσι καὶ μὴ ἀναβλέψαι συγχωροῦντος τὸ σύνολον.

---

Cap. 14. § 2. exc. 22, 2; cf. P. 1, 40, 7.
Cap. 14. § 3. exc. 31, 3; cf. P. 3, 9, 41.
Cap. 14. § 4. exc. 23.

## 15. Ὅτι λυσιτελὲς ἀεὶ τὸ τοὺς πολεμίους ἀντιπερισπᾶν.

*Οἱ Λακεδαιμόνιοι τὰς Ἀθήνας ἐπολιόρκουν. οἱ τοί-* 1
*νυν Ἀθηναῖοι στόλον ἐξαρτύσαντες κατὰ τῶν παραλίων αὐτῶν ἐξέπεμψαν πόλεων. τοῦτο τοῖς Λακεδαιμονίοις εἰς γνῶσιν ἐλθὸν τὴν πολιορκίαν εὐθὺς ἔλυσεν.*

*Ὁ Δημοσθένης πλεύσας εἰς Πύλον κατὰ τῆς ἄκρας* 2
*τὴν προσβολὴν ποιεῖσθαι προσεποιήσατο κἀκεῖ τῶν πολιτῶν μεταχωρησάντων μετ᾽ ὀλίγων αὐτὸς νεῶν σπουδῇ τὴν κάτω πόλιν καταλαβὼν εὐχερῶς εἷλεν.*

*Ὁ Φίλιππος πολεμῶν τὴν Μεθώνην καὶ ταύτην ἑλὼν* 3
*ἤδη, ἐπεὶ τὴν πόλιν εἰσιόντες οἱ Μακεδόνες ὑπὸ τῶν ἐν τοῖς τείχεσιν ἱσταμένων πολεμίων κακῶς πάσχοντες ἐνδιδόναι ἤρξαντο, κλίμακας ἐξ ἑτέρων τῆς πόλεως ἐπιθεὶς μερῶν ἀναβαίνειν δι᾽ αὐτῶν τοῖς στρατιώταις ἐπέταξε. πρὸς τοῦτο τῶν πολιτῶν ἀντιπερισπασθέντων καὶ πρὸς τὸν Φίλιππον συνδραμόντων εὐχερῶς Μεθώνη ἑάλω.*

## 16. Πῶς ἂν ἐν νυκτὶ ἐγρηγορεῖν παρασκευάσειέ τις τὸν οἰκεῖον στρατόν.

*Ὁ Ἀλκιβιάδης ὑπὸ τῶν Λακεδαιμονίων ἐν Ἀθή-* 1
*ναις πολιορκούμενος καὶ προδοσίαν ἐν μιᾷ τῶν νυκτῶν ὑφορώμενος τοῖς ἐπὶ τῶν τειχῶν παρήγγειλεν ὡς ‘ἐγὼ μὲν τρὶς τῆς νυκτὸς ἀνάψω πυρούς. ὃς δ᾽ ἂν ὑμῶν μὴ κατὰ τὸν ἴσον ἐμοὶ καὶ αὐτὸς ποιήσειε τρόπον, ὡς τὴν οἰκείαν*

---

Cap. 15. § 1. exc. 24, 1; cf. P. 1, 36, 1.
Cap. 15. § 2. exc. 29, 4; cf. P. 3, 1, 1.
Cap. 15. § 3. exc. 54, 12; cf. P. 4, 2, 18.
Cap. 16. § 1. exc. 25, 1; cf. P. 1, 40, 3.

---

6 *ἔλυσαν* L ‖ 17 *Μεθώνη* a. m. suprascr.; *ἡ πύλος* pr. m. L.

*μὴ φυλάττων πατρίδα τιμωρίᾳ ἐσχάτῃ ὑποβληθήσεται.' καὶ οὕτω διὰ πάσης νυκτὸς τὸ σύνθημα περιμένοντες οἱ φύλακες ἄγρυπνοι διετέλεσαν.*

2 *Ὁ Κλέαρχος κατατρέχων τὴν Θρᾴκην καὶ ἀεὶ τὴν ἐν νυκτὶ τῶν πολεμίων ἐπίθεσιν ὑφορώμενος πᾶσιν ἐπέταττε δι' ὅλης νυκτὸς τὰ ὅπλα φορεῖν καὶ οὕτω καθεύδειν ὡς ἐπιτεθησομένων ὅσον οὔπω τῶν πολεμίων αὐτοῖς. αὐτὸς δὲ τῆς παρεμβολῆς ὡς ἀφ' ἱκανοῦ διαστήματος ἐξιὼν ἐν ἀσελήνῳ νυκτὶ καὶ αὖθις πρὸς τὸ στρατόπεδον ὑποστρέφων φαντασίαν αὐτοῖς παρεῖχε πολεμίων. τῶν γοῦν νυκτῶν ἐν μιᾷ τῶν Θρᾳκῶν ἐπιθεμένων τῷ χάρακι κακῶν ἀπαθὴς ὁ τῶν Ἀθηναίων στρατὸς διέμεινε μὴ ἀνέτοιμος πρὸς νυκτομαχίαν ἀναφανείς.*

## 17. *Καὶ πῶς ἄν τις δι' ἀγρυπνίας τοὺς πολεμίους ἡττήσειεν εὐχερῶς.*

1 *Ὁ τῶν Θηβαίων στρατηγὸς Ἐπαμινώνδας εἰσβολὴν κατὰ τῆς Λακεδαιμονίων χώρας ποιήσασθαι διανοηθεὶς ἐπεὶ προκατειλῆφθαι παρ' αὐτῶν τὸ Ὄνειον ἔγνω καὶ ἄβατον εἶναι στρατῷ παντὶ τὴν εἰς Λακεδαίμονα δίοδον τὸν μὲν στρατὸν διανέπαυσε, μετρίους δέ τινας πέμπων προσβολὰς κατὰ διαδοχὴν διὰ πάσης ἐποιεῖτο νυκτός. οἱ τοίνυν τὰ στενὰ τηροῦντες Λακεδαιμόνιοι παρ' ὅλην ἐκείνην τὴν νύκτα ταλαιπωρήσαντες ἡμέρας ἐπιγενομένης ἀδεῶς πρὸς ὕπνον ἐτράποντο καὶ ὁ Ἐπαμινώνδας κοιμωμένοις αὐτοῖς ἀθρόον ἐπελθὼν καὶ τὴν δίοδον βιασάμενος εὐχερῶς τῶν δυσβάτων. ἐκράτησεν.*

---

Cap. 16. § 2. exc. 10, 1; cf. P. 2, 2, 6.
Cap. 17. § 1. exc. 25, 2; cf. P. 2, 3, 9.

---

18 *Ὄνειον*] *Ἰόνιον* L.

## 18. Ὅτι δεῖ κρύπτειν ἐν τῷ στρατοπέδῳ τὰς ἰδίας συμφοράς.

Ὁ Ἀγησίλαος πρὸς τὸν προκείμενον πόλεμον τὸν ἀμφ' αὐτὸν ἀποδειλιώντων καὶ τῶν ἐν τῷ στρατοπέδῳ νυκτὸς ὑπαναχωρούντων αὐτὸς κρύφα πέμπων τὰς ἀποδράντων ἀσπίδας συνέλεγεν, ὡς ἂν μὴ τούτων ἀνὰ τὸ στρατόπεδον δρωμένων οἱ αὐτὰς ἔχοντες ἀναζητούμενοι δειλίαν παρέχωσι τοῖς λοιποῖς.

## 19. Πῶς ἱππεῖς ῥᾳδίως ὑπὸ πεζῶν καταπολεμηθήσονται.

Ὁ Ἰφικράτης τῶν πολεμίων ἱππέων ὄντων αὐτὸς 1
δὲ πεζικὸν μόνον στρατὸν ἄγων τὴν μὲν παράταξιν ἀνὰ ὀκτὼ τὸ πάχος ἐποίησε. πάντας δ' ἐκέλευσε τὰς ἀσπίδας ὑποχαλάσαντας λάκκον ὀρύττειν τοῖς ξίφεσιν ἕκαστον, εἶτα βραχὺ προελθόντας τῶν ὀρυγμάτων οὕτω δὴ τὸν πόλεμον περιμένειν. τῆς δὲ συμπλοκῆς ἀρξαμένης μικρὸν ἀντισχόντας ὑποχωρεῖν ὡς δῆθεν φεύγοντας. τούτου γενομένου τῶν πολεμίων ὁ Ἰφικράτης ἐκράτησε. περιπίπτοντες γὰρ ἀπροόπτως τοῖς ὀρύγμασιν οἱ ἱππεῖς τῶν ἵππων ἀπεσφαιρίζοντο καὶ παρὰ τῶν πεζῶν ἀθρόον ἐπιστραφέντων ἀνηλεῶς ἀπεσφάττοντο.

Οἱ Φωκεῖς τῶν πολεμίων ἱππικῷ στρατῷ ἐπιόντων 2
αὐτοῖς τὴν πρὸ τῆς πόλεως τάφρον ἀμφορέων πληρώσαντες καὶ χοῦν ἐπιβαλόντες ὀλίγον ἄνωθεν οὕτω δὴ τοὺς ἱππεῖς κατειργάσαντο. σὺν πολλῷ γὰρ τῷ θράσει τοῖς τῆς πόλεως

---

Cap. 18. exc. 34, 2; cf. P 2, 1, 15.
Cap. 19. § 1. exc. 37, 4; cf. P. 3, 9, 60.
Cap. 19. § 2. exc. 37, 5; cf. P. 6, 18, 2.

τείχεσι προσβαλόντες σὺν τοῖς ἵπποις εὐθὺς κατεφέροντο τῶν ἀμφορέων καταγνυμένων.

3 Οἱ Θηβαῖοι τὸν Φίλιππον ἱππικῷ στρατῷ τούτοις ἐπιέναι μαθόντες τὸν πρὸ τῆς πόλεως τόπον νυκτὸς ἐπικλύσαντες ἔωθεν αὐτοὶ παρετάξαντο τοὺς Μακεδόνας πρὸς πόλεμον ἐκκαλούμενοι. τῆς τοίνυν συμπλοκῆς ἀρξαμένης οἱ Θηβαῖοι φυγὴν ὑπεκρίναντο. καὶ οἱ ἱππεῖς εὐθὺς ἐπισπόμενοι καὶ τοῖς τέλμασι περιπίπτοντες εὐχερῶς σὺν τοῖς ἵπποις ἡλίσκοντο.

## 20. Ὅτι καὶ διὰ ψευδῶν λόγων καὶ πράξεων ἐπιπλάστων καὶ συνθημάτων ὁμοίων οἱ πολέμιοι κατεργάζονται.

1 Ὁ Ἀλέξανδρος ὥρᾳ θέρους παρακειμένων αὐτῷ πολεμίων καὶ σὺν τῇ στρατιᾷ παρὰ ποταμὸν διερχόμενος, ἵνα μὴ τὴν τάξιν οἱ Μακεδόνες λύσωσι, πᾶσι παρήγγειλε τῆς τοῦ ὕδατος ἀπέχεσθαι γεύσεως πεφαρμαγμένον εἶναι τοῦτο διϊσχυριζόμενος. μετὰ μέντοι τὴν ἐκεῖθεν τῶν πολεμίων ὑποχώρησιν τῶν ἄλλων ἀποδειλιώντων διὰ τὸν λόγον τοῦ ὕδατος μετασχεῖν πρῶτος αὐτὸς ἀπεγεύσατο καὶ ἐθαυμάσθη τοῦ μηχανήματος.

2 Ὁ Αὐτοφραδάτης εἰς τὴν τῶν Πισιδῶν χώραν διανοούμενος εἰσελθεῖν, ἐπειδὴ τὰ στενὰ τῶν τόπων ἐπιμελῶς ἔγνω κατεχόμενα παρ' αὐτῶν, προσβολήν τε ποιησάμενος καὶ ἀποκρουσθεὶς εὐθὺς ὑπεχώρησεν ἄχρι μιλίων ιβ. καὶ οἱ Πισίδαι φυγὴν τὴν ὑποχώρησιν λογισάμενοι νυκτὸς ἐπιγενομένης καὶ αὐτοὶ ἀνεχώρησαν τῆς φυλακῆς ἀμελήσαντες. ὁ τοίνυν Αὐτοφραδάτης ἀφυλάκτους πάντη τὰς δυσχωρίας καταλαβὼν ἐκεῖθέν τε σὺν παντὶ τῷ στρατεύματι διαβὰς ἀλύπως τὴν

Cap. 20. § 1. exc. 30, 2; cf. P. 4, 3, 28.
Cap. 20. § 2. exc. 31, 15; cf. P. 7, 27, 1.

Πισιδίαν κατέδραμε καὶ περιφανῶς αὐτὴν ληϊσάμενος δι' ἄλλων ὁδῶν νικητὴς ἐπανέζευξεν.

3 Ὁ Κῦρος τὴν τῶν Μασαγετῶν κατατρέχων χώραν τὸ μὲν ἀχρειότερον τοῦ στρατοῦ σὺν τῷ τούλδῳ κατέλιπε τραπέζας αὐτοῖς παραθεὶς βρώμασι παντοίοις βριθούσας καὶ οἴνῳ δαψιλεστάτῳ καὶ τοῖς λοιποῖς καρικεύμασιν, αὐτὸς δὲ μετὰ τῶν μαχιμωτάτων ὑπανεχώρησε· τοῦτο ἡμέρας οἱ Μασαγέται καταμαθόντες καὶ φυγεῖν διὰ δειλίαν τὸν Κῦρον ὑπονοήσαντες πρὸς τὸ στρατόπεδον ὥρμησαν καὶ τοῦτο ληϊσάμενοι πρὸς δεῖπνον ἐτράποντο μεστὰς ἀγαθῶν παντοίων τὰς τραπέζας εὑρόντες ὡς εἴρηται. καὶ ὁ Κῦρος ἀθρόον ἐπεισπεσὼν πάντας ἄρδην ἀπώλεσεν.

4 Ὁ Μέροψ ἐν Ἀντιγονείᾳ τῇ πόλει πολιορκούμενος καὶ τῶν ἀναγκαίων ἐπιλελοιπότων αὐτῷ δύο τῶν μεγίστων πύργων ἄμμου πλήσας νυκτὸς ἄνωθέν τε ἐπιχρώσας σίτῳ τοὺς παρὰ τῶν πολεμίων ἀφικομένους παραλαβὼν πρέσβεας καὶ παρὰ τὴν τῶν πύργων αὐτοὺς εἴσοδον στήσας 'μὴ ἀπατᾶσθε, ἔφη, σπάνιν ἔχειν τῶν ἀναγκαίων ἡμᾶς λογιζόμενοι· ὡς γὰρ καὶ ὑμεῖς ὁρᾶτε, καὶ ἐπὶ πλείστοις ἔτεσι διαρκούσας τροφὰς ἔχομεν. εἰ γοῦν δοκεῖ, σπονδὰς ποιησάμενοι μετ' εἰρήνης ὑποχωρήσατε.' τοῦτο οἱ πρέσβεις ἰδόντες πρὸς σπονδὰς αὐτίκα ἐχώρησαν καὶ τὴν πολιορκίαν ἀσμενέστατα ἔλυσαν.

5 Ὁ Τυρρήνιος ἐν Ἰβηρίᾳ πολιορκούμενος ξυλίνην κατεσκεύασε θίβην ἀλεκτρυόνα τε νεκρὸν ταύτῃ ἐνθέμενος καὶ αὐτὸς ἐν τῇ θίβῃ κατακλεισθεὶς μελανειμονῆσαι τοῖς ἰδίοις ἐπέταξε καὶ πρὸς τὴν πατρίδα τοῦτον ὡς δῆθεν τεθνεῶτα ἀποκομίζειν. οἱ τοίνυν πολέμιοι τεθνάναι τὸν Τυρρήνιον ἀκηκοότες τὸ μὲν πλοῖον οὐκ ἐπεδίωξαν τῇ φήμῃ πιστεύσαντες ἅτε δὴ πρότερον διὰ κατασκόπων τήν τε σορὸν δυσ-

---

Cap. 20. § 3. exc. 31, 10; cf. P. 8, 28.
Cap. 20. § 4. exc. 56, 11; cf. P. 11, 36.

LELAND STANFORD JUNIOR UNIVERSITY DEPARTMENT OF GREEK.

ωδίας εἶναι μεστὴν καταμαθόντες τούς τε οἰκέτας ἅπαντας μελανειμονῆσαι καὶ τὴν πόλιν πᾶσαν ἐν συμφορᾷ μεγίστῃ διὰ τὸν Τυρρήνιον εἶναι. διὸ καὶ τὴν μὲν πολιορκίαν ἐπέτειναν τῶν τειχέων τῆς πόλεως ἔγγιστα τὴν στρατοπεδείαν πηξάμενοι καὶ χάρακα ἐχυρὸν περιβαλόντες αὐτήν. ὁ μέντοι Τυρρήνιος πρὸς τὴν πατρίδα διασωθεὶς καὶ στρατιὰν ὡς ὁ καιρὸς παρεῖχε συλλέξας ἀθρόον ἐπιφανεὶς τῶν πολεμίων ἐκράτησεν.

6 Ὁ Χάρης νεκροῦ τῆς πόλεως ἐκκομιζομένου γυναικεῖαν ἐνδὺς πενθήρη στολὴν καὶ ταῖς θρηνούσαις συναναμίξας ἑαυτὸν οὕτω δὴ τοὺς πολιορκοῦντας διέλαθεν ἐξελθών.

7 Ὁ Δημήτριος ἐν ἁμάξῃ χόρτον τῆς πόλεως ἐκκομιζούσῃ κατακρυψάμενος τὴν πολιορκίαν διέφυγεν.

8 Ὁ Χίλων ἐν εἱρκτῇ κρατηθείς, ἐπεὶ συνήθως ἡ γυνὴ πρὸς αὐτὸν εἰσῄει, ὅτε δὴ καὶ ἠβούλετο, τὴν ταύτης στολὴν αὐτὸς ἐνδυσάμενος τὴν οἰκείαν ἐπέδωκε καὶ τῇ εἱρκτῇ προσμένειν ἐκέλευσεν, αὐτὸς δὲ τοὺς φύλακας διὰ τῆς γυναικείας ἐσθῆτος ἐξαπατήσας καὶ ἀποδρὰς πρὸς τὴν πατρίδα τε ἀκινδύνως διασωθεὶς καὶ στρατιὰν καὶ μισθοφορικὸν ἀξιόλογον συστησάμενος ἀπροσδοκήτως τῇ τῶν πολεμίων ἐπῆλθε πόλει, καθ' ἣν ἐφρουρεῖτο, καὶ ταύτης ἐκράτησεν.

9 Ὁ Μέροψ ἐν εἱρκτῇ συγκλεισθεὶς νοσεῖν ὑπεκρίνατο, κιμωλίαν τε σὺν ὕδατι ἐμβαλὼν τῷ στόματι, εἶτα ἀποπτύων αὐτὴν ὡς μετ' οὐ πολὺ τεθνηξόμενος ἐλογίσθη· ἀμελῶς τοίνυν διὰ τοῦτο τῶν φυλάκων διατεθέντων φυγεῖν ἐκεῖθεν εὐχερῶς ἴσχυσεν.

---

Cap. 20. § 6. exc. 52, 3; cf. P. 3, 7, 3.
Cap. 20. § 7. exc. 52, 4; cf. P. 3, 15.
Cap. 20. § 8. exc. 52, 7; cf. P. 8, 34.
Cap. 20. § 9. exc. 52, 5; cf. P. 6, 54.

---

9 *Χάρης* L] *Λαχάρης* Polyaen. et exc. ‖ 14 *Χίλων*] *Χιλωνὶς* exc.

Ὁ δ' αὐτὸς πολιορκηθεὶς ἑαυτὸν ἐν χρῷ κουρίαν ποιήσας 10
στολήν τε ἀμφιεσάμενος πενιχρὰν καὶ ῥυπῶσαν καὶ φορβιὰν ἀνὰ χεῖρας φέρων ὡς τὸν τοῦ δεσπότου ἀπολωλεκὼς ἵππον τὸ στρατόπεδον περιήει σκοπῶν ἕκαστα. οὕτω τε διὰ μέσου τοῦ τῶν πολεμίων διελθὼν χάρακος συμμάχους τε πλείστους προσεταιρισάμενος καὶ τὸν οἰκεῖον συγκαταμίξας αὐτοῖς στρατὸν ἀθρόον ἐπελθὼν καὶ τῷ ἀπροσδοκήτῳ καταπλήξας τοὺς πολεμίους εὐχερῶς τούτων ἐκράτησεν.

Ὁ Μέμνων κατὰ τῶν Κυζικηνῶν ἐκστρατεύσας, ἐπεὶ 11
ἔγνω Χάλκιν τὸν Μακεδόνα πρὸς συμμαχίαν ἐκδεχομένους αὐτούς, στολὰς Μακεδονικὰς καὶ ὅπλα τοιαῦτα τῷ οἰκείῳ στρατῷ περιθέμενος εἷλεν οὕτω τὴν πόλιν.

Ὁ τῶν Λακεδαιμονίων βασιλεὺς Κλεομένης πολεμῶν 12
τοῖς Ἀργείοις καὶ τούτους κατανοήσας ἐξακολουθοῦντας αὐτῷ καί, ὅτε μὲν ὡπλίζετο, ὁπλιζομένους, ὅτε δὲ ἐπὶ δεῖπνον ἐτρέπετο, καὶ αὐτοὺς ὡσαύτως ποιοῦντας πᾶσι παρήγγειλεν, ὅτε τὸ τοῦ δείπνου δοθείη σύνθημα, τότε δὴ κατοπλισθῆναι καὶ τῷ τῶν πολεμίων ἐπελθεῖν στρατοπέδῳ. τοῦ τοίνυν συνθήματος ὡς ἔθος δοθέντος οἱ Ἀργεῖοι πρὸς ὕπνον αὐτίκα ἐτράποντο. καὶ ὁ Κλεομένης ἀόπλους αὐτοὺς καὶ περὶ τὸ δεῖπνον ἀσχολουμένους ἐπικαταλαβὼν πάντας ἀπέκτεινεν.

Ὁ Ἀλέξανδρος πρὸς Δαρεῖον πολεμῶν τοῖς Μακεδόσιν 13
ἐπέταξεν, ὅταν τοῖς πολεμίοις πλησιάσωσι, τότε δὴ τὰ γόνατα κλίναντας τρίβειν τὸ δάπεδον ταῖς χερσί, τῆς δὲ σάλπιγγος ὀξὺ καὶ διάτορον ἠχησάσης τότε δὴ μετὰ θυμοῦ καὶ πλείστης ὁρμῆς κατὰ τῶν πολεμίων χωρεῖν. τούτου γενομένου νομίσαντες οἱ Πέρσαι δειλίᾳ καὶ φόβῳ τοὺς Μακεδόνας συνισχημένους τὸν σφῶν βασιλέα Δαρεῖον αὐτοὺς προσκυνεῖν καὶ

Cap. 20. § 11. exc. 28, 3; cf. P. 5, 44, 5.
Cap. 20. § 12. exc. 20, 1; cf. P. 1, 14.
Cap. 20. § 13. exc. 18, 5; cf. P. 4, 3, 5.

10 Χάλκιν] Χάλκαν exc.

διὰ τοῦτο τῆς ὁρμῆς καὶ ἀνδρίας αὐτῶν ὑπενδόντες, ἅμα δὲ καὶ τῷ αἰφνιδίῳ τῆς τῶν πολεμίων ὁρμῆς κατασεισθέντες τὰς ψυχὰς ὡς εἰκὸς ἦν πρὸς φυγὴν ἐτράποντο.

14 Ὁ Παμμένης νυκτομαχῆσαι δι' ὀλιγότητα στρατοῦ διανοηθεὶς κατασκόπους εἰς τὸ τῶν πολεμίων πέμψας στρατόπεδον καὶ τὸ ἐν νυκτὶ γιγνόμενον πρὸς ἀλλήλους καταμαθὼν δι' αὐτῶν σύνθημα, ἐπελθὼν ἀωρὶ τῶν νυκτῶν τούτων ἐκράτησεν ἅτε μὴ δυναμένων τοὺς ἰδίους διακρίνειν ἀπὸ τῶν πολεμίων.

15 Ὁ Μάγας τοὺς παρὰ τῶν πολεμίων φρυκτούς, ὅπως ἔν τε εἰρήνῃ καὶ μάχῃ ἐγίγνοντο, κατανοήσας φρυκτοὺς φιλίους ἀνάψας αὐτὸς καὶ δι' αὐτῶν τοὺς πολεμίους ἐξαπατήσας εὐχερῶς ἐνίκησεν.

16 Ὁ Τελεσίνικος ἅμα φωτὶ τὸν οἰκεῖον ἀριστῆσαι παρασκευάσας στρατόν, εἶτα τοῖς πλοίοις αὐτὸν ἐμβιβάσας εἰς Μεθώνην ἀπῄει. καὶ πρὸς συμπλοκὴν δῆθεν ἑτοιμαζόμενος τὸ πλεῖστον οὕτω τῆς ἡμέρας παρελθεῖν παρεσκεύασε, σύνθημά τε δεδωκὼς ἀρίστου πρὸς τὸν λιμένα κατῆρεν ἀριστῆσαι προσποιησάμενος. τὸ δ' αὐτὸ καὶ τῶν πολεμίων ποιησάντων αὐτίκα ὁ Τελεσίνικος ἀθρόον ἐπιφανεὶς τῷ αἰφνιδίῳ κατέπληξε καὶ πάντων ἐκράτησεν.

17 Ὁ Δαρεῖος ἐπολέμει τοὺς Σάκας. τούτων τοίνυν εἰς τρεῖς μοίρας διαιρεθέντων, ἐπεὶ μιᾷ προσβαλὼν ἐνίκησε τάς τε στολὰς καὶ τὰ τῶν πεσόντων ὅπλα τοὺς ἰδίους στρατιώτας ἐνέδυσε τῶν τε ἵππων αὐτῶν ἐπιβῆναι καὶ τὰς τῶν πολεμίων φέρειν σημαίας ἐπέταξε καὶ οὕτω κατὰ τῶν λοιπῶν χωρεῖν σχολῇ καὶ βάδην τὴν πορείαν πεποιημένους. τοῦτο τοὺς Σάκας ἐξαπατῆσαν πάντας ἄρδην διέφθειρεν.

---

Cap. 20. § 14. exc. 20, 2; cf. P. 5, 16, 5.
Cap. 20. § 15. exc. 21, 1; cf. P. 2, 28, 2.
Cap. 20. § 16. exc. 31, 10; cf. P. 5, 32.
Cap. 20. § 17. exc. 28, 5; cf. P. 7, 11, 6.

---

10 *Μάγας*] *Μέγης* L ‖ 11 *φιλίας* L.

## 21. Ὅτι ἀσφαλεστάτας χρὴ τὰς ἐνόρκους συμφωνίας ποιεῖσθαι τὸν στρατηγόν.

Οἱ Καμπανοὶ ὤμοσαν ἐπιδοῦναι τοῖς αὐτοὺς πολιορ- 1 κοῦσι τὰ ἥμισυ τῶν ὅπλων ἅπαντα. καὶ οὕτω τῆς πολιορκίας λυθείσης δίχα τῶν ὅπλων, τεμόντες ἕκαστον ἄχρηστα ταῦτα τοῖς πολεμίοις ἀπέδειξαν.

Ὁ Ὀνίας λάκκον ὀρύξας ξύλα τε ἐπιθεὶς καὶ χοῦν ἐπι- 2 βαλὼν ἄνωθεν ἐν αὐτῷ τοὺς ὅρκους ἐτέλει. ὤμοσέ τε τὰ συμπεφωνημένα τηρεῖν ἀσφαλῶς, ἄχρις ἂν ἐν τῷ αὐτῷ ἥδε ἡ γῆ διαμένοι σχήματι, τῇ χειρὶ δείξας τὸν τόπον, ἐφ' ᾧ τοὺς ὅρκους ἐτέλει. μετὰ μικρὸν τοίνυν τῶν ξύλων ἀρθέντων καὶ τοῦ βόθρου ἀναφανέντος τοῖς πολεμίοις ἐπέθετο.

Ὁ Δερκυλλίδας ὤμοσεν ἐξελθόντα τῆς πόλεως τὸν Μει- 3 δίαν αὖθις ἐξαποστεῖλαι τοῦτον σὺν πλείστῃ δορυφορίᾳ. τούτοις ὁ Μειδίας τοῖς λόγοις πιστεύσας τῆς τε πόλεως προελθὼν καὶ αὐτῷ συγγενόμενος ἑάλω παρὰ τοῦ Δερκυλλίδου. ὡς δὲ ἀνελεῖν αὐτὸν ἐκεῖνος ἠπείλησεν, εἰ μὴ τὴν πόλιν αὐτῷ παραδῷ, τῷ φόβῳ κατασεισθεὶς τὴν ψυχὴν ὁ Μειδίας τὰς πύλας εὐθὺς ἀνεπέτασε. καὶ ὁ Δερκυλλίδας αὐτὸν μὲν προηγεῖσθαι ἐκέλευε στολὴν βασιλικὴν περικείμενον, εἵπετο δὲ οὕτως αὐτῷ σὺν τῇ στρατιᾷ καὶ οὕτω τὴν πόλιν ἑλὼν εὐορκῆσαι λοιπὸν διετείνετο.

## 22. Περὶ προδοτῶν.

Ὁ τῶν Ἀθηναίων στρατηγὸς Ἰφικράτης μαθὼν ἐν Χίῳ 1 τὰ Λακώνων φρονεῖν τινας καὶ τούτους ἀνευρεῖν προθέμενος

---

Cap. 21. § 1. exc. 39, 5; cf. P. 6, 15.
Cap. 21. § 2. exc. 39, 7; cf. P. 7, 34.
Cap. 21. § 3. exc. 39, 2; cf. P. 2, 6.
Cap. 22. § 1. exc. 40, 2; cf. P. 3, 9, 58.

τοῖς ἰδίοις ἐπέταξεν ἡμέρας ἐπιγενομένης Λακωνικὴν ἐνδῦναι στολὴν οὕτω τε τῇ πόλει τῶν Χίων ἐπιθέσθαι. τοῦτο οἱ τὰ Λακώνων φρονοῦντες θεασάμενοι σὺν χαρᾷ πρὸς τὸν λιμένα ἐξέδραμον. καὶ ὁ Ἰφικράτης ὡς προδότας αὐτοὺς συλλαβὼν εἰς Ἀθήνας δεσμίους ἐξέπεμψεν.

2 Ὁ Ἁβραδάτας ὁρῶν ἐν τῷ στρατοπέδῳ τῶν ἱππέων τοὺς πλείστους χωροῦντας τοῖς πολεμίοις ἔπεισε τοὺς πεζούς, ὡς αὐτὸς ὡς ψευδαυτομόλους τούτους παρὰ τὸ τῶν πολεμίων στρατόπεδον ἔπεμψε. καὶ οὕτω θάρσους ὑποπλησθέντες οἱ στρατιῶται προθύμως τε ἠγωνίσαντο καὶ τοὺς πολεμίους ἐτρέψαντο.

3 Ὁ Ἀρσάμης πρὸς πόλεμον παρεσκευασμένην ἤδη τὴν στρατιὰν ἔχων, ἐπεὶ τὸν τοῦ δορυφορικοῦ ὕπαρχον μετὰ τριακοσίων ἀρίστων τοῖς ἐχθροῖς ἤκουσε προσχωρεῖν, τοῦτον μὲν εὐθὺς διεδέξατο, τῶν τινα δὲ πιστοτάτων ὕπαρχον προβαλλόμενος ψευδαυτομολῆσαι μετὰ τριακοσίων ἐκέλευσε καὶ τοῦ πολέμου ἀκμάζοντος τότε δὴ καὶ αὐτὸν ἐπιθέσθαι κατὰ νώτου τοῖς πολεμίοις. τούτου γενομένου νίκην ὁ Ἀρσάμης ἀρίστην τε καὶ κρατίστην ἐντεῦθεν ἤρατο.

## 23. Ὅτι ἐν τῷ πολέμῳ τὸ μὲν συνεστὼς ἀεὶ τῶν πολεμίων δεῖ κτείνειν ἀφειδῶς, ἧττον δὲ τοῖς κατὰ κράτος φεύγουσιν ἐπιτίθεσθαι καὶ μάλιστα ἐν τοῖς στενοῖς καὶ δυσβάτοις τῶν τόπων.

1 Ὁ Λυκοῦργος τοῖς ἰδίοις παρήγγειλε στρατιώταις τὸ μὲν συνεστὼς ἀεὶ τῆς τῶν πολεμίων παρατάξεως ἀφειδῶς κτείνειν, ὡς ἂν πρὸς φυγὴν τούτους καταναγκάζωσιν, ἧττον δὲ

---

Cap. 22. § 2. exc. 40, 4; cf. P. 7, 21, 7.
Cap. 22. § 3. exc. 44, 2; cf. P. 7, 28, 2.
Cap. 23. § 1. exc. 45, 1; cf. P. 1, 16, 3.

---

6 Ἁβραδάτας] Δατάμης exc. et Polyaen.

τοῖς ἤδη τραπεῖσι προσφέρεσθαι, ἵνα, φησίν, ἐξ αὐτῆς πείρας λυσιτελέστερον τοῦ συνίστασθαι τὸ φεύγειν καταμαθόντες ῥᾷστα πρὸς φυγὴν τρέπωνται.

Ὁ Ἀγησίλαος τοῖς ἰδίοις ἐπέταττε στρατιώταις πάροδον 2
ἀεὶ διδόναι τοῖς ἤδη τραπεῖσι τῶν πολεμίων καὶ φεύγουσιν ἀνὰ κράτος.

Ὁ Ἰφικράτης τοῖς ἰδίοις παρήγγελλεν, ὅταν τοὺς πολε- 3
μίους εἰς φυγὴν τρέψωνται, διώκειν μὲν αὐτούς, μὴ μέντοι ἐν δυσχωρίαις ἢ ποταμοῖς κυκλοῦν αὐτοὺς σπεύδειν, κἀντεῦθεν τὴν πάροδον ἀποφράττειν, ἵνα μὴ καταναγκαζόμενοι, φησί, μετ᾽ ἀπογνώσεως πολεμῶσιν. ὁ δ᾽ αὐτὸς μηδὲ ἐπὶ πολὺ τοῖς τείχεσι προσπελάζειν ἐν ταῖς τειχομαχίαις ἐκέλευεν.

## 24. Πῶς ἄν τις ἀκινδύνως καὶ σὺν ἀσφαλείᾳ τὴν ὑποχώρησιν ποιήσαιτο.

Ὁ Ἰφικράτης λαθεῖν τοὺς πολεμίους παρακειμένους βου- 1
λόμενος τῶν ἀνὰ τὸ στρατόπεδον ὄντων δένδρων τοὺς κλάδους τεμὼν ἀσπίδας τε καὶ κόρυθας ἀπαιωρήσας αὐτῶν ὄρθιά τε δόρατα παρὰ ταῖς ἀσπίσι στήσας τοῖς μὲν πολεμίοις δόξαν στρατοπέδου παρέσχεν, αὐτὸς δὲ νυκτὸς σὺν τῷ στρατῷ παντὶ τὴν ὑποχώρησιν ἐποιήσατο.

Ὁ Χαβρίας Ἀγησιλάῳ πολεμῶν καὶ διὰ τὴν τοῦ στρα- 2
τοῦ ὀλιγότητα τὴν ὑποχώρησιν κλέψαι διανοηθεὶς τοῖς μὲν στρατιώταις πυρὰ πλεῖστα καίειν ἐπέταξεν, αὐτὸς δὲ τὴν ἀποσκευὴν σὺν τῇ πραίδᾳ καταλιπὼν σὺν τῷ στρατῷ νυκτὸς τὴν ὑποχώρησιν ἐποιήσατο.

---

Cap. 23. § 2. exc. 45, 2; cf. P. 2, 1, 4.
Cap. 23. § 3. exc. 45, 3; cf. P. 3, 9, 2.
Cap. 24. § 1. exc. 46, 4; cf. P. 3, 9, 18.
Cap. 24. § 2. exc. 46, 6; cf. P. 3, 11, 15.

---

3 τρέπονται L.

3 Ὁ Μέροψ τῶν πολεμίων ἐν δυσχωρίαις καταδιωκόντων αὐτὸν τοῖς πελεκηφόροις τῶν πεζῶν ἐπέταξε τὰ ταῖς ὁδοῖς πλησιάζοντα δένδρα τέμνειν ἐπιμελῶς ὕλην τε ξηρὰν συμφοροῦντας αὐτίκα καίειν ἐπιμελῶς πῦρ ἄφθονον ἐνιέντας. καὶ οὕτω σὺν ἀσφαλείᾳ τὴν φυγὴν ἐποιήσατο.

4 Ὁ Ἀννίβας ἐν στενωτάτοις ἀπολειφθεὶς τόποις ὑπὸ Ῥωμαίων φυλαττομένοις βοῶν ἀγέλας συναγαγὼν τοῖς τε κέρασιν ἑκάστου φῶτα προσδήσας τῆς στρατιᾶς προάγειν ἐκέλευε. πρὸς τοῦτο νυκτὸς οἱ Ῥωμαῖοι καταπλαγέντες ῥᾳδίως πρὸς φυγὴν ἔκλιναν. καὶ ὁ Ἀννίβας ἀκινδύνως παρῆλθεν.

5 Ὁ Ὀνίας φεύγειν διανοηθεὶς καὶ τὴν ἐπιδίωξιν εὐλαβούμενος ταῖς τῶν ἵππων ὁπλαῖς ἀντιστρόφως τὰ σωληναῖα τῶν πετάλων περιέθηκε καὶ οὕτω φυγὴν ἀκίνδυνον ἐποιήσατο.

## 25. Ὅτι ἐπιεικέστερον χρὴ τὰς τιμωρίας τοῖς ἐπταικόσιν ἐπιφέρειν τῶν στρατιωτῶν.

1 Ὁ Καῖσαρ οὐκ ἐκόλαζε πάντας τοὺς πταίσαντας στρατιώτας, ἀλλ' ἢ μόνους τοὺς ἡγεμόνας ἢ καὶ ἄλλως τῶν λοιπῶν κρείττονας καὶ τὴν ἀρχὴν τῆς τοῦ κακοῦ παρασχόντας αἰτίας. πρόξενον γὰρ ἀνδρίας τὴν συμπάθειαν ἔλεγεν.

2 Ὁ Σεβαστὸς τοὺς μὲν μετρίως ἐπταικότας τῶν στρατιωτῶν τὴν ζώνην ἀφῃρεῖτο, τούτους ἀζώνους δι' ὅλης τῆς ἡμέρας ἑστάναι παρασκευάζων ἢ καὶ γυναικείας στολὰς αὐτοῖς περιβάλλων. τοὺς αἰτιωτάτους μέντοι καὶ λίαν ἀσυμπαθῶς ἐκόλαζεν.

3 Ὁ Ἀμίλκας τοὺς τὸν ἀδελφὸν ἀνελόντας συλλαβὼν εἴς τε τὸν ἑκάστου πατήσας τράχηλον εἶτα μέντοι ἀπέλυσεν ἐπειπών· 'ἀποχρῶσαν ἐπὶ τῷ τοῦ ἀδελφοῦ φόνῳ τὴν δίκην ἔλαβον, ἐπεὶ διὰ κακοῦ τὸ κακὸν οὐκ ἠμυνάμην αὐτός.'

---

Cap. 24. § 3. exc. 46, 1; cf. P. 1, 38, 5.
Cap. 24. § 4. exc. 46, 10.
Cap. 25. § 1. exc. 53, 1; cf. P. 8, 23, 21.
Cap. 25. § 2. exc. 53, 3; cf. P. 8, 24, 3 et 5.
Cap. 25. § 3. exc. 2; cf. P. 5, 11.

## 26. Πῶς ἐπανιὼν τις ἐκ πραίδας ἀκινδύνως διασωθείη τῶν πολεμίων ἐν ταῖς δυσχωρίαις ἐπιθεμένων αὐτῷ.

Ὁ Ἀγησίλαος πολλὰς τῶν τῆς Ἀσίας καταδραμὼν πόλεων πλείστην τε πραῖδαν ἐντεῦθεν περιβαλόμενος, ἐπειδὴ τοὺς πολεμίους ἐν ταῖς δυσχωρίαις ἐλλοχᾶν αὐτὸν ἤκουσεν, ὅσους εἶχε συναγαγὼν αἰχμαλώτους καὶ γυμνώσας αὐτοὺς παντὸς περιβλήματος τῆς ἰδίας στρατιᾶς προεβάλετο. τοῦτο οἱ πολέμιοι καταμαθόντες τοῦ πολεμεῖν αὐτίκα ἐπαύσαντο. 1

Ὁ Ὀνίας τοὺς αἰχμαλώτους συναγαγὼν ἅπαντας καὶ γυμνοὺς αὐτοὺς τῆς ἰδίας προτάξας στρατιᾶς τῇ τῶν πολεμίων προσέβαλε πόλει καὶ ταύτης ἐκράτησεν. 2

## 27. Ὅτι προφανοῦς ἐκ τοῦ μὴ πολεμεῖν ἀποφαινομένου κινδύνου παραβαλώτερον χρὴ τηνικάδε τὸν στρατηγὸν πολεμεῖν.

Ὁ Λάκων τοὺς ἀσπιδηφόρους προτάξας μισθοφόρους αὐτοῖς ἐπέστησε Σκύθας, ἐπιτάξας ἀφειδῶς κτείνειν τοὺς πρὸς φυγὴν τραπῆναι τολμήσοντας. καὶ οὕτω τῶν προμάχων ἀσπιδηφόρων ἀνδρείως ἀγωνισαμένων ὁ Λάκων ἀνὰ κράτος ἐνίκησεν. 1

Ὁ Ἰφικράτης μεγίστης προκειμένης ἀνάγκης, ἐπειδὴ πρὸς πλείους πολεμεῖν ἔμελλε, τάφρον μεγίστην τῆς ἰδίας 2

---

Cap. 26. § 1. exc. 42, 2; cf. P. 2, 1, 30.
Cap. 26. § 2. exc. 54, 22; cf. P. 3, 9, 62.
Cap. 27. Hoc ultimum caput edidit C. Mueller in Iahnii annal. suppl. IV, p. 557.
Cap. 27. § 1. exc. 14, 19; cf. P. 6, 9, 4.
Cap. 27. § 2. exc. 14, 9; cf. P. 3, 9, 12.

---

16 Λάκων] Λεύκων exc. et Polyaen.

ὄπισθεν ὤρυξε παρατάξεως. οὕτω τοίνυν τὴν φυγὴν ἀπογνόντες οἱ στρατιῶται καὶ τολμηρότερον διὰ τοῦτο προσβαλόντες τοῖς πολεμίοις τούτων ἐκράτησαν.

3 Ὁ Ἀλέξανδρος τοὺς Μακεδόνας πρὸς τὸν Περσικὸν ἀποδειλιῶντας ὁρῶν πόλεμον τὰς τῶν μεγίστων ποταμῶν γεφύρας μετὰ τὴν τῆς στρατιᾶς διάβασιν καθαιρῶν τολμηροτέρους αὐτοὺς δι᾽ ἀπόνοιαν παρεσκεύασεν.

# INDEX HISTORICVS
## AD POLYAENI STRATEGEMATA.

(Numeri sunt paginarum et versuum.)

Abantes 11, 11 ..
Abderitae 165, 22.
Abydos, Abydeni 38, 7.. 98, 19. 132, 19 .... 329, 3.
Acanthus urbs 310, 18 ..
Acarnanes, Acarnania 60, 9, 63, 22 ... 113, 4. 408, 18 ... 424, 13—25.
Ace, urbs Phoeniciae 137, 18.
Achaeus, dux Seleuci 216, 7.
Achaei, Achaia 6, 15. 108, 14.. 283, 12. 300, 5. 331, 12. 408, 12 ..
Achelous fl. 406, 18.
Acrocorinthus 186, 16 .. 283, 21 ... 418, 20 ..
acropolis Athenarum 43, 7 .. 407, 18.
Acues, dux Arcadum 15, 1—7.
Adramyttium urbs 339, 6.
Adriaticum mare 390, 6 ...
Aeatus, Phidippi f. 406, 16.
Aegias, v. Aesias.
Aegina, Aeginetae 32, 19 .. 151, 20. 200, 22. 251, 11.
Aegos fluvius 51, 22.
Aegyptus, dux Mausoli 287, 20—288, 6.
Aegyptus, Aegytii 15, 19. 68, 15. 94, 16 ... 130, 24. 148, 20. 149, 20 ... 202, 8. 218, 5. 314, 11. 23. 320, 10 ... 323, 23 .. 394, 7 ... 409, 18. 410, 3.
Aeneas 391, 9.
Aenetus, dux Demetrii 257, 10..
Aenus urbs 97, 5.
Aeoli, Aeolis 290, 4. 305, 16.
Aeolus, pater Sisyphi 4, 17.
Aeropus, rex Macedonum 66, 23. 185, 23.
Aeropus, dux Philippi 159, 20.
Aeschines 275, 21.
Aesculapius 233, 19.
Aesias (Aegias?) trapezita Sicyonius 284, 5.
Aethia (sive Aethylla) Priami soror 353, 13.
Aethiopicum cuminum 183, 5.
Aetoli, Aetolia 197, 23. 207, 21. 261, 15. 276. 419, 8 ... 424, 13. 425, 3.
Agamemnon 11, 15 ...
Agathocles, tyrannus Syrac. 236, 17—240, 10. 252, 5 ... 268, 17. 304, 19 ..
Agathostratus Rhodius 256, 20—257, 8.
Agbatana 313, 9.
Agemachus, dux Messeniorum 107, 21.
Agesilaus 55, 17 .. 60, 8—72, 17. 81, 10. 152, 22 .. 185, 23.

Agesipolis 99, 9—16.
Agis Arcas 331, 12.
Agis (rex Lacedaemoniorum) 53, 14—54, 2. alius 92, 17.
Agrauli templum 23, 4.
Agrigentum, Agrigentini 222, 18. 223, 22. 224, 1. 246, 5 .. 308, 12.
Alba, Albani 359, 16. 362, 11.
Albinus 365, 24 ..
Alcetas Lacedaemonius 87, 12 —88, 2.
Alcetas Macedo 189, 11. 190, 5 ... 420, 13.
Alcibiades 42, 3—46, 15. 116, 13.
Alesia, urbs Galliae 383, 19.
Aleuadae 162, 9 ..
Alexander φρούραρχος 290, 3 —14.
Alexander Pheraeus 281, 1—24.
Alexander Thessalus 306, 1—6.
Alexander Magnus 166, 14—184, 22. 186, 4. 194, 14. 204, 19 ... 205, 24 .. 307, 7 .. 402, 17 .. 420, 7.
Alexander, Magni f. 206, 3.
Alexander, Lysimachi f. 291, 1—14.
Alexander, praefectus Corinthi 186, 16.
Alexander (Pyrrhi f.), rex Epiri 413, 8.
Alpes 379, 4 ...
Alyattes, rex Lydorum 306, 7 .. 313, 14—314, 9.
Amage (?), regina Sarmatarum 417, 8—418, 6.
Amanides pylae 209, 13.
Amasis, rex Aegypti 314, 21 —315, 3. 394, 7.
Amasis, v. Arsames.
Amazones 7, 21 ..
Ambracia, Ambraciotae 295, 12—296, 12. 413, 2.
nestris, uxor Lysimachi 291, 2.
Amilcar, dux Carthag. contra Agathoclem 239, 8. 304, 17 —305, 12.
Amilcar (Barcas? Rhodanus?) 247, 9 ...
Aminias archipirata 197, 14 ..
Amisus 333, 18.
Ammonis oraculum 314, 12.
Amoebeus citharoedus 186, 21.
Amorges, rex Sacarum 324, 10.
Amphictyones 291, 15—22.
Amphilochi 113, 4.
Amphipolis 38, 22. 39, 3. 20 ... 143, 5. 163, 21 ... 213, 11. 310, 15.
Amphiretus (?) Acanthius 310, 17—25.
Amphissa 161, 8 ..
Amulius 359, 14—21. 360, 3.
Amyntas, Perdiccae f. 420, 3 ..
Anaceum 22, 18.
Anaxagoras, Echeanactis f. 307, 4—25.
Anaxibius Laco 132, 21.
Anaxilas, dux Byzantiorum 54, 12.
Ancyra 420, 23.
Andragathus, praef. Amphipolis 213, 11.
Andromachus, dux Seleuci 216, 7 ..
Andron, familiaris Dionysii I. 226, 10 ..
Andron archipirata 257, 13.
Anio fl. 364, 8.
Annibal 302, 18—304, 17. 353, 19 .. 356, 4. 370, 2. 21. 371, 1. 375, 5.
Anno Carthaginiensis 244, 10 —18.
Antalcidas 98, 18—99, 7.
Anthropinus 239, 18.
Anticyra 291, 18.
Antigenes, dux Argyraspidum 204, 13 ..
Antigonus 186, 14—199, 2; ad

Gonatam pertinent § 1. 2. (?) 3. 17. 18. 20, item 283, 22. 285, 9 . .; ad Philippi f. § 4 —16. 19 et 206, 6 . . 207, 5.
Antiochia 421, 4.
Antiochus, Seleuci f. (Soter) 215, 1—14. 286, 22.
Antiochus, Antiochi f. Θεὸς 215, 15—216, 2. 411, 10.
Antiochus Hierax 216, 3—217, 6.
Antiochus Epiphanes 220, 3.
Antipater Macedo 161, 11. 170, 22. 184, 23—186, 2. 188, 5 . . . 196, 17. 420, 9.
Antipatrides, tyrannus Telmessi 267, 15 . . .
Antoninus (Marcus) imperator 3, 2. 60, 3. 112, 3. 158, 3. 222, 3. 277, 3. 312, 3. 361, 3.
Ἀπατούρια 20, 14.
Aphasius collis 323, 4.
Apis 324, 2.
Apollo 178, 1. 325, 19. 362, 7. 400, 13.
Apollodorus, tyrannus Cassandreae 197, 12 . . . 286, 7—287, 19.
Apollonia 376, 7.
Apries, rex Aegypti 394, 9 . . .
Arabes, Arabia 167, 10. 314, 22. 324, 1.
Arachosia 196, 1.
Aratus (Sicyonius) 283, 20—285, 6.
Arbela 168, 10. 172, 1. 177, 16.
Arcades, Arcadia 12, 15 . . . 13, 4. 15, 6. 46, 17 . . 47, 20. 65, 15. 79, 8. 92, 14. 94, 4. 130, 15. 202, 23. 263, 16. 265, 15. 266, 9. 285, 17. 302, 12 . . . 330, 7. 331, 12. 397, 16 . .
Arcadicus pileus 214, 15.
Arcesilaus, pater Batti, rex Cyrenes 403, 17.
Arcesilaus, Batti et Pheretimae f. 409, 9.
Archebius Heracleota 269, 11 —21.
Archelaus, praef. Acrocorinthi 284, 1.
Archelaus, dux Mithridatis 366, 8.
Archibiades Byzantius 271, 7.
Archidamis 410, 20—411, 8.
Archidamus (Zeuxidami f.) 37, 22 . . 46, 16—47, 20.
Archidamus (Agesilai f.) 47, 20—48, 12.
Archimedes Syracusanus 368, 10.
Archinus, tyrannus Argorum 117, 19—118, 4.
Aretaphila 400, 10—401, 8.
Argaeus, rex Macedoniae 158, 7—159, 4.
Arginusae 51, 4.
Argivi, Argos 12, 4 . . . 15, 7. 16, 14 . . . 79, 8. 92, 3 . . . 117, 19 . . . 130, 15 . . . 276. 302, 4 . . . 397, 3 . . 424, 2.
Argolis, Argolides 130, 16. 424, 1—11.
Argonautae 425, 15.
argyraspides 195, 7. 20. 204, 12 . .
Ariaeus 330, 1 . .
Aribaeus, dux 343, 6 . .
Ariobarzanes 339, 5—15.
Ariomazes 179, 13.
Aristagoras Milesius 25, 12 . .
Aristarchus, medicus Berenices 411, 23.
Aristeus Argivus 424, 3.
Aristides (Atheniensis) 34, 3 —14.
Aristides Eleates 290, 15—26.
Aristocles Tegeates 99, 22.
Aristocrates Atheniensis 269, 22 —270, 7.
Aristodemus (Heraclida) 11, 2 . .
Aristogiton 23, 20—24, 2. 407, 9 . .

Aristomachus 270, 8—14.
Aristomenes Lacedaemonius 103, 22—104, 2.
Aristomenes Messenius 104, 3—105, 22.
Ariston Corinthius 250, 1—22.
Ariston, Autoleontis f. 213, 17.
Aristonicus Olynthius, citharoedus 271, 9.
Aristonymus(Aristonicus?), tyr. Methymnae 272, 6 . .
Aristophon Atheniensis 127, 1.
Armenia 205, 22. 216, 5.
Arne, urbs Thessaliae 15, 9.
Arsaces eunuchus 32, 1.
Arsames, rex Armeniae 216, 6.
Arsames (Amasis ab Aryanda missus?) 340, 20—341, 9.
Arsames (Datames?) 341, 9—26.
Arsinoe, uxor Lysimachi 418, 7—18.
artaba 181, 18.
Artabazus, Pharnacis f. 344, 5—345, 2 (§ 2 alius).
Artaxerxes (Mnemon) 326, 12. 329, 21—330, 21.
Artaxerxes, Ochi pater 330, 22.
Artemisia, Lygdamidis f. 413, 17—415, 5 (§ 4 A. uxor Mausoli).
Arxilaidas Laco 88, 3—13.
Aryandes, satrapes Aegypti 323, 23. 345, 3—12. 409, 18. Cf. Arsames.
Asdrubal 276. 374, 5.
Asia 7, 9. 55, 18. 62, 5. 63, 3 . . 69, 10. 71, 19. 96, 2. 168, 19. 171, 20. 186, 2. 192, 7. 195, 9. 213, 13. 261, 15. 301, 16. 318, 2. 332, 3. 351, 23. 405, 10.
Aspendus 335, 6.
Assesia, v. Minerva.
Assyrii 392, 19.
Astacus (urbs Bithyniae) 103, 9 . .
*Astibus fl. 213, 21.*
Astypalaea, acropolis Sami 25, 3.
Atarneus urbs 258, 13.
Athenae 11, 17. 32, 18. 43, 4. 52, 11. 53, 6 . . . 114, 12 . . 116, 19. 123, 13 . . 198, 18. 201, 14. 255, 2. 298, 8. 307, 22.
Athenienses p. 17—19; 30—41; 43—53; 95—99; 123—130; 138—154; 299—302 passim. 56, 2. 60, 15 . . 71, 14. 106, 3. 11 . . 113, 23. 210, 19 . . 250, 12 . . . 259, 8 . . 262 sq. 269 sq. 309, 10 . . 347, 14 . . . 354, 18. 407, 15.
Athenocles 282, 1—20.
Athenodorus (dux Philippi II.) 258, 11—17.
Atilius (Regulus) 369, 1—15. v. Gaius.
Atintanis 212, 9.
Attalus, dux Macedonum 273, 3. alius 190, 5.
Attalus (I. rex Pergami) 218, 3 . . 219, 1—21.
Attica 20, 4. 22, 6. 37, 18. 38, 2.
Atticus medimnus 181, 18. χοῦς 182, 13. χοῖνιξ 183, 6.
Audoleon, v. Autoleon.
Augustus mensis 367, 23.
Augustus imp. v. Σεβαστός.
Aulon, Laconiae 93, 11.
Autariatae 213, 5. 350, 15.
Autoleon (Audoleon?), rex Paeonum 213, 17.
Autolycus, Mercurii f. 4, 20 . . 309, 2.
Autophradates, satrapes Lydiae 327, 15. 328, 4 . . . 335, 15. 339, 7. 339, 16—340, 19.
Axiothea, uxor Nicoclis 410, 1—19.

Babylon, Babylonii 181, 4. 183, 14. 307, 20. 316, 11. 20 . . . 318, 3 . . . 326, 2 . . . 420, 7.
Bacchae 8, 4.

Bacchae, v. Euripides.
Bacchiadae 264, 5.
Bacchus 6, 23. 7, 1–8, 11. 8, 13. 17. 19. templum B. ψευδάνορος 159,1. Bacchica orgia 7, 8.
Bactri, Bactria 7, 21 ... 175, 19.
Bactrus fl. 325, 23.
Barcaei 409, 17.
Barce, urbs Libyae 340, 21 ... 345, 4 ...
Battus, rex Cyrenes, Arcesilai II. et Eryxus f. 403, 17 ... 409, 9.
Bebryces 399, 15.
Berenice, Ptolemaei f. Antiochi Θεοῦ uxor 411, 12 ...
Bias Prieneus 26, 1—9.
Boedromion 147, 16.
Boeoti, Boeotia 10, 19. 15, 9 .. 20, 2 ... 65, 15. 67, 10. 68, 2. 7. 69, 1. 10. 78, 15. 109, 23. 117, 7. 126, 18. 153, 17. 163, 4 ... 203, 15 ... 331, 11. 351, 2 ... 406, 15. Boeotarchae 203, 16.
Boges, tyr. Eionis 338, 9—16.
Boiscus 162, 10.
Bolus, prope Cassandream 197, 22.
Bosporus 271, 4. 415, 19.
Brasidas 38, 21—40, 15.
Brennus, rex Gallorum 345, 13 —346, 14.
Britanni 277, 10. 380, 12 ...
Brundisium 390, 8.
Bruttius 371, 4 ...
Brutus (M. Iunius) 390, 5. 396, 6 ...
Buchetii 276.
Buzyges Atheniensis 11, 17.
Byzantii, Byzantium 36, 8. 54, 11 ... 75, 1. 12 ... 98, 21. 165, 12 .. 191, 9. 271, 7. 301, 7 ...

Cadmea, arx Thebarum 77, 15. 86, 5.
Caesar Iulius 378, 12–389, 9. 396, 7 ...
Calas Macedo 273, 23.
Calchedon, v. Chalcedon.
Calliades gubernator 270, 20 —271, 2.
Callias, amicus Alcibiadis 42, 9 ..
Callicratidas, dux Lacedaem. 51, 4. 55, 7.
Callicratidas Cyrenensis 100, 1—16.
Callimeles (Callimenes?) Cassandreus 287, 10.
Callippides histrio 290, 7.
Callippus, tyr. Syracusarum 240, 13.
Callisthenes, dux Athen. 255, 15.
Calliteles, pater Sylosontis 305, 14.
Calyndus 414, 5.
Camarinaei 242, 21.
Cambyses 320, 9—18. 394, 18. 409, 19.
Camillus 363, 15–364, 24.
Camma, sacerdos Dianae 401, 9—402, 11.
Campani 292, 8–12. 303, 13.
Cannae 303, 9.
capezis 183, 1 ..
Cappadocia 189, 6. 320, 1.
Cardiani 270, 8.
Cares, Caria 63, 18 .. 165, 1. 200, 7. 255, 5. 314, 14 ... 337, 5. 414, 3. 422, 6 ...
Caromemphitae, pars Memphidis 314, 20.
Carthaginienses p. 26—29. 91, 12 ... 225—240. 244—249. 292, 13—295, 11. 304, 3. 305, 7. 356, 5. 369, 2 ... 374—376.
Carthago 238, 11. 293, 13.
Carthago nova, v. Oenyssa.
Caryae 47, 24.
Casilinum 303, 21.

Casivellaunus, rex Brittanorum 380, 14.
Cassander (Antipatri f.) 206, 1. 210, 17—213, 3.
Cassandrea, Cassandrenses 197, 11 . . . 286, 8 . . .
Cassius 390, 5. 396, 14.
Catana 43, 16 . . . 24 . .
Cathaei, pop. Indiae 180, 11.
Cato, v. Porcius.
Caulonia 290, 16 . .
Caunus (opp. Cariae) 156, 7.
Celaenae 330, 12.
Celtae 350, 14—23. 364, 3 . . . 390, 22 . . . mulieres 355, 18 —356, 7. cf. Galli.
Cenchreae (prope Corinthum) ·199, 18. 285, 5.
Centauri 9, 9 . . .
Cephissus fl. 10, 17 . .
Ceres 21, 13. 106, 3.
Cebrenii, pop. Thraciae 336, 16.
Cersobleptes 343, 12—18. 20.
Chabrias 61, 1. 97, 22. 147, 11 —153, 14.
Chaeronea 159, 10. 161, 3. 203, 18. 402, 14.
Chalcedon, Chalcedonii 98, 22 . . . 301, 6—14. cf. Calchedon.
Chalcidice, Chalcidenses 114, 9 . . 130, 12. 146, 1. 210, 11. 240, 21 . . .
*Χαλκίοικος*, v. Minerva.
Chaldaeus vates 219, 5.
Chares, dux Atheniensium 127, 2. 154, 3—155, 4. 161, 15. 166, 1 . . . alius (?) 272, 6.
Charidemus 155, 5—22.
Charimenes Milesius 270, 15—19.
Cherronesus, Cherronenses 132, 19. 347, 14. 417, 16.
ʰi, locus Aegypti 101, 8.
ileus Arcas 263, 15—264, 3.
Chilonis, Cleadae f., uxor Theopompi 397, 14—398, 2.
Chius, Chii 51, 10. 124, 19. 138, 11. 258, 20. 276. Chiae 423, 10—19.
choenix Attica 183, 6.
*χοῦς* Atticus 182, 12.
Chremonides, *ναύαρχος* Ptolemaei 256, 21.
Chrysame sacerdos 405, 9—406, 13.
Cicero, legatus Caesaris 381, 4.
Ciderius, dux Gallorum 196, 15.
Cilices piratae 378, 14.
Cilicia 192, 8. 196, 8. 209, 17.
Cimbri 366, 18. 367, 9. 20.
Cimmerii 313, 15.
Cimon 35, 20—36, 19.
Cinado Spartanus 93, 7 . .
Cineas Atheniensis 105, 23—106, 9.
Cirrha 115, 19 . . . 291, 16.
Cithaeron 298, 11.
Claudius, v. Marcellus.
Cleadas 397, 15. 411, 11.
Cleandridas Spartanus, dux Thuriorum 89, 7—91, 10.
Clearchus Spartanus 72, 19—77, 12. 331, 8.
Clearchus, tyr. Heracleae 102, 11—103, 21.
Cleombrotus, dux Lacedaem. 78, 7. 79, 23.
Cleomenes (I.), rex Lacedaem. 16, 13—17, 6: 397, 1 . .
Cleon 38, 7—20.
Cleonymus, rex Lacedaem. 101, 9—102, 10. 356, 6.
*Κλῆροι*, prope Cyzicum 46, 8.
Clisthenes Sicyonius, tyr. 115, 18—116, 5.
Clitarchus 261, 7—13.
Clitus, dux Polysperchontis 190, 20.
*Κλώδωνες* 159, 2.
Cloelia 395, 12—396, 4.

Cnopus Codrida 405, 11 ...
Codrus, rex Atheniensium 19, 7—27. cf. 405, 11.
Codrus, Echeanactis f. 307, 5.
coena regis Persarum 181, 14...
Colias promont. 21, 12 ..
Colophonii 313, 21.
Colossae 330, 3.
Comastus, locus Persiae 348, 18.
Condasbe, mons Indiae 7, 13.
Conon Atheniensis 51, 2 ... 54, 19—57, 2.
Copais lacus 351, 2.
Corasibie, mons Indiae 7, 12.
Corcyra, Corcyraei 43, 13. 137, 8. 146, 18. 298, 14—299, 2.
Corinthii, Corinthus 40, 16 .. 47, 4. 126, 12. 132, 11. 133, 5. 186, 15. 201, 9. 202, 13 ... 248, 21. 250, 11. 264, 6 ... 11. 284, 2. 300, 1—9. Corinthium bellum 55, 22.
Coriolanus 301, 19 ...
Cn. Cornelius (Scipio, Asina) consul 294, 23 ..
Cornelius, v. Scipio et Sulla.
Coronea 61, 7 ... 20.
Cosingas Thrax 336, 15—337, 3.
Cossaei, pop. Sogdianae 181, 1 ...
Cotiaeum 291, 3 ..
Cranon, urbs Thessaliae 106, 22.
Crassus (Licinius), dux Romanorum 349, 2 ...
Craterus, dux Alexandri M. 214, 5—11.
Craterus, eius f. 101, 16.
Cratesipolis 418, 19—419, 6.
Cresphontes, rex Messenes 12, 1—13.
Creta, Cretenses 216, 15. 256, 10. 267, 15. 410, 24.
Crinippus Syracusanus 137, 8.
Crithon, pater Themistus 407, 22.
Croesus, rex Lydorum 26, 2 ... 308, 2 .. 315, 21. 316, 1. 10. 317, 7 .. 319, 2. 13—320, 8.
Cronium, locus Siciliae 246, 19 ..
Cryassus 422, 7.
Cyclops 6, 1.
Cymae 327, 15.
Cynna, Philippi f. 419, 19—420, 20.
Cyprus, Cyprii 36, 3 .. 258, 2. 326, 13. 332, 16. 409, 12 .. 410, 2. aes Cyprium 146, 2.
Cypsela, urbs Thraciae 215, 15.
Cypselus, rex Arcadiae 12, 14—13, 2.
Cypselus Corinthius 264, 4—9.
Cyrene, Cyrenenses 100, 2. 17. 238, 1 .. 400, 11. 403, 16 .. 409, 9 .. 425, 1—12.
Cyrus 181, 16. 315, 12—319, 7. 16 .. 320, 1 .. 352, 17 .. 393, 18 .. 394, 7 ..
Cyrus minor 73, 9. 20. 74, 6. 330, 15.
Cyzicene, Cyzicus 45, 15 .. 99, 1. 273, 20 ..

Daimachus Syracusanus 49, 18 ..
Damascus 186, 5. 215, 2.
Damasippus, dux Philippi 159, 21.
Damasithymus trierarcha 414, 5.
Damippus Spartanus 368, 12.
Daphnaeus, dux Syracusanorum 243, 1—13.
Daphnis, cubicularius Nicocratis tyr. 401, 6.
Dardani, finitimi Paeonum 214, 3.
Dardanus 415, 7.
Darius 25, 7. 321, 2 ... 12—324, 7. 9 ... 326, 1 ...
Datames 333, 3—336, 14. 342, 2 .. cf. Arsames.

Daunus 375, 23—376, 4.
Decelea 44, 19.
Deidamia 413, 1—16.
Δεῖγμα 281, 16.
Deioces, rex Medorum 312, 16—313, 13.
Deiphontes 92, 1—11.
Delos 129, 23.
Delphi 18, 4. 117, 10. 264, 6. 346, 2.
Demaratus, rex Lacedaem. 96, 11—15. 397, 8.
Demetrius Phalereus 155, 22—156, 2.
Demetrius Poliorcetes 116, 19. 196, 16.. 199, 3—204, 2. 207, 15... 208, 12.. 209, 10... 255, 2.
Demetrius (nepos Poliorcetae, Antigoni Gonatae f.) 186, 18. 217, 7. 218, 3.
Democles, legatus Dionysii 274, 11—19.
Demophon, Thesei f. 11, 13—24.
Demosthenes, dux Atheniensium 112, 14—113, 13.
Dercyllidas Spartanus 87, 3—11.
Diana 308, 7. 368, 18. 378, 1. 397, 24. 401, 12. Ἰσσωρία 65, 14. Ἡγεμόνη 413, 10.
Dibictus (?), frater Artabazi 344, 14.
dii duodecim 241, 14.
Dinias, tyr. Cranonis 106, 21—107, 18.
Dinocrates, dux Agathoclis 236, 22.
Dinomenes, pater Gelonis 26, 11.
Dinon, v. Dion.
Diocles, dux Agathoclis 239, 19..
Diocles, dux Atheniensium 263, 9—14.
Diocles Syrius 284, 3.
Diodorus, f. Echeanactis 307, 5...
Diodorus, dux Demetrii Poliorcetae 200, 1. 6.
Dioetas, dux Achaeorum 108, 13—109, 13.
Diognetus, dux Erythraeorum 398, 19.
Diognetus, dux Megarensium 27, 21.
Diognetus, Atheniensis 269, 1—9.
Diomedes, Tydei f. 11, 14.
Dion Syracusanus 228, 8...
Dion (Dinon), dux Ptolemaei 215, 2..
Dionysius I., tyr. Syracusarum, Hermocratis f. 224, 21—236, 16 (ad D. II. pertinent §§ 4. 7. 8). 244, 9. 12. 246, 20. 274, 13.. 290, 16. 292, 15... 293, 21... alius fort. 103, 23.
Dionysius Lysimacheus 216, 16.
Dionysus, v. Bacchus.
Dioscuri 46, 22. 105, 13.. 278, 21.
Diotimus Atheniensis 258, 18—260, 11.
Docimus Tarentinus 159, 6. 190, 5.
Dores 27, 21. 92, 2...
Dorotheus Leucadius 268, 6—14.
Dromichaetes, rex Thracum 215, 17. 238, 17—239, 4.
Drys, opp. Thraciae 97, 22.
Dyrrhachium 384, 6. 387, 23.

Echeanax 307, 5.
Echo 9, 4.
Ecphantus, dux Syracus. 41, 4.
Edessa (Macedoniae) 101, 21.
Egestani, v. Segestani.
Eion ad Strymonem 338, 10...
Elatea, urbs Phocidis 109, 22.
Eleates Aristides 290, 15.
Elei 302, 8—17.

Eleporus fl. 237, 3.
Elnes, (?) rex Arcadum 13, 3—13.
Embata fretum 127, 2.
Ennenses 377, 2.
Enodia (Hecate) 405, 13.
Epaminondas 77, 13—85, 3.
Epeus, fabr. equi Troiani 5, 19.
Ephesus, Ephesii 200, 6... 256, 20. 257, 11. 307, 6 .... 308, 2... 337, 21. 340, 3... 418, 9.
Ephialtes Trachinius 329, 17.
Ephori 93, 6—94, 2. 94, 7. 99, 19. 332, 11.
Epicharis 421, 6—18.
Epicrates servus 378, 16.
Epidamnus 212, 20 ... 376, 7.
Epidaurus 131, 3. 134, 10.
Epirus, Epirotae 205, 23. 410, 21. 413, 4 .. 424, 2.
Ereboeae mons, Macedoniae 158, 12.
Ergetini 242, 6 ...
Erginus Syrius 284, 8.
Erippidas, v. Herippidas.
Erymanthius sus 9, 16.
Erythrae, Erythraei 398, 18 .. 405, 11 .. 423, 10 ..
Eryxo, mater Batti 403, 15—404, 9.
Eteonicus Spartanus 51, 1—12.
Euboea 22, 5. 240, 21.
Eucritus Parianus, Pythagoreus 235, 21.
Eudamidas, dux Crateri 101, 15.
Eudocimus 261, 19—262, 2.
Euelthon, rex Salamis 409, 11.
Euephenus Parianus, Pythagoreus 235, 4.
Eumaeus, subulcus Ulixis 6, 6.
Eumenes Cardianus 186, 1. 192, 9. 17. 193, 4. 194, 2. 6. 195, 20. 198, 7. 204, 3—207, 3, ubi tamen § 1 ad Eumenem II. Attali f. regem Pergami referenda.
Euphrates 316, 21. 318, 5. 334, 13.
Euripides Bacchis 1158—1160 Kirchhoff 350, 5—7. Phoen. 600 K. 389, 20. Orest. 1597 K. 413, 14.
Europa 199, 11.
Eurotas fl. 70, 14. 283, 4.
Eurydice, Amyntae et Cynanes f. 287, 3. 420, 6.
*Εὐρυδίκεια* 287, 4.
Eurylochus 291, 18.
Eurymedon fl. 35, 21.
Eurypon, rex Spartae 92, 12—93, 5.
Eurysthidae 14, 2 ..
Exathres (?) Parthus 349, 21.

Fabius Maximus, dictator 370, 1—371, 13.
Q. Fabius (Rullianus?) 371, 14—22.
Falerii 363, 16.
Fames, picta 94, 11.
feles, Aegyptiis sacra 320, 15.
feminae Gallorum 355, 18—356, 7.
Fidenates 360, 23... 362, 10...
Flaccus 303, 27.
Flavus 302, 19.
Furius, v. Camillus.

Gabiene, regio Persiae 194, 6.
Gabii 362, 21 ...
Gadamarta, regio Mediae 193, 3.
Gaius 369, 16—23.
Gaius (Atilius Regulus) 376, 12—22.
Galaurus, rex Taulantiorum 158, 8.
Galli, Gallia 196, 14.. 219, 2.. 345, 14.. 346, 1. 379, 4. 18. 381, 4. 14. 382, 3. 10. 383, 19. 411, 21. 420, 23. *σίσυρα Γαλατικὴ* 372, 16. Galatae, Ga-

latia 204, 4. 401, 10 ... Cf. Celtae.
Gastro Lacedaemonius 94, 15 —95, 4.
Gelani 242, 21.
Gelo, Dinomenis f. tyr. 26, 10 —28, 3.
Gergovia, opp. Galliae 382, 10. 383, 1.
Germani 380, 7 ..
Gescon Carthaginiensis 247, 8 —248, 12.
Getae 277, 11. 347, 15.
Gethosyne, amica Beronices 412, 5.
Glos 332, 15—333, 2.
Gorgidas, dux Thebanorum 61, 1. 86, 11—87, 2.
Gorgippus, Satyri f. 417, 5.
Gorgus, Theronis f. 308, 20.
Graeci p. 30—35, 61—64, 70 —74, 327—332 passim. 4, 16. 6, 16. 11, 9. 45, 12. 57, 8. 58, 1 .. 94, 18 ... 132, 1. 133, 23. 172, 16. 175, 16. 232, 23 .. 249, 22. 263, 19 .. 268, 24. 271, 11. 287, 18. 304, 18 .. 319, 14. 338, 11. 345, 17 .. 353, 11. 359, 10. 375, 25 .. 380, 21. 399, 21 .. 407, 10. 409, 14. 413, 19 .. 414, 9 .. 24. 418, 5. 422, 10. 424, 9.
Graecia 55, 19. 99, 11. 328, 16 .. 341, 1. 345, 24. 346, 1.
*Γραίας ἕδος* 64, 20.
Granicus fl. 171, 24.
Gylippus Spartanus 41, 17 .. 48, 13—49, 14.
Gythium 88, 16 ..

Hagnon Atheniensis 309, 9—310, 16.
Hamactyon, dux Seleuci 209, 19.
Hamilcar, v. Amilcar.
Hannibal, v. Annibal.
Hanno, v. Anno.
Harmodius 407, 9.
harmostes Lacedaemonius 95, 13—24. 124, 22.
Harpagus 319, 8—12.
Hecataeus, rex Sindorum 415, 18.
Hecate, v. Enodia.
Hedylion mons 10, 18.
Hegesias, tyr. Ephesi 307, 6.
Hegetorides Thasius 106, 10—20.
Helena, uxor Menelai 15, 19 ..
Helice, opp. Achaiae 408, 12 ..
Helicon 351, 3.
Hellespontus 32, 3. 190, 20. 192, 1. 281, 9. 420, 12.
Helotae 19, 2. 354, 19.
Helvetii 379, 18.
Hennenses, v. Ennenses.
Hephaestion, dux Alexandri M. 178, 11. 181, 4.
Heraclea (Pontica), Heracleotae 102, 12 ... 260, 16. 269, 11. 276. 289, 5. 19.
Heraclea Trachinia 96, 17.
Heraclidae 12, 15 ... 13, 15 ... 14, 1 ... 406, 17.
Heraclides, Agathoclis f. 238, 3.
Heraclides, dux Demetrii 255, 1—18.
Heraclides Tarentinus, architecton 255, 19—256, 18.
Heracon, Phricodemi tyr. f. 408, 15 ..
Heraea, opp. Arcadiae 108, 14.
Hercules 9, 7—11, 5. 80, 11. H. templum 52, 17 ... 80, 10.
Herdonea 303, 27.
Herippidas Lacedaemonius 96, 16—97, 3.
Hermae 44, 17.
*Ἑρμαῖος* mensis 397, 11.
Hermias (tyr. Atarnes) 306, 18.
Hermocrates, dux Syracusanus 49, 14—50, 20.

Hermocrates, pater Dionysii 225, 9.
Hermocrates, maritus sororis Dionysii (Timocrates?) 226, 11.
Herodes, v. Hyrodes.
Herophytus Ephesius 337, 21.
Hestiaea, v. Histiaea.
Hexapyla Syracusarum 380, 20.
Hidrieus, dux Mausoli 337, 16.
Hierocles Car, ξεναγὸς 255, 5.
Hiero Syracusanus 29, 14—30, 7.
Himera 230, 5.
Himilco, rex Carthag. 26, 12. 27, 7 . . .
Himilco, dux Carthag. 227, 14 . . 244, 19—247, 7.
Hipparchus, dux Athen. 255, 10.
Hipparinus, tyr. Syracusarum 240, 10—19.
Hipparion, Dionis f. (idem) 229, 10.
Hippias, Pisistrati f. 23, 23 . . 251, 11. 407, 11.
Hippias, dux Pissuthni 113, 15.
Hippocrates, tyr. Gelae 242, 4—22.
Hippodamas Spartanus 94, 3—14.
Hipponicus, pater Calliae 42, 9.
Hispania, v. Iberia.
Histiaea (Hestiaea), opp. Euboeae 87, 13.
Histiaeus Milesius 25, 6—15.
Holcias, dux Macedonum 189, 19.
Homerus
Iliad. 2, 542. 11, 12.
6, 153. 4, 19.
Odyss. 4, 244 . . 5, 16.
8, 493 . . 5, 19.
9, 19. 20. 5, 7—8.
9, 406 . . 4, 12.
19, 203 . . 6, 7.
19, 394—397 4, 22—25.
Hyampolis 297, 4.
Hydaspes fl. 169, 15.
Hyrcani, Hyrcania 172, 15. 175, 19.
Hyrodes, rex Parthorum 350, 1.
Hysiae 298, 12.

Iason, tyr. Pherarum 131, 8 . . 278, 1—280, 23.
Iason Trallianus, tragoedus 350, 3 . .
Iberes, Iberia 28, 7. 276. 353, 19. 372, 2. 373, 11 . . 375, 10 . . 388, 8.
ibis, Aegyptiis sacra 320, 15.
Ilerda 388, 8.
Ilium 5, 12. 155, 6.
Ilissus fl. 255, 8.
Illyria, Illyrii 160, 9. 163, 22. 210, 2 . . 212, 16 . . 420, 3.
Imbros 354, 17.
Imilco, v. Himilco.
Inamanes fl. (Iomanes?) 392, 17.
Indi, India 7, 2 . . 10 . . 20. 10, 8 . . 169, 15 . . 170, 5. 173, 1. 23. 175, 4. 20. 180, 11. 188, 3. 220, 3. 412, 13.
Iones, Ionia 25, 8 . . 33, 11. 35, 13 . . 54, 16. 109, 20. 290, 5. 307, 7. 332, 17 . . 352, 15. 398, 4. 405, 10.
Iphicrates 98, 21 . . 118, 5—140, 11.
Irus mendicus 6, 8.
Ischolaus, dux Spartanorum 97, 4—98, 10.
Isidas (Isadas?) Lacedaemonius 88, 14—89, 6.
Isidis templum 314, 18.
Issoria, v. Minerva.
Issus 186, 4.
Isthmia 248, 20.
Isthmus 13, 19 . . 263, 17.
Istone mons 298, 16.
Italia, Itali 30, 1. 232, 13. 235, 2 . . 237, 4. 285, 13. 366, 18. 373, 9. 375, 24. 390, 11. 391, 9.

Itonia 107, 14. cf. 351, 6.
Iulius, v. Caesar.
Iunius, v. Brutus.
Iuno 24, 10. 305, 17.. 336, 17..
Iupiter 26, 5. 30, 17. 161, 22. 362. 6. 415, 4. Πολιεὺς 222, 19.
Ixomatae 416, 10.

Laander, frater Nicocratis tyr. 401, 3.
Laarchus, rex Cyrenes 403, 16.
Lacedaemon urbs (Sparta) 44, 18. 47, 13. 65, 12. 71, 10. 79, 4. 81, 9. 88, 16. 105, 8. 125, 1. 133, 6. 244, 1. 263, 16. 285, 21.
Lacedaemon s. Laconica (Sparta) 12, 4.. 14, 3. 37, 20. 79, 4. 80, 23. 93, 10. 149, 8. 152, 20. 332, 10. 410, 21.
Lacedaemonii, Lacones, Spartani p. 12—19; 51—55; 60—71; 77—105; 130—153 passim. 32, 6. 37, 18 ... 39, 25 .. 43, 3. 46, 18. 47, 17. 112, 15. 121, 10. 124, 22. 202, 23. 244, 1. 258, 20. 259, 6. 263, 17. 269, 23. 283, 3.. 285, 16. 297, 16. 298, 1. 301, 15—302, 7. 11.. 332, 2. 354, 19.. 368, 12. 397, 2. 410, 20. 412, 21. Lacaenae 425, 13—18. λακωνικῶς 62, 10.
Lachares Atheniensis tyr. 116, 17—117, 17. 286, 20.
Laertiades 5, 7.
Laestrygonius campus 241, 1.
Lamia 185, 11.
Lamis (?) Megarensis 242, 15.
Lampsaceni, Lampsacus 70, 1.. 75, 13. 213, 6. 300, 10—301, 5. 399, 13—400, 9.
Laodice, uxor Antiochi Θεοῦ 411, 9—412, 15.
Larissa 162, 8.
Latini 394, 21..
Latmus, Latmii 337, 14.. 414, 14..
Leaena 407, 8—20.
Learchus, v. Laarchus.
Lechaeum, portus Corinthi 202, 17.
Lemnus 310, 18. 354, 17.
Leonidas Spartanus 34, 15—35, 10.
Leonidas, dux Antigoni 189, 12.
Leontini 225, 6. 236, 22. 240, 11.. 22.. 275, 2.
Leontomenes coquus 287, 11.
Leosthenes Atheniensis 281, 2..
Leotychides, rex Spartae 35, 11—19.
Leptines Syracusanus 243, 13—244, 9. 292, 22.
Lesbii 25, 11.
Leucas insula 141, 13. 144, 20. 147, 1. cf. 268, 7.
Leuco, tyr. Bospori 271, 4. 288, 7—290, 2.
Leuconia 423, 10.
Leucothea 234, 13.
Leuctra 14, 16.. 65, 7.. 78, 7. 12. 88, 15. 126, 16.
Libya, Libyes 220, 3. 238, 17. 239, 9. 244, 20. 245, 7. 14. 247, 10. 293, 4. 295, 9. 374, 10.
Licinius, v. Crassus.
Lipara 294, 24..
Locri 13, 16. 37, 16. 299, 12—22.
Lucani 89, 24.. 90, 20..
Lycaonia 189, 8.
Lycius 178, 4. 270, 17.
Lycopus Aetolus 428, 3.
Lycurgus 18, 1—13. 285, 20. 362, 5.
Lycus, dux Lysimachi 257, 9—24.
Lycus fl. 203, 21.
Lydi, Lydia 26, 2.. 36, 15. 63, 18.. 255, 3. 307, 18. 316, 10.. 317, 7.. 319, 15.

Lygdamis, tyr. Naxi 25, 3.
Lygdamis, pater Artemisiae 414, 4.
Lyrceum, mons Arcadiae 202, 24.
Lysander 51, 13—53, 13. 332, 2 . .
Lysias, dux Seleuci 209, 12.
Lysimachia (urbs Chersonesi Thracicae) 117, 17. cf. 216, 16.
Lysimachus, rex Macedonum 117, 10. 200, 7. 209, 1. 213, 5—214, 4. 257, 10. 291, 2. 338, 18. 418, 8.

Macedones, Macedonia 3, 6 . . . 66, 22 . . 110, 6 . . p. 158—180; 184—190 passim. 195, 4 . . 14 . . 202, 24. 205, 1. 24 . . 209, 12. 210, 2 . . 211, 8. 212, 2. 214, 7. 220, 10. 256, 4 . . 273, 23. 338, 10 . . 348, 9. 390, 20. 396, 14. 402, 16 . . 420, 22 . . νόμισμα 146, 2. χρυσοῦς 196, 16. καυσία 273, 21.
Maeotis Tirgatao 415, 18.
Magas, rex Cyrenes 100, 17—101, 8.
Magnesia 100, 2. 9. 273, 1. 281, 7.
Malea 378, 13.
Mamercus, tyr. Catanae 249, 4.
Mandro, rex Bebrycum 399, 14.
Mania, uxor Zenidis 415, 6—16.
Mania, amica Beronices 412, 5.
Mantinea, Mantinenses 93, 5. 99, 9 . . . 105, 24 . . .
Marcellus (M. Claudius) 368, 9—25.
Marcellus, dux Marii 367, 18.
Marcius, v. Coriolanus.
Mardonius 344, 20.
maris 182, 12.
Marius 366, 17—368, 7.
Maronitae 165, 22.
Mars 21, 6.
Masaesylii 374, 4.
Massagetae 393, 20.
Massanasses 276.
Mater deûm 414, 17.
Maurusii 277, 10.
Mausolus, rex Cariae 287, 21. 337, 4—338, 8.
Mazares Medus 316, 11.
Medi, Media 183, 18. 193, 3. 195, 10. 312, 17 . . 315, 13 . . 316, 12 . . 317, 14. 318, 8 . . 352, 17. vestis 36, 3. medimnus 181, 18.
Medosaccus, rex Sarmatarum 417, 9.
Megacles, adversarius Pisistrati 23, 8 . . .
Megacles, frater Dionis 229, 3.
Megacles Messenius 252, 3—25.
Megaclidas 95, 5—12.
Megara, Megarenses 20, 16 . . . 21, 11 . . 241, 1 . . . 275, 2.
Megara (Siciliae) 27, 20 . . . 275, 1.
Mela frater Senecae 421, 8.
Melaenae opp. 20, 3 . .
Melanippus, sacerdos Apollinis 400, 13.
Melanthus, dux Atheniensium 20, 1—13.
Melatas, pirata Aetolus 197, 24.
Meliae 422, 5—19.
Memnon (Rhodius) 171, 20 . . 271, 3—274, 4.
Memphis 218, 12. 314, 17 . . 324, 1.
Mempsis 343, 5—11.
Menda, urbs Macedoniae 72, 3 . .
Menecrates, dux Ephesiorum 418, 15. alius fort. 258, 1—10.
Menegetes pancratiastes 160, 12.
Menelaus, maritus Helenae 15, 18—16, 12.
Menelaus, dux Ptolemaei 201, 19.
Menon Thessalus 331, 11.

Mentor (fr. Memnonis) 306, 17—307, 3.
Mercurius, pater Autolyci 4, 20.. eius templum 301, 2.. *Φίλιος* 124, 6.
Meriones, frater Iasonis 279, 22...
*Μηρός*, mons Indiae 7, 14.
Mesopotamia 216, 5.
Messana Siciliae 233, 3.. 252, 4.. 294, 6.
Messene, Messenii 12, 4.. 17, 7... 18, 16.. 71, 3. 79, 8. 104, 4.. 105, 4.. 12. 107, 22.. 276.
Metapontum 235, 3.
Methonaei 163, 11.
Methymna 51, 11. 272, 6.
Metrodorus, Satiri tyr. f. 416, 15.
Midas, rex Phrygum 315, 5—11.
Midias, tyr. Scepsis 87, 4. 415, 15.
Miletus, Milesii 25, 6. 51, 14... 270, 16. 287, 21.. 306, 8.. 330, 7. 331, 16... 352, 11. 378, 15... 398, 4.. 18.. Milesia 421, 19—422, 4.
Miltiades, pater Theronis 28, 13.
Milo 413, 11.
Mimallones 159, 4.
Mindarus Spart. praef. classis 45, 19..
Minerva 5, 19. 14, 4. 22, 18. 83, 10. 419, 10. eius arma 22, 13. eius statua 83, 3. templum 308, 14. *Ἀσσησία* 306, 11. *Ἰτωνία* 351, 7. cl. 107, 14. *Παλληνὶς* 22, 6. *Χαλκίοικος* 94, 11. 105, 9. 412, 19.
Minos 362, 5.
Minyae 9, 15... 425, 14.
Mithridates satrapes 342, 1—19. Magnus 342, 20—343, 4. 366, 8.
Mitylene 51, 2.. 55, 8. 56, 1. 124, 17.
Mnasippidas 98, 11—17.
Mnesidemus, dux Atheniensium 255, 9..
mons sacer 128, 12.
Motya 227, 15..
Mucius (Scaevola) 365, 1—21.
Munychia 211, 3.
Murcius praef. classis 390, 6...
Musae 21, 6.
Mycale 35, 12. 352, 11.
Mygdonius 346, 15—347, 4.
Myronides, dux Atheniensium 36, 20—37, 16.
Mysta, uxor Seleuci 420, 21—421, 5.
mysteria 44, 17. minora 255, 9.
Myus 398, 5.

Nasamon 276.
Naupactus 13, 17. 115, 12. 300, 3.
Naxii, Naxus 25, 4. 33, 18. 147, 16. 151, 10. 226, 23.. 398, 18..
Neapolis (e regione Thasi) 166, 1..
Nearchus Cretensis 267, 14—268, 5.
Nectanebus, rex Aegypti 68, 15.
Neleus 398, 4.. *Νηληὶς ἑορτὴ* 398, 9.
Neptunus 300, 19. 408, 12. *Ἵππιος* 360, 16.
Nero 421, 8..
Nestor, *σωματοφύλαξ* Alexandri 413, 7.
Nicaea, vidua Alexandri praef. Acrocorinthi 186, 17..
Nicanor, *ναύαρχος* Antigoni 190, 19. 211, 3. Demetrii 200, 11.
Nicias, dux Atheniensium 40, 15—42, 2. 50, 13..
Nicocles, rex Cypri 410, 2..

Nicocrates, tyr. Cyrenensium 400, 11.
Nicolochus, ναύαρχος Lacedaemoniorum 141, 14. 144, 20.
Nicomedes (I. rex Bithyniae) 378, 13.
Nicon, pirata 107, 19—108, 12.
Nicon Samius, gubernator 267, 3—13.
Nicostratus histrio 290, 7.
Ninus urbs 392, 16.
Nitetis, uxor Cyri 394, 6—19.
Notium 113, 15.
Numa (Pompilius) 361, 23—362, 8.
Numidae 302, 20.
Numitor 360, 1—12.
Nymphae 361, 26 . .
Nymphaeus, dux Meliorum 422, 6.

Oborzus 348, 14—24.
Ochus, Artaxerxis f. 330, 22—331, 6.
Octavius, legatus Crassi 349, 16 . .
Odrysae 139, 1 . . 14 . .
Oeanthe urbs 407, 22.
Oebares, agaso Darii 320, 19—321, 11. 352, 18.
Oenyssa (Carthago nova) 373, 12.
Olympias, mater Alexandri M. 205, 23. 212, 1 . .
Olympium, prope Syracusas 41, 2. 304, 21 . .
Olynthii 111, 11 . . 210, 16.
Onetorides, dux Atheniensium 255, 15.
Oneum mons 78, 21. 80, 24.
Onomarchus Phocensis 109, 21—110, 21.
Ophelas Cyrenensis 238, 1 . .
oracula 12, 16. 13, 12. 14, 14. 19, 9. 20, 7. 30, 10. 17. 70, 16. 115, 19. 178, 1. 249, 20. 309, 13—17. 314, 13 sq. 405, 12 sq.
Orbelii 163, 16.
Orchomenus 67, 11 . . 203, 16. 366, 9.
Orontes, satrapes Artaxerxis 326, 11—328, 14.
Orontes, satrapes Armeniae 205, 21.
ὄρθιος πάγος (?) 192, 10.
Ossa, mons Thessalia 175, 7.
Oxythras, frater Artabazi 344, 14.

Paches, dux Atheniensium 113, 14—21.
Pachynum, promont. Siciliae 243, 15.
Paeones 213, 17 . .
Paerisades, rex Ponti 347, 5—12.
Pagasae, opp. Thessaliae 280, 3. 281, 7.
Palamedes 6, 14.
Palladia arma 22, 13.
Palladium 11, 14 . .
Pallene 287, 6. 353, 16.
Παλληνὶς, v. Minerva.
Pammenes Thebanus 253, 1—254, 24. 344, 11.
Pan 8, 12—9, 6. κερασφόρος 8, 15. 9, 6. Panicum 119, 14. 121, 8 . . 128, 9. 177, 8 . .
Panaetius, tyr. Leontinorum 275, 1—18.
Panariste, amica Beronices 412, 5 . .
Pandaea, Herculis filia 10, 9.
Panormus 281, 2. 300, 5.
Pantagnostus, fr. Polycratis 24, 12 . .
Paphlagonia 342, 20.
Paraetonium 101, 5.
πάραλος, ἡ 52, 11.
Parii 235, 1 . . 276.

Parium, Pariani 235, 16. 300, 11..
Parmenio, dux Alexandri M. 167, 12. 168, 13. 172, 8. 186, 3—13.
Parmenio, praef. Magnesiae 273, 3.
Parnassus 4, 22. 10, 18. 296, 14.
Partheniae 93, 17.
Parthi 3, 1. 277, 12. 349, 2...
Parysatis, mater Artaxerxis 330, 14.
Pasargadae 315, 15. 318, 8.
Pausanias 412, 17.
Pausistratus, ναύαρχος Rhodiorum 262, 3—9.
Pediarchus, dux Gelonis 27, 9.
Pelinna, urbs Thessaliae 164, 16.
Pelium 9, 8.
Pellene 200, 2. 353, 10.. 419, 8..
Pelopidas 85, 4—86, 10. 110, 3.
Peloponnesii 13, 17.. 19, 8... 53, 15. 79, 9. 113, 5. 214, 13,
Peloponnesus 12, 3. 78, 20. 79, 20. 107, 20. 226, 22. 263, 18... 285, 16. 300, 8.
Pelusium 320, 10.
Penelope 6, 6.
pentedrachma 146, 3.
Peparethus 281, 13.
Peraea Rhodiorum 217, 8.
Perdiccas (III.) 146, 1. 210, 1—16. 420, 4.
Perdiccas (Orontis f.) 218, 12. 307, 20.
Pericles Atheniensis 37, 17—38, 7.
Pericles Lycius 270, 17..
Persae p. 33—35. 167—178. 315—331 passim. 3, 1. 7. 25, 6. 55, 18. 62, 7. 63, 7. 19. 73, 15. 94, 17.. 147, 19. 149, 21. 186, 6. 195, 4. 263, 20. 277, 11. 340, 23.. 345, 1. 348, 2. 352, 10—353, 4. 393, 14. 20.. 394, 7. 413, 19. Persica lingua 138, 20. vestis ibid. 318, 19. praeda 170, 6. ornatus 176, 18. mos 340, 23. solemnia 215, 4. Persia 205, 18. 206, 5. 348, 15.
Persaeus philosophus, praef. Acrocorinthi 284, 1..
Perseus, Philippi f. 220, 1—12. 255, 21.
Petronius 349, 18.
Peucestes, dux Alexandri M. 195, 5. 205, 19.
Phalaris, Agrigentinus 222, 14—224, 20.
Pharacidas Syracusanus 91, 11—19.
Pharcedon 164, 3..
Pharnabazus satrapes 46, 9.. 55, 17. 130, 23. 332, 1—14. 415, 9.
Pharnaces, pater Artabazi 344, 16.
Pharsalus 164, 17. 387, 16. 388, 14.
Phaselis 270, 16.
Pheneus 398, 1.
Pherae 106, 22. 107, 20.. 164, 17. 281, 1.
Pheretima 409, 8—23.
Phidippus, pater Aeati 406, 16.
Phigalenses 302, 3.
Philetaerus Cretensis 216, 15.
Philippus, rex Macedoniae, pater Alexandri M. 110, 19. 159, 5—166, 13. 402, 14. 419, 20.
Philippus, Demetrii f. pater Persei, rex Macedoniae 217, 7—218, 10. 220, 1. 255, 20.
Philo, f. Phricodemi 407, 23.
Philoboeotus, collis Boeotiae 253, 3.
Philocles, dux Ptolemaei 156, 3—10.
Philomelus, pater Thrasymedis 251, 2.

Philomelus, dux Phocensium 274, 5—10.
Philopoemen 282, 21—283, 19.
Philotas, dux Alexandri M. 178, 10..
Philotera 413, 12.
Philotis serva 394, 20—395, 11.
Philoxenus tibicen 290, 6.
Philoxenus, praef. Ioniae 307, 6.
Phlegra 353, 11.
Phlius 134, 19. 136, 20.
Phocaeenses 66, 14... (?) 399, 14...
Phocenses 66, 14... (?) 109, 22. 110, 10. 274, 6. 296, 13—297, 7. mulieres 422, 20—423, 8.
Phocis 37, 16. 253, 2.
Phocion, dux Atheniensium 153, 15—154, 2.
Phoebidas, dux Spartanus 77, 14.. 86, 16.
Phoenices, Phoenicia 139, 20.. 192, 2.. 196, 7. 239, 3.
Pholus Centaurus 9, 10..
Phormio, dux Atheniensium 114, 8—115, 17.
Phoxus, dux Phocaeensium 399, 14.
Phrasaortes, cognatus Darii 177, 16.
Phricodemus tyr. 407, 23..
Phryges, Phrygia 36, 16. 189, 9. 291, 3.. 315, 6. 330, 3. 341, 10.
Phrygius, f. Nelei 398, 14..
Phrynichus, dux Atheniensium 116, 6—17.
Phrynon, dux Atheniensium 25, 17..
Phye 22, 13.
Pieria, f. Pythi 398, 3—16.
Pigres Car 314, 14.
Pinarius, praef. Ennae 377, 1—17.
Pindarus, tyr. Ephesi 308, 1—10.
Pindari paeanes 274, 16.
Piraeus 43, 5. 114, 13. 200, 23. 201, 1.. 281, 16.
Pisander, ναύαρχος Lacedaem. 61, 8.
Pisidae 339, 17.
Pisidicae angustiae 190, 6.
Pisistratus 22, 5—23, 19. 251, 2..
Piso 421, 7.
Pissuthnes satrapes 113, 15.
Pitane prope Spartam 65, 14.
Pithon, satrapes Mediae 195, 10..
Pittacus, dux Lesbiorum 25, 17—24.
Pittacus, nepos Pori 173, 8.
Plataeae 35, 15.. 344, 16.
Plataeenses 297, 8—298, 13.
Pollis, dux Spartanus 151, 10.
Polyaenus Macedo 3, 8. 158, 5. causidicus Romae vivit 60, 7. 359, 7. imperatoribus Antonio et Vero 3, 4 et princ. sing. libb., coorto bello Persico et Parthico 3, 3. 277, 11. provectus aetate non militat 3, 11 sq. ex multis historicis strategemata sedulo colligit et in brevius coartat 6, 21. 60, 5. 6. Eius opus Antonino et Vero dicatum 3, 4. 60, 3 etc. quorum ipsorum res gestas bello confecto fusius conscribere votis exoptat 277, 5. 12. 17.
Polyarchus, frater Eryxus 404, 4.
Polyclea, mater Thessali 406, 14—407, 7.
Polycles, dux Athen. 255, 14.
Polycrates, tyr. Sami 24, 3—25, 6.
Polycrite, virgo Naxia 398, 17—399, 12.

Polydorus, rex Spartae 17, 7—20.
Polydorus, frater Iasonis tyr. 280, 11.
Polysperchon, dux Alexandri M. 190, 19. 211, 9. 212, 2. 214, 12—23.
Polyxo, Tlepolemi uxor 16, 1.
Pompeius 384, 6. 20. 385, 1. 22... 387, 12. 16. 388, 5. 14. 22.
Pompiscus Arcas 265, 14—267, 2.
Pontus Euxinus 260, 13. *Ποντικὴ παραλία* 417, 10.
Pontus, regnum 347, 6.
Porcia, uxor Bruti 396, 5—23.
M. Porcius Cato (Censorius) 375, 10—22.
M. Porcius Cato (Uticensis) 396, 6.
Porsenna, rex Tyrrhenorum 365, 3 .. 395, 23.
Porthaon, f. Iasonis tyr. 280, 10.
Porus, rex Indorum 169, 15 ... 173, 8. 174, 3.
Postumius, dux Latinorum 394, 21.
Potidaea 344, 6.
Prasiae opp. 94, 4.
Priamus 5, 10. 353, 13.
Priene 26, 3.
Prinassus, op. Cariae 217, 8.
Procles Heraclida 14, 1—20.
propylaea 407, 18.
Proteus 5, 1.
Proxenus Boeotius 331, 11.
Proxenus, dux Athen. 161, 15.
Psammetichus, rex Aegypti 314, 10—20. 394, 15.
Pteleus insula 339, 10.
Ptolemaeus, Lagi f. 196, 11. 201, 9. 18.. 218, 11—23. 410, 3. 413, 3. 418, 20.. 425, 2.
Ptolemaeus (II. Philadelphus) 156, 4. 215, 3. 256, 20.. 411, 12.
Publicola (Valerius), consul 365, 3,
Pydna 212, 1..
Pygela 337, 21..
Pylus 112, 15.
Pyraechmes 275, 19—22.
Pyrrhus, rex Epiri 285, 7—286, 6. 410, 21.. 413, 2. 424, 2.
Pythagorae disciplina 235, 1.
Pythes, pater Pieriae 398, 7.
Pythes, maritus Pythopolis 404, 11..
Pythion, dux Atheniensium 255, 15.
Pythopolis (?), uxor Pythae 404, 10—405, 8.

Quintus, v. Fabius.

Regulus, v. Atilius.
Remus 360, 2 ...
Rhanda vicus 348, 7.
Rhanosbates *χιλίαρχος* 325, 7.
Rhegium 182, 11.
Rhesus 309, 16..
Rhium 13, 15 ... 408, 17..
Rhodanus 379, 22.
Rhodogune 393, 6—16.
Rhodii, Rhodus 15, 20... 196, 5 ... 217, 8. 255, 21 .. 256, 20.. 262, 4. 421, 2..
Rhosius portus 192, 9.
Roma, Romani p. 360—381 passim. 3, 6. 220, 2. 285, 8. 294, 20 ... 295, 13. 302, 23.. 303, 11. 13 .. 27. 304, 4. 10. 349, 6. 388, 20. 389, 1. 390, 21—392, 9. 394, 21. 395, 13..
Rome Troiana 391, 12.
Romulus 360, 2.. 13—361, 22.

Sabini 395, 1.
Sacae 323, 22 ... 324, 9 .. 392, 19.
sacerdos 80, 11. 276. *ἱέρεια* 419, 7—18.
Sacesphares 324, 10.

Salamis insula 20, 17 .. 30, 10 .. 31, 5. 14. 147, 20. 200, 22. 201, 6 .. 210, 18 ... 413, 18. 415, 1.
Salamis, urbs Cypri 201, 17 .. 258, 2. 409, 12.
Salmatides 353, 18—354, 15.
Samii, Samus 24, 4. 9 .. 116, 7 ... 129, 23 .. 143, 17 .. 25. 267, 4. 276. 281, 9. 305, 14 .. 352, 11.
Samnites 292, 1—6.
Sangala, urbs Indiae 180, 12.
Saranges, flumen Bactriae 7, 22.
Sardes 63, 16. 208, 22. 307, 11. 314, 2. 315, 23 .. 318, 17. 327, 7 .. 330, 6.
Sarmatae 417, 9.
Sarnusii 162, 13 ..
satrapae regis Persarum 35, 21.
Satyrus, tyr. Bospori 221 extr. 415, 20 ..
Satyrus, dux Atheniensium 255, 15.
Scepsis opp. 87, 4.
Scione 40, 3. 344, 7. 353, 15.
Scipio (maior) 370, 17. 372, 1—375, 8, ubi tamen § 2—5. ad minorem referendae.
Σκίρα 141, 15.
Scolus, vicus Boeotiae 64, 10 ..
Scythae 178, 14. 289, 24. 321, 13 ... 322, 10 ... 351, 14—352, 9. 353, 5. 417, 15 ...
Σεβαστὸς (Imp. Augustus) 389, 9—390, 20. 396, 15.
Segestani 299, 4—11.
Seiles (?) 348, 1—13.
Seleucus (Nicator) 207, 4—209, 16. 348, 3.
Seleucus Callinicus, f. Antiochi Θεοῦ 209, 16—24. 216, 4 .. 411, 11 .. 420, 22.
Selinuntii 28, 14 ...
Sellasia 149, 8.
Semiramis 392, 10—393, 5.
Seneca (philosophus) 421, 7.
Sertorius 377, 18—378, 11.
Sesamus opp. 334, 1 ..
Sestus 36, 8. 38, 7 ... 117, 11.
Seuthes, dux Dromichaetae 338, 21.
Seuthes, ἵππαρχος Cersobleptis 343, 19—344, 4.
Seuthes 347, 14—25.
Sextus, f. Tarquinii (Superbi) 362, 22 ..
Sibyrtius, satrapes Arachosiae 196, 1.
Sicani, Sicilia, Siculi 27, 7 ... 28, 4 .. 43, 13. 44, 16. 50, 9. 137, 9. 224, 1 .. 13. 21. 235, 2. 236, 18. 240, 22. 244, 12. 245, 8. 248, 14. 252, 4. 285, 13. 292, 16. 293, 3 .. 21. 294, 20. 299, 14. 374, 5.
Sicinnus, paedagogus fil. Themistoclis 31, 7 ..
Sicyon 124, 22. 199, 17 .. 284, 5. 419, 1 ..
Sigeum 25, 17 ..
Silvia, filia Numitoris 360, 2 ..
Sinatus, tetrarches Galatiae 401, 11 ..
Sinope 333, 22 .. 335, 10.
Sinorix (Synorix), tetrarches Galatiae 401, 10 ..
Sindi, pop. prope Bosporum 415, 18 ..
Siraces, agaso 324, 8—325, 27.
Siraces 392, 11.
Sisyphus, Aeoli f. 4, 17 .. 309, 1—8.
sisyra Gallica 372, 16.
Socrates Achaeus 331, 12.
Sogdi 392, 19.
Sogdiani 179, 9 ..
Solon 20, 15—22, 3.
Solyges collis prope Corinthum 40, 17.
Sophax, v. Syphax.
Sosigenes, praef. classis 192, 9 ..

Sosistratus, dux servorum 49, 14..
Sosistratus 268, 15—26.
Sparta, v. Lacedaemon.
Sperchius fl. 83, 16. 185, 7.
Stesichori paeanes 274, 16.
Sthenippus Spartanus 99, 17—23.
Sthenocrates, dux Atheniensium 255, 16.
Stratocles, dux Atheniensium 159, 11.
Strymon fl. 143, 14. 309, 11. 338, 10. 420, 9.
Sudines vates 219, 5.
Sulla 365, 22—366, 16. 388, 22.
Sunium 201, 3..
Surenas, dux Parthorum 349, 1—350, 13.
Susa, Susii 176, 16. 183, 14.
Susidae portae 177, 18.
Sycaeboae, pop. Thraciae 336, 16.
Syloson, frater Polycratis 24, 12..
Syloson, Callitelis f. Samius 305, 13—25.
Symaethus fl. 44, 11.
Symmachus Thasius 70, 20.
Syphax (Sophax), rex Masaesyliorum 374, 4...
Syracusae, Syracusani 26, 11.. 28, 1. 41, 4. 12. 44, 1, 19. 45, 1. 48, 15... 49, 15. 50, 10.. 91, 12.. 225, 9.. 228, 9.. 233, 22. 237, 12. 238, 8. 239, 2..10.. 240, 12.. 243, 2.. 249, 8. 15.. 250, 12.. 252, 5.. 264, 11.. 265, 10. 268, 16.. 300, 2.. 304, 20.. 368, 9.
Syri, Syria 196, 7. 209, 11. 220, 3. 284, 3. Syriaca γράμματα 205, 22.

Taenarum promont. 354, 18.
Tarentini, Tarentum 117, 2. 159, 6. 244, 1.. 255, 20. 285, 12. 371, 1.. vestis 237, 17.
Tarquinius (Superbus) 362, 20—363, 14.
Taulantii 158, 8..
Tauri, gens Scytharum 353, 4—8.
Taurica 417, 16.
Tauromenitis, regio Siciliae 239, 7.
Taurus mons 209, 11. 412, 13.
Taygetus mons 355, 13.
Tegea, Tegeatae 13, 4... 15, 2. 84, 4. 90, 12.. 99, 19. 398, 1.
Telesilla poëtria 397, 1—13.
Telesinicus Corinthius 264, 10—265, 13.
Telesippus Pheraeus 106, 22.
Telmessus 267, 15..
Tementhes, rex Aegypti 314, 11..
Temenus Heraclida 11, 2.. 13, 14—21. 14, 2.
Tempe 175, 6..
Tenedus 98, 20.
Teres, dux Thracum 215, 17.
Terina opp. 89, 8.
Tetrachoritae, pop. Thraciae 184, 24.
tetrarchae Galatiae 401, 10.
Teutamus, dux argyraspidum 204, 14..
Teutones 366, 18. 367, 9.
Teutus, princeps Vessae 224, 13.
Thamos, rex Aegypt. 148, 20.
Thamyris, rex Sacarum 324, 10.
Thapsus 41, 11..
Thasii, Thasus 52, 15.. 70, 20. 281, 9. Thasiae 423, 20—25.
Theagenes, dux Thebanorum 402, 13.
Theano, mater Pausaniae 412, 16—25.
Thebae 36, 20. 69, 15. 18. 83, 2. 86, 4. 12. 123, 17. 258, 3. 297, 6.

Thebais 64, 18.
Thebani 14, 18.. 36, 21... 53, 8.. p. 60—71, 77—89 passim. 105, 24. 117, 8. 123, 13. 126, 13. 130, 13 .. 159, 20. 161, 9. 171, 1 .. 253, 21. 274, 6. 297, 9 .. 21 .. 298, 1 .. 402, 13.
Themisto, filia Crithonis 407, 21—409, 7.
Themistocles 30, 8—34, 4. 147, 20.
Theocles Chalcidensis 240, 20—242, 3.
Theodorus, praef. Sesti 38, 8...
Theodosia (ἡ ἐν Πόντῳ) 260, 13.
Theodotus, praef. Sardium 208, 23.
Theodotus Cassandreus 287, 1.
Theognis, dux Atheniensium 262, 10—263, 8.
Theophrastus, dux Antigoni Gonatae 285, 8.
Theopompus, rex Laced. 17, 9 ... 397, 15.
Theopompus, dux Athen. 255, 15.
Theramenes, dux Atheniensium 45, 15.
Thermopylae 34, 16. 329, 11. 15.
Theron, tyr. Agrigenti 28, 3—12. 308, 11—25.
Theron, Miltiadis f. Selinuntius 28, 13—29, 14.
Thersander tibicen 290, 6.
Theseus 11, 6—12. Θησηὶς κουρά 11, 10.
Thesmophoria 223, 18.
Thespiae, Thespienses 64, 12... 78, 13 .. 87, 1.
Thesprotis 390, 18.
Thessali 15, 9 .. 83, 17 .. 175, 6. 185, 8 ... 274, 7. 276. 278, 14. 280, 1. 296, 15. 297, 3. 306, 1. 331, 11. 405, 13 .. 422, 21 ..
Thessalia 85, 19. 106, 23. 131, 8. 164, 3. 15 ... 185, 16: 278, 2. 344, 17 ... 385, 1. 406, 15. urbs 407, 6.
Thessalus, Aeati f. 15, 8—17. 407, 6.
Thibron (Thimbron), dux Spartanus 96, 1—10. 290, 14.
Thraces 75, 2 .. 15. 76, 11. 103, 13. 133, 18 .. 135, 5 .. 154, 18. 156, 1. 160, 3. 162, 20. 170, 13. 215, 15 .. 336, 16. 338, 18 .. 347, 19. 348, 9. 351, 1—13. 402, 19 ...
Thracia 74, 23. 76, 10. 77, 6. 119, 10. 133, 17. 135, 3. 139, 13. 154, 11. 17. 161, 13. 338, 19. 344, 19.
Thraciae pylae 213, 14.
Thrasybulus, dux Atheniensium 45, 15 ..
Thrasybulus, tyr. Milesiorum 306, 6—16.
Thrasylus, dux Atheniensium 54, 3—18.
Thrasymedes, Philomeli f. 251, 1—252, 2.
Thurii 89, 23 ... 91, 8.
Tiberis fl. 391, 10. 395, 16.
Tigris fl. 172, 11. 177, 7.
Timarchus Aetolus 261, 14—18.
Timoclea Thebana 402, 12—403, 14.
Timoleon 248, 13—249, 23.
Timoleonteum 239, 22 ..
Timotheus, dux Atheniensium 140, 12—147, 10.
Timoxenus Scionaeus 344, 6.
Tirgatao Maeotis 415, 17—417, 7.
Tiribazus satrapes 45, 7 .. 326, 12.
Tisamenus (Orestis f. rex Argivorum) 109, 14—20.
Tisaphernes 57, 4. 63, 4 .. 17. 73, 11 .. 329, 22 .. 331, 7—25.

Tisarchus, dux Agathoclis 289, 18.
Tithraustes 329, 23.
Titus (?) 376, 5—11.
Tlepolemus 15, 20.
Tmolus collis 327, 2.
Tolmides, dux Atheniensium 113, 22—114, 7.
Tomyris, regina Massagetarum 393, 17—394, 5.
Torone urbs 146, 10..
Trachis (sive Heraclea) 96, 17..
Trachinius Ephialtes 329, 16.
Trallianus 350, 3.
Triballi 351, 15..
τρικόρυφον ὄρος Indiae 7, 11.
*Τριτογενής* 30, 17.
Troezen 101, 10...
Troia 10, 1.. 15, 20. 309, 15.. Troiani 10, 3. Troianae 353, 9—17. 391, 9.. v. Ilium.
Trophonius 80, 6.
Trotilum, opp. Siciliae 242, 1.
Tullius, v. Cicero.
Tullus (Hostilius) 362, 9—19.
Tyndaris 376, 13.
Tynnichus Heracleota 260, 12—261, 6.
Tyrrhenia, Tyrrheni 234, 12. 365, 2... 391, 20.. 395, 13. Tyrrhenides 354, 16—355, 17.
Tyrtaeus 18, 14—19, 6.
Tyrus, Tyrii 167, 3.. 9.. 214, 6.

Ulixes 5, 5. 12. 20.. 6, 13, 14.
Utis (*Οὖτις*) 5, 21.

Venus 86, 5. 257, 7.
Vercingetorix, rex Gallorum 382, 12.
Verus imperator 3, 2. 60, 3. 112, 3. 158, 3. 222, 3. 277, 3. 312, 3. 359, 3.
Vessa, urbs Siciliae 224, 13..
Vesta, Vestalis 359, 20.
Veturia 391, 24.

Xanthus, dux Boeotorum 20, 3...
Xenias Eleus 302, 9..
Xenophon Atheniensis 57, 4—58, 13.
Xerxes 33, 11. 96, 13. 328, 15—329, 20. 413, 18. 414, 23.

Zenis 415, 7.
Zopyrus, satrapes Darii 326, 1—10.

**VERLAG VON B. G. TEUBNER IN LEIPZIG UND BERLIN.**

# DIE KULTUR DER GEGENWART

## IHRE ENTWICKLUNG UND IHRE ZIELE

### HERAUSGEGEBEN VON PROF. PAUL HINNEBERG

In 4 Teilen. Lex.-8. Jeder Teil zerfällt in einzelne inhaltlich vollständig in sich abgeschlossene und einzeln käufliche Bände (Abteilungen).

Teil I: **Die geisteswissenschaftlichen Kulturgebiete.** 1. Hälfte. Religion und Philosophie, Literatur, Musik und Kunst (mit vorangehender Einleitung zu dem Gesamtwerk).

Teil II: **Die geisteswissenschaftlichen Kulturgebiete.** 2. Hälfte. Staat und Gesellschaft, Recht und Wirtschaft.

Teil III: **Die naturwissenschaftlichen Kulturgebiete.** Mathematik, Anorganische und organische Naturwissenschaften, Medizin.

Teil IV: **Die technischen Kulturgebiete.** Bautechnik, Maschinentechnik, industrielle Technik, Landwirtschaftliche Technik, Handels- und Verkehrstechnik.

Die „Kultur der Gegenwart" soll **eine systematisch aufgebaute, geschichtlich begründete Gesamtdarstellung** unserer heutigen Kultur darbieten, indem sie die Fundamentalergebnisse der einzelnen Kulturgebiete nach ihrer Bedeutung für die gesamte Kultur der Gegenwart und für deren Weiterentwicklung in großen Zügen zur Darstellung bringt. Das Werk vereinigt eine **Zahl erster Namen aus allen Gebieten der Wissenschaft und Praxis** und bietet Darstellungen der einzelnen Gebiete jeweils aus der Feder des dazu Berufensten **in gemeinverständlicher, künstlerisch gewählter Sprache auf knappstem Raume.**

„Trefflicher [illegible]"

([illegible])

**Probeheft und Spezial-Prospekte** über die einzelnen Abteilungen (mit Auszug aus dem Vorwort des Herausgebers, der Inhaltsübersicht des Gesamtwerkes, dem Autoren-Verzeichnis und mit Probestücken aus dem Werke) werden auf Wunsch umsonst und postfrei vom Verlag versandt.

# DIE KULTUR DER GEGENWART.

Von Teil I und Teil II sind erschienen:

Teil I, Abt. 1: **Die allgemeinen Grundlagen der Kultur der Gegenwart.** Inhalt: Das Wesen der Kultur: W. Lexis. — [illegible] Fr. Paulsen. — [illegible] Das Volksschulwesen: G. Schöppa. [illegible] Das höhere Mädchenschulwesen: H. Gaudig. [illegible] G. Kerschensteiner. [illegible] Fr. Paulsen. [illegible] W. v. Dyck. [illegible] Museen: [illegible] L. Pallat. [illegible] K. Kraepelin. C. [illegible] J. Lessing. [illegible] O. N. Witt. D. Die Musik: G. Göhler. E. Das Theater: P. Schlenther. F. Das Zeitungswesen: K. Bücher. G. Das Buch: R. Pietschmann. H. Die Bibliotheken: F. Milkau. — Die Organisation der Wissenschaft: H. Diels. (XV u. 671 S.) 1906. Preis geh. [illegible] in Leinwand geb. [illegible]

Teil I, Abt. 3, 1: **Die orientalischen Religionen.** Inhalt: Die Anfänge der Religion und die R. der primitiven Völker: Ed. Lehmann. — Die ägyptische R.: A. Erman. — Die asiatischen R.: Die babylonisch-assyrische R.: C. Bezold. — Die indische R.: H. Oldenberg. — Die iranische R.: H. Oldenberg. — Die R. des Islams: J. Goldziher. — Der Lamaismus: A. Grünwedel. — Die R. der Chinesen: J. J. M. de Groot. — Die R. der Japaner: a) Der Shintoismus: K. Florenz, b) Der Buddhismus: H. Haas. (VII u. [illegible] S.) 1906. Preis geh. [illegible] in Leinwand geb. [illegible]

Teil I, Abt. 4: **Die christliche Religion mit Einschluß der israelitisch-jüdischen Religion.** Inhalt: Die israelitisch-jüdische Religion: J. Wellhausen. — Die R. Jesu und die Anfänge des Christentums bis zum Nicaenum: A. Jülicher. — Kirche und Staat bis zur Gründung der Staatskirche: A. Harnack. — [illegible] K. Müller. — Katholisches Ch. und Kirche in der Neuzeit: F. X. Funk. — Protestantisches Ch. und Kirche in der Neuzeit: E. Troeltsch. — Wesen der Religion und der Religionswissenschaft: E. Troeltsch. — [illegible] J. Pohle. — [illegible] J. Mausbach. — [illegible] C. Krieg. — [illegible] W. Herrmann. — [illegible] R. Seeberg. — [illegible] W. Faber. — Die Zukunftsaufgaben der Religion und der Religionswissenschaft: H. J. Holtzmann. (XI u. [illegible] S.) 1906. Preis geh. [illegible] in Leinwand geb. [illegible] — Auch in 2 Hälften: 1. Geschichte der christlichen Religion. [illegible] 2. Systematische christliche Theologie. [illegible]

Teil I, Abt. 6: **Systematische Philosophie.** Inhalt: Das Wesen der Philosophie: W. Dilthey. — Logik und Erkenntnistheorie: A. Riehl. — Metaphysik: W. Wundt. — Naturphilosophie: W. Ostwald. — Psychologie: H. Ebbinghaus. — Philosophie der Geschichte: R. Eucken. — Ethik: Fr. Paulsen. — Pädagogik: W. Münch. — Ästhetik: Th. Lipps. — Die Zukunftsaufgaben der Philosophie: Fr. Paulsen. (VIII u. [illegible] S.) 1907. Preis geh. [illegible] in Leinwand geb. [illegible]

Teil I, Abt. 7: **Die orientalischen Literaturen.** Inhalt: Die Anfänge der Literatur und die L. der primitiven Völker: E. Schmidt. — Die ägyptische L.: A. Erman. — Die babylonisch-assyrische L.: C. Bezold. — Die israelitische L.: H. Gunkel. — Die aramäische L.: Th. Nöldeke. — Die äthiopische L.: Th. Nöldeke. — Die arabische L.: M. J. de Goeje. — Die indische L.: R. Pischel. — Die altpersische L.: K. Geldner. — Die mittelpersische L.: P. Horn. — Die neupersische L.: P. Horn. — Die türkische L.: P. Horn. — Die armenische L.: F. N. Finck. — Die georgische L.: F. N. Finck. — Die chinesische L.: W. Grube. — Die japanische L.: K. Florenz. (IX u. [illegible] S.) 1906. Preis geh. [illegible] in Leinwand geb. [illegible]

DIE KULT

Von Teil

Teil II, Abt. 8: System
Rechtes und der Recht
gebiete: Privatrecht. B
recht: K. Gareis. — Versicherungsrecht: V. Ehrenberg. —
Privatrecht: L. v. Bar. — Zivilprozeßrecht: L. v. Seuffert. —
Strafprozeßrecht: F. v. Liszt. — Kirchenrecht: W. Kahl.
P. Laband. — Verwaltungsrecht. Justiz und Verwaltung: G.
Polizei- und Kulturpflege: E. Bernatzik. — Völkerrecht: F.
Die Zukunftsaufgaben
[X, LX u. 526

In 2.,

DIE

BEAR
K. KRU

[VIII] u.

Inhal
griechi
dorff.
bacher.
lateinis
Altertu
vom A
Sprach

888.9 .P68sm
Polyaeni Strategematon AJB0849
Stanford University Libraries
3 6105 045 014 573

STANFORD UNIVERSITY LIBRARY
Stanford, California

JUN 1989
JUL 15 1985
MAY 18 '66
AUG 3 '67
NOV 29 '67
DEC 21 '67
JUL 27 1972
JAN - 9 1984
OCT 14 1985
JUN 1986
JUL - 1 1991